ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ
8

1. ΟΜΙΛΙΕΣ ΣΤΗ ΓΕΝΕΣΗ
(Α′—Θ′)
2. ΥΠΟΜΝΗΜΑ ΣΤΟΝ ΗΣΑΪΑ
(Κεφάλαια Α′—Η′)
3. ΥΠΟΜΝΗΜΑ ΣΤΟΝ ΔΑΝΙΗΛ
(Κεφάλαια Α′—ΙΓ′)

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΗ - ΣΧΟΛΙΑ
Ἀπὸ τὸν
ΕΛΕΥΘΕΡΙΟ ΜΕΡΕΤΑΚΗ
Θεολόγο

65 ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ 65

Ἐπόπτες

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



Ε Π Ε

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1983

ΠΕΡΙΕΧΟΜΕΝΑ

Βιβλιοδεσία:
Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ

Κεντρικὴ πώλησις:
Βιβλιοπωλεῖον «ΒΥΖΑΝΤΙΟΝ»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 19 — Θεσσαλονίκη — Τηλ. 205-965

Φωτοστοιχειοθεσια — Εκτυπωση Οφσετ «ΝΕΑ ΣΤΟΙΧΕΙΟΘΕΤΙΚΗ»
Αχελωου 6 — Τηλ. 542-940 — 522-503 — ΘΕΣΣΑΛΟΝΙΚΗ
Π. Γιαννουλης - Κ. Τσολεριδης - Γ. Δεδουσης

ΕΙΣΑΓΩΓΗ

*Στὸν τόμο αὐτὸ δημοσιεύονται μὲ τὴ σειρά: **1) Οἱ ἐννέα Ὁμιλίες τοῦ Ἰωάννου Χρυσοστόμου, ποὺ ἀναφέρονται στὴν ἐξήγηση τῶν πρώτων τριῶν κεφαλαίων τῆς Γενέσεως, 2) Ἡ ἑρμηνεία ὑπ' αὐτοῦ τῶν 10 πρώτων κεφαλαίων τοῦ προφήτη Ἡσαΐα, καὶ 3) Ἡ ἑρμηνεία τῶν πρώτων 13 κεφαλαίων τοῦ προφήτη Δανιήλ.***

1. Οἱ ἐννέα Ὁμιλίες στὴ Γένεση.

Ὅπως εἶναι γνωστὸ στὴ Γένεση σώζονται δύο σειρὲς ὁμιλιῶν (Λόγων). Ἡ πρώτη σειρὰ περιλαμβάνει τὶς ἐννέα αὐτὲς ὁμιλίες ποὺ πραγματεύονται τὰ τρία πρῶτα κεφάλαια τῆς Γενέσεως καὶ ἐκφωνήθηκαν τὸ 386 στὴν ἀρχὴ τῆς τεσσαρακοστῆς, ἐνῶ ἡ δεύτερη σειρὰ ἀποτελεῖται ἀπὸ 67 ὁμιλίες μὲ τὶς ὁποῖες ἑρμηνεύει ὁλόκληρο τὸ βιβλίο τῆς Γενέσεως κατὰ τμήματα ποὺ ἐκφωνήθηκαν τὸ 388.

Στὴν πρώτη ὁμιλία ἀρχίζει μὲ τὴ νηστεία, τὴν ὁποία χαρακτηρίζει 'πνευματικὴ ἄνοιξη τῶν ψυχῶν', ἡ ὁποία μᾶς στεφανώνει ὄχι μὲ ἄνθη, ἀλλὰ μὲ πνευματικὲς χάριτες. Στὴ συνέχεια ἑρμηνεύει τὸ χωρίο, «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»[1], τονίζοντας ὅτι ἡ σωστὴ γνώση τῆς κτίσεως ὁδηγεῖ στὴ γνώση καὶ λατρεία τοῦ δημιουργοῦ αὐτῆς. Οἱ Μανιχαῖοι καὶ οἱ Ἕλληνες, ἐπειδὴ δὲν γνώριζαν νὰ φιλοσοφοῦν σωστά, γι' αὐτὸ ὁδηγήθηκαν στὴν πλάνη. Ἐξηγεῖ ὅτι ὁ Μωϋσῆς δὲν μίλησε γιὰ τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους, τὰ ἀνώτερα αὐτὰ πνεύματα, ἀλλὰ χρησιμοποίησε τὴν ταπεινότερη ὁδό, μιλώντας γιὰ τὰ ὁρατὰ δημιουργήματα, ἐπειδὴ ἡ ὁδὸς αὐτὴ ἦταν περισσότερο κατανοητὴ ἀπὸ τοὺς πνευματικὰ ἀδύνατους Ἰουδαίους. Ἄλλωστε ἡ ἴδια ὁδὸς διδασκαλίας χρησιμοποιήθηκε καὶ στὴν Καινὴ Διαθήκη, ποὺ ἦταν ἡ ἐποχὴ τῶν ὑψηλοτέρων διδαγμάτων[2]. Στὴ συνέχεια τονίζει ὅτι ὁ ἄνθρωπος πρέπει στὰ θέματα πίστεως ν' ἀποφεύγει τὰ δηλητηριώδη φάρμακα τῆς κακίας καὶ νὰ κρατᾶ σταθερᾶ τὴ διδασκαλία ποὺ πηγάζει ἀπὸ τὶς θεῖες Γραφές. Τέλος κλείνει τὴν ὁμιλία μὲ προτροπὴ γιὰ ἐλεημοσύνη, ποὺ εἶναι ὁ μόνος ἀσφαλὴς φύλακας τῶν χρημάτων τοῦ ἀνθρώπου καὶ αἴτιος ἀνυπολογίστου κέρδους.

---

1. Γεν. 1, 1.

2. Πράξ. 17, 24.

Στὴ δεύτερη ὁμιλία ἀναλύει τὸ χωρίο, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»[3], τονίζοντας ὅτι ὁ ἄνθρωπος εἶναι τὸ τιμιότερο ἀπὸ τὰ δημιουργήματα τῆς κτίσεως καὶ αὐτὸς εἶναι ὁ λόγος τῆς ἰδιαίτερης φροντίδας ποὺ λαμβάνεται ἀπὸ τὸ Θεὸ γιὰ τὴ δημιουργία του, μὲ συνεργοὺς γι' αὐτὴν ὄχι τοὺς δούλους του, ἀλλὰ τὸν Μονογενὴ Υἱό του καὶ τὸ ἅγιο Πνεῦμα.

Στὴν τρίτη ὁμιλία του ἑρμηνεύει τὸ «κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν», τονίζοντας ὅτι δὲν σημαίνει αὐτὸ ὁμοιότητα οὐσίας, ἀλλὰ ὁμοιότητα ἐξουσίας, καὶ δυνατότητα ἐξομοιώσεως τοῦ ἀνθρώπου μὲ τὸ Θεό, κατόπιν ὑποταγῆς ὑπ' αὐτοῦ τῶν θηριωδῶν λογισμῶν του. Στὴ συνέχεια πραγματεύεται τὸ θέμα τῆς ἐξουσίας τοῦ ἀνθρώπου ἐπὶ τῶν θηρίων, ἀποστομώνοντας ἐκείνους ποὺ προβάλλουν ἀντιρρήσεις.

Στὴν τέταρτη ὁμιλία πραγματεύεται τὸ θέμα τῶν μορφῶν δουλείας ποὺ εἰσήγαγε ἡ ἁμαρτία στὸν κόσμο. Πρώτη μορφὴ δουλείας εἶναι ἡ ἐξουσία τῶν ἀνδρῶν ἐπὶ τῶν γυναικῶν, ἀφοῦ ἐξάρτησε αὐτὲς ἀπὸ τοὺς ἄνδρες. Δεύτερη εἶναι ἡ μορφὴ τῆς δουλείας, καὶ τρίτη ἡ τῶν ἀρχόντων, ποὺ τὴν θεωρεῖ βαρύτερη ἀπὸ τὶς δύο προηγούμενες, ὅμως καὶ αὐτὴ χάνει τὴν ἰσχύ της ὅταν κανεὶς ἐκτελεῖ τὸ καλό. Γι' αὐτὸ ζητᾶ ἀπὸ τοὺς ἀκροατές του ν' ἀποβάλουν τὴν ἀδιαφορία καὶ νὰ προσηλωθοῦν στὴν ἀκρόαση τῶν θείων λόγων ποὺ τοὺς κηρύττει. Τὴν ὁμιλία κλείνει μὲ μία ἄλλη μορφὴ ἐξουσίας, τὴν ἐξουσία τῶν γονέων πρὸς τὰ τέκνα, καὶ προτρέπει τὰ τέκνα νὰ τιμοῦν τοὺς γονεῖς τους γιὰ νὰ ἔχουν μακροημερότητα ζωῆς καὶ εὐτυχισμένα γηρατειά.

Στὴν πέμπτη ὁμιλία συνεχίζει τὸ θέμα περὶ τῆς ἐξουσίας, τὴν ὁποία δημιούργησαν οἱ πρωτόπλαστοι, ἀλλ' ἐπεκύρωσαν οἱ μεταγενέστεροι ἄνθρωποι μὲ τὶς ἁμαρτίες τους. Ὅμως ἡ δουλεία αὐτὴ χάνει τὴν ἰσχύ της ἐκεῖ ὅπου ὑπάρχει ἡ ἀρετή, ἡ ὁποία δημιουργεῖ τὴν πραγματικὴ ἐλευθερία, καὶ ὅταν ἀκόμη ὑπάρχει ἡ κατὰ κόσμο δουλεία, καὶ τὸ σπουδαιότερο χαρίζει ὄχι παράδεισο, ἀπὸ τὸν ὁποῖο ἀπομάκρυνε τὸν ἄνθρωπο ἡ ἁμαρτία, ἀλλὰ τὸν ἴδιο τὸν οὐρανό, σύμφωνα μὲ τοὺς λόγους τοῦ Κυρίου[4]. Κλείνει τὴν ὁμιλία μὲ προτροπὴ γιὰ βοήθεια πρὸς τοὺς φτωχούς, γιὰ νὰ μποροῦμε νὰ ὑψώνομε τὰ χέρια μας πρὸς τὸν οὐράνιο Πατέρα καὶ νὰ ζητοῦμε τὴ βοήθειά του καὶ νὰ μπορέσομε στὸ τέλος νὰ βρεθοῦμε μαζὶ μὲ τὸν Λάζαρο ἐκεῖνο στοὺς κόλπους τοῦ Ἀβραάμ.

Ἡ ἕκτη ὁμιλία ἀρχίζει μὲ τὴν διαπραγμάτευση τοῦ θέματος τοῦ δένδρου τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ, τονίζοντας ὅτι ὁ ἄνθρωπος καὶ πρὶν ἀπὸ τὴν παράβαση γνώριζε τί εἶναι καλὸ καὶ τί κακό. Τελειώνει τὴν ὁμιλία μὲ τὴν προτροπὴ νὰ μεταβάλουν οἱ ἀκροατές του τὴν οἰκία τους σὲ ἐκκλησία, μελετώντας τοὺς θείους λόγους.

---

3. Γεν. 1, 26.

4. Ματθ. 25, 34-35.

Στὴν ἕβδομη ὁμιλία ἐξηγεῖ γιατί τὸ δένδρο τοῦ παραδείσου ὀνομάζεται «δένδρο τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ»· διότι δίδαξε στὸν ἄνθρωπο ἔμπρακτα πόσο μεγάλο κακὸ εἶναι ἡ παρακοὴ τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ πόσο μεγάλο καλὸ ἡ ὑπακοὴ στὶς ἐντολὲς τοῦ Θεοῦ. Στὴ συνέχεια ἑρμηνεύει τοὺς λόγους τοῦ Κυρίου «Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ»[5]. Τελειώνει τὴν ὁμιλία μὲ προτροπὲς γιὰ ἀκρόαση καὶ μελέτη τῶν θείων λόγων.

Ἡ ὀγδόη ὁμιλία ἐκφωνήθηκε σὲ σύνοδο ἐπισκόπων στὴν ὁποία παραβρισκόταν καὶ ὁ δάσκαλός του ἐπίσκοπος Ἀντιοχείας Φλαβιανός. Ἐξηγεῖ τὸν λόγο γιὰ τὸν ὁποῖο ὁ Θεὸς ἀπαγόρευσε τὴ βρώση ἀπὸ τὸ δένδρο τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἐντολὴ ποὺ ἀποσκοποῦσε στὸ νὰ ἀνέλθει σὲ μεγαλύτερη τιμὴ ὁ ἄνθρωπος. Κλείνει τὴν ὁμιλία μὲ προτροπὲς γιὰ μελέτη τῶν θείων λόγων κατ' οἶκον, καὶ γιὰ ἐλεημοσύνη.

Ἡ ἐνάτη ὁμιλία ἀσχολεῖται μὲ τὸ θέμα τῆς ἐπιτιμήσεως τῶν ἁμαρτημάτων τῶν ἀδελφῶν μας, ἐνέργεια ποὺ πρέπει ν' ἀποσκοπεῖ στὴν σωτηρία αὐτῶν. Στὴ συνέχεια ἐξηγεῖ τὴν ἀλλαγὴ τῶν ὀνομάτων ὁρισμένων προσώπων τῆς ἁγίας Γραφῆς (Ἄβραμ = Ἀβραὰμ κ.λ.π.) καὶ κλείνει τὴν ὁμιλία μὲ τὴν ἐξήγηση τοῦ ὀνόματος τοῦ Νῶε.

2. Ἑρμηνεία στὸν προφήτη Ἠσαΐα.

Πλῆρες ὑπόμνημα στὸν προφήτη Ἠσαΐα ἐκδόθηκε σὲ ἀρμενικὴ μετάφραση ἀπὸ τοὺς Μεχιταριστὲς στὴ Βενετία τὸ 1880. Δυστυχῶς στὴν ἑλληνικὴ σώζεται ὑπόμνημα μόνο στὰ ὀχτὼ πρῶτα κεφάλαια, ποὺ ἀποτελοῦν πιθανῶς διασκευὴ ἀντιστοίχων ὁμιλιῶν, καθὼς καὶ ἕξι ὁμιλίες στὸ 6ο κεφάλαιο τοῦ βιβλίου τοῦ Ἠσαΐα.

Τοῦ ὑπομνήματος προηγεῖται πρόλογος, στὶς λίγες γραμμὲς τοῦ ὁποίου διαζωγραφίζεται ἡ ὅλη σπουδαιότητα τοῦ προφήτη. Ὁ Ἠσαΐας εἶναι ὁ προφήτης ποὺ διακρινόταν γιὰ τὴν ἐλευθεροστομία του, γιὰ τὸ ἀδούλωτο φρόνημά του, τὴν ὑψηλὴ σκέψη του, τὴ μεγάλη σαφήνειά του στὶς προφητεῖες του περὶ τοῦ Χριστοῦ καὶ τὴ μεγάλη στοργικότητά του πρὸς τοὺς ἀνθρώπους, γνώρισμα ποὺ συναντᾶται σ' ὅλους τοὺς προφῆτες καὶ τοὺς μεγάλους ἄνδρες τῆς Παλαιᾶς Διαθήκης. Τὸν Ἠσαΐα ὁ Ι. Χρυσόστομος τὸν ἐξισώνει μὲ τοὺς ἁγίους τῆς Κ. Διαθήκης, διότι εἶναι ὁ προφήτης ποὺ διακήρυττε μὲ μεγάλη παρρησία τὶς ἀποφάσεις τοῦ Θεοῦ, ποὺ ἐπιτιμοῦσε τοὺς ἁμαρτάνοντες καὶ παρακαλοῦσε τὸ Θεὸ ὅταν παροργιζόταν ἐναντίον αὐτῶν. Στὴ συνέχεια ἀκολουθεῖ ἡ ἑρμηνεία τῶν ὀχτὼ πρώτων κεφαλαίων τοῦ βιβλίου τοῦ Ἠσαΐα ἀναλύοντας τὰ δια-

5. Λουκᾶ 23, 43.

λαμβανόμενα σ' αὐτὰ μὲ τὸν μοναδικὸ ἐκεῖνο τρόπο ποὺ μόνο αὐτὸς εἶχε τὴ δυνατότητα νὰ τὸν ἐπιτυγχάνει.

Οἱ ἕξι ὁμιλίες τοῦ Ἰω. Χρυσοστόμου στὸ 6ο κεφάλαιο τοῦ βιβλίου τοῦ Ἠσαΐα θὰ δημοσιευθοῦν στὸν ἑπόμενο τόμο 8Α μαζὶ μὲ ἄλλες ὁμιλίες του σ' ἄλλα πρόσωπα τῆς Παλαιᾶς Διαθήκης. Τὸ κείμενο εἶναι παρμένο ἀπὸ τὴν ἔκδοση τοῦ B. Montfaucon.

3. Ἑρμηνεία στὸν προφήτη Δανιήλ.

Στὸ μέρος αὐτὸ δημοσιεύονται τεμάχια ἑρμηνειῶν τοῦ Ἰω. Χρυσοστόμου στὰ πρῶτα δεκατρία κεφάλαια τοῦ βιβλίου τοῦ Δανιήλ. Ἡ ἑρμηνεία τῶν κεφαλαίων Α'—Ι' εἶναι σχετικὰ περιληπτικαί, ἐνῶ τῶν κεφαλαίων ΙΑ'—ΙΓ' εἶναι πάρα πολὺ σύντομη. Τὸ γεγονὸς ὅτι λείπει ἀπὸ τὸ τέλος τῶν ἑρμηνειῶν αὐτῶν ἡ τόσο συνήθης στὸν ἱερὸ πατέρα δοξολογία καὶ τελειώνουν αὐτὲς τόσο ἀπότομα, μᾶς δυσκολεύει ν' ἀποδεχθοῦμε τὴν προέλευση αὐτῶν ἀπὸ ἑρμηνευτικὲς ὁμιλίες στὸ βιβλίο τοῦ Δανιήλ, ἢ ἀπὸ ἄλλα συναφὴ ἔργα αὐτοῦ. Βέβαια τὸ ὕφος δὲν εἶναι ἀπόλυτα χρυσοστομικό, δὲν παύει ὅμως νὰ εἶναι ὁρμητικό, ἐκφραστικό, σαφὲς καὶ ἐντυπωσιακό. Τὸ μὴ ἀπόλυτα χρυσοστομικὸ ὕφος εἶναι εὔκολο νὰ ἐξηγηθεῖ ἂν λάβομε ὑπ' ὄψη μας ὅτι ὁ Χρυσόστομος ἐκφωνοῦσε, ὡς γνωστό, τὶς ὁμιλίες του χωρὶς χειρόγραφα, ὁμάδα δὲ ταχυγράφων κατέγραφε αὐτὲς καὶ στὴ συνέχεια ἐπεξεργαζόταν αὐτὲς ὁ ἴδιος δίνοντας σ' αὐτὲς τὴν τελικὴ μορφή. Φαίνεται λοιπὸν πὼς οἱ ὁμιλίες αὐτές, ἀπὸ τὶς ὁποῖες προέρχονται κατὰ πάσα πιθανότητα τὰ τεμάχια αὐτά, δὲν ἔτυχαν τῆς ἐπεξεργασίας αὐτῆς ἐκ μέρους αὐτοῦ καὶ γι' αὐτὸ παρουσιάζουν αὐτὰ μιὰ σχετικὴ ἀτέλεια συγκρινόμενη πρὸς τὸ λοιπὸ ἔργο τοῦ πατρός. Τὸ ὅτι πρέπει αὐτὰ νὰ προέρχονται ἀπὸ ἑρμηνευτικὲς ὁμιλίες αὐτοῦ σ' ὅλο τὸ βιβλίο τοῦ Δανιήλ, συνηγορεῖ σ' αὐτὸ καὶ ἡ παράδοση ποὺ θέλει τὸν χρυσόστομο ἑρμηνευτὴ ὅλου τοῦ βιβλίου τοῦ Δανιήλ, ἀλλὰ καὶ εἶναι δύσκολο ν' ἀποδεχθοῦμε ὅτι ὁ ἱερὸς πατὴρ δὲν ἑρμήνευσε τὸ κατ' ἐξοχὴν αὐτὸ προφητικὸ βιβλίο. Τὸ κείμενο λαμβάνεται ἀπὸ τὴν πατρολογία τοῦ Migne.

ΟΜΙΛΙΕΣ ΣΤΗ ΓΕΝΕΣΗ
(Α′—Θ′)

ΛΟΓΟΣ Α'.

Λεχθεὶς ἐν ἀρχῇ τῆς τεσσαρακοστῆς εἰς τό, «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», καὶ περὶ νηστείας καὶ ἐλεημοσύνης.

1. Ἡδὺ μὲν ναύταις τὸ ἔαρ, ἡδὺ δὲ καὶ γηπόνοις, ἀλλ' οὔτε ναύταις, οὔτε γηπόνοις οὕτως ἡδὺ τὸ ἔαρ, ὡς τοῖς βουλομένοις φιλοσοφεῖν ἡδὺς ὁ τῆς νηστείας καιρός, τὸ πνευματικὸν τῶν ψυχῶν ἔαρ, ἡ ἀληθὴς τῶν λογισμῶν γαλήνη. Γηπόνοις μὲν γὰρ ἡδὺ τὸ ἔαρ, ὅτι τοῖς ἄνθεσι τότε στεφανουμένην ὁρῶσι τὴν γῆν, καὶ καθάπερ ἱμάτιον ποικίλον ἐφαπλούμενον αὐτῇ πάντοθεν, τὴν βλάστησιν τὴν ἀπὸ τῶν βοτανῶν· ναύταις δὲ ἡδὺ τὸ ἔαρ, ὅτι τὰ θαλάττια νῶτα μετὰ ἀσφαλείας ἔχουσι πλεῖν, κυμάτων ἐστορεσμένων, δελφίνων ἐν πολλῇ παιζόντων γαλήνῃ καὶ παρ' αὐτοὺς τῆς νηὸς τοὺς τοίχους κυβιστώντων πολλάκις. Ἡμῖν δὲ ἡδὺ τὸ τῆς νηστείας ἔαρ, ὅτι κύματα ἡμῖν, οὐχ ὑδάτων, ἀλλ' ἐπιθυμιῶν ἀλόγων καταστέλλειν εἴωθε, καὶ στέφανον ἡμῖν οὐ τὸν ἀπὸ τῶν ἀνθέων, ἀλλὰ τὸν ἀπὸ τῶν χαρίτων περιτίθησι τῶν πνευματικῶν· «Στέφανον γὰρ χαρίτων», φησί, «δέξῃ σῇ κορυφῇ». Οὐχ οὕτω χελιδὼν φανεῖσα τὸν χειμῶνα ἀπελαύνειν εἴωθεν, ὡς νηστεία φανεῖσα τὸν χειμῶνα τῶν παθῶν τῆς διανοίας ἐκβάλλει τῆς ἡμετέρας. Οὐκέτι μάχη τῇ ψυχῇ πρὸς τὴν σάρκα, οὐδὲ κατεξανίσταται τῆς κυρίας ἡ δούλη, ἀλλὰ πᾶς οὗτος τοῦ σώματος ὁ πόλεμος λέλυται.

---

1. Γέν. 1, 1. 2. Παροιμ. 1, 9.

ΛΟΓΟΣ Α'.

Ποὺ ἐκφωνήθηκε στὴν ἀρχὴ τῆς τεσσαρακοστῆς στὸ χωρίο, «Στὴν ἀρχὴ ὁ Θεὸς δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ»[1], καὶ περὶ νηστείας καὶ ἐλεημοσύνης.

1. Εἶναι εὐχάριστη μὲν ἡ ἄνοιξη στοὺς ναῦτες, εὐχάριστη δὲ καὶ στοὺς γεωργούς, ἀλλ' ὅμως οὔτε στοὺς ναῦτες, οὔτε στοὺς γεωργοὺς εἶναι τόσο εὐχάριστη ἡ ἄνοιξη, ὅσο εὐχάριστος εἶναι ὁ καιρὸς τῆς νηστείας σ' ἐκείνους ποὺ θέλουν νὰ φιλοσοφοῦν, ἡ πνευματικὴ ἄνοιξη τῶν ψυχῶν, ἡ ἀληθινὴ γαλήνη τῶν λογισμῶν. Διότι στοὺς μὲν γεωργοὺς εἶναι εὐχάριστη ἡ ἄνοιξη, διότι τότε βλέπουν τὴ γῆ στεφανουμένη μὲ τὰ ἄνθη, καὶ τὴ βλάστηση τῶν φυτῶν ν' ἁπλώνεται σ' ὅλα τὰ μέρη αὐτῆς σὰν κάποιο ποικιλόμορφο ἱμάτιο, στοὺς δὲ ναῦτες εἶναι εὐχάριστη ἡ ἄνοιξη, διότι ἡ θαλάσσια ἐπιφάνεια παρέχει ἀσφάλεια γιὰ τὸ πλεύσιμο τῶν πλοίων, διότι τὰ κύματα καταπραΰνουν, τὰ δελφίνια παίζουν μὲ πολλὴ γαλήνη καὶ πολλὲς φορὲς προσεγγίζουν καὶ αὐτὰ ἀκόμα τὰ τοιχώματα τῶν πλοίων. Σ' ἐμᾶς ὅμως ἡ ἄνοιξη τῆς νηστείας εἶναι εὐχάριστη, διότι συνήθως μᾶς καταπραΰνει ὄχι τὰ κύματα τῶν ὑδάτων, ἀλλὰ τῶν παράλογων ἐπιθυμιῶν, καὶ μᾶς στεφανώνει μὲ στεφάνι ὄχι ἀπὸ ἄνθη, ἀλλὰ ἀπὸ τὶς πνευματικὲς χάριτες· διότι λέγει, «Στεφάνι χαρίτων φόρεσε στὸ κεφάλι σου»[2]. Δὲν διώχνει συνήθως τόσο εὔκολα τὸν χειμώνα ὁ ἐρχομὸς τοῦ χελιδονιοῦ, ὅσο ἀπομακρύνει ἀπὸ τὴ σκέψη μας τὸν χειμώνα τῶν παθῶν ἡ περίοδος τῆς νηστείας. Δὲν ὑπάρχει πόλεμος τῆς ψυχῆς πρὸς τὸ σῶμα, οὔτε ἐπαναστατεῖ ἡ δούλη πρὸς τὴν κυρία, ἀλλ' ἔχει σταματήσει ὁλόκληρος αὐτὸς ὁ πόλεμος.

Ἐπεὶ οὖν πολλὴ μὲν παρ' ἡμῖν εἰρήνη, πολλὴ δὲ καὶ ἡ γαλήνη, φέρε καὶ ἡμεῖς τὸ σκάφος τῆς διδασκαλίας ἑλκύσωμεν, ἀπὸ λιμένος εἰς λιμένα παραπέμποντες τῶν ὑμετέρων ἀκοῶν τὴν ἡμερότητα. Φέρε, λεπτοτέρων κατατολμήσωμεν νοημάτων, περὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάττης καὶ τοῦ λοιποῦ τῆς κτίσεως φιλοσοφοῦντες σώματος· ταῦτα γὰρ ἡμῖν ἀνεγνώσθη σήμερον. Καὶ τί πρὸς ἡμᾶς, φησίν, ὁ περὶ κτίσεως λόγος; Πρὸς ἡμᾶς μὲν οὖν, ἀγαπητοί. Εἰ γὰρ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται, ὅσῳπερ ἂν τῷ μεγέθει τῆς καλλονῆς τῶν κτισμάτων ἐνδιατρίψωμεν, τοσοῦτον πρὸς τὸν γενεσιουργὸν χειραγωγούμεθα.

Μέγα ἀγαθὸν εἰδέναι, τί μέν ἐστι κτίσμα, τί δὲ κτιστής· τί μὲν ἔργον, τί δὲ ποιητής. Καὶ γὰρ εἰ ταῦτα ᾔδεισαν ἀκριβῶς διαιρεῖν οἱ τῆς ἀληθείας ἐχθροί, οὐκ ἂν πάντα συνέχεον, τὰ ἄνω κάτω ποιοῦντες· οὐχ ὅτι τὰ ἄστρα καὶ τὸν οὐρανὸν κατήνεγκαν, τὴν δὲ γῆν ἀνήνεγκαν, ἀλλ' ὅτι τὸν τῶν οὐρανῶν βασιλέα ἀπὸ τῶν θρόνων καταβιβάσαντες τῶν βασιλικῶν, μετὰ τῆς κτίσεως ἔστησαν, τὴν δὲ κτίσιν τοῖς τῆς θεότητος προεδρίοις ἐτίμησαν. Εἰ περὶ κτίσεως ᾔδεισαν φιλοσοφεῖν Μανιχαῖοι καλῶς, οὐκ ἂν τὴν ἐξ οὐκ ὄντων, τὴν φθειρομένην, τὴν ῥέουσαν, τὴν ἀλλοιουμένην τοῖς τῆς ἀγεννησίας πρεσβείοις ἐτίμησαν. Εἰ περὶ κτίσεως ᾔδεισαν Ἕλληνες φιλοσοφεῖν καλῶς, οὐκ ἂν ἀπεπλανήθησαν τῆς ἀληθείας, οὐκ ἂν ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. Καλὸς ὁ οὐρανός, ἀλλὰ διὰ τοῦτο ἐδημιουργήθη, ἵνα προσκυνήσῃς τὸν ποιήσαντα· φαιδρὸς ὁ ἥλιος, ἀλλ' ἵνα θεραπεύσῃς τὸν ἐργασάμενον· εἰ δὲ μέλλεις ἐναπομένειν τῷ τῆς κτίσεως θαύματι, καὶ τῷ κάλλει τῶν ἔργων

Ἐπειδὴ λοιπὸν εἶναι μεγάλη ἡ εἰρήνη ποὺ ὑπάρχει σ' ἐμᾶς, μεγάλη δὲ καὶ ἡ γαλήνη, ἐμπρὸς καὶ ἐμεῖς ἂς βάλομε ἐμπρὸς τὸ σκάφος τῆς διδασκαλίας, μεταφέροντας τὴν ἡμερότητα τῶν ἀκοῶν σας ἀπὸ τὸ ἕνα λιμάνι στὸ ἄλλο. Ἐμπρὸς ἂς ἐπιχειρήσουμε ν' ἀσχοληθοῦμε μὲ ὑψηλότερα νοήματα, φιλοσοφώντας γιὰ τὸν οὐρανό, τὴ γῆ, τὴ θάλασσα καὶ τὰ ὑπόλοιπα μέρη τῆς κτίσεως· διότι αὐτὰ ἀναγνώσθηκαν σήμερα σ' ἐμᾶς. Καὶ τί μᾶς ἐνδιαφέρει, λέγει, ὁ λόγος γιὰ τὴν κτίση; Καὶ βέβαια μᾶς ἐνδιαφέρει, ἀγαπητοί. Διότι, ἐὰν ὁ δημιουργὸς βλέπεται ἀνάλογα ἀπὸ τὸ μέγεθος καὶ τὴν ὡραιότητα τῶν κτισμάτων, ὅσο περισσότερο λοιπὸν ἀσχοληθοῦμε μὲ τὸ μέγεθος τῆς ὡραιότητας τῶν κτισμάτων, τόσο περισσότερο ὁδηγούμαστε πρὸς τὸν δημιουργὸ αὐτῶν.

Εἶναι μεγάλο ἀγαθὸ τὸ νὰ γνωρίζουμε τί μὲν εἶναι κτίσμα, τί δὲ κτίστης· τί μὲν εἶναι ἔργο, τί δὲ δημιουργός. Καθόσον ἂν γνώριζαν αὐτὰ νὰ τὰ διακρίνουν μὲ ἀκρίβεια οἱ ἐχθροὶ τῆς ἀλήθειας, δὲν θὰ συνέβαινε νὰ συγχέουν τὰ πάντα, μεταφέροντας τὰ ἐπάνω κάτω· ὄχι ὅτι κατέβασαν κάτω τὰ ἄστρα καὶ τὸν οὐρανό, καὶ ἀνέβασαν τὴ γῆ ψηλά, ἀλλ' ὅτι τὸν βασιλιὰ τῶν οὐρανῶν, ἀφοῦ τὸν κατέβασαν ἀπὸ τοὺς βασιλικοὺς θρόνους, τὸν ἔστησαν μαζὶ μὲ τὰ κτίσματα, ἐνῶ τὰ κτίσματα τὰ τίμησαν μὲ τὶς τιμὲς τῆς θεότητας. Ἂν οἱ Μανιχαῖοι γνώριζαν νὰ φιλοσοφοῦν ὀρθὰ γιὰ τὰ κτίσματα, δὲν θὰ ἦταν δυνατὸ νὰ τιμήσουν μὲ τὰ προνόμια τῆς ἀγεννησίας τὰ κτίσματα ποὺ προῆλθαν ἀπὸ τὴν ἀνυπαρξία, ποὺ καταστρέφονται, ποὺ ἀλλοιώνονται καὶ φεύγουν καὶ χάνονται. Ἂν οἱ Ἕλληνες γνώριζαν νὰ φιλοσοφοῦν σωστὰ γιὰ τὴν κτίση, δὲν θὰ ἦταν δυνατὸ νὰ πλανηθοῦν ἀπὸ τὴν ἀλήθεια, δὲν θὰ ἦταν δυνατὸ νὰ δείξουν σεβασμὸ καὶ νὰ λατρεύσουν τὴν κτίση, παρὰ τὸν δημιουργὸ αὐτῆς. Εἶναι καλὸς ὁ οὐρανός, ἀλλὰ γι' αὐτὸ δημιουργήθηκε, γιὰ νὰ προσκυνήσεις τὸν δημιουργό του· εἶναι λαμπρὸς ὁ ἥλιος, ἀλλὰ δημιουργήθηκε γιὰ νὰ λατρεύσεις αὐτὸν ποὺ τὸν δημιούργησε· ἂν ὅμως πρόκειται νὰ παραμένεις στὸ θαῦμα τῆς κτίσεως καὶ νὰ σταματᾶς στὴν ὡραιότητα τῶν δημιουργημάτων, τὸ φῶς σου

παρακαθῆσθαι, τὸ φῶς σοι γέγονε σκότος, μᾶλλον δὲ τῷ φωτὶ πρὸς σκότος ἐχρήσω.

Εἶδες ὅσον ἀγαθόν ἐστι τὸ εἰδέναι τοὺς περὶ κτίσεως λόγους; Μὴ τοίνυν παραδράμῃς τὸ κέρδος, ἀλλὰ μετὰ ἀκριβείας πρόσεχε τοῖς λεγομένοις· οὐ γὰρ δὴ περὶ οὐρανοῦ μόνον ἐροῦμεν, καὶ γῆς, καὶ θαλάττης, ἀλλὰ καὶ περὶ τῆς γεννήσεως τῆς ἡμετέρας, καὶ πόθεν ὁ θάνατος, καὶ πόθεν ἡ ἐπίμοχθος ζωή, καὶ πόθεν αἱ ἀθυμίαι καὶ φροντίδες. Καὶ γὰρ ὑπὲρ τούτων καὶ ὑπὲρ πλειόνων ἑτέρων ἀπολογίαν συνθεὶς ὁ Θεός, τὸ βιβλίον τοῦτο πρὸς ἡμᾶς ἔπεμψεν· οὐδὲ γὰρ ἀπολογεῖσθαι παραιτεῖται τοῖς ἀνθρώποις ὁ Θεός, ἀλλὰ βοᾷ διὰ τοῦ προφήτου, λέγων· «Δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος». Οὐκ ἀπολογεῖται δὲ μόνον καὶ δικάζεται, ἀλλὰ καὶ ὅπως διαφύγωμεν τὴν καταδίκην διδάσκει· οὐ γὰρ ἁπλῶς εἶπε, «Δεῦτε, καὶ διαλεχθῶμεν», ἀλλὰ πρότερον διδάξας τί μὲν εἰπεῖν, τί δὲ ποιῆσαι χρή, οὕτω πρὸς τὸ δικαστήριον εἵλκυσεν.

Ἄκουσον οὖν ἄνωθεν τοῦ προφητικοῦ ῥήματος. «Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χῆραν»· καὶ τότε φησί· «Δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος». Οὐ βούλομαι γυμνούς, φησί, καὶ ἐρήμους τῶν δικαιωμάτων λαβεῖν, ἀλλὰ καθοπλίσας ὑμᾶς ταῖς ἀπολογίαις, οὕτως ἐπὶ τὰς εὐθύνας καλῶ· καὶ γὰρ δικάζεσθαι βούλομαι πρὸς ὑμᾶς, οὐχ ἵνα δικαιωθῇς». Ἔχεις κατήγορον πικρὸν καὶ ἀνήμερον· προλαβὼν ἅρπασον ἐκείνου τὴν τάξιν, ἔμφραξον τὸ ἀναίσχυντον στόμα.

2. Παρὰ μὲν οὖν τὴν ἀρχὴν δι' ἑαυτοῦ τοῖς ἀνθρώποις ὁ Θεὸς ὡμίλει, ὡς ἀνθρώποις ἀκοῦσαι δυνατόν. Οὕτω πρὸς τὸν Ἀδὰμ ἦλθεν· οὕτως ἐπετίμησε τῷ Κάϊν· οὕτω διελέχθη

3. Ἡσ. 1, 18. 4. Ἡσ. 1, 16-17. 5. Ἡσ. 43, 26.

τότε ἔχει γίνει σκοτάδι, μᾶλλον δὲ χρησιμοποίησες τὸ φῶς στὴ θέση τοῦ σκοταδιοῦ.

Εἶδες πόσο μεγάλο ἀγαθὸ εἶναι τὸ νὰ γνωρίζεις τὰ αἴτια τῆς δημιουργίας; Μὴ λοιπὸν παραβλέψεις τὸ κέρδος, ἀλλὰ πρόσεχε τὰ λεγόμενα μὲ μεγάλο ἐνδιαφέρον· διότι δὲν θὰ μιλήσουμε μόνο γιὰ τὸν οὐρανό, τὴ γῆ καὶ τὴ θάλασσα, ἀλλὰ καὶ γιὰ τὴ δική μας γέννηση, καὶ ἀπὸ ποῦ προῆλθε ὁ θάνατος, ἀπὸ ποῦ ἡ γεμάτη κόπους ζωή, καὶ ἀπὸ ποῦ οἱ στενοχώριες καὶ οἱ φροντίδες. Καθόσον ὁ Θεός, συνθέτοντας ἀπολογία γι' αὐτὰ καὶ γιὰ πολλὰ ἄλλα, μᾶς ἔστειλε αὐτὸ τὸ βιβλίο· διότι ὁ Θεὸς δὲν ἀποφεύγει ν' ἀπολογηθεῖ στοὺς ἀνθρώπους, ἀλλὰ βροντοφωνάζει μὲ τὸν προφήτη, λέγοντας· «Ἐλᾶτε νὰ συζητήσουμε, λέγει ὁ Κύριος»[3]. Δὲν ἀπολογεῖται δὲ μόνο καὶ δικάζεται, ἀλλὰ καὶ διδάσκει πῶς ν' ἀποφύγουμε τὴν καταδίκη· διότι δὲν εἶπε ἁπλῶς, «Ἐλᾶτε νὰ συζητήσουμε», ἀλλ', ἀφοῦ πρῶτα μᾶς δίδαξε τί πρέπει νὰ λέμε καὶ τί νὰ πράττομε, ἔτσι μᾶς ὁδήγησε στὸ δικαστήριο.

Ἄκουσε λοιπὸν ἀπὸ τὴν ἀρχὴ τὰ προφητικὰ λόγια. «Λουσθεῖτε, καθαρισθεῖτε, ἀπομακρύνατε τὶς κακίες ἀπὸ τὶς ψυχές σας· μάθετε νὰ κάμνετε τὸ καλό, ἀποδώσατε τὸ δίκιο στὸ ὀρφανὸ καὶ δικαιώσατε τὴ χήρα»[4]· ἀφοῦ εἶπε αὐτά, τότε λέγει, «ἐλᾶτε νὰ συζητήσουμε, λέγει ὁ Κύριος». Δὲν θέλω, λέγει, νὰ σᾶς λάβω γυμνοὺς καὶ ἔρημους ἀπὸ τὰ δικαιώματά σας, ἀλλ' ἐξοπλίζοντάς σας μὲ τὶς ἀπολογίες, ἔτσι σᾶς προσκαλῶ στὶς εὐθύνες· καθόσον θέλω νὰ προχωρήσω σὲ δίκη μαζί σας, ὄχι γιὰ νὰ σᾶς κατακρίνω, ἀλλὰ γιὰ νὰ σᾶς εὐσπλαχνισθῶ. Ἔτσι καὶ ἀλλοῦ λέγει· «Λέγε σὺ πρῶτα τὶς ἀνομίες σου, γιὰ νὰ δικαιωθεῖς»[5]. Ἔχεις σκληρὸ καὶ ἀνήμερο κατήγορο· πρόλαβε καὶ ἅρπαξε τὴ θέση ἐκείνου, φράξε τὸ ἀδιάντροπο στόμα.

2. Στὴν ἀρχὴ λοιπὸν ὁ Θεὸς μιλοῦσε ὁ ἴδιος πρὸς τοὺς ἀνθρώπους ὅσο ἦταν δυνατὸ νὰ τὸν ἀκούσουν οἱ ἄνθρωποι. Ἔτσι παρουσιάσθηκε καὶ μίλησε στὸν Ἀδάμ· ἔτσι ἐπιτίμησε τὸν Κάϊν· ἔτσι συνομίλησε μὲ τὸν Νῶε· ἔτσι φιλοξενήθηκε ἀπὸ τὸν

τῷ Νῶε· οὕτως ἐπεξενώθη τῷ Ἀβραάμ. Ἐπειδὴ δὲ πρὸς κακίαν ἡ φύσις ἡμῶν ἀπέκλινε, καὶ καθάπερ εἰς ὑπερορίαν τινὰ μακρὰν ἑαυτὴν διέστησε, τηνικαῦτα λοιπόν, καθάπερ ἐν μακρᾷ καθεστῶσιν ἀποδημίᾳ, γράμματα πέμπει, ὥσπερ διά τινος ἐπιστολῆς τὴν παλαιὰν πρὸς ἡμᾶς ἀνανεούμενος φιλίαν. Καὶ τὰ μὲν γράμματα ταῦτα ἔπεμψεν ὁ Θεός, ἐκόμισε δὲ ὁ Μωϋσῆς. Τί οὖν λέγει τὰ γράμματα; «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Τίνος ἕνεκεν οὐ περὶ τῶν ἀγγέλων ἡμῖν διαλέγεται, οὐ περὶ τῶν ἀρχαγγέλων; Εἰ γὰρ ἀπὸ τῶν κτισμάτων ὁ δημιουργὸς θεωρεῖται, πολλῷ μᾶλλον ἀπ᾽ ἐκείνων φαίνεται. Καλὸς ὁ οὐρανός, ἀλλ᾽ οὐχ οὕτω καλός, ὡς ἄγγελος· φαιδρὸς ὁ ἥλιος, ἀλλ᾽ οὐχ οὕτω φαιδρός, ὡς ὁ ἀρχάγγελος.

Τίνος οὖν ἕνεκεν τὴν ὑψηλοτέραν ἀφεὶς ὁδόν, διὰ τῆς ταπεινοτέρας ἡμᾶς ὁδηγεῖ; Ὅτι Ἰουδαίοις διαλέγεται, τοῖς ἀλογώτερον διακειμένοις, τοῖς πρὸς τὰ αἰσθητὰ ἐπτοημένοις, τοῖς ἐξ Αἰγύπτου νῦν ἐπανιοῦσιν, ἔνθα κροκοδείλους καὶ κύνας καὶ πιθήκους ἐθεράπευον οἱ ἄνθρωποι· καὶ οὐκ ἐνῆν διὰ τῆς ὑψηλοτέρας αὐτοὺς ὁδοῦ χειραγωγῆσαι πρὸς τὸν δημιουργόν. Ὑψηλοτέρα μὲν γὰρ ὁδός ἐστιν ἐκείνη, ἀλλὰ τραχυτέρα, καὶ προσάντης, καὶ μᾶλλον ὄρθιος τοῖς ἀσθενεστέροις. Διὰ τοῦτο αὐτοὺς διὰ τῆς εὐκολωτέρας ἄγει, δι᾽ οὐρανοῦ καὶ γῆς καὶ θαλάττης, καὶ τῆς ὁρωμένης κτίσεως ἁπάσης. Ὅτι μὲν γὰρ τοῦτο τὸ αἴτιον, ὅτε μικρὸν ἐπέδωκαν, ἄκουσον πῶς αὐτοῖς ὁ προφήτης καὶ περὶ ἐκείνων διαλέγεται τῶν ἄνω δυνάμεων· «Αἰνεῖτε τὸν Κύριον», φησίν, «ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ· ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν».

Καὶ τί θαυμαστόν, εἰ ἐν τῇ Παλαιᾷ οὕτος ὁ τρόπος τῆς διδασκαλίας ἐστίν, ὅπουγε καὶ ἐν τῇ Καινῇ, ὅτε τῶν ὑψηλο-

Ἀβραάμ. Ἐπειδὴ δὲ ἡ φύση μας ξέκλινε πρὸς τὴν κακία καὶ τοποθέτησε τὸν ἑαυτό της σὰν σὲ κάποια μακρινὴ ἐξορία, σὰν νὰ βρισκόμασθε σὲ κάποια μακρινὴ ἀποδημία, μᾶς στέλλει γράμματα, ἀνανεώνοντας σὰν μὲ κάποια ἐπιστολὴ τὴν παλιὰ φιλία του πρὸς ἐμᾶς. Καὶ τὰ μὲν γράμματα αὐτὰ τὰ ἔστειλε ὁ Θεός, τὰ ἔφερε δὲ σὲ μᾶς ὁ Μωϋσῆς. Τί λοιπὸν λέγουν τὰ γράμματα; «Στὴν ἀρχὴ ὁ Θεὸς δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ». Γιὰ ποιὸ λόγο δὲν μᾶς ὁμιλεῖ γιὰ τοὺς ἀγγέλους, οὔτε γιὰ τοὺς ἀρχαγγέλους; Διότι, ἐὰν ἀπὸ τὰ δημιουργήματα βλέπεται ὁ δημιουργός, πολὺ περισσότερο φαίνεται ἀπὸ ἐκείνους. Εἶναι καλὸς ὁ οὐρανός, ἀλλὰ ὄχι τόσο καλός, ὅσο ὁ ἄγγελος· εἶναι λαμπρὸς ὁ ἥλιος, ἀλλὰ ὄχι τόσο λαμπρός, ὅσο ὁ ἀρχάγγελος.

Γιὰ ποιὸ λοιπὸν λόγο, ἀφήνοντας τὴν ὑψηλότερη ὁδό, μᾶς ὁδηγεῖ μὲ τὴν ταπεινότερη; Διότι συνομιλεῖ μὲ τοὺς Ἰουδαίους, ποὺ ἦταν ἀλογότεροι, ποὺ ἦταν προσηλωμένοι στὰ αἰσθητά, ποὺ εἶχαν μόλις τότε ἐπιστρέψει ἀπὸ τὴν Αἴγυπτο, ὅπου οἱ ἄνθρωποι λάτρευαν κροκόδειλους, σκύλους καὶ πιθήκους· καὶ δὲν ἦταν δυνατὸ νὰ ὁδηγήσει αὐτοὺς πρὸς τὸν δημιουργὸ μὲ τὴν πνευματικὰ ὑψηλότερη ὁδό. Διότι ἡ ὁδὸς ἐκείνη εἶναι μὲν ὑψηλότερη, ἀλλ' εἶναι περισσότερο δύσκολη, ἀνηφορικὴ καὶ περισσότερο ἀπότομη γιὰ τοὺς πνευματικὰ ἀδύνατους. Γι' αὐτὸ ὁδηγεῖ αὐτοὺς μὲ τὴν εὐκολότερη ὁδό, μὲ τὸν οὐρανό, τὴ γῆ καὶ τὴ θάλασσα, καὶ μὲ ὅλα τὰ ὁρατὰ δημιουργήματα. Διότι, τὸ ὅτι αὐτὴ εἶναι ἡ αἰτία, ἄκουσε πῶς ὁμιλεῖ ὁ προφήτης πρὸς αὐτοὺς γιὰ ἐκεῖνες τὶς οὐράνιες δυνάμεις, ὅταν αὐτοὶ σημείωσαν μιὰ κάποια μικρὴ πνευματικὴ πρόοδο· «Δοξολογεῖτε», λέγει, «τὸν Κύριο ἀπὸ τοὺς οὐρανούς, δοξολογεῖτε αὐτὸν στὰ ὕψιστα μέρη· δοξολογεῖτε αὐτὸν ὅλοι οἱ ἄγγελοι αὐτοῦ, δοξολογεῖτε αὐτὸν ὅλες οἱ δυνάμεις αὐτοῦ· διότι αὐτὸς εἶπε καὶ δημιουργήθηκαν, αὐτὸς πρόσταξε καὶ κτίσθηκαν»[6].

Καὶ τί τὸ ἄξιο θαυμασμοῦ, ἂν στὴν Παλαιὰ Διαθήκη ἐφαρμόζεται αὐτὸς ὁ τρόπος διδασκαλίας, τὴ στιγμὴ βέβαια ποὺ

6. Ψαλμ. 148, 1-2 καὶ 5.

τέρων διδαγμάτων καιρὸς ἦν, Ἀθηναίοις διαλεγόμενος ὁ Παῦλος ταύτην ἦλθε τὴν ὁδόν, ἥνπερ ἦλθε Μωϋσῆς Ἰουδαίους παιδεύων; Οὐδὲ γὰρ οὗτος περὶ ἀγγέλων καὶ ἀρχαγγέλων εἶπεν αὐτοῖς, ἀλλὰ περὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάττης, οὕτω πως δημηγορῶν· «Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς ὑπάρχων Κύριος, οὐκ ἐν χειροποιήτοις κατοικεῖ ναοῖς». Ἀλλ' οὐχ, ὅτε Φιλιππησίοις διελέγετο, διὰ ταύτης ἤγαγεν αὐτοὺς τῆς ὁδοῦ, ἀλλ' ἐπὶ τὴν ὑψηλοτέραν αὐτοὺς ἀνάγει δημηγορίαν, οὑτωσὶ λέγων· «Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι· πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται». Οὕτω καὶ Ἰωάννης, ἐπειδὴ τελειοτέρους εἶχε τοὺς μαθητευομένους, πάσης ὁμοῦ τῆς κτίσεως ἐμνημόνευσεν. Οὐ γὰρ εἶπεν, 'οὐρανὸν καὶ γῆν καὶ θάλατταν', ἀλλ', ὅτι «Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν»· εἴτε ὁρώμενον, φησίν, εἴτε μὴ ὁρώμενον.

Καθάπερ γὰρ ἐπὶ τῶν διδασκάλων, ὁ μὲν παρὰ τῆς μητρὸς διδάσκαλος τὸ παιδίον λαβών, τὰ πρῶτα αὐτὸν παιδεύει στοιχεῖα, ὁ δὲ παρ' ἑτέρου λαβὼν διδασκάλου, μαθητὴν πρὸς τὰ ὑψηλότερα τῶν διδαγμάτων ἄγει· οὕτω καὶ ἐπὶ Μωϋσέως καὶ Παύλου καὶ Ἰωάννου γέγονε. Μωϋσῆς μὲν γὰρ μηδὲν εἰδυῖαν τὴν φύσιν ἡμῶν παραλαβὼν ἄρτι τοῦ γάλακτος ἀπαλλαγεῖσαν, τὰ πρῶτα τῆς θεογνωσίας ἐπαίδευσε στοιχεῖα, Ἰωάννης δὲ καὶ Παῦλος, καθάπερ παρὰ διδασκάλου τοῦ Μωϋσέως αὐτοὺς λαβόντες, ἐπὶ τὰ ὑψηλότερα τῶν διδαγμάτων ἀνάγουσι, τῶν προτέρων ἀναμιμνήσκοντες ἐν βραχεῖ. Εἶδες ἑκατέρων Διαθηκῶν τὴν συγγένειαν; Εἶδες τὴν συμφωνίαν τῶν διδαγμάτων; Ἤκουσας περὶ τῆς τῶν αἰσθητῶν δημιουργίας ἐν τῇ Παλαιᾷ, καὶ περὶ τῆς τῶν νοη-

---

7. Πράξ. 17, 24. 9. Κολ. 1, 16. 10. Ἰω. 1, 3.
8. Ἐσφαλμένα ἀναγράφεται «Φιλιππησίοις», διότι τὸ ἀναφερόμενο στὴ συνέχεια χωρίο εἶναι ἀπὸ τὴν πρὸς Κολοσσαεῖς.

καὶ στὴν Καινή, ὅταν ἦταν καιρὸς τῶν ὑψηλότερων διδαγμάτων, συνομιλώντας ὁ Παῦλος μὲ τοὺς 'Αθηναίους χρησιμοποίησε αὐτὸν τὸν τρόπο διδασκαλίας, τὸν ὁποῖο χρησιμοποίησε καὶ ὁ Μωϋσῆς διδάσκοντας τοὺς 'Ιουδαίους; Διότι οὔτε αὐτὸς μίλησε γιὰ ἀγγέλους καὶ ἀρχαγγέλους, ἀλλὰ γιὰ τὸν οὐρανό, τὴ γῆ καὶ τὴ θάλασσα, λέγοντας τὰ ἑξῆς· «'Ο Θεὸς ποὺ δημιούργησε τὸν κόσμο καὶ ὅλα ὅσα ὑπάρχουν μέσα σ' αὐτόν, καὶ ὁ ὁποῖος εἶναι Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, δὲν κατοικεῖ σὲ χειροποίητους ναούς»[7]. 'Αλλ', ὅταν ἔγραφε πρὸς τοὺς Φιλιππησίους[8], δὲν τοὺς ὁδήγησε μὲ αὐτὸν τὸν τρόπο διδασκαλίας, ἀλλὰ τοὺς μεταφέρει σὲ ὑψηλότερο τρόπο διδασκαλίας, λέγοντας τὰ ἑξῆς· «Διότι ἀπ' αὐτὸν κτίσθηκαν τὰ πάντα καὶ στὸν οὐρανὸ καὶ στὴ γῆ, εἴτε οἱ θρόνοι, εἴτε οἱ κυριότητες, εἴτε οἱ ἀρχές, εἴτε οἱ ἐξουσίες· ὅλα ἀπὸ αὐτὸν κτίσθηκαν καὶ γι' αὐτόν»[9]. Ἔτσι καὶ ὁ 'Ιωάννης, ἐπειδὴ οἱ μαθητές του ἦταν πνευματικὰ τελειότεροι, ἀνέφερε μαζὶ ὅλα τὰ δημιουργήματα. Διότι δὲν εἶπε, 'τὸν οὐρανὸ καὶ τὴ γῆ καὶ τὴ θάλασσα', ἀλλ', ὅτι «ὅλα ἀπὸ αὐτὸν ἔγιναν, καὶ τίποτε ἀπὸ αὐτὰ ποὺ ἔγιναν δὲν ἔγινε χωρὶς αὐτόν»[10]· εἴτε ὁρατό, λέγει, εἴτε ἀόρατο.

Ὅπως ἀκριβῶς λοιπὸν συμβαίνει μὲ τοὺς δασκάλους, ἐκεῖνος μὲν ὁ δάσκαλος ποὺ παίρνει τὸ παιδὶ ἀπὸ τὴ μητέρα του, διδάσκει σ' αὐτὸ τὰ πρῶτα γράμματα, ἐνῶ ἐκεῖνος ποὺ τὸ παίρνει ἀπὸ ἄλλο δάσκαλο, ὁδηγεῖ τὸ μαθητὴ πρὸς τὰ ὑψηλότερα διδάγματα, ἔτσι συνέβηκε καὶ μὲ τὸ Μωϋσῆ, τὸν Παῦλο καὶ τὸν 'Ιωάννη. Διότι ὁ μὲν Μωϋσῆς παραλαμβάνοντας τὴ φύση μας, ποὺ δὲν γνώριζε τίποτε, διότι μόλις εἶχε ἀποκοπεῖ ἀπὸ τὸ γάλα, δίδαξε τὰ πρῶτα στοιχεῖα τῆς θεογνωσίας, ὁ 'Ιωάννης ὅμως καὶ ὁ Παῦλος, ἐπειδὴ παρέλαβαν αὐτοὺς ἀπὸ τὸν Μωϋσῆ, σὰν ἀπὸ δάσκαλο, ὁδηγοῦν αὐτοὺς πρὸς τὰ ὑψηλότερα διδάγματα, ὑπενθυμίζοντας μὲ συντομία τὰ προηγούμενα. Εἶδες τὴ συγγένεια καὶ τῶν δύο Διαθηκῶν; Εἶδες τὴ συμφωνία τῶν διδαγμάτων; Ἄκουσες τὸν Δαυὶδ νὰ λέγει στὴν Παλαιὰ Διαθήκη γιὰ τὴ δημιουργία τῶν αἰσθητῶν καὶ τῶν νοητῶν, «Διότι αὐ-

τῶν τοῦ Δαυὶδ λέγοντος, «Ὅτι αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν»; Οὕτω πάλιν ἐν τῇ Καινῇ, εἰπὼν περὶ τῶν ἀοράτων δυνάμεων, εἶπε καὶ περὶ τῆς αἰσθητῆς κτίσεως.

«Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Τὸ ρῆμα τοῦτο βραχὺ μέν ἐστι καὶ ψιλόν, καὶ ρῆμα ἕν, ἅπαντας δὲ τῶν ἐναντίων τοὺς πύργους καταστρέψαι δυνήσεται. Σκόπει δέ. Προσέρχεται Μανιχαῖος λέγων, 'ἀγέννητός ἐστιν ἡ ὕλη'· εἰπὲ πρὸς αὐτόν, «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανόν, καὶ τὴν γῆν», καὶ πάντα τὸν τῦφον αὐτοῦ κατέστρεψας εὐθέως. Ἀλλ' οὐ πιστεύει τῷ ρήματι τῆς Γραφῆς, φησίν. Οὐκοῦν διὰ τοῦτο αὐτὸν ὡς μαινόμενον διάκρουσον καὶ ἀποστράφηθι. Ὁ γὰρ τῷ Θεῷ μὴ πιστεύων ἀποφαινομένῳ, ἀλλὰ ψεῦδος τῆς ἀληθείας καταγινώσκων, πῶς οὐ λαμπρῶς μανίας ἐκφέρει δεῖγμα, τὴν ἀπιστίαν; Καὶ πῶς ἐξ οὐκ ὄντων γένοιτ' ἄν τι, φησί; Σὺ δέ μοι εἰπέ, πῶς ἐξ ὄντων γένοιτό τι; Ὅτι μὲν γὰρ ἐξ οὐκ ὄντων ἡ γῆ γέγονεν, ἐγὼ μὲν πιστεύω, σὺ δὲ ἀμφιβάλλεις, ὅτι δὲ ἐκ γῆς γέγονεν ἄνθρωπος, ἀμφότεροι ὁμολογοῦμεν. Εἰπὲ τοίνυν τὸ συνομολογούμενον καὶ εὐκολώτερον, πῶς ἀπὸ τῆς γῆς γέγονε σαρκὸς φύσις. Ἀπὸ γῆς γὰρ πηλός, καὶ πλίνθος, καὶ κέραμος, καὶ ὄστρακον γίνεται, σάρκα δὲ ἀπὸ γῆς γινομένην οὐδεὶς ἂν ἴδοι ποτέ. Πῶς οὖν γέγονε σαρκὸς φύσις; πῶς ὀστοῦν διεπλάσθη; πῶς νεῦρα; πῶς φλέβες; πῶς ἀρτηρίαι; πῶς ὑμήν, καὶ λίπος, καὶ σάρκες, καὶ δέρμα, καὶ ὄνυχες, καὶ τρίχες, καὶ τοσαύτη ποικιλία διαφόρων οὐσιῶν ἐκ μιᾶς τῆς ὑποκειμένης γῆς; Ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. Πῶς οὖν οὐκ ἄτοπον τὸ σαφέστερον καὶ εὐκολώτερον ἀγνοοῦντα, τὸ δυσχερέστερον καὶ ἀπορρητότερον περιεργάζεσθαι καὶ πολυπραγμονεῖν;

3. Βούλει σε καὶ ἐφ' ἕτερον καὶ εὐκολώτερον ἀγάγω, καὶ καθ' ἑκάστην ἡμέραν γινόμενον; Ἀλλ' ὅμως οὐδὲ τού-

τὸς εἶπε καὶ δημιουργήθηκαν»[11]; Ἔτσι πάλι καὶ στὴν Καινὴ Διαθήκη, ἀφοῦ μίλησε γιὰ τὶς ἀόρατες δυνάμεις, τότε μίλησε καὶ γιὰ τὰ ὁρατὰ δημιουργήματα.

«Στὴν ἀρχὴ δημιούργησε ὁ Θεὸς τὸν οὐρανὸ καὶ τὴ γῆ»[12]. Ὁ λόγος αὐτὸς εἶναι σύντομος μὲν καὶ ἁπλὸς καὶ λόγος μοναδικός, μπορεῖ ὅμως νὰ καταστρέψει ὅλους τοὺς πύργους τῶν ἐχθρῶν. Πρόσεχε δέ. Ἔρχεται ὁ Μανιχαῖος καὶ λέγει ὅτι 'ἡ ὕλη εἶναι ἀγέννητη'· πὲς πρὸς αὐτόν, «Στὴν ἀρχὴ δημιούργησε ὁ Θεὸς τὸν οὐρανὸ καὶ τὴ γῆ», καὶ συνέτριψες ἀμέσως κάθε ἀλαζονεία αὐτοῦ. Ἀλλά, λέγει, δὲν πιστεύει στὸ λόγο τῆς Γραφῆς. Λοιπὸν γι' αὐτὸ νὰ τὸν ἀποκρούσεις καὶ νὰ τὸν ἀποστραφεῖς σὰν μανιακό. Διότι ἐκεῖνος ποὺ δὲν πιστεύει στὰ λόγια τοῦ Θεοῦ, ἀλλὰ θεωρεῖ τὴν ἀλήθεια σὰν ψεῦδος, πῶς ἡ ἀπιστία του δὲν ἀποτελεῖ λαμπρὸ δεῖγμα τῆς μανίας του; Καὶ πῶς, λέγει, θὰ μποροῦσε κάτι νὰ δημιουργηθεῖ ἀπὸ τὴν ἀνυπαρξία; Σὺ ὅμως, σὲ παρακαλῶ, πές μου, πῶς θὰ μποροῦσε νὰ γίνει κάτι ἀπὸ ὕλη ποὺ προϋπάρχει; Διότι τὸ ὅτι ἡ γῆ δημιουργήθηκε ἀπὸ τὸ μηδέν, ἐγὼ μὲν τὸ πιστεύω, σὺ δὲ ἀμφιβάλλεις, τὸ ὅτι δὲ ὁ ἄνθρωπος ἔγινε ἀπὸ τὴ γῆ, τὸ ἀποδεχόμασθε καὶ οἱ δύο. Ἀπάντησε λοιπὸν σ' αὐτὸ ποὺ τὸ ἀποδεχόμασθε καὶ οἱ δύο καὶ εἶναι εὐκολότερο, πῶς δηλαδὴ ἔγινε ἀπὸ τὸ χῶμα ἡ ἀνθρώπινη φύση. Διότι ἀπὸ τὴ γῆ γίνεται ὁ πηλός, τὰ τοῦβλα, τὰ κεραμίδια καὶ τὰ πήλινα ἀγγεῖα, ἐνῶ κανένας δὲν θὰ μποροῦσε ποτὲ νὰ δεῖ σάρκα νὰ γίνεται ἀπὸ τὴ γῆ. Πῶς λοιπὸν ἔχει γίνει ἡ ἀνθρώπινη φύση; πῶς διαπλάσθηκαν τὰ ὀστᾶ; πῶς τὰ νεῦρα; πῶς οἱ φλέβες; πῶς οἱ ἀρτηρίες; πῶς ὁ ὑμένας, τὸ λίπος, οἱ σάρκες, τὸ δέρμα, τὰ νύχια, οἱ τρίχες καὶ μιὰ τόσο μεγάλη ποικιλία διαφόρων οὐσιῶν ἀπὸ μιὰ προϋπάρχουσα γῆ; Ἀλλὰ δὲν θὰ μποροῦσες ν' ἀπαντήσεις. Πῶς λοιπὸν δὲν εἶναι ἄτοπο ν' ἀγνοεῖς τὸ σαφέστερο καὶ εὐκολότερο, νὰ περιεργάζεσαι δὲ καὶ νὰ πολυεξετάζεις τὰ δυσκολότερα καὶ τὰ πιὸ ἀκατανόητα;

3. Θέλεις νὰ σὲ ὁδηγήσω καὶ σ' ἄλλο καὶ εὐκολότερο καὶ ποὺ συμβαίνει καθημερινά; Ἀλλ' ὅμως οὔτε αὐτοῦ τοῦ γεγονό-

---

11. Ψαλμ. 148, 5 καὶ 32, 9.

του μοι τὸν λόγον ἐρεῖ. Ἄρτον σιτούμεθα καθ' ἑκάστην ἡμέραν. Πῶς οὖν, εἰπέ μοι, ἡ τοῦ ἄρτου φύσις αὕτη εἰς αἷμα μεθίσταται καὶ φλέγμα, καὶ χολήν, καὶ τοὺς λοιποὺς ἐν ἡμῖν χυμούς; Ὁ μὲν γάρ ἐστι πυκνὸς καὶ σκληρός, τὸ δὲ αἷμα χαυνὸν καὶ διαρρέον, καὶ ὁ μὲν λευκὸς ἢ σιτόχρους, τὸ δὲ ἐρυθρὸν καὶ μέλαν. Καὶ τῶν ἄλλων δὲ ποιοτήτων τὰς διαφορὰς εἴ τις ἐπέλθοι, πολὺ τὸ μέσον εὑρήσει ἄρτου καὶ αἵματος. Πῶς οὖν ταῦτα γίνεται, εἰπέ μοι, καὶ τὸν λόγον ἀπόδος. Ἀλλ' οὐκ ἂν ἔχοις. Εἶτα τροφῆς τῆς καθ' ἡμέραν ἀλλοιουμένης παρασχεῖν τὸν λόγον οὐκ ἔχων, τῆς τοῦ Θεοῦ δημιουργίας ἀπαιτεῖς με εὐθύνας; Καὶ πῶς οὐκ ἐσχάτης ἀνοίας τοῦτο;

Εἰ μὲν γὰρ καθ' ἡμᾶς ἐστιν ὁ Θεός, ἐπαίτει τῶν γενομένων τὸν λόγον· μᾶλλον δὲ μηδὲ οὕτω· πολλὰ γὰρ τῶν ἀνθρωπίνῃ γινομένων τέχνῃ ὅπως γίνεται εἰπεῖν οὐκ ἔχομεν· οἷον, πῶς ἀπὸ γῆς τῆς ἐν τοῖς μετάλλοις χρυσίου γίνεται φύσις· πῶς εἰς ὑελοῦ καθαρότητα ἡ ψάμμος μεθίσταται. Καὶ ἕτερα τούτων ἐστὶ πλείονα εἰπεῖν, ἃ γίνεται μὲν ἀνθρωπίνῃ τέχνῃ, τὸν δὲ λόγον οὐκ ἴσμεν ἡμεῖς. Πλὴν ἀλλ' εἰ μὲν καθ' ἡμᾶς ὁ Θεός ἐστιν, ἀπαίτει λόγον, εἰ δὲ ἀπείρως ἡμῶν διέστηκε καὶ ἀσυγκρίτως ὑπερέχει, πῶς οὐκ ἐσχάτης ἂν εἴη μανίας, ἄπειρον αὐτοῦ καὶ τὴν σοφίαν καὶ τὴν δύναμιν ὁμολογοῦντας, καὶ θείαν καὶ ἀκατάληπτον, ὡς περὶ ἀνθρωπίνης τινὸς τέχνης, οὕτω καθ' ἕκαστον τῶν γινομένων ἀπαιτεῖν εὐθύνας αὐτόν; Ἀλλὰ γὰρ ἀφέντες τοὺς λογισμούς, ἐπὶ τὴν πέτραν ἐπανέλθωμεν τὴν ἀρραγῆ·

«Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ἐπὶ τούτῳ στῆθι τῷ θεμελίῳ· μή τίς σε εἰς λογισμῶν ἀνθρωπίνων ταραχὴν καταγάγῃ· «Λογισμοὶ γὰρ θνητῶν δει-

τος θὰ μοῦ πεῖς τὴν αἰτία. Καθημερινὰ τρῶμε ἄρτο. Πῶς λοιπόν, πές μου, μεταβάλλεται ἡ φύση τοῦ ἄρτου σὲ αἷμα καὶ φλέγμα καὶ χολὴ καὶ στὶς ὑπόλοιπες οὐσίες ποὺ ὑπάρχουν στὸ σῶμα μας; Διότι ὁ μὲν ἄρτος εἶναι πυκνὸς καὶ στερεός, τὸ δὲ αἷμα χαλαρὸ καὶ ρευστό, καὶ ὁ μὲν ἄρτος εἶναι λευκὸς ἢ σιτόχρους, ἐνῶ τὸ αἷμα εἶναι κόκκινο ἢ βαθὺ κόκκινο. Καὶ τῶν ἄλλων δὲ οὐσιῶν ἂν ἐξετάσει κανεὶς τὶς διαφορές, θὰ βρεῖ νὰ ὑπάρχει μεγάλη διαφορὰ μεταξὺ ἄρτου καὶ αἵματος. Πές μου λοιπὸν, πῶς γίνονται αὐτὰ καὶ ἐξήγησε τὴν αἰτία. Ἀλλὰ δὲν θὰ μποροῦσες. Ἔπειτα τῆς τροφῆς, ποὺ καθημερινὰ δέχεται μεταβολές, δὲν μπορεῖς νὰ ἐξηγήσεις τὴν αἰτία, μοῦ ζητᾶς ἐξηγήσεις γιὰ τὴ δημιουργία τοῦ Θεοῦ; Καὶ πῶς αὐτὸ δὲν εἶναι δεῖγμα τῆς πιὸ χειρότερης παραφροσύνης;

Πράγματι, ἂν μὲν ὁ Θεὸς εἶναι ὅμοιος μὲ ἐμᾶς, ζήτα τότε νὰ βρεῖς τὴν αἰτία τῶν συμβάντων· μᾶλλον δὲ οὔτε καὶ τότε· διότι πολλὰ ἀπὸ ἐκεῖνα ποὺ γίνονται μὲ τὴν ἀνθρώπινη τέχνη, δὲν μποροῦμε νὰ ἐξηγήσουμε πῶς γίνονται· γιὰ παράδειγμα, πῶς ἀπὸ τὴ γῆ τῶν μεταλλωρυχείων γίνεται ἡ φύση τοῦ χρυσοῦ· πῶς μεταβάλλεται ἡ ἄμμος στὸ ὁλοκάθαρο γυαλί. Καὶ πολλὰ ἄλλα ἐκτὸς αὐτὰ μποροῦμε ν' ἀναφέρουμε, ποὺ γίνονται μὲν μὲ τὴν ἀνθρώπινη τέχνη, τὴν αἰτία ὅμως δὲν τὴν γνωρίζουμε ἐμεῖς. Πλὴν ὅμως, ἐὰν μὲν ὁ Θεὸς εἶναι ὅμοιος μὲ ἐμᾶς, ζήτα νὰ μάθεις τὴν αἰτία, ἐὰν δὲ διαφέρει ἀπὸ ἐμᾶς ὑπερβολικὰ καὶ ὑπερέχει ἀσύγκριτα, πῶς δὲν θὰ ἦταν δεῖγμα τῆς πιὸ χειρότερης μανίας, νὰ ὁμολογοῦμε μὲν ὅτι εἶναι ἄπειρη ἡ σοφία καὶ ἡ δύναμη αὐτοῦ, καθὼς καὶ θεία καὶ ἀκατανόητη, νὰ ἐρχόμαστε δὲ καὶ νὰ ζητοῦμε εὐθύνες ἀπὸ αὐτὸν γιὰ τὸ κάθετι ποὺ συμβαίνει, σὰν νὰ πρόκειται γιὰ κάποια ἀνθρώπινη τέχνη; Ἀλλ' ὅμως, ἀφοῦ ἀφήσουμε τοὺς συλλογισμούς, ἂς ἐπιστρέψουμε στὴν πέτρα τὴ στερεά.

«Στὴν ἀρχὴ ὁ Θεὸς δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ». Ἐπάνω σ' αὐτὸ τὸ θεμέλιο σταμάτησε, μὴ τυχὸν καὶ σὲ ρίξει κανεὶς μέσα στὴν ταραχὴ τῶν ἀνθρώπινων λογισμῶν· «Διότι οἱ λογισμοὶ τῶν ἀνθρώπων εἶναι δειλοὶ καὶ ἐσφαλμένες οἱ σκέψεις

λοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν». Μὴ τοίνυν τὸ στερρὸν ἀφείς, τῷ σαθρῷ καὶ ἐπισφαλεῖ τὴν σωτηρίαν ἐγχειρίσῃς τῆς σῆς ψυχῆς, ἀλλὰ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, καὶ λέγε· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Κἂν Μανιχαῖος προσέλθῃ, κἂν Μαρκίων, κἂν οἱ τὰ Οὐαλεντίνου νοσοῦντες, κἂν ὁστισοῦν ἕτερος, τοῦτο προβάλλου τὸ ῥῆμα· κἂν ἴδῃς γελῶντα, σὺ δάκρυσον αὐτὸν ὡς μαινόμενον. Πύξινον ἔχουσιν ἐκεῖνοι τὸ χρῶμα καὶ κατεσταλμένην τὴν ὀφρύν, καὶ ῥημάτων ἐπιείκειαν, ἀλλὰ φύγε τὸ δέλεαρ, καὶ τὸν ἐν τῇ δορᾷ τοῦ προβάτου κρυπτόμενον καταμάνθανε λύκον. Διὰ τοῦτο αὐτὸν μάλιστα μίσησον, ὅτι πρὸς μὲν τὸν ὁμόδουλόν σε προσηνὴς καὶ ἥμερος εἶναι δοκεῖ, πρὸς δὲ τὸν κοινὸν ἡμῶν ἁπάντων Δεσπότην κυνῶν λυττώντων ἐστὶν ἀγριώτερος, ἀκήρυκτον εἰς τὸν οὐρανὸν μάχην εἰσάγων καὶ πόλεμον ἄσπονδον, καὶ δύναμίν τινα ἐξ ἐναντίας ἀντικαθιστῶν τῷ Θεῷ. Φύγε τὸν ἰὸν τῆς πονηρίας, μίσησον τὰ δηλητήρια φάρμακα, καὶ ἣν παρὰ τῶν πατέρων ἐδέξω κληρονομίαν, τὴν ἀπὸ τῶν θείων Γραφῶν πίστιν καὶ διδασκαλίαν, ταύτην κάτεχε μετὰ πολλῆς τῆς ἀσφαλείας.

«Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Τί τοῦτο; πρῶτον τὸν οὐρανόν, εἶτα τὴν γῆν; πρῶτον τὸν ὄροφον, εἶτα τὸ ἔδαφος; Οὐ γὰρ ἀνάγκῃ φύσεως ὑπόκειται, οὐδὲ ἀκολουθίᾳ τέχνης δουλεύει. Καὶ γὰρ καὶ φύσεως καὶ τέχνης καὶ τῶν ὄντων ἁπάντων ἡ βούλησις τοῦ Θεοῦ δημιουργὸς καὶ τεχνίτης ἐστί. «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος». Τίνος ἕνεκεν τὸν μὲν οὐρανὸν ἀπαρτισθέντα παρήγαγε, τὴν δὲ γῆν κατὰ μικρὸν τεχνεύειν αὐτόν φησιν ὁ Μωϋσῆς; Ἵνα ἐν τῷ βελτίονι στοιχείῳ μαθὼν αὐτοῦ τὴν δύναμιν πληροφορηθῇς ὅτι καὶ ταύτην ἠδύνατο, καθάπερ ἐκεῖνον, ἀπηρτισμένην παραγαγεῖν. Ἀλλὰ διὰ σὲ καὶ τὴν σωτηρίαν τὴν σὴν οὐκ ἐποίησεν οὕτω.

---

12. Σοφ. Σολ. 9, 14. 13. Β' Τιμ. 3, 14. 14. Γεν. 1, 2.

αὐτῶν»[12]. Μὴ λοιπὸν ἀφήσεις τὸ στερεὸ καὶ ἐμπιστευθεῖς τὴ σωτηρία τῆς ψυχῆς σου στὸ σαθρὸ καὶ ἀνασφαλές, ἀλλὰ «*παράμενε σ' ἐκεῖνα ποὺ ἔμαθες καὶ ἔχεις πιστέψει*»[13], καὶ λέγε· «Στὴν ἀρχὴ ὁ Θεὸς δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ». Καὶ εἴτε σὲ πλησιάσει Μανιχαῖος, εἴτε Μαρκιωνιστής, εἴτε ἐκεῖνοι ποὺ πάσχουν ἀπὸ τὶς νοσηρὲς διδασκαλίες τοῦ Οὐαλεντίνου, εἴτε ὁποιοσδήποτε ἄλλος, αὐτὸ τὸ λόγο πρόβαλλε· καὶ ἂν τὸν δεῖς νὰ γελᾶ, σὺ δάκρυσε γι' αὐτὸν θεωρώντας τον μανιακό. Κίτρινο χρῶμα ἔχουν ἐκεῖνοι καὶ κατεβασμένα τὰ φρύδια καὶ τὰ λόγια τους εἶναι γεμάτα ἐπιείκεια, ἀλλὰ ἀπόφυγε τὸ δόλωμα καὶ ξεχώρισε τὸ λύκο ποὺ κρύβεται κάτω ἀπὸ τὸ δέρμα τοῦ προβάτου. Γι' αὐτὸ πρὸ πάντων μίσησε αὐτόν, διότι πρὸς ἐσένα μὲν τὸν ὁμόδουλό σου φαίνεται ὅτι εἶναι γεμάτος ἀπὸ πραότητα καὶ ἡμερότητα, ἐνῶ πρὸς τὸν κοινὸ Κύριο ὅλων μας εἶναι ἀγριότερος ἀπὸ τὰ λυσσασμένα σκυλιά, κηρύσσει δὲ στὸν οὐρανὸ ἀπροειδοποίητη μάχη καὶ πόλεμο ἄσπονδο, καὶ ἀντικαθιστᾶ τὸ Θεὸ μὲ κάποια δύναμη ἀντίθετη πρὸς αὐτόν. Ἀπόφυγε τὸ δηλητήριο τῆς κακίας, μίσησε τὰ δηλητηριώδη φάρμακα, καὶ τὴν κληρονομία ποὺ ἔλαβες ἀπὸ τοὺς πατέρες, δηλαδὴ τὴν πίστη καὶ τὴ διδασκαλία ποὺ πηγάζει ἀπὸ τὶς θεῖες Γραφές, αὐτὴν κράτα την μὲ μεγάλη ἀσφάλεια.

«Στὴν ἀρχὴ ὁ Θεὸς δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ». Τί σημαίνει αὐτό; Πρῶτα δημιούργησε τὸν οὐρανὸ καὶ ἔπειτα τὴ γῆ; πρῶτα τὴν ὀροφὴ καὶ ἔπειτα τὴ βάση; Ὁ Θεὸς δὲν ὑπόκειται στὴν ἀνάγκη τῆς φύσεως, οὔτε ἐνεργεῖ σύμφωνα μὲ τοὺς νόμους τῆς τέχνης. Καθόσον ἡ θέληση τοῦ Θεοῦ εἶναι δημιουργὸς καὶ τεχνίτης τῆς φύσεως καὶ τῆς τέχνης καὶ ὅλων γενικὰ τῶν ὄντων. «Ἡ δὲ γῆ ἦταν ἀόρατη καὶ ἀκατασκεύαστη»[14]. Γιὰ ποιὸ λόγο τὸν μὲν οὐρανὸ τὸν δημιούργησε ὁλοκληρωμένο, τὴ δὲ γῆ λέγει ὁ Μωϋσῆς ὅτι τὴν ἐπεξεργάζεται σιγὰ-σιγά; Μὲ σκοπό, ἀφοῦ γνωρίσεις τὴ δύναμή του ἀπὸ τὸ τελειότερο στοιχεῖο, νὰ ἀντιληφθεῖς ὅτι καὶ αὐτὴν μποροῦσε, ὅπως ἀκριβῶς ἐκεῖνον, νὰ τὴ δημιουργήσει τελειοποιημένη ἀπὸ τὴν ἀρχή. Ἀλλὰ γιὰ σ' ἕνα καὶ γιὰ τὴ σωτηρία σου δὲν ἐνήργησε ἔτσι.

Πῶς δι' ἐμὲ καὶ τὴν σωτηρίαν τὴν ἐμήν, φησί; Κοινὴ τράπεζα καὶ πατρὶς καὶ τροφὸς καὶ μήτηρ ἁπάντων ἐστὶν ἡ γῆ, καὶ πόλις καὶ τάφος κοινός. Καὶ γὰρ τὰ σώματα ἡμῶν ἐξ αὐτῆς, καὶ τροφὴ τοῖς σώμασιν ἡμῶν ἐκεῖθεν, καὶ οἴκησις ἐν αὐτῇ καὶ διαγωγή, καὶ μετὰ θάνατον πρὸς αὐτὴν πάλιν ἐπάνοδος. Ἵν' οὖν μὴ τὸ της χρείας ἀναγκαῖον ὑπὲρ τὴν ἀξίαν σε θαυμάζειν αὐτὴν παρασκευάσῃ, καὶ τὸ τῶν εὐεργεσιῶν πλῆθος πρὸς ἀσέβειαν ὑποσκελίσῃ, δείκνυσί σοι, πρὶν ἢ γενέσθαι, αὐτὴν ἀμόρφωτον καὶ ἀδιατύπωτον, ἵνα τὴν ἀσθένειαν ἰδών, θαυμάσῃς τὸν παραγαγόντα αὐτήν, καὶ πᾶσαν ἐνθέντα αὐτῇ τὴν δύναμιν ταύτην· ἵνα δοξάσῃς τὸν τὰ τοσαῦτα πρὸς ἡμετέραν ἄνεσιν κατεσκευακότα. Δοξάζεται δὲ ὁ Θεὸς οὐ διὰ δογμάτων ὀρθῶν μόνον, ἀλλὰ καὶ διὰ πολιτείας ἀρίστης· «Λαμψάτω γὰρ ὑμῶν», φησί, «τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς».

4. Ἐβουλόμην τοὺς περὶ ἐλεημοσύνης προσθεῖναι λόγους, ἀλλὰ περιττόν μοι δοκεῖ εἶναι λόγῳ διδάσκειν ὑμᾶς, τοῦ διὰ τῶν ἔργων ὑμᾶς παιδεύειν δυναμένου νῦν ἐν μέσῳ καθημένου, τοῦ κοινοῦ πατρὸς ἡμῶν καὶ διδασκάλου, ὃς τὴν οἰκίαν τὴν πατρῴαν, ὥσπερ εἰς αὐτὸ τοῦτο παρὰ τῶν προγόνων δεξάμενος, ἵνα ταῖς τῶν ξένων αὐτὴν θεραπείαις παράσχῃ, οὕτω διαπαντὸς τοῖς πάντοθεν ἐλαυνομένοις ὑπὲρ τῆς ἀληθείας ἀνῆκε, καὶ ὑποδέχεται, καὶ θεραπεύει θεραπείας τρόπῳ παντοδαπῷ· ὥστε οὐκ οἶδα εἰ χρὴ τούτου μᾶλλον, ἢ τῶν ξένων καλεῖν την οἰκίαν τὴν τούτου· μᾶλλον δὲ διὰ τοῦτο τούτου νομίζειν εἶναι αὐτήν, ἐπειδὴ τῶν ξένων ἐστί. Καὶ γὰρ τὰ ἡμέτερα κτήματα τότε μάλιστα ἡμέτερα γίνεται, ὅταν μὴ ἡμῖν αὐτοῖς, ἀλλὰ τοῖς πένησιν αὐτὰ κεκτημένοι διαπαντὸς ὦμεν. Καὶ πῶς, ἐγὼ λέγω. Ἂν εἰς δεξιὰν τοῦ

Πῶς, λέγει, γιὰ μένα καὶ γιὰ τὴ σωτηρία μου; Ἡ γῆ εἶναι κοινὴ τράπεζα καὶ πατρίδα καὶ τροφὸς καὶ μητέρα ὅλων μας καὶ πόλη καὶ τάφος κοινός. Καθόσον τὰ σώματά μας προέρχονται ἀπὸ αὐτήν, καὶ ἡ τροφὴ γιὰ τὰ σώματά μας λαμβάνεται ἀπὸ αὐτήν, καὶ σ' αὐτὴν κατοικοῦμε καὶ ζοῦμε, καὶ μετὰ τὸ θάνατο σ' αὐτὴν πάλι ἐπιστρέφομε. Γιὰ νὰ μὴ κάνει λοιπὸν ἡ ἀναγκαιότητα τῆς χρησιμότητάς της νὰ τὴ θαυμάζεις περισσότερο ἀπὸ ὅ,τι πρέπει, καὶ σὲ παρασύρει τὸ πλῆθος τῶν εὐεργεσιῶν της σὲ ἀσέβεια, σοῦ δείχνει, προτοῦ αὐτὴ τελειοποιηθεῖ, ὅτι ἦταν ἀμορφωποίητη καὶ ἀσχημάτιστη, ὥστε, βλέποντας τὴν ἀδυναμία της, νὰ θαυμάσεις αὐτὸν ποὺ τὴ δημιούργησε καὶ τοποθέτησε μέσα της ὅλη αὐτὴ τὴ δύναμη· γιὰ νὰ δοξάσεις αὐτὸν ποὺ ἔχει κατασκευάσει τὰ τόσα πολλὰ αὐτὰ πράγματα γιὰ τὴ δική μας ἄνεση. Δοξάζεται δὲ ὁ Θεὸς ὄχι μόνο μὲ τὰ ὀρθὰ δόγματα, ἀλλὰ καὶ μὲ τὸν ἄριστο τρόπο ζωῆς. Διότι λέγει, «Ἂς λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν Πατέρα σας τὸν οὐράνιο».

4. Θὰ ἤθελα νὰ προσθέσω τοὺς λόγους περὶ ἐλεημοσύνης, ἀλλὰ μοῦ φαίνεται ὅτι εἶναι περιττὸ νὰ σᾶς διδάσκω μὲ τὸ λόγο, τὴ στιγμὴ ποὺ ἀνάμεσά μας βρίσκεται αὐτὸς ποὺ μπορεῖ νὰ μᾶς διδάξει μὲ τὰ ἔργα του, ὁ κοινὸς πατέρας μας καὶ διδάσκαλος, ὁ ὁποῖος τὴν πατρικὴ οἰκία του, σὰν νὰ τὴ δέχθηκε ἀπὸ τοὺς προγόνους του γι' αὐτὸ τὸ σκοπό, γιὰ νὰ τὴν προσφέρει στὴν ἐξυπηρέτηση τῶν ξένων, ἔτσι ἀκριβῶς παρέδωσε αὐτὴν γιὰ πάντα σ' ἐκείνους ποὺ καταδιώκονται γιὰ χάρη τῆς ἀλήθειας, καὶ ὑποδέχεται αὐτοὺς καὶ ἐξυπηρετεῖ μὲ κάθε τρόπο τὶς ἀνάγκες αὐτῶν, ὥστε δὲν γνωρίζω ἂν πρέπει νὰ ὀνομάζω τὴν οἰκία αὐτοῦ δική του μᾶλλον, ἢ τῶν ξένων· μᾶλλον δὲ γι' αὐτὸ θεωρῶ ὅτι αὐτὴ εἶναι δική του, ἐπειδὴ εἶναι τῶν ξένων. Καθόσον τὰ κτήματά μας τότε γίνονται πρὸ πάντων δικά μας, ὅταν δὲν τὰ ἔχομε γιὰ ἐμᾶς τοὺς ἴδιους, ἀλλὰ βρίσκονται συνέχεια στὴν ὑπηρεσία τῶν φτωχῶν. Καὶ πῶς, ἐγὼ θὰ σᾶς τὸ πῶ. Ἂν ἀποθέσεις τὰ χρήματά σου στὸ χέρι τοῦ φτωχοῦ, δὲν σοῦ ἐ-

πένητος ἀποθῇς τὸ ἀργύριον, οὐ συκοφάντης ἐπιτίθεται, οὐ βάσκανος ὀφθαλμὸς ὁρᾷ, οὐ λῃστὴς ὑφαιρεῖται, οὐ τοιχωρύχος διορύξας, οὐκ οἰκέτης ἀφελόμενος ἀποδιδράσκει· καὶ γάρ ἐστιν ἄσυλον ἐκεῖνο τὸ ταμιεῖον. Ἂν δὲ οἴκοι κατορύξῃς, καὶ λῃστῇ καὶ τοιχωρύχῳ καὶ βασκάνῳ καὶ συκοφάντῃ καὶ οἰκέτῃ καὶ πάσῃ βλάβῃ ποιεῖς ὑπεύθυνον τὸ χρυσίον. Πολλάκις γοῦν μετὰ θύρας μυρίας καὶ μοχλοὺς τὰς μὲν ἔξωθεν ἐπηρείας διέφυγε, τοὺς δὲ φύλακας οὐ διέφυγεν, ἀλλ' οἱ τηροῦντες αὐτὸ λαβόντες ἀπέδρασαν.

Ὁρᾷς ὅτι τότε μᾶλλον κύριοι τῶν κτημάτων ἐσμέν, ὅταν τοῖς πένησιν αὐτὰ παρακαταθώμεθα; Οὐ φυλακῆς δὲ ἕνεκα μόνον ἐκεῖνο ἀσφαλέστερον τὸ χωρίον, ἀλλὰ καὶ κέρδους καὶ προσόδου πλείονός ἐστιν ὑπόθεσις. Ἂν μὲν γὰρ ἀνθρώπῳ δανείσῃς, ἑκατοστὴν ἔλαβες, ἂν δὲ Θεῷ δανείσῃς διὰ τοῦ πένητος, οὐχ ἑκατοστήν, ἀλλ' ἑκατονταπλασίονα λήψῃ. Κἂν μὲν σπείρῃς εὔφορον ἄρουραν, ὅταν πολλὴν ἐνέγκῃ τὴν φοράν, δεκαπλασίονα οἴσῃ τὰ σπέρματα, ἂν δὲ εἰς τὸν οὐρανὸν σπείρῃς, μετὰ τὸ γενέσθαι ἑκατονταπλασίονα, καὶ ζωὴν αἰώνιον καὶ ἀγήρω καὶ ἀθάνατον ἀπολήψῃ. Καὶ ἐνταῦθα μὲν πολὺς ὁ πόνος τοῖς τὰ σπέρματα καταβάλλουσιν, ἐκεῖ δὲ χωρὶς ἀρότρου καὶ βοῶν καὶ γηπόνων καὶ τῆς ἄλλης ταλαιπωρίας ἁπάσης ἡ τῶν καταβληθέντων φορὰ φύεται, καὶ οὐκ αὐχμόν, οὐκ ἐπομβρίας, οὐκ ἐρυσίβην, οὐ χάλαζαν, οὐκ ἀκρίδος στρατόπεδον, οὐ ποταμῶν ἐπικλύσεις, οὐκ ἄλλο τι οὐδὲν ἐκεῖ σπείροντάς ἐστι φοβηθῆναί ποτε, ἀλλὰ πάσης ἀνωτέρω βλάβης ἕστηκε τὰ ἐκεῖ καταβαλλόμενα σπέρματα. Ὅταν οὖν μήτε πόνος, μήτε κίνδυνος, μήτε ὑποψία, μήτε ἀποτυχία τις ᾖ, καὶ πολλῷ πλείονα τῶν καταβαλλομένων γένηται τὰ φυόμενα, καὶ τοσαῦτα βλαστάνῃ ἀγαθά, «Ὅσα οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤ-

---

15. Ἐρυσίβη. ἀσθένεια τῶν φυτῶν, ἰδίως τῶν σιτηρῶν, ἡ λεγόμενη καπνιά.

πιτίθεται συκοφάντης, δὲν σὲ βλέπει φθονερὸ μάτι, δὲν σοῦ τὰ ἀφαιρεῖ ληστής, δὲν κάμνει διάρρηξη ὁ διαρρήκτης γιὰ νὰ σοῦ τὰ ἁρπάξει, δὲν σοῦ τὰ ἀφαιρεῖ ὁ δοῦλος καὶ τρέπεται σὲ φυγή· καθόσον τὸ ταμεῖο ἐκεῖνο εἶναι ἄσυλο. Ἂν ὅμως τὰ κρύψεις στὸ σπίτι σου, τότε ἀφήνεις τὰ χρήματά σου στὴν διάθεση καὶ τοῦ ληστῆ καὶ τοῦ διαρρήκτη καὶ τοῦ φθονεροῦ καὶ τοῦ συκοφάντη καὶ τοῦ δούλου καὶ εἶναι ἐκτεθειμένα σ' ὁποιαδήποτε ζημία. Πολλὲς φορὲς λοιπόν, ἐνῶ εἶναι ἀσφαλισμένα μὲ ἄπειρες θύρες καὶ μοχλούς, καὶ διέφυγαν τὶς ἐξωτερικὲς βλάβες, δὲν διέφυγαν ὅμως τοὺς φύλακες, ἀλλ', ἀφοῦ τὰ ἔλαβαν ἐκεῖνοι ποὺ τὰ φύλασσαν, τράπηκαν σὲ φυγή.

Βλέπεις ὅτι τότε περισσότερο εἴμαστε κύριοι τῶν κτημάτων μας, ὅταν τὰ παραδίνομε στοὺς φτωχούς; Ὁ τόπος ἐκεῖνος δὲν εἶναι μόνο ἀσφαλέστερος ὡς πρὸς τὴν φύλαξη, ἀλλὰ γίνεται αἰτία καὶ μεγαλύτερου κέρδους καὶ ὠφέλειας. Διότι, ἂν μὲν τὰ δανείσεις σὲ ἄνθρωπο, ἔλαβες σὰν κέρδος τὸ ἕνα ἑκατοστό, ἂν ὅμως τὰ δανείσεις στὸ Θεὸ μέσω τοῦ φτωχοῦ, θὰ λάβεις σὰν κέρδος ὄχι τὸ ἕνα ἑκατοστό, ἀλλὰ ἑκατονταπλάσια. Καὶ ἂν μὲν σπείρεις εὔφορο χωράφι, ὅταν σοῦ παράγει μεγάλη καρποφορία, θὰ σοῦ προσφέρει δεκαπλάσιους καρπούς, ἂν ὅμως σπείρεις στὸν οὐρανό, ἐκτὸς ἀπὸ τὸ ὅτι θὰ γίνουν ἑκατονταπλάσια, θὰ λάβεις καὶ ζωὴ αἰώνια καὶ ἄφθαρτη καὶ ἀθάνατη. Καὶ ἐδῶ μὲν εἶναι μεγάλος ὁ κόπος ἐκείνων ποὺ σπέρνουν τὰ σπέρματα, ἐνῶ ἐκεῖ φυτρώνουν ἐκεῖνα ποὺ σπάρθηκαν χωρὶς ἄροτρο καὶ βόδια καὶ γεωργοὺς καὶ ὅλη τὴν ἄλλη ταλαιπωρία· καὶ δὲν εἶναι δυνατὸ ἂν σπείρουμε ἐκεῖ νὰ φοβηθοῦμε οὔτε τὴν ξηρασία, οὔτε τὴν πτώση ὑπερβολικῆς βροχῆς, οὔτε τὴν ἐρυσίβη[15], οὔτε τὸ χαλάζι, οὔτε τὸ στρατόπεδο τῶν ἀκρίδων, οὔτε τὶς πλημμύρες τῶν ποταμῶν, οὔτε τίποτε ἄλλο, ἀλλὰ βρίσκονται ἐπάνω ἀπὸ ὁποιαδήποτε βλάβη τὰ σπέρματα ποὺ σπέρνονται ἐκεῖ. Ὅταν λοιπὸν οὔτε κόπος ὑπάρχει, οὔτε κίνδυνος, οὔτε ὑποψία, οὔτε κάποια ἀποτυχία, καὶ γίνονται τὰ ὅσα φυτρώνουν πολὺ περισσότερα ἀπὸ ἐκεῖνα ποὺ σπέρνονται, καὶ βλαστάνουν τόσα πολλὰ ἀγαθά, «Ὅσα οὔτε ἀνθρώπινο

κουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη», πῶς οὐκ ἂν εἴη ρᾳθυμίας ἐσχάτης, τὸ πλέον ἀφέντας τὸ ἔλαττον διώκειν, καὶ τὸ ἀσφαλὲς καταλιπόντας, τὸ ἄπιστον καὶ κινδύνων γέμον καὶ πολλὰς ἔχον ἀποτυχίας μετιέναι; Τίς γὰρ ἡμῖν ἔσται συγγνώμη τοῦτο ποιοῦσι, ποία δὲ ἀπολογία; Πενίαν προβαλλόμεθα πάντως· ἀλλ' οὐκ ἐσμὲν τῆς χήρας ἐκείνης πενέστεροι, ἣ δύο λεπτὰ ἔχουσα μόνα, καὶ ταῦτα κατεβάλετο.

Ζηλώσωμεν τοίνυν ἐκείνης τὸν πλοῦτον, μιμησώμεθα τῆς προαιρέσεως τὴν μεγαλοψυχίαν, ἵνα καὶ τῶν ἐκείνῃ ἀποκειμένων ἀγαθῶν ἐπιτύχωμεν· ὧν γένοιτο πάντας ἡμᾶς καταξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

16. Α' Κορ. 2, 9.
17. Λουκᾶ 21, 1-4.

μάτι εἶδε, οὔτε αὐτὶ ἄκουσε, οὔτε ἀνθρώπινος νοῦς φαντάσθηκε»[16], πῶς δὲν θὰ ἦταν δεῖγμα τῆς χειρότερης ἀδιαφορίας, τὸ νὰ ἐπιδιώκουμε τὸ λιγότερο, ἀφήνοντας τὸ περισσότερο, καὶ ἐγκαταλείποντας τὸ ἀσφαλές, νὰ ἐπιζητοῦμε τὸ ἄστατο, τὸ γεμάτο κινδύνους καὶ ποὺ περιέχει πολλὲς ἀποτυχίες; Διότι ποιὰ συγγνώμη θὰ ὑπάρξει γιὰ μᾶς ποὺ κάμνουμε αὐτό, ποιὰ δὲ ἀπολογία; Ὁπωσδήποτε βέβαια προβάλλομε σὰν δικαιολογία τὴ φτώχεια· ἀλλ' ὅμως δὲν εἴμαστε φτωχότεροι ἀπὸ τὴ χήρα ἐκείνη[17], ποὺ εἶχε δυὸ μόνο λεπτὰ καὶ πρόσφερε αὐτά.

Ἂς δείξουμε λοιπὸν ζῆλο γιὰ τὸν πλοῦτο ἐκείνης, ἂς μιμηθοῦμε τὴ μεγαλοψυχία τῆς προαιρέσεώς της, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ ἀγαθὰ ποὺ ἐπιφυλάσσονται γιὰ ἐκείνη, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἀξιωθοῦμε νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Β'.

Τί δήποτε ἐπὶ μὲν ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ καὶ τῶν ἄλλων εἶπε, «Γεννηθήτω», ἐπὶ δὲ τοῦ ἀνθρώπου, «Ποιήσωμεν»; καὶ τί ποτέ ἐστι τό, «Κατ' εἰκόνα».

1. Ἆρα μέμνησθε τῶν ζητημάτων τῶν πρῴην προτεθέντων ὑμῖν; Εἰς τοσοῦτον γὰρ ἡμᾶς ἀπονοίας καὶ τόλμης ἐπήρατε, ὡς καὶ ζητημάτων ἤδη κατατολμᾷν· μᾶλλον δὲ οὐκ ἂν εἴη τόλμης, οὐδὲ ἀπονοίας τοῦτο. Οὐ γὰρ οἰκείᾳ δυνάμει θαρρήσαντες, ἀλλὰ ταῖς εὐχαῖς τῶν προέδρων καὶ ταῖς ὑμετέραις τὸ πᾶν ἐπιρρίψαντες ἀπεδυσάμεθα πρὸς τὸ στάδιον. Εὐχὴ δὲ Ἐκκλησίας τοσοῦτον δύναται, ὡς, εἰ καὶ λίθων ἤμεν ἀφωνότεροι, πτεροῦ παντὸς κουφοτέραν ἡμῖν τὴν γλῶτταν ἐργάσασθαι. Ὥσπερ γὰρ ζέφυρος εἰς μέσα τῆς νηὸς ἐμπεσὼν τὰ ἱστία, βέλους ὀξύτερον παραπέμπει τὸ σκάφος, οὕτω καὶ Ἐκκλησίας εὐχὴ εἰς τὴν τοῦ λέγοντος ἐμπεσοῦσα γλῶτταν, ζεφύρου σφοδρότερον παραπέμπει τὸν λόγον. Διὸ καὶ ἡμεῖς καθ' ἑκάστην ἡμέραν θαρροῦντες ἀποδυόμεθα. Εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων δέκα τις μόνον, ἢ εἴκοσι ἔχων ἐραστὰς ἐν δήμῳ τοσούτῳ, μετὰ προθυμίας εἰς τὸν ἀγῶνα κάτεισι, πολλῷ μᾶλλον ἡμεῖς, ὅπου οὐ δέκα, οὐδὲ εἴκοσι μόνον, ἀλλ' ἅπαν ἡμῖν τὸ θέατρον ἐξ ἀδελφῶν καὶ πατέρων σύγκειται, θαρροῦντες τοῦτο ποιήσομεν. Καίτοι γε ἐπὶ τῶν ἔξωθεν ἀγώνων οὐδὲν ἂν μέγα καρπώσαιτο ὁ ἀγωνιστὴς

---

1. Γέν. 1, 3· 6· 14.
2. Γέν. 1, 26.
3. Γέν. 1, 26.
4. Ζέφυρος· δυτικὸς ἢ βορειοδυτικὸς ἄνεμος.

ΛΟΓΟΣ Β΄.

Γιατί τέλος πάντων γιὰ μὲν τὸν ἥλιο, τὴ σελήνη, τὸν οὐρανὸ καὶ τὰ ἄλλα εἶπε, «Γενηθήτω»[1], γιὰ δὲ τὸν ἄνθρωπο, «Ποιήσωμεν»[2]; Καὶ τί τέλος πάντων σημαίνει τό, «Κατ' εἰκόνα»[3].

1. Ἄραγε θυμᾶσθε τὰ θέματα γιὰ τὰ ὁποῖα σᾶς μίλησα προηγουμένως; Διότι σὲ τόσο μέγεθος ἀνοησίας καὶ τόλμης μὲ ὁδηγήσατε, ὥστε νὰ ἐπιχειρῶ ἤδη νὰ ἐρευνῶ καὶ διάφορα θέματα· μᾶλλον δὲ αὐτὸ δὲν θὰ μποροῦσε νὰ εἶναι δεῖγμα τόλμης, οὔτε καὶ ἀνοησίας. Διότι δὲν ἔλαβα τὸ θάρρος ἀπὸ τὴ δική μου δύναμη, ἀλλ' ἀνέλαβα αὐτὸν τὸν ἀγώνα, στηρίζοντας τὸ πᾶν στὶς εὐχὲς τῶν ἐπισκόπων καὶ στὶς δικές σας. Τόσο μεγάλη δύναμη δὲ ἔχει ἡ εὐχὴ τῆς Ἐκκλησίας, ὥστε, καὶ ἂν ἀκόμα ἤμασταν ἀφωνότεροι καὶ ἀπὸ τοὺς λίθους, θὰ μποροῦσε αὐτὴ νὰ καταστήσει τὴ γλῶσσα μας ἐλαφρότερη ἀπὸ ὁποιοδήποτε φτερό. Διότι ὅπως ἀκριβῶς ὁ ζέφυρος[4], ὅταν πέσει μὲ ὁρμὴ ἐπάνω στὰ πανιὰ τοῦ πλοίου, κινεῖ τὸ σκάφος ταχύτερα καὶ ἀπὸ τὸ βέλος, ἔτσι καὶ ἡ εὐχὴ τῆς Ἐκκλησίας, ὅταν πέσει στὴ γλῶσσα ἐκείνου ποὺ ὁμιλεῖ, κινεῖ τὸ λόγο ταχύτερα καὶ ἀπὸ τὸ ζέφυρο. Γι' αὐτὸ καὶ ἐγὼ καθημερινὰ μὲ μεγάλο κουράγιο ἀρχίζω τὸν ἀγώνα. Διότι ἐὰν στοὺς ἐκτὸς τῆς Ἐκκλησίας ἀγῶνες, ἔχοντας κανεὶς μόνο δέκα ἢ εἴκοσι θαυμαστὲς ἀνάμεσα σὲ τόσο πολὺ πλῆθος, μὲ προθυμία κατέρχεται στὸν ἀγώνα, πολὺ περισσότερο ἐγὼ θὰ κάνω αὐτὸ μὲ θάρρος, καθόσον δὲν εἶναι μόνο δέκα, οὔτε εἴκοσι, ἀλλ' ὁλόκληρο τὸ ἀκροατήριο ἀποτελεῖται ἀπὸ ἀδελφοὺς καὶ πατέρες. Ἂν καὶ βέβαια στοὺς ἐκτὸς τῆς Ἐκκλησίας ἀγῶνες τίποτε τὸ σπουδαῖο δὲν θὰ μποροῦσε νὰ καρπωθεῖ ὁ ἀγωνιστὴς ἀπὸ τὸ θεατή, παρὰ μόνο, καθισμέ-

παρὰ τοῦ θεατοῦ, ἀλλ᾿ ἢ ὅσον βοῆσαι ἐκεῖνον, καὶ θαυμάσαι τὰ γεγενημένα, καὶ φιλονεικῆσαι τοῖς ἀντιλέγουσιν ἄνω καθήμενον· καταβῆναι δὲ εἰς τὸ στάδιον, καὶ χεῖρα ὀρέξαι, καὶ ἑλκύσαι πόδα τοῦ ἀνταγωνιζομένου, ἢ ἄλλο τι τοιοῦτον ἐπιδείξασθαι, τούτοις οὐ θέμις. Οἱ γὰρ τοὺς ἀγῶνας ἐκείνους ἐξ ἀρχῆς διαταξάμενοι, σκόλοπας πήξαντες ὀξεῖς, καὶ σχοινία κύκλῳ περιβαλόντες, οὕτω τῶν θεατῶν τὴν μανίαν εἴργουσι. Καὶ τί θαυμαστόν, εἰ θεατῇ καταβῆναι οὐ θέμις, ὅπου γε καὶ τὸν παιδοτρίβην ἔξω παρὰ τὴν κόνιν καθίσαντες, πόρρωθεν τὴν ἀπὸ τῆς διδασκαλίας συμμαχίαν εἰσάγειν τοῖς ἀγωνιζομένοις κελεύουσι, πλησίον δὲ οὐκ ἐῶσιν ἐλθεῖν;

᾿Αλλ᾿ οὐκ ἐνταῦθα οὕτως, ἀλλὰ καὶ διδασκάλῳ καὶ θεατῇ καταβῆναι πρὸς ἡμᾶς ἔνι, καὶ ἐγγὺς στῆναι τῇ διαθέσει, καὶ διὰ τῶν εὐχῶν ἡμῖν συγκροτῆσαι τὴν δύναμιν. Δεῦρο γοῦν κατ᾿ αὐτοὺς ἐκείνους τοὺς ἀθλητὰς τῶν παλαισμάτων ἁψώμεθα. Καὶ γὰρ ἐπειδὰν ἐκεῖνοι μέσους ἑαυτοὺς κατασχόντες, ὑπὸ τῆς βίας τῶν ἁμμάτων πρὸς τὸ ἔξωθεν αὐτοὺς περιεστῶτα ἐξακοντισθῶσιν ὄχλον διὰ τὴν τοῦ τόπου στενοχωρίαν, λύσαντες τὰ ἅμματα, πρὸς τὸν τῆς ἀγωνίας πάλιν ἐπανέρχονται τόπον· εἶτα ἐπανελθόντες οὐκ ὀρθοὶ συμπλέκονται πάλιν, ἀλλ᾿ ἐν ἐκείνῳ τῷ τρόπῳ τῶν δεσμῶν ἑαυτοὺς καταστήσαντες, ἐν ᾧ καὶ ὄντες διελύθησαν. ᾿Επεὶ οὖν καὶ ἡμᾶς ἡ τόπου στενοχωρία καταλῦσαι τὸν λόγον ἠνάγκασε, φέρε πρὸς τὸν τόπον τῆς ἀγωνίας ἐπανελθόντες, τὰ ἅμματα λύσωμεν ἀπὸ τῶν τήμερον ἀναγνωσθέντων ἡμῖν.

«Καὶ εἶπεν ὁ Θεός», φησί, «ποιήσωμεν ἄνθρωπον κατ᾿ εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν». ῞Εν πρῶτον τοῦτο ἄξιον ζητῆσαι, τί δήποτε, ὅτε μὲν ὁ οὐρανὸς ἐγίνετο, οὐδαμοῦ τό, «Ποιήσωμεν», εἴρηται, ἀλλά, «Γενηθήτω οὐρανός», «Γενη-

νος ἐκεῖνος ἐπάνω στὴν ἐξέδρα, τὸ νὰ χειροκροτήσει, νὰ θαυμάσει τὰ ὅσα συμβαίνουν ἐκεῖ καὶ νὰ φιλονεικήσει μὲ ἐκείνους ποὺ προβάλλουν ἀντιρρήσεις· τὸ νὰ κατεβεῖ ὅμως στὸ στάδιο τοῦ ἀγώνα καὶ νὰ προσφέρει τὴ βοήθειά του καὶ νὰ τραβήξει τὸ πόδι τοῦ ἀνταγωνιστῆ, ἢ νὰ κάνει κάτι ἄλλο παρόμοιο, δὲν ἐπιτρέπεται σ' αὐτούς. Διότι ἐκεῖνοι ποὺ ὅρισαν ἀπὸ τὴν ἀρχὴ τοὺς ἀγῶνες αὐτούς, ἀφοῦ ἔφτιαξαν μυτεροὺς πασσάλους καὶ περιέβαλαν κυκλικὰ τὸ μέρος μὲ σχοινιά, ἐμποδίζουν μὲ τὸν τρόπο αὐτὸ τὴ μανία τῶν θεατῶν. Καὶ τί τὸ ἄξιο θαυμασμοῦ, ἂν δὲν ἐπιτρέπεται στὸ θεατὴ νὰ κατεβεῖ στὸ στάδιο, τὴ στιγμὴ βέβαια ποὺ καὶ τὸν γυμναστή, τοποθετώντας τον ἔξω ἀπὸ τὸ στάδιο κοντὰ στὴν παλαίστρα, ἐπιτρέπουν σ' αὐτὸν νὰ προσφέρει στοὺς ἀγωνιζόμενους τὴ βοήθεια τῆς διδασκαλίας του ἀπὸ μακριά, μὴ ἀφήνοντάς τον δὲ νὰ πλησιάσει αὐτούς;

Ὅμως δὲν συμβαίνει τὸ ἴδιο ἐδῶ, ἀλλ' εἶναι δυνατὸ καὶ στὸ δάσκαλο καὶ στὸ θεατὴ νὰ μᾶς πλησιάσουν καὶ νὰ σταθοῦν κοντά μας μὲ τὴ διάθεση καὶ νὰ ἐνισχύσουν τὴ δύναμή μας μὲ τὶς εὐχές τους. Ἐμπρὸς λοιπὸν ἂς ἀρχίσουμε τὸν ἀγώνα μας σύμφωνα μὲ ἐκείνους τοὺς ἀθλητὲς ἀγωνισμάτων. Καθόσον ἐκεῖνοι ὅταν, καθὼς εἶναι πιασμένοι μὲ τὰ χέρια γύρω ἀπὸ τὴ μέση, ἐξακοντισθοῦν, ἐξ αἰτίας τῆς βίας τῶν χειρολαβῶν καὶ τῆς στενότητας τοῦ τόπου, πρὸς τὸ παρευρισκόμενο πλῆθος, ἀφοῦ λύσουν τὶς λαβές, ἔρχονται πάλι στὸν τόπο τοῦ ἀγώνα· ἔπειτα, ἀφοῦ ἐπανέλθουν, δὲν συμπλέκονται ὄρθιοι πάλι, ἀλλὰ λαμβάνουν τὴ στάση ἐκείνη ποὺ εἶχαν ὅταν ἦταν πιασμένοι καὶ ἀπὸ τὴν ὁποία ἀποδεσμεύθηκαν. Ἐπειδὴ λοιπὸν καὶ ἐμᾶς μᾶς ἀνάγκασε ἡ στενότητα τοῦ τόπου νὰ σταματήσουμε τὸ λόγο, ἐμπρὸς ἂς ἐπιστρέψουμε στὸν τόπο τοῦ ἀγώνα καὶ ἂς λύσομε τὶς ἀπορίες τῶν ὅσων ἀναγνώσθηκαν σήμερα.

«Καὶ εἶπε ὁ Θεός», λέγει, «ἂς δημιουργήσουμε ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα καὶ ὁμοίωση». Ἐκεῖνο ποὺ πρέπει πρῶτα νὰ ἐξετάσομε εἶναι τὸ ἑξῆς, γιατί δηλαδὴ τέλος πάντων, ὅταν μὲν δημιουργοῦνταν ὁ οὐρανός, πουθενὰ δὲν ἔχει λεχθεῖ τό, «Ἂς δημιουργήσουμε», ἀλλὰ λέχθηκε, «Ἂς γίνει ὁ

θήτω φῶς», καὶ καθ' ἕκαστον τῆς κτίσεως μέρος οὕτως, ἐνταῦθα δὲ τό, «Ποιήσωμεν», πρόσκειται μόνον, βουλὴ καὶ σκέψις καὶ πρὸς ἕτερόν τινα ὁμότιμον ἀνακοίνωσις; Τίς ποτε ἄρα ἐστὶν ὁ δημιουργεῖσθαι μέλλων, ὅτι τοσαύτης ἀπολαύει τιμῆς; Ἄνθρωπός ἐστι, τὸ μέγα ζῶον καὶ θαυμαστόν, καὶ τῆς κτίσεως ἁπάσης τῷ Θεῷ τιμιώτερον, δι' ὃν οὐρανὸς καὶ γῆ καὶ θάλαττα καὶ τὸ λοιπὸν ἅπαν τῆς κτίσεως σῶμα· ἄνθρωπος, οὗ τῆς σωτηρίας οὕτως ὁ Θεὸς ἠράσθη, ὡς μηδὲ τοῦ Μονογενοῦς φείσασθαι δι' αὐτόν· οὐ γὰρ ἀπέστη πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως αὐτὸν ἀναγαγὼν ἐκάθισεν ἐν δεξιᾷ ἑαυτοῦ. Καὶ βοᾷ Παῦλος λέγων· «Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ ἑαυτοῦ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ». Διὰ τοῦτο βουλὴ καὶ σκέψις καὶ ἀνοκοίνωσις, οὐκ ἐπειδὴ ὁ Θεὸς βουλῆς δεῖται, μὴ γένοιτο, ἀλλὰ τῷ σχήματι τῶν ρημάτων τὴν εἰς τὸν γενόμενον ἡμῖν ἐνδείκνυται τιμήν.

Καὶ πῶς, φησίν, εἰ τοῦ κόσμου τιμιώτερός ἐστι παντός, ὕστερον τοῦ κόσμου παράγεται; Δι' αὐτὸ τοῦτο, ἐπειδὴ τοῦ κόσμου τιμιώτερος ἐστιν. Ὥσπερ γὰρ βασιλέως εἴς τινα πόλιν ἐλαύνειν μέλλοντος, στρατηγοὶ καὶ ὕπαρχοι καὶ δορυφόροι καὶ πάντες οἱ δοῦλοι προφθάνουσιν, ἵνα τὰ βασίλεια παρασκευάσαντες, καὶ πᾶσαν τὴν ἄλλην εὐτρεπίσαντες θεραπείαν, μετὰ πολλῆς τῆς τιμῆς ὑποδέξωνται τὸν βασιλέα, οὕτω δὴ καὶ ἐνταῦθα, καθάπερ βασιλέως εἰσάγεσθαι μέλλοντος, προέφθασεν ὁ ἥλιος, προέδραμεν ὁ οὐρανός, προεισῆλθε τὸ φῶς, ἅπαντα γέγονε καὶ εὐτρεπίσθη, καὶ τότε ὁ ἄνθρωπος μετὰ πολλῆς ὕστερον εἰσάγεται τῆς τιμῆς. «Ποιή-

---

5. Γέν. 1, 6. 6. Γέν. 1, 3. 7. Ἐφ. 2, 6.

οὐρανός»[5], «Ἂς γίνει τὸ φῶς»[6], καὶ τὸ ἴδιο λέχθηκε γιὰ τὸ κάθε ἐπὶ μέρους δημιούργημα τῆς κτίσεως, ἐνῶ ἐδῶ μόνο ἀναφέρεται τὸ «Ἂς δημιουργήσουμε», σὰν θέληση καὶ σκέψη καὶ ἀνακοίνωση πρὸς κάποιον ἄλλο ποὺ ἔχει τὴν ἴδια τιμή; Ποῖος τέλος πάντων ἄραγε εἶναι ἐκεῖνος ποὺ πρόκειται νὰ δημιουργηθεῖ καὶ ἀπολαμβάνει τόση μεγάλη τιμή; Ὁ ἄνθρωπος εἶναι, τὸ σπουδαῖο καὶ ἀξιοθαύμαστο αὐτὸ ζῶο, καὶ ποὺ εἶναι γιὰ τὸ Θεὸ τιμιότερο ἀπὸ ὅλα τὰ δημιουργήματα τῆς κτίσεως, γιὰ τὸν ὁποῖο ἔγινε ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἡ θάλασσα καὶ ὅλα γενικὰ τὰ ἄλλα δημιουργήματα τῆς κτίσεως· εἶναι ὁ ἄνθρωπος, γιὰ τὴ σωτηρία τοῦ ὁποίου ὁ Θεὸς ἔδειξε τόσο μεγάλη ἀγάπη, ὥστε γι' αὐτὸν νὰ μὴ λυπηθεῖ οὔτε τὸν Μονογενὴ Υἱό του· διότι δὲν σταμάτησε νὰ κάμνει τὰ πάντα καὶ νὰ φροντίζει, μέχρις ὅτου ἀνύψωσε αὐτὸν καὶ τὸν ἔβαλε νὰ καθίσει στὰ δεξιά του. Καὶ βροντοφωνάζει ὁ Παῦλος λέγοντας· «Μᾶς ἀνέστησε καὶ μᾶς ἔβαλε νὰ καθίσουμε μαζί του στὰ δεξιά του ἐπάνω στὸν οὐρανὸ μαζὶ μὲ τὸν Ἰησοῦ Χριστό»[7]. Γι' αὐτὸ λαμβάνει χώρα θέληση καὶ σκέψη καὶ ἀνακοίνωση, ὄχι ἐπειδὴ ὁ Θεὸς ἔχει ἀνάγκη ἀπὸ θέληση καὶ σκέψη, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλὰ μὲ τὴ χρησιμοποίηση αὐτῶν τῶν λέξεων μᾶς παρουσιάζει τὴν τιμὴ ποὺ ἀποδίδεται σ' αὐτὸν ποὺ δημιουργήθηκε.

Καὶ πῶς, λέγει, ἂν εἶναι τιμιότερος ἀπὸ ὅλο τὸν κόσμο, δημιουργεῖται μετὰ ἀπὸ τὸν κόσμο; Ἀκριβῶς γι' αὐτό, ἐπειδὴ εἶναι τιμιότερος ἀπὸ τὸν κόσμο. Διότι ὅπως ἀκριβῶς ὁ βασιλιάς, ὅταν πρόκειται νὰ μεταβεῖ σὲ κάποια πόλη, καταφθάνουν ἐκεῖ πρὶν ἀπὸ αὐτὸν στρατηγοὶ καὶ ὕπαρχοι καὶ σωματοφύλακες καὶ ὅλοι οἱ δοῦλοι γιὰ νὰ προετοιμάσουν τὴν κατοικία τοῦ βασιλιᾶ, καί, ἀφοῦ ἑτοιμάσουν ὅλα τὰ ἄλλα τὰ σχετικὰ μὲ τὴν ὑποδοχὴ καὶ περιποίηση αὐτοῦ, νὰ ὑποδεχθοῦν τὸν βασιλιὰ μὲ μεγάλη τιμή, ἔτσι λοιπὸν καὶ ἐδῶ σὰν νὰ ἐπρόκειτο νὰ εἰσέλθει βασιλιάς, πρόφθασε ὁ ἥλιος, ἔτρεξε πρὶν ἀπ' αὐτὸν ὁ οὐρανός, δημιουργήθηκε πρὶν ἀπὸ αὐτὸν τὸ φῶς, ὅλα γενικὰ ἔγιναν καὶ ἑτοιμάσθηκαν, καὶ τότε πλέον ὁδηγεῖται μέσα στὸν κόσμο ὁ ἄνθρωπος μὲ μεγάλη τιμή. «Ἂς δημιουργήσουμε ἄνθρωπο

σωμεν ἄνθρωπον κατ' εἰκόνα». 'Ακουέτω ὁ 'Ιουδαῖος. Πρὸς τίνα φησὶν ὁ Θεός, «Ποιήσωμεν»; Μωϋσέως ἐστὶ τὰ γράμματα, Μωϋσέως, ᾧ πιστεύειν ψευδόμενοί φασι. Καὶ ὅτι ψεύδονται καὶ οὐ πιστεύουσιν, ἄκουε τοῦ Χριστοῦ διελέγχοντος αὐτοὺς καὶ λέγοντος· «Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί». Νῦν δὲ παρ' ἐκείνοις μὲν τὰ βιβλία, παρ' ἡμῖν δὲ τῶν βιβλίων ὁ θησαυρός; παρ' ἐκείνοις τὰ γράμματα, παρ' ἡμῖν καὶ τὰ γράμματα καὶ τὰ νοήματα.

Πρὸς τίνα οὖν, εἰπέ, λέγει, «Ποιήσωμεν ἄνθρωπον»; Πρὸς ἄγγελον, φησίν, ἢ πρὸς ἀρχάγγελον ἁπλῶς φθέγγεται. Καθάπερ γὰρ οἱ μαστιγίαι τῶν οἰκετῶν παρὰ τῶν δεσποτῶν ἐγκαλούμενοι, καὶ ἐξ εὐθείας οὐκ ἔχοντες ἀποκρίνασθαι, τὸ ἐπελθὸν ἅπαν προσφέρουσιν, οὕτω δὴ καὶ ὑμεῖς, πρὸς ἄγγελόν φατε, καὶ ἀρχάγγελον εἶπε. Ποῖον ἄγγελον; ποῖον ἀρχάγγελον; Οὐ γὰρ ἀγγέλων ἐστὶ τὸ δημιουργεῖν, οὐδὲ ἀρχαγγέλων τὸ ἐργάζεσθαι ταῦτα. Τίνος δὲ ἕνεκεν, ὅτε μὲν τὸν οὐρανὸν ἐποίησεν, οὐκ εἶπεν ἀγγέλῳ καὶ ἀρχαγγέλῳ, ἀλλὰ δι' ἑαυτοῦ παρήγαγεν, ὅτε δὲ τὸ τιμιώτερον οὐρανοῦ καὶ παντὸς κόσμου παρήγαγε ζῶον, τὸν ἄνθρωπον, τότε τοὺς δούλους κοινωνοὺς λαμβάνει τῆς δημιουργίας;

2. Οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· ἀγγέλων γὰρ τὸ παρεστάναι, οὐ τὸ δημιουργεῖν· ἀρχαγγέλων τὸ λειτουργεῖν, οὐχὶ τὸ γνώμης κοινωνεῖν καὶ βουλῆς. Ἄκουσον τί φησιν 'Ησαΐας περὶ τῶν Σεραφὶμ δυνάμεων, τῶν ἀνωτέρω τῶν ἀρχαγγέλων· «Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ Σεραφὶμ παρειστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν», ἀποτειχίζουσαι δηλονότι τὰς ὄψεις, διὰ τὸ μὴ δύνασθαι τὴν ἐκ τοῦ θρόνου φερομένην ἀστραπὴν ὑποδέξασθαι. Τί λέγεις;

---

8. 'Ιω. 5, 46. 9. 'Ησ. 6, 1-2.

σύμφωνα μὲ τὴν εἰκόνα μας». Ἂς τὸ ἀκούει ὁ Ἰουδαῖος. Σὲ ποιὸν λέγει ὁ Θεός, Ἂς δημιουργήσουμε»; Τὰ λόγια εἶναι τοῦ Μωϋσῆ, τοῦ Μωϋσῆ, στὸν ὁποῖο λέγουν ψευδόμενοι ὅτι πιστεύουν. Καὶ τὸ ὅτι ψεύδονται καὶ δὲν πιστεύουν ἄκουε τὸν Χριστὸ ποὺ ἐλέγχει αὐτοὺς καὶ λέγει· «Ἂν πιστεύατε στὸ Μωϋσῆ, θὰ πιστεύατε καὶ σ' ἐμένα»[8]. Τώρα ὅμως σ' ἐκείνους μὲν ὑπάρχουν τὰ βιβλία, ἐνῶ σ' ἐμᾶς βρίσκεται ὁ θησαυρός· σ' ἐκείνους ὑπάρχουν τὰ γράμματα, σ' ἐμᾶς δὲ καὶ τὰ γράμματα καὶ τὰ νοήματα.

Πές μου λοιπόν, σὲ ποιὸν λέγει, «Ἂς δημιουργήσουμε ἄνθρωπο»; Ὁμιλεῖ, λέγει, πρὸς ἄγγελο ἢ ἁπλῶς πρὸς ἀρχάγγελο. Διότι ὅπως ἀκριβῶς οἱ ἀνάξιοι ἀπὸ τοὺς ὑπηρέτες κατηγορούμενοι ἀπὸ τοὺς κυρίους τους καὶ μὴ μπορώντας ν' ἀποκριθοῦν ἀπ' εὐθείας, λέγουν ὅ,τι τοὺς ἔλθει στὸ στόμα, ἔτσι λοιπὸν καὶ σεῖς λέγετε ὅτι τὸ εἶπε σὲ ἄγγελο καὶ ἀρχάγγελο. Σὲ ποιόν ἄγγελο; σὲ ποιόν ἀρχάγγελο; Διότι ἡ δημιουργία δὲν εἶναι ἔργο τῶν ἀγγέλων, οὔτε ἔργο τῶν ἀρχαγγέλων εἶναι νὰ κάμνουν αὐτά. Γιὰ ποιὸ λόγο δέ, ὅταν μὲν δημιούργησε τὸν οὐρανό, δὲν εἶπε σὲ ἄγγελο καὶ ἀρχάγγελο, ἀλλὰ μόνος του τὸν δημιούργησε, ὅταν δὲ ἔπλασε τὸ τιμιότερο ζῶο τοῦ οὐρανοῦ καὶ ὅλου τοῦ κόσμου, τὸν ἄνθρωπο, τότε λαμβάνει συνεργοὺς τῆς δημιουργίας τοὺς δούλους;

2. Δὲν εἶναι ἀληθινὰ αὐτά, δὲν εἶναι· διότι ἔργο τῶν ἀγγέλων εἶναι τὸ νὰ βρίσκονται κοντὰ στὸ Θεό, καὶ ὄχι τὸ νὰ δημιουργοῦν· ἔργο τῶν ἀρχαγγέλων εἶναι τὸ νὰ ὑπηρετοῦν τὸ Θεό, ὄχι τὸ νὰ συμμετέχουν στὴ σκέψη καὶ τὴν ἀπόφαση αὐτοῦ. Ἄκουσε τί λέγει ὁ Ἡσαΐας γιὰ τὰ Σεραφὶμ τῶν δυνάμεων, ποὺ εἶναι ἀνώτερα ἀπὸ τοὺς ἀρχαγγέλους· «Εἶδα τὸν Κύριο νὰ κάθεται ἐπάνω σὲ θρόνο ὑψηλὸ καὶ μεγαλοπρεπὴ καὶ τὰ Σεραφὶμ στέκονταν γύρω ἀπὸ αὐτόν· ἕξι φτεροῦγες εἶχε τὸ καθένα, καὶ μὲ τὶς δύο φτεροῦγες κάλυπταν τὰ πρόσωπά τους»[9], δηλαδὴ ἔκρυβαν τὰ μάτια τους, ἐπειδὴ δὲν μποροῦν νὰ ἀντικρύσουν τὴν ἀκτινοβολία ποὺ ἐκπέμπεται ἀπὸ τὸ θρόνο. Τί λέγεις; Τὰ μὲν Σεραφὶμ στέκονται κοντά του καὶ εἶναι κυριευμένα ἀπὸ τό-

Τὰ μὲν Σεραφὶμ παρεστήκασι, καὶ ἐν θαύματι τοσούτῳ εἰσὶ καὶ ἐκπλήξει, καὶ ταῦτα συγκατάβασιν Θεοῦ βλέποντα, ἄγγελοι δὲ καὶ γνώμης κοινωνοῦσιν αὐτῷ, καὶ σκέψεως μετέχουσιν; Ἀλλ' οὐκ ἂν ἔχοι λόγον.

Ἀλλὰ τίς ἐστι πρὸς ὃν φησι, «Ποιήσωμεν ἄνθρωπον»; Ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστής, ὁ Θεὸς ὁ ἰσχυρός, ὁ ἄρχων τῆς εἰρήνης, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ Υἱός. Πρὸς ἐκεῖνον τοίνυν λέγει, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν». Οὐδὲ γὰρ εἶπε 'τὴν ἐμὴν καὶ τὴν σήν', ἢ 'τὴν ἐμὴν καὶ τὴν ὑμῶν', ἀλλὰ «κατ' εἰκόνα ἡμετέραν», μίαν δηλῶν τὴν εἰκόνα καὶ μίαν τὴν ὁμοίωσιν· Θεοῦ δὲ καὶ ἀγγέλων οὐκ ἔστιν εἰκὼν μία, οὐδὲ ὁμοίωσις μία. Πῶς γὰρ ἂν εἴη τοῦ Δεσπότου καὶ τῶν λειτουργῶν εἰκὼν μία καὶ ὁμοίωσις; Ὥστε πάντοθεν ὑμῖν ὁ λόγος ἐλήλεγκται· καὶ γὰρ ἀρχῆς εἰκόνα ἐδήλωσεν ἐνταῦθα, καθὼς καὶ τὸ ἑξῆς δηλοῖ. Εἰπὼν γάρ, «Κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν», ἐπήγαγε, «Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης»· ἀρχὴ δὲ Θεοῦ καὶ ἀγγέλων οὐκ ἂν εἴη μία. Πῶς γάρ, τῶν δούλων καὶ τοῦ Δεσπότου, τῶν λειτουργῶν καὶ τοῦ κελεύοντος;

Ἀλλὰ καὶ ἕτεροι πάλιν ἡμῖν ἐπιφύονταί τινες λέγοντες, ὅτι εἰκόνα ὁ Θεὸς ἔχει τοιαύτην, οἵαν καὶ ἡμεῖς, κακῶς νοοῦντες τὸ εἰρημένον. Οὐ γὰρ οὐσίας εἶπεν εἰκόνα, ἀλλὰ ἀρχῆς εἰκόνα, καθὼς δηλώσομεν ἐκ τῶν ἑξῆς ἐπαγομένων. Ὅτι γὰρ οὐκ ἔστι τὸ Θεῖον ἀνθρωπόμορφον, ἄκουσον τοῦ Παύλου λέγοντος· «Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων, γυνὴ δὲ δόξα ἀνδρός ἐστι· διὸ ὀφείλει», φησί, «κάλυμμα ἔχειν ἐπὶ τῆς κεφαλῆς». Καὶ μὴν εἰ εἰκόνα ἐνταῦθα τοῦτο εἶπε, τὸ ἀπαράλλα-

---

10. Γέν. 1, 26. 11. Α' Κορ. 11, 7· 10.

σο μεγάλο θαυμασμὸ καὶ ἔκπληξη, καὶ βλέπουν αὐτὰ κατὰ συγκατάβαση τοῦ Θεοῦ, οἱ δὲ ἄγγελοι συμμετέχουν καὶ στὴ θέληση αὐτοῦ καὶ στὴ σκέψη; Ὅμως δὲν θὰ μποροῦσε αὐτὸ νὰ δικαιολογηθεῖ.

Ἄλλα ποιὸς εἶναι ἐκεῖνος πρὸς τὸν ὁποῖο λέγει, «Ἂς δημιουργήσουμε ἄνθρωπο»; Εἶναι ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστής, ὁ Θεὸς ἰσχυρός, ὁ ἄρχοντας τῆς εἰρήνης, ὁ Πατέρας τοῦ μελλοντικοῦ αἰώνα, αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ. Πρὸς ἐκεῖνον λοιπὸν λέγει, «Ἂς δημιουργήσουμε ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα καὶ ὁμοίωση». Διότι δὲν εἶπε 'σύμφωνα μὲ τὴ δική μου καὶ τὴ δική σου', ἢ 'τὴ δική μου καὶ τὴ δική σας', ἀλλά, «σύμφωνα μὲ τὴ δική μας», δείχνοντας ὅτι μία εἶναι ἡ εἰκόνα καὶ μία ἡ ὁμοίωση· ἐνῶ τοῦ Θεοῦ καὶ τῶν ἀγγέλων δὲν εἶναι μία ἡ εἰκόνα, οὔτε μία εἶναι ἡ ὁμοίωση. Διότι πῶς θὰ μποροῦσε νὰ εἶναι μία ἡ εἰκόνα καὶ ἡ ὁμοίωση τοῦ Κυρίου καὶ τῶν λειτουργῶν του; Ὥστε ἀπὸ παντοῦ σᾶς ἔχει ἀποδειχθεῖ ὁ λόγος· καθόσον ἐδῶ μὲ τὰ λόγια αὐτὰ δήλωσε τὴν εἰκόνα τῆς ἐξουσίας, ὅπως φανερώνει, καὶ τὸ ἑξῆς· Διότι, ἀφοῦ εἶπε, «Κατ' εἰκόνα καὶ καθ' ὁμοίωση», πρόσθεσε, «Καὶ ἂς ἐξουσιάζουν τὰ ψάρια τῆς θάλασσας»[10]· ἀλλ' ἡ ἐξουσία τοῦ Θεοῦ καὶ τῶν ἀγγέλων δὲν θὰ μποροῦσε νὰ εἶναι μία. Διότι πῶς θὰ μποροῦσε νὰ εἶναι μία ἡ ἐξουσία τῶν δούλων καὶ τοῦ Κυρίου, τῶν λειτουργῶν καὶ ἐκείνου ποὺ προστάζει;

Ἀλλ' ὅμως μᾶς παρουσιάζονται καὶ πάλι μερικοὶ ἄλλοι ποὺ λέγουν, ὅτι ὁ Θεὸς ἔχει τέτοια εἰκόνα ποὺ ἔχομε καὶ ἐμεῖς, ἐκλαμβάνοντας κακῶς αὐτὸ ποὺ ἔχει λεχθεῖ. Διότι δὲν εἶπε εἰκόνα οὐσίας, ἀλλὰ εἰκόνα ἐξουσίας, ὅπως θὰ τὸ δείξουμε μὲ τὰ ὅσα προσθέτονται στὴ συνέχεια. Τὸ ὅτι δηλαδὴ τὸ Θεῖο δὲν εἶναι ἀνθρωπόμορφο, ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «Διότι ὁ μὲν ἄνδρας δὲν ὀφείλει νὰ καλύπτει τὸ κεφάλι του, καθόσον εἶναι εἰκόνα καὶ δόξα τοῦ Θεοῦ, ἐνῶ ἡ γυναίκα εἶναι δόξα τοῦ ἄνδρα· γι' αὐτὸ ὀφείλει», λέγει, «νὰ ἔχει κάλυμμα στὸ κεφάλι της»[11]. Ὥστε λοιπὸν ἐὰν ἐδῶ εἰκόνα ὀνόμασε αὐτό, γιὰ νὰ δη-

κτον τῆς μορφῆς τῆς πρὸς τὸν Θεὸν δηλῶν, καὶ διὰ τοῦτο εἰκὼν ἄνθρωπος Θεοῦ καλεῖται, ὅτι ὁ Θεὸς οὕτω διατετύπωται· οὐκοῦν κατ' ἐκείνους οὐκ ἐχρῆν μόνον τὸν ἄνδρα εἰκόνα λέγεσθαι, ἀλλὰ καὶ τὴν γυναῖκα. Γυναικὸς γὰρ καὶ ἀνδρὸς εἷς ὁ τύπος καὶ ὁ χαρακτήρ, καὶ ἡ ὁμοίωσις μία.

Τίνος οὖν ἕνεκεν ὁ ἀνὴρ εἰκὼν τοῦ Θεοῦ λέγεται, ἡ γυνὴ δὲ οὐκέτι; Ὅτι οὐ τὴν εἰκόνα τὴν ἐν τῇ μορφῇ λέγει, ἀλλὰ τὴν εἰκόνα τὴν κατὰ τὴν ἀρχήν, ἣν ὁ ἀνὴρ ἔχει μόνος, οὐκέτι δὲ καὶ ἡ γυνή. Οὗτος μὲν γὰρ οὐδενὶ ὑποτέτακται, ἐκείνη δὲ ὑπὸ τοῦτον γέγονε, καθὼς ὁ Θεός φησι· «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει». Διὰ τοῦτο ὁ μὲν ἀνὴρ εἰκὼν τοῦ Θεοῦ, ἐπειδὴ οὐδένα ἔχει ἀνώτερον, καθάπερ οὐδὲ τοῦ Θεοῦ ἀνώτερός τίς ἐστιν, ἀλλὰ πάντων ἄρχει, ἡ γυνὴ δὲ δόξα τοῦ ἀνδρός, ἐπειδὴ τῷ ἀνδρὶ ὑποτέτακται. Καὶ πάλιν ἀλλαχοῦ φησιν· «Οὐκ ὀφείλομεν χρυσῷ ἢ ἀργύρῳ λίθῳ ἢ χαράγματι τέχνης ἢ ἐνθυμήσεως ἀνθρώπου νομίζειν τὸ Θεῖον εἶναι ὅμοιον». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ μόνον τοὺς ὁρωμένους τύπους ἐκβέβηκε, φησί, τὸ Θεῖον, ἀλλ' οὐδὲ διάνοια διατυπῶσαι τὸ τοιοῦτον δύναιτ' ἄν, ὁποῖός ἐστιν ὁ Θεός. Πῶς οὖν ἀνθρώπου Θεὸς μορφὴν ἔχειν δύναιτ' ἄν, ὁπότε ὁ Παῦλος μηδὲ διάνοιαν εἶναι μηδεμίαν τὴν δυναμένην τυπῶσαι παρ' ἑαυτῇ λέγει τοῦ Θεοῦ τὴν οὐσίαν; Τὴν γὰρ ἡμετέραν μορφὴν καὶ τὸν τύπον ἅπαντες ῥᾳδίως παρ' ἑαυτοῖς ἀνατυπώσαιμεν ἂν κατὰ τοὺς λογισμούς.

Πάλιν τοὺς περὶ ἐλεημοσύνης ἐπαγαγεῖν λόγους καὶ νῦν ἐβουλόμην, ἀλλ' ὁ καιρὸς ἡμᾶς οὐκ ἀφίησι· διὸ πρὸς σιγὴν τρέψωμεν λοιπὸν ἑαυτούς, ἐκεῖνο παρεγγυήσαντες ὑμῖν, μετὰ ἀκριβείας ἅπαντα κατέχειν τὰ εἰρημένα, καὶ πολλὴν τῆς ὀρθῆς πολιτείας ποιεῖσθαι τὴν πρόνοιαν, ἵνα μὴ μάτην καὶ εἰκῇ ἐνταῦθα συλλεγώμεθα. Κἂν γὰρ δογμάτων ὀρ-

---

12. Γέν. 3, 16. 13. Πρ. 17, 29.

λώσει τὸ ἀπαράλλακτο τῆς μορφῆς τοῦ ἀνθρώπου πρὸς τὸ Θεό, γι' αὐτὸ ἀκριβῶς καὶ ὁ ἄνθρωπος ὀνομάζεται ἄνθρωπος Θεοῦ, ἐπειδὴ ὁ Θεὸς ἔχει διατυπωθεῖ ἔτσι· συνεπῶς σύμφωνα μὲ ἐκείνους δὲν ἔπρεπε μόνο ὁ ἄνδρας νὰ ὀνομάζεται εἰκόνα, ἀλλὰ καὶ ἡ γυναίκα. Διότι τῆς γυναίκας καὶ τοῦ ἄνδρα ἕνας εἶναι ὁ τύπος καὶ ὁ χαρακτήρας, καὶ μία ἡ ὁμοίωση.

Γιὰ ποιὸ λόγο λοιπὸν ὁ ἄνδρας ὀνομάζεται εἰκόνα τοῦ Θεοῦ, ἡ δὲ γυναίκα ὄχι; Διότι δὲν ἐννοεῖ τὴν εἰκόνα ὡς πρὸς τὴ μορφή, ἀλλὰ τὴν εἰκόνα ὡς πρὸς τὴν ἐξουσία, τὴν ὁποία ἔχει μόνο ὁ ἄνδρας, ὄχι ὅμως καὶ ἡ γυναίκα. Ὁ μὲν ἄνδρας δηλαδὴ σὲ κανένα δὲν ἔχει ὑποταχθεῖ, ἡ γυναίκα ὅμως ἔχει τεθεῖ κάτω ἀπὸ τὴν ἐξουσία αὐτοῦ, καθὼς λέγει καὶ ὁ Θεός· «Θὰ ἐξαρτᾶσαι ἀπὸ τὸν ἄνδρα σου καὶ αὐτὸς θὰ εἶναι ὁ κύριός σου»[12]. Γι' αὐτὸ ὁ μὲν ἄνδρας εἶναι εἰκόνα τοῦ Θεοῦ, ἐπειδὴ δὲν ἔχει κανένα ἀνώτερο, ὅπως ἀκριβῶς οὔτε τοῦ Θεοῦ ὑπάρχει κάποιος ἀνώτερος, ἀλλ' εἶναι Κύριος τῶν πάντων, ἡ δὲ γυναίκα ἀποτελεῖ δόξα τοῦ ἀνδρός, ἐπειδὴ ἔχει ὑποταχθεῖ στὸν ἄνδρα. Καὶ πάλι ἀλλοῦ λέγει· «Δὲν πρέπει νὰ θεωροῦμε ὅτι τὸ Θεῖο εἶναι ὅμοιο μὲ χρυσὸ ἢ ἄργυρο ἢ λίθο ἢ μὲ σκαλιστὸ ἔργο τέχνης ἢ μὲ ἐπινόημα ἀνθρώπου»[13]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ὄχι μόνο, λέγει, τὸ Θεῖο ἔχει ὑπερβεῖ τὶς ὁρατὲς μορφές, ἀλλ' οὔτε ὁ νοῦς τοῦ ἀνθρώπου θὰ μποροῦσε νὰ διατυπώσει αὐτό, δηλαδὴ ποιὸς ἀκριβῶς εἶναι ὁ Θεός. Πῶς λοιπὸν θὰ ἦταν δυνατὸ ὁ Θεὸς νὰ ἔχει μορφὴ ἀνθρώπου, τὴ στιγμὴ ποὺ ὁ Παῦλος λέγει ὅτι δὲν ὑπάρχει κανένας νοῦς ποὺ νὰ μπορεῖ νὰ διατυπώσει τὴν οὐσία τοῦ Θεοῦ; Διότι τὴ δική μας μορφὴ καὶ τὸν τύπο ὅλοι εὔκολα θὰ μπορούσαμε νὰ διατυπώσουμε μέσα στὶς σκέψεις μας.

Πάλι θὰ ἤθελα ν' ἀναφέρω καὶ τώρα τοὺς περὶ ἐλεημοσύνης λόγους, ἀλλὰ δὲν μᾶς τὸ ἐπιτρέπει ὁ χρόνος· γι' αὐτὸ ἂς διακόψουμε τὸ λόγο, ἀφοῦ σᾶς δώσω τὴν ἑξῆς προτροπή, νὰ κρατᾶτε στὴ μνήμη σας μὲ ἀκρίβεια τὰ ὅσα ἔχουν λεχθεῖ καὶ νὰ δείχνετε μεγάλη φροντίδα γιὰ τὸν ὀρθὸ τρόπο ζωῆς, γιὰ νὰ μὴ συγκεντρωνόμαστε ἐδῶ ἄσκοπα καὶ ἀνώφελα. Διότι καὶ ἂν

θότητα διατηρῶμεν, τῆς τῶν ἔργων ἀρετῆς μὴ προσούσης, πάντως ἐκπεσούμεθα τῆς αἰωνίου ζωῆς. «Οὐ πᾶς» γάρ, φησίν, «ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς».

Ποιῶμεν οὖν τὸ θέλημα τοῦ Θεοῦ μετὰ σπουδῆς ἁπάσης καὶ προθυμίας, ἵνα δυνηθῶμεν εἰς τοὺς οὐρανοὺς εἰσελθεῖν, καὶ τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσι τὸν Θεὸν ἐπιτυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

14. Ματθ. 7, 21.

ἀκόμα διαφυλάσσομε τὴν ὀρθότητα τῶν δογμάτων, ἐφόσον δὲν συνυπάρχει καὶ ἡ ἀρετὴ τῶν ἔργων, ὁπωσδήποτε θὰ ἐκπέσουμε ἀπὸ τὴν αἰώνια ζωή. Διότι, λέγει, «Δὲν θὰ εἰσέλθει στὴ βασιλεία τῶν οὐρανῶν ὁ καθένας ποὺ μοῦ λέγει, Κύριε, Κύριε, ἀλλ' ἐκεῖνος ποὺ ἐκτελεῖ τὸ θέλημα τοῦ οὐράνιου Πατέρα μου»[14].

Ἂς πράττομε λοιπὸν τὸ θέλημα τοῦ Θεοῦ μὲ μεγάλο ζῆλο καὶ προθυμία, γιὰ νὰ μπορέσουμε νὰ εἰσέλθουμε στοὺς οὐρανοὺς καὶ νὰ ἐπιτύχουμε τὰ ἀγαθὰ ποὺ ἐπιφυλάσσονται γιὰ ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεό, τὰ ὁποῖα εὔχομαι νὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Γ'.

Τί ἐστι τό, «Καθ' ὁμοίωσιν», καὶ τίνος ἕνεκεν, τοῦ Θεοῦ εἰπόντος τῶν θηρίων ἡμᾶς ἄρχειν, οὐκ ἄρχομεν, καὶ ὅτι κηδεμονίας τοῦτο πολλῆς.

1. Ὥσπερ τῶν σπειρόντων ὄφελος οὐδέν, ὅταν παρὰ τὴν ὁδὸν τὰ σπέρματα ρίπτηται, οὕτως οὐδὲ τοῦ λέγοντος ἔσται τι πλέον, ὅταν μὴ πρὸς τὴν τῶν ἀκουόντων διάνοιαν ὁ λόγος φέρηται, ἀλλ' ἁπλῶς εἰς τὸν ἀέρα διαχυθεῖσα τῆς φωνῆς ἡ ἀπήχησις ἀνόνητον καταλιμπάνῃ τὸν ἀκροατήν. Ταῦτα δὲ ὑμῖν οὐχ ἁπλῶς εἴρηκα, ἀλλ' ἵνα μὴ πρὸς τὰ ἁπλούστερα τῶν νοημάτων ἦτε κεχηνότες μόνον, ἀλλὰ καὶ τῶν βαθυτέρων κατατολμήσητε. Εἰ γὰρ μὴ νῦν καταβαίημεν πρὸς τὸ βάθος τῶν Γραφῶν, ὅταν κοῦφα μὲν ἡμῖν τὰ κῶλα πρὸς τὸ νήχεσθαι, ὀξύτερον δὲ τὸ ὄμμα οὐκέτι τῷ πονηρῷ τῆς τρυφῆς ἐνοχλούμενον ρεύματι, διαρκέστερον δὲ τὸ πνεῦμα, ὥστε μὴ ἀποπνίγεσθαι, πότε καταβησόμεθα; Ὅταν τρυφὴ καὶ ἑστίασις ᾖ καὶ μέθη καὶ τράπεζα ἀδηφαγίας γέμουσα; Ἀλλὰ τότε οὐδὲ κινηθῆναι ρᾴδιον· οὕτω τὸ βαρὺ τῆς τρυφῆς φορτίον πιέζει τὴν ψυχήν.

Οὐχ ὁρᾶτε ὅτι καὶ οἱ λίθους πολυτελεῖς εὑρίσκειν βουλόμενοι, οὐκ ἄνω παρὰ τὸν αἰγιαλὸν καθήμενοι καὶ τὰ κύματα ἀριθμοῦντες οὕτως εὑρίσκουσι τὸ ζητούμενον, ἀλλ' εἰς αὐτὸ καταδύονται τὸ βάθος, καίτοι πολὺς μὲν ὁ πόνος ἐν τῇ ζητήσει, πολὺς δὲ ὁ κίνδυνος ἐν τῇ εὑρέσει, καὶ μετὰ τὴν εὕρεσιν κέρδος οὐδέν; Τί γὰρ ἂν μέγα εἰσενέγκοι εἰς τὸν βίον τὸν ἡμέτερον λίθων εὕρεσις πολυτελῶν; Εἴθε μὲν οὖν μὴ με-

ΛΟΓΟΣ Γ'

Τί σημαίνει τό, «Καθ' ὁμοίωσιν», καὶ γιὰ ποιὸ λόγο, ἐνῶ ὁ Θεὸς εἶπε νὰ ἐξουσιάζουμε τὰ θηρία, δὲν τὰ ἐξουσιάζουμε, καὶ ὅτι αὐτὸ εἶναι δεῖγμα μεγάλης φροντίδας τοῦ Θεοῦ.

1. Ὅπως ἀκριβῶς οἱ σπορεῖς δὲν ἔχουν κανένα ὄφελος, ὅταν τὰ σπέρματα πέφτουν στὸ δρόμο, ἔτσι οὔτε ἐκεῖνος ποὺ ὁμιλεῖ δὲν ἔχει νὰ κερδίσει τίποτε ἐπὶ πλέον, ὅταν ὁ λόγος δὲν φθάνει στὴ διάνοια τῶν ἀκροατῶν, ἀλλ', ἀφοῦ ὁ ἦχος τῆς φωνῆς διασκορπισθεῖ ἁπλῶς στὸν ἀέρα, ἀφήνει τὸν ἀκροατὴ χωρὶς ὄφελος. Αὐτὰ δὲ δὲν σᾶς τὰ εἶπα τυχαῖα, ἀλλὰ γιὰ νὰ μὴ δείχνετε ἐνδιαφέρον μόνο γιὰ τὰ ἁπλούστερα ἀπὸ τὰ νοήματα, ἀλλὰ νὰ φροντίσετε νὰ ἐνδιαφερθεῖτε καὶ γιὰ τὰ βαθύτερα νοήματα. Διότι, ἂν τώρα δὲν κατεβοῦμε πρὸς τὸ βάθος τῶν νοημάτων τῆς Γραφῆς, ὅταν τὰ μέλη μας εἶναι ἀνάλαφρα γιὰ κολύμβηση, ἡ δὲ ὅρασή μας ὀξύτερη, χωρὶς νὰ ἐνοχλεῖται ἀκόμα ἀπὸ τὸ πονηρὸ ρεῦμα τῆς τρυφῆς, καὶ τὸ πνεῦμα μας εἶναι ἱκανότερο, ὥστε νὰ μὴ ἀποπνίγεται, πότε θὰ κατεβοῦμε; Ὅταν θὰ ὑπάρχει τρυφὴ καὶ εὐωχία καὶ μέθη καὶ τράπεζα γεμάτη ἀπὸ πληθώρα φαγητῶν; Ἀλλὰ τότε δὲν εἶναι εὔκολο οὔτε νὰ κινηθοῦμε· τόσο πολὺ καταπιέζει τὴν ψυχὴ τὸ βαρὺ φορτίο τῆς τρυφῆς.

Δὲν βλέπετε ὅτι καὶ ἐκεῖνοι ποὺ θέλουν νὰ βροῦν λίθους πολύτιμους, δὲν βρίσκουν αὐτὸ ποὺ ἀναζητοῦν καθισμένοι κοντὰ στὴν ἀκρογιαλιὰ καὶ μετρώντας τὰ κύματα, ἀλλὰ καταδύονται μέσα στὸ βάθος τῆς θάλασσας, ἂν καὶ βέβαια εἶναι μεγάλος μὲν ὁ κόπος τῆς ἀναζητήσεως, μεγάλος δὲ καὶ ὁ κίνδυνος γιὰ τὴν ἀνεύρεση αὐτῶν, καὶ δὲν ὑπάρχει κανένα κέρδος μετὰ τὴν ἀνεύρεσή τους; Διότι τί τὸ σπουδαῖο θὰ μποροῦσε νὰ προσφέρει στὴ ζωή μας ἡ ἀνεύρεση τῶν πολύτιμων λίθων; Καὶ

γάλα εἰσήγαγε κακά. Τὸ γὰρ ἀνατρέπον ἡμῶν τὴν ζωὴν καὶ πάντα ἄνω καὶ κάτω ποιοῦν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἡ τῶν χρημάτων μανία. Ἀλλ' ὅμως καὶ ψυχὴν καὶ σῶμα ἐκεῖνοι προΐενται τῆς ἐφημέρου τροφῆς ἕνεκεν, καὶ τῶν κυμάτων κατατολμῶσιν· ἐνταῦθα δὲ οὐ κίνδυνος, οὐ πόνος οὕτως ἐπιτεταμένος, ἀλλ' ὀλίγος καὶ κοῦφος, καὶ οὗτος διὰ τὴν τῶν εὑρισκομένων φυλακήν. Τὰ γὰρ μετ' εὐκολίας εὑρισκόμενα, καὶ εὐκαταφρόνητα πολλοῖς εἶναι δοκεῖ. Οὐκ ἔστι κυμάτων ταραχὴ ἐν τῷ πελάγει τῶν Γραφῶν, ἀλλὰ παντὸς λιμένος εὐδιώτερον τοῦτο τὸ πέλαγος. Οὐκ ἔστιν ἀνάγκη πρὸς τοὺς ζοφεροὺς τῆς ἀβύσσου κόλπους κατενεχθῆναι, οὐδὲ ὑδάτων ἀλόγων ρύμη τὴν τοῦ σώματος ἐπιτρέψαι σωτηρίαν, ἀλλὰ πολὺ μὲν ἐνταῦθα τὸ φῶς, καὶ αὐτῶν τῶν ἀκτίνων φαιδρότερον, πολλὴ δὲ ἡ γαλήνη, πᾶσα δὲ ἐκποδὼν ταραχή, καὶ τῶν εὑρισκομένων τοσοῦτον τὸ κέρδος, ὅσον οὐδὲ λόγῳ παραστῆσαι δυνατόν. Μὴ τοίνυν ἀποκάμωμεν, ἀλλ' ἐπιχειρήσωμεν τῇ ζητήσει.

Ἠκούσατε ὅτι κατ' εἰκόνα Θεοῦ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· καὶ τί ποτέ ἐστι τὸ «Κατ' εἰκόνα τοῦτο καὶ καθ' ὁμοίωσιν» εἰρήκαμεν· ὅτι οὐκ οὐσίας ἀπαραλλαξία, ἀλλ' ἀρχῆς ὁμοιότης· τὸ δέ, «Καθ' ὁμοίωσιν», τὸ ἥμερον εἶναι καὶ πρᾶον, καὶ εἰς δύναμιν ἐξομοιοῦσθαι τῷ Θεῷ κατὰ τὸν τῆς ἀρετῆς λόγον, ὥς φησιν ὁ Χριστός· «Γίνεσθε ὅμοιοι τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς». Καθάπερ γὰρ ἐν τῇ γῇ τῇ πλατείᾳ καὶ εὐρυχώρῳ ταύτῃ τῶν ζώων τὰ μέν εἰσιν ἀλογώτερα, τὰ δὲ θηριωδέστερα, οὕτω καὶ ἐν τῷ πλάτει τῆς ἡμετέρας ψυχῆς, τῶν λογισμῶν οἱ μέν εἰσιν ἀλογώτεροι καὶ κτηνώδεις, οἱ δὲ θηριωδέστεροι καὶ ἀγριώτεροι. Δεῖ τοίνυν αὐτῶν κρατεῖν καὶ περιγίνεσθαι, καὶ τῷ λογισμῷ τὴν τούτων ἀρχὴν παραδιδόναι.

Καὶ πῶς ἂν τις περιγένοιτο λογισμοῦ θηριώδους, φησί;

---

1. Γέν. 1, 26. 2. Ματθ. 5, 45.

μακάρι βέβαια νὰ μὴ μᾶς προξενοῦσε μεγάλα κακά. Διότι ἐκεῖνο ποὺ ἀνατρέπει τὴ ζωή μας καὶ κάμνει τὰ πάντα ἄνω κάτω, τίποτε ἄλλο δὲν εἶναι, παρὰ ἡ μανία τῶν χρημάτων. Ἀλλ' ὅμως ἐκεῖνοι θέτουν σὲ κίνδυνο καὶ τὴν ψυχὴ καὶ τὸ σῶμα τους ἐξ αἰτίας τῆς ἐφήμερης τροφῆς καὶ περιφρονοῦν τὰ κύματα· ἐδῶ ὅμως δὲν ὑπάρχει κίνδυνος, οὔτε τόσος κόπος μεγάλος, ἀλλὰ λίγος καὶ ἐλαφρύς, καὶ αὐτὸς εἶναι γιὰ τὴ διαφύλαξη τῶν εὑρισκομένων. Διότι, ἐκεῖνα ποὺ βρίσκονται μὲ εὐκολία, θεωροῦνται ἀπὸ τοὺς πολλοὺς καὶ ἄξια καταφρονήσεως. Δὲν ὑπάρχει ταραχὴ κυμάτων στὸ πέλαγος τῶν Γραφῶν, ἀλλὰ τὸ πέλαγος αὐτὸ εἶναι τὸ περισσότερο γαλήνιο ἀπὸ ὁποιοδήποτε λιμάνι· δὲν χρειάζεται κανεὶς νὰ κατεβεῖ πρὸς τοὺς σκοτεινοὺς κόλπους τῆς ἀβύσσου, οὔτε νὰ ἐμπιστευθεῖ τὴ σωτηρία τοῦ σώματός του στὴν ὁρμὴ τῶν ἀλόγων ὑδάτων, ἀλλὰ τὸ φῶς ἐδῶ εἶναι πάρα πολὺ καὶ φωτεινότερο καὶ ἀπὸ αὐτὲς ἀκόμα τὶς ἀκτίνες, μεγάλη δὲ καὶ ἡ γαλήνη καὶ ἀπουσιάζει ὁποιαδήποτε ταραχή, τῶν δὲ εὑρισκομένων τὸ κέρδος εἶναι τόσο μεγάλο, ὅσο δὲν εἶναι δυνατὸ νὰ τὸ παραστήσει κανεὶς μὲ τὸ λόγο. Ἂς μὴ ἀποκάμομε λοιπόν, ἀλλ' ἂς ἐπιχειρήσουμε τὴν ἀναζήτηση.

Ἀκούσατε ὅτι ὁ Θεὸς «Δημιούργησε τὸν ἄνθρωπο κατ' εἰκόνα Θεοῦ»[1]· καὶ τί τέλος πάντων σημαίνει αὐτὸ τὸ «Κατ' εἰκόνα καὶ καθ' ὁμοίωση», τὸ ἔχομε πεῖ· ὅτι δηλαδὴ δὲν σημαίνει ἀπαράλλακτη ὁμοιότητα οὐσίας, ἀλλὰ ὁμοιότητα ἐξουσίας· τὸ δὲ «Καθ' ὁμοίωση» σημαίνει τὸ ἥμερο καὶ πρᾶο καὶ τὴ δυνατότητα νὰ ἐξομοιωθοῦμε μὲ τὸ Θεὸ σύμφωνα μὲ τὸ λόγο τῆς ἀρετῆς, ὅπως λέγει ὁ Χριστός· «Γίνεσθε ὅμοιοι μὲ τὸν Πατέρα μου τὸν οὐράνιο»[2]. Διότι ὅπως ἀκριβῶς στὴ γῆ αὐτὴ τὴν πλατειὰ καὶ εὐρύχωρη ἄλλα μὲν ἀπὸ τὰ ζῶα εἶναι ἀλογότερα, ἄλλα δὲ θηριωδέστερα, ἔτσι καὶ μέσα στὸ πλάτος τῆς ψυχῆς μας, ἄλλοι μὲν ἀπὸ τοὺς λογισμούς μας εἶναι ἀλογότεροι καὶ κτηνώδεις, ἄλλοι δὲ θηριωδέστεροι καὶ ἀγριότεροι. Πρέπει λοιπὸν νὰ ἐξουσιάζουμε αὐτοὺς καὶ νὰ τοὺς ὑπερνικήσουμε, καὶ νὰ παραδώσουμε τὴν ἐξουσία αὐτῶν στὸ λογικό.

Καὶ πῶς, λέγει, θὰ μποροῦσε κανεὶς νὰ ὑποτάξει κάποιο

Τί λέγεις, ἄνθρωπε; Τῶν λεόντων περιγινόμεθα, καὶ τὰς ψυχὰς αὐτῶν ἡμεροῦμεν, καὶ ἀμφιβάλλεις εἰ λογισμοῦ θηριωδίαν πρὸς ἡμερότητα δυνήσῃ μεταβαλεῖν; Καίτοι τῷ λέοντι μὲν κατὰ φύσιν τὸ ἄγριον, παρὰ φύσιν δὲ τὸ ἥμερον, σοὶ δὲ τὸ ἐναντίον, κατὰ φύσιν μὲ τὸν προσηνές, παρὰ φύσιν δὲ ἡ θηριωδία. Ὁ τοίνυν τὸ κατὰ φύσιν ἐκβάλλων, καὶ τὸ παρὰ φύσιν ἐντιθεὶς τῇ τοῦ θηρίου ψυχῇ, ἐν τῇ ἑαυτοῦ ψυχῇ τὸ κατὰ φύσιν οὐ δυνήσῃ διατηρῆσαι; καὶ πόσης οὐκ ἂν εἴη τοῦτο ῥᾳθυμίας; Καὶ ἐπὶ μὲν τῆς τῶν λεόντων ψυχῆς καὶ ἑτέρα δυσκολία μετὰ ταύτης ἐστί· λογισμῶν γάρ ἐστιν ἔρημος ἡ τοῦ θηρίου ψυχή. Ἀλλ' ὅμως ἑωράκατε πολλάκις λέοντας προβάτων ἡμεροτέρους διὰ τῆς ἀγορᾶς ἀγομένους, καὶ πολλοὶ τῶν ἐν τοῖς ἐργαστηρίοις ἀργύριον πολλάκις κατέβαλον τῷ κατέχοντι, μισθόν τινα τῆς τέχνης καὶ τῆς σοφίας, δι' ἧς τὸ θηρίον ἡμέρωσεν, ἐπὶ δὲ τῆς σῆς ψυχῆς καὶ λογισμός ἐστι, καὶ Θεοῦ φόβος, καὶ πολλὴ πολλαχόθεν ἡ βοήθεια. Μὴ τοίνυν σκήψεις μοι λέγε καὶ προφάσεις. Δυνατὸν γάρ, ἐὰν θέλῃς, ἥμερόν σε εἶναι καὶ πρᾷον.

2. «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν θηρίων». Ἐνταῦθα Ἕλληνες ἡμῖν ἐπιφύονται, καί φασι τὸ λόγιον ψεύδεσθαι· οὐ γὰρ ἡμεῖς ἄρχομεν τῶν θηρίων· αὐτὰ ἡμῶν ἄρχει, καὶ πολλὴν ἡμῖν ἐμβάλλει τὴν ἀγωνίαν. Μάλιστα μὲν οὖν τοῦτο οὐκ ἀληθές· ἀρκεῖ γὰρ καὶ ὄψις ἀνθρωπίνη φανεῖσα ἐκποδὼν ποιῆσαι θηρίον· τοσοῦτος αὐτοῖς ἐστι παρ' ἡμῖν ὁ φόβος. Εἰ δέ που πρὸς ἄμυναν ὁρμήσειεν, ἢ λιμοῦ καταναγκάζοντος, ἢ ἡμῶν αὐτῶν στενοχωρούντων πολλάκις, καὶ πρὸς ἀνάγκην ἐκβαλλομένων αὐτά, τοῦτο οὖν ἂν εἴη ἀρχῆς ἀπηρτισμένης. Οὐδὲ γάρ, εἴ τις ἡμῶν λῃστὰς ἐπιόντας ὁρῶν ὁπλίζοιτο, καὶ

θηριώδη λογισμό; Τί λέγεις, ἄνθρωπε; Τὰ λιοντάρια ὑποτάσσομε καὶ τὶς ψυχές τους ἐξημερώνουμε καὶ ἀμφιβάλλεις ἂν θὰ μπορέσεις νὰ μεταβάλεις σὲ ἡμερότητα τὴ θηριωδία τοῦ λογισμοῦ; Ἂν καὶ βέβαια στὸ λεοντάρι ἐκ φύσεως ὑπάρχει ἡ ἀγριότητα, ἐνῶ ἡ ἡμερότητα εἶναι κάτι τὸ ἀφύσικο, σὲ σένα ὅμως συμβαίνει τὸ ἀντίθετο, ἡ μὲν πραότητα εἶναι φυσική, ἡ δὲ θηριωδία κάτι τὸ ἀφύσικο. Ἐκεῖνος λοιπὸν ποὺ ἀπομακρύνει μέσα ἀπὸ τὴν ψυχὴ τοῦ θηρίου ἐκεῖνο ποὺ ἔχει ἀπὸ τὴ φύση του καὶ τοποθετεῖ στὴ θέση αὐτοῦ αὐτὸ ποὺ εἶναι ἀφύσικο γι' αὐτό, δὲν θὰ μπορέσει νὰ διατηρήσει μέσα στὴν ψυχή του αὐτὸ ποὺ ἔχει ἐκ φύσεως; καὶ πόσης ἀδιαφορίας δεῖγμα δὲν θὰ ἦταν αὐτό; Καὶ στὴν περίπτωση μὲν τῆς ψυχῆς τῶν λεονταριῶν ὑπάρχει μαζὶ μὲ αὐτὴν καὶ ἄλλη δυσκολία· διότι ἡ ψυχὴ τοῦ θηρίου εἶναι γυμνὴ ἀπὸ λογικό. Ἀλλ' ὅμως ἔχετε δεῖ πολλὲς φορὲς λεοντάρια ἡμερότερα καὶ ἀπὸ τὰ πρόβατα νὰ ὁδηγοῦνται μέσω τῆς ἀγορᾶς καὶ πολλοὶ πολλὲς φορὲς ἀπὸ τὰ ἐργαστήρια δίνουν χρήματα σ' ἐκεῖνον ποὺ ἔχει αὐτά, σὰν κάποια ἀμοιβὴ γιὰ τὴ τέχνη καὶ τὴ σοφία, μὲ τὴν ὁποία ἡμέρωσε τὸ θηρίο, ἐνῶ μέσα στὴ δική σου ψυχὴ καὶ λογικὸ ὑπάρχει, καὶ φόβος Θεοῦ, καὶ μεγάλη εἶναι ἡ βοήθεια ἀπὸ παντοῦ. Μὴ λοιπὸν μοῦ προβάλλεις δικαιολογίες καὶ προφάσεις. Διότι μπορεῖς, ἂν θέλεις, νὰ εἶσαι ἥμερος καὶ πρᾶος.

2. «Ἂς δημιουργήσουμε ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα καὶ ὁμοίωση καὶ ἂς ἐξουσιάζουν τὰ θηρία». Ἐδῶ μᾶς ἐπιτίθενται οἱ Ἐθνικοὶ καὶ λέγουν ὅτι τὰ λόγια αὐτὰ δὲν εἶναι ἀληθινά· διότι δὲν ἐξουσιάζουμε ἐμεῖς τὰ θηρία· αὐτὰ μᾶς ἐξουσιάζουν καὶ μᾶς προξενοῦν μεγάλη ἀγωνία. Καὶ αὐτὸ βέβαια δὲν εἶναι σωστό· διότι ἀρκεῖ καὶ μόνο ἡ ἀνθρώπινη παρουσία νὰ τρέψει σὲ φυγὴ τὸ θηρίο· τόσο φόβο προξενοῦμε σ' αὐτά. Ἐὰν δὲ συμβεῖ σὲ κάποια περίπτωση, καθὼς ἀμύνεται, νὰ ἐπιτεθεῖ, ἢ ἐπειδὴ ἐξαναγκάζεται ἀπὸ τὴν πεῖνα, ἢ ἐπειδὴ ἐμεῖς οἱ ἴδιοι πολλὲς φορὲς τὰ φέρνομε σὲ δύσκολη θέση, καὶ τὰ κυνηγοῦμε κατὰ τρόπο ἄγριο, αὐτὸ λοιπὸν δὲν θὰ μποροῦσε ν' ἀποτελέσει τελεία ἐξουσία. Οὔτε βέβαια, ἐὰν κάποιος ἀπὸ ἐμᾶς,

πρὸς τὴν ἄμυναν χωροίη, ἀρχῆς τὸ πρᾶγμά ἐστιν, ἀλλὰ τῆς οἰκείας σωτηρίας πολλὴ πρόνοια· πλὴν οὐκ ἐντεῦθεν ποιοῦμαι τὴν ἀπολογίαν, ἀλλ' ἑτέρωθεν, ὅθεν καὶ ὑμῖν χρήσιμον ἀκοῦσαι. Φοβούμεθα τὰ θηρία καὶ δεδοίκαμεν καὶ τῆς ἀρχῆς ἐκπεπτώκαμεν· οὐκ ἀντιλέγω· φημὶ καὶ αὐτός, ἀλλ' οὐ τοῦτο ψευδῆ τὸν τοῦ Θεοῦ νόμον δείκνυσι.

Παρὰ γὰρ τὴν ἀρχὴν οὐχ οὕτω τὰ πράγματα διέκειτο, ἀλλ' ἐδεδοίκει καὶ ἔτρεμε, καὶ ὑπέκυπτεν, ὡς δεσπότῃ, τῷ ἀνθρώπῳ· ἐπειδὴ δὲ τῆς παρρησίας ἐξεπέσομεν καὶ τῆς τιμῆς, διὰ τοῦτο δεδοίκαμεν αὐτά. Πόθεν τοῦτο δῆλον; Ἤγαγεν ὁ Θεὸς τὰ θηρία πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά· καὶ οὐκ ἀπεπήδησεν ὁ Ἀδάμ, καθάπερ δεδοικώς, ἀλλ' ὥσπερ δούλοις ὑποτεταγμένοις τὰ ὀνόματα ἐπέθηκεν ἅπασι. Τοῦτο δὲ δεσποτείας σύμβολον. Διὸ καὶ ὁ Θεὸς βουλόμενος αὐτῷ καὶ διὰ τούτου δεῖξαι τὸ τῆς ἐξουσίας ἀξίωμα, τὴν τῶν ὀνομάτων αὐτῷ θέσιν ἐπέτρεψε, καὶ τὰ τεθέντα ὀνόματα ἔμεινεν ἐξ ἐκείνου εἰς αὐτά. «Πᾶν γὰρ ὃ ἐκάλεσεν Ἀδάμ, τοῦτο ὄνομα αὐτοῖς», φησίν. Ἓν δὴ τοῦτο σημεῖον τοῦ μὴ φοβερὰ εἶναι τῷ ἀνθρώπῳ τὰ θηρία παρὰ τὴν ἀρχήν· δεύτερον δὲ καὶ τοῦ πρώτου σαφέστερον, ἡ πρὸς τὴν γυναῖκα τοῦ ὄφεως διάλεξις.

Εἰ γὰρ ἦν φοβερὰ τὰ θηρία τοῖς ἀνθρώποις, οὐκ ἂν ἰδοῦσα τὸν ὄφιν ἔμεινεν ἡ γυνή, ἀλλ' ἔφυγεν ἄν· οὐκ ἂν ἐδέξατο συμβουλήν, οὐκ ἂν μετὰ τοσαύτης αὐτῷ διελέχθη τῆς ἀδείας, ἀλλ' εὐθέως ἂν πρὸς τὴν ὄψιν καὶ ἐξεπλάγη καὶ ἀπεπήδησε· νυνὶ δὲ διαλέγεται, καὶ οὐ φοβεῖται· οὐδέπω γὰρ ἦν ὁ φόβος οὗτος. Ἀλλ' ἐπειδὴ ἡ ἁμαρτία εἰσῆλθεν, ἀνῃρέθη καὶ τὰ τῆς τιμῆς· καὶ καθάπερ ἐπὶ τῶν οἰκετῶν, οἱ μὲν εὐδοκιμοῦντες φοβεροὶ τοῖς συνδούλοις εἰσίν, οἱ δὲ προσκεκρουκότες καὶ τοὺς ὁμοδούλους δεδοίκασιν, οὕτω καὶ ἐπὶ

---

3. Γέν. 2, 19. 4. Γέν. 2, 19. 5. Γέν. 3, 1-5.

βλέποντας ληστὲς νὰ ἔρχονται ἐναντίον μας, ὁπλιζόταν καὶ ἐλάμβανε θέση ἄμυνας, θεωρεῖται ἡ ἐνέργειά του αὐτὴ ἐξουσία, ἀλλ' ἀποτελεῖ μεγάλη πρόνοια γιὰ τὴ σωτηρία του· πλὴν ὅμως δὲν χρησιμοποιῶ αὐτὸ γιὰ ἀπολογία, ἀλλὰ ἄλλο, ποὺ εἶναι χρήσιμο σὲ σᾶς νὰ τὸ ἀκούσετε. Φοβούμαστε τὰ θηρία καὶ μᾶς τρομάζουν καὶ ἔχομε χάσει τὴν ἐξουσία ἐπ' αὐτῶν· δὲν ἀντιλέγω· τὸ παραδέχομαι καὶ ἐγώ, ἀλλ' αὐτὸ δὲν παρουσιάζει τὸ νόμο τοῦ Θεοῦ ψευδή.

Πράγματι στὴν ἀρχὴ τὰ πράγματα δὲν ἦταν ἔτσι, ἀλλὰ φοβοῦνταν καὶ ἔτρεμαν καὶ ὑπέκυπταν στὸν ἄνθρωπο, σὰν νὰ ἦταν κύριός τους· ἐπειδὴ ὅμως ἐκπέσαμε ἀπὸ τὴν παρρησία καὶ τὴν τιμή, γι' αὐτὸ φοβούμαστε αὐτά. 'Απὸ ποῦ εἶναι αὐτὸ φανερό; «῾Οδήγησε ὁ Θεὸς τὰ θηρία μπροστὰ στὸν 'Αδὰμ γιὰ νὰ δεῖ τί ὄνομα νὰ δώσει σ' αὐτὰ»[3] καὶ δὲν τὸ ἔβαλε ὁ 'Αδὰμ στὰ πόδια κυριευμένος ἀπὸ φόβο, ἀλλ' ἔδωσε σ' ὅλα τὰ ὀνόματά τους σὰν νὰ ἦταν δοῦλοι ὑποταγμένοι. Αὐτὸ δὲ εἶναι σύμβολο ἐξουσίας. Γι' αὐτὸ καὶ ὁ Θεὸς θέλοντας καὶ μ' αὐτὸ νὰ δείξει σ' αὐτὸν τὸ ἀξίωμα τῆς ἐξουσίας, ἀνέθεσε σ' αὐτὸν νὰ δώσει τὸ ὄνομα σ' αὐτά, καὶ παρέμειναν τὰ ὀνόματα ποὺ ἔδωσε σ' αὐτὰ ἐκεῖνος. Διότι λέγει, «Καὶ τὸ κάθε ὄνομα ποὺ ἔδωσε ὁ 'Αδὰμ σ' αὐτά, αὐτὸ τὸ ὄνομα ἔμεινε σ' αὐτά»[4]. Μιὰ λοιπὸν ἀπόδειξη ὅτι τὰ θηρία δὲν ἦταν φοβερὰ στὸν ἄνθρωπο ἀπὸ τὴν ἀρχὴ εἶναι αὐτό, δεύτερη δὲ καὶ σαφέστερη ἀπὸ τὴν πρώτη εἶναι ἡ συνομιλία τοῦ φιδιοῦ μὲ τὴ γυναίκα[5].

Πράγματι, ἐὰν ἦταν φοβερὰ τὰ θηρία στοὺς ἀνθρώπους, δὲν θὰ ἦταν δυνατὸ νὰ μείνει ἡ γυναίκα βλέποντας τὸ φίδι, ἀλλὰ θὰ ἔφευγε· δὲν θὰ ἦταν δυνατὸ νὰ δεχθεῖ συμβουλή, δὲν θὰ μποροῦσε μὲ τόση ἀφοβία νὰ συνομιλήσει μὲ αὐτό, ἀλλ' ἀμέσως βλέποντάς το θὰ κυριευόταν ἀπὸ ἔκπληξη καὶ θὰ τὸ ἔβαζε στὰ πόδια· τώρα ὅμως συνομιλεῖ καὶ δὲν φοβᾶται· διότι δὲν ὑπῆρχε ἀκόμα αὐτὸς ὁ φόβος. 'Αλλ' ἐπειδὴ εἰσῆλθε ἡ ἁμαρτία στὸν ἄνθρωπο, ἐξαφανίσθηκαν καὶ τὰ γνωρίσματα τῆς τιμῆς· καὶ ὅπως ἀκριβῶς συμβαίνει μὲ τοὺς δούλους, ἐκεῖνοι μὲν ποὺ χαίρουν ἰδιαίτερης ἐκτίμησης εἶναι φοβεροὶ στοὺς συνδού-

τοῦ ἀνθρώπου γέγονεν. Ἕως μὲν γὰρ εἶχε πρὸς τὸν Θεὸν παρρησίαν, φοβερὸς τοῖς θηρίοις ἦν, ἐπειδὴ δὲ προσέκρουσε, καὶ τοὺς ἐσχάτους τῶν ὁμοδούλων δέδοικε λοιπόν. Εἰ δὲ μὴ τοῦτό ἐστι, σύ μοι δεῖξαι πρὸ τῆς ἁμαρτίας, ὅτι φοβερὰ τοῖς ἀνθρώποις τὰ θηρία ἦν· ἀλλ' οὐκ ἂν ἔχοις. Εἰ δὲ μετὰ ταῦτα εἰσῆλθεν ὁ φόβος, καὶ τοῦτο τῆς τοῦ Δεσπότου κηδεμονίας. Εἰ γὰρ τῆς ἐντολῆς τῆς δοθείσης ὑπὸ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ κινηθείσης καὶ λυθείσης, ἡ τιμὴ ἡ δοθεῖσα αὐτῷ παρὰ τοῦ Θεοῦ ἀκίνητος ἔμεινεν, οὐκ ἂν ἀνέστη ῥᾳδίως. Ὅταν γὰρ καὶ παρακούοντες οἱ ἄνθρωποι καὶ μὴ παρακούοντες τῆς αὐτῆς ἀπολαύωσι τιμῆς, παιδοτριβοῦνται πρὸς πονηρίαν μᾶλλον, καὶ οὐκ εὐκόλως ἀφίστανται τῆς κακίας. Εἰ γὰρ νῦν φόβων καὶ τιμωριῶν καὶ κολάσεων ἐπικειμένων οὐκ ἀνέχονται σωφρονεῖν, τίνες ἂν ἦσαν, εἰ μηδὲν ἔπαθον ὑπὲρ ὧν ἐπλημμέλουν δεινῶν; Ὥστε δῆλον ὅτι κηδόμενος ἡμῶν καὶ φροντίζων ὁ Θεός, ἐξέβαλεν ἡμᾶς τῆς ἀρχῆς.

Σὺ δὲ καὶ ἐνταῦθά μοι σκόπει τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν. Ὁ μὲν γὰρ Ἀδὰμ πᾶσαν ἀνέτρεψε τὴν ἐντολήν, καὶ παρέβη τὸν νόμον, ὁ δὲ Θεὸς οὐ πᾶσαν ἔλυσε τὴν τιμήν, οὐδὲ πάσης ἐξέβαλεν αὐτὸν τῆς ἐξουσίας, ἀλλ' ἐκεῖνα μόνα ἔξω τῆς ἀρχῆς ἀφῆκεν εἶναι τὰ ζῶα, ἃ μὴ σφόδρα αὐτῷ συντελεῖ πρὸς τὴν τῆς ζωῆς χρείαν· τὰ δὲ ἀναγκαῖα καὶ χρήσιμα καὶ πολλὴν εἰσφέροντα λειτουργίαν εἰς τὴν ζωὴν τὴν ἡμετέραν, ταῦτα εἴασε μένειν ἐν τῇ δουλείᾳ. Ἀφῆκε βοῶν ἀγέλας, ἵνα ἄροτρον ἕλκωμεν, ἵνα τὴν γῆν τέμνωμεν, ἵνα τὰ σπέρματα καταβάλλωμεν· ἀφῆκε τῶν ὑποζυγίων τὰ γένη, ἵνα πρὸς τὴν τῶν ἀγωγίμων μετακομιδὴν συναντιλαμβάνηται ἡμῖν τῶν πόνων· ἀφῆκε προβάτων ποίμνια, ἵνα ἔχωμεν εἰς περιβολὰς ἱματίων χορηγίαν ἀρκοῦσαν· καὶ ἕτερα δὲ γένη ζώων εἴασε πολλὴν ἡμῖν ἑτέραν εἰσάγοντα χρείαν. Ἐπειδὴ γὰρ κο-

λους τους, ἔτσι συνέβηκε καὶ μὲ τὸν ἄνθρωπο. Ἐν ὅσῳ δηλαδὴ εἶχε παρρησία ἀπέναντι στὸ Θεὸ ἦταν φοβερὸς στὰ θηρία, ἐπειδὴ ὅμως παρέβηκε τὴν ἐντολή του, φοβᾶται πλέον καὶ τοὺς πιὸ ἀσήμαντους ἀπὸ τοὺς συνδούλους του. Ἂν δὲ τὸ πράγμα δὲν ἔχει ἔτσι, σὺ δεῖξε μου πρὶν ἀπὸ τὴν ἁμαρτία, ὅτι ἦταν φοβερὰ τὰ θηρία στοὺς ἀνθρώπους· ἀλλὰ δὲν μπορεῖς. Ἂν δὲ στὴ συνέχεια εἰσῆλθε ὁ φόβος, καὶ αὐτὸ εἶναι γνώρισμα τῆς φροντίδας τοῦ Θεοῦ. Διότι ἐάν, ἐνῶ ἡ ἐντολὴ ποὺ δόθηκε στὸν ἄνθρωπο ἀπὸ τὸ Θεὸ διαταράχθηκε καὶ παραβιάστηκε, ἔμεινε ἀμετάβλητη ἡ τιμὴ ποὺ δόθηκε ἀπὸ τὸ Θεὸ στὸν ἄνθρωπο, δὲν θὰ μποροῦσε ὁ ἄνθρωπος εὔκολα νὰ ἀνορθωθεῖ ἀπὸ τὴν πτώση του. Διότι, ὅταν οἱ ἄνθρωποι ἀπολαμβάνουν τὴν ἴδια τιμὴ καὶ ὅταν παρακούουν καὶ ὅταν δὲν παρακούουν, συνηθίζουν περισσότερο στὴν κακία, καὶ δὲν ἀπομακρύνονται εὔκολα ἀπὸ τὴν κακία. Ἂν δηλαδὴ τώρα, ἐνῶ ὑπάρχουν φόβοι καὶ τιμωρίες καὶ κολάσεις, δὲν ἀνέχονται νὰ ζοῦν μὲ σωφροσύνη, ποιοὶ θὰ ἦταν, ἂν δὲν πάθαιναν τίποτε γιὰ τὰ κακὰ ποὺ διέπρατταν; Ὥστε εἶναι ὁλοφάνερο ὅτι ὁ Θεὸς μᾶς στέρησε τὴν ἐξουσία προνοώντας καὶ φροντίζοντας γιὰ μᾶς.

Σὺ ὅμως σὲ παρακαλῶ καὶ ἐδῶ πρόσεχε τὴν ἀπερίγραπτη φιλανθρωπία αὐτοῦ. Διότι ὁ μὲν Ἀδὰμ ἀνέτρεψε τὴν ἐντολὴ καὶ παρέβηκε τὸ νόμο, ὁ δὲ Θεὸς δὲν ἀφήρησε ὅλη τὴν τιμή, οὔτε στέρησε αὐτὸν ἀπὸ ὅλη τὴν ἐξουσία, ἀλλ' ἐπέτρεψε ἐκεῖνα μόνο τὰ ζῶα νὰ εἶναι ἐκτὸς τῆς ἐξουσίας του, ποὺ δὲν εἶναι πάρα πολὺ ἀναγκαῖα στὴ ζωή του, ἐνῶ τὰ ἀναγκαῖα καὶ χρήσιμα καὶ ποὺ παρέχουν μεγάλη ὑπηρεσία στὴ ζωή μας, αὐτὰ τὰ ἄφησε νὰ βρίσκονται κάτω ἀπὸ τὴν ἐξουσία του. Ἄφησε τὶς ἀγέλες τῶν βοδιῶν, γιὰ νὰ σύρομε τὸ ἄροτρο, γιὰ νὰ ὀργώνομε τὴ γῆ, γιὰ νὰ φυτεύομε τοὺς σπόρους· ἄφησε τὰ εἴδη τῶν ὑποζυγίων, γιὰ νὰ μᾶς βοηθοῦν στοὺς κόπους μας μεταφέροντας τὰ διάφορα προϊόντα· ἄφησε τὰ ποίμνια τῶν προβάτων, γιὰ νὰ ἔχομε ἀφθονία ἐνδυμάτων γιὰ τὴν περιβολή μας· καὶ ἄλλα δὲ εἴδη ζώων ἄφησε ποὺ μᾶς προσφέρουν μεγάλη ἄλλη ἐξυπηρέτηση. Ἐπειδὴ δηλαδὴ τιμωρώντας τὸν ἄνθρωπο ἔλεγε, «Μὲ τὸν ἰ-

λάζων τὸν ἄνθρωπον ἔλεγεν, «Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου», ἵνα μὴ ὁ ἱδρὼς οὗτος καὶ μόχθος καὶ ὁ πόνος ἀφόρητος ᾖ, ἐπεκούφισε τὸ βαρὺ καὶ φορτικὸν τοῦ ἱδρῶτος τῷ πλήθει τῶν ἀλόγων τῶν συνεφαπτομένων ἡμῖν τοῦ πόνου καὶ τῆς ταλαιπωρίας ταύτης. Καὶ καθάπερ δεσπότης φιλάνθρωπος καὶ κηδεμονικὸς τὸν οἰκέτην τὸν ἑαυτοῦ μαστίξας, θεραπείαν τινὰ προσάγει ταῖς μάστιξιν, οὕτω καὶ ὁ Θεὸς καταδίκην ἐπιθείς, παντὶ τρόπῳ τὴν καταδίκην ταύτην κουφοτέραν βούλεται ποιῆσαι, ἱδρῶτι μὲν ἡμᾶς καταδικάσας καὶ πόνῳ διηνεκεῖ, τοῦ δὲ πόνου συνεφάπτεσθαι πολλὰ τῶν ἀλόγων γένη παρασκευάσας ἡμῖν.

Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν αὐτῷ· καὶ γὰρ τὸ δοῦναι τὴν τιμὴν ἡμῖν, καὶ τὸ πάλιν ἀφελεῖν τὴν τιμήν, καὶ τὸ μὴ πᾶσαν ἀφελεῖν αὐτήν, καὶ τὸ τὸν φόβον ἡμῖν ἐπιστῆσαι τῶν θηρίων, καὶ πάντα, ἄν τις ἐξετάζῃ, πολλῆς γέμει σοφίας, πολλῆς κηδεμονίας, πολλῆς φιλανθρωπίας· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαύειν διηνεκῶς εἰς δόξαν τοῦ ταῦτα ἐργασαμένου Θεοῦ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

6. Γέν. 3, 19.

δρώτα τοῦ προσώπου σου θὰ τρώγεις τὸν ἄρτο σου»[6], γιὰ νὰ μὴ γίνει ἀνυπόφορος αὐτὸς ὁ ἱδρώτας, ὁ μόχθος καὶ ὁ κόπος, ἐλάφρωσε τὸ βαρὺ καὶ δυσβάστακτο φορτίο τοῦ ἱδρώτα μὲ τὸ πλῆθος τῶν ἀλόγων ζώων ποὺ μᾶς βοηθοῦν στὸν κόπο μας καὶ στὴν ταλαιπωρία μας αὐτή. Καὶ ὅπως ἀκριβῶς κάποιος φιλάνθρωπος καὶ εὐσπλαχνικὸς κύριος, ἀφοῦ μαστιγώσει τὸ δοῦλο του, παρέχει στὴ συνέχεια κάποια θεραπεία στὰ μαστιγωμένα μέρη του, ἔτσι καὶ ὁ Θεός, ἐπειδὴ καταδίκασε τὸν ἄνθρωπο, μὲ κάθε τρόπο θέλει νὰ κάνει τὴν καταδίκη αὐτὴ ἐλαφρότερη· μᾶς καταδίκασε μὲ αἰώνιο ἱδρώτα καὶ κόπο, μᾶς ἔδωσε ὅμως πολλὰ εἴδη ἀλόγων ζώων νὰ μᾶς βοηθοῦν στὸν κόπο μας.

Γιὰ ὅλα λοιπὸν αὐτὰ ἂς εὐχαριστήσουμε αὐτόν· καθόσον ἂν ἐξετάζει κάποιος τὸ ὅτι μᾶς ἔδωσε τὴν τιμὴ καὶ τὸ ὅτι μᾶς ἀφήρησε πάλι τὴν τιμή, καὶ τὸ ὅτι δὲν τὴν ἀφήρησε ὅλη καὶ τὸ ὅτι ἔθεσε μέσα μας τὸ φόβο τῶν θηρίων καθὼς καὶ ὅλα τὰ ἄλλα, θὰ δεῖ ὅτι εἶναι γεμάτα ἀπὸ πολλὴ σοφία, ἀπὸ πολλὴ φροντίδα, ἀπὸ πολλὴ φιλανθρωπία, τὴν ὁποία εὔχομαι ὅλοι μας ν' ἀπολαμβάνομε διαρκῶς πρὸς δόξα τοῦ Θεοῦ ποὺ ἔκαμε αὐτά, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Δ'.

Ὅτι δουλείας τρόπους τρεῖς εἰσήγαγεν ἡ ἁμαρτία· καὶ πρὸς τοὺς ῥαθύμως ἀκούοντας καὶ μὴ τιμῶντας γονεῖς.

1. Ἠκούσατε χθές, πῶς μὲν ἐποίησε βασιλέα καὶ ἄρχοντα τῶν θηρίων τὸν ἄνθρωπον ὁ Θεός, πῶς δὲ αὐτὸν εὐθὺς τῆς βασιλείας ἐξέβαλε· μᾶλλον δὲ οὐχ ὁ Θεός, ἀλλ' αὐτὸς ἑαυτὸν διὰ τῆς παρακοῆς ἐξέβαλε τῆς τιμῆς. Τὸ μὲν γὰρ τυχεῖν τῆς βασιλείας, τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγένετο μόνης. Οὐ γὰρ κατορθωμάτων αὐτῷ ταύτην ἔδωκε τὴν ἀμοιβήν, ἀλλὰ καὶ πρὶν ἢ γενέσθαι, ἐκόσμησε τῇ τιμῇ. Ἵνα γὰρ μὴ λέγῃς, ὅτι μετὰ ταῦτα γενόμενος ὁ ἄνθρωπος, εἶτα πολλὰ κατορθώσας, οὕτως ἐπεσπάσατο τὸν Θεὸν εἰς τὸ δοῦναι αὐτῷ τὴν τῶν θηρίων ἀρχήν, μέλλων αὐτὸν διαπλάττειν περὶ τῆς ἀρχῆς αὐτοῦ διαλέγεται οὕτω λέγων· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν θηρίων τῆς γῆς». Πρὸ τῆς ζωῆς ἡ τιμή, πρὸ τῆς δημιουργίας ὁ στέφανος, καὶ πρὶν ἢ γενέσθαι, ἐπὶ τὸν βασιλικὸν ἀνάγεται θρόνον.

Ἄνθρωποι μὲν γὰρ τοὺς ὑποκειμένους αὐτοῖς ἐν ἐσχάτῳ γήρᾳ μετὰ πολλοὺς πόνους καὶ μυρίους κινδύνους, τοὺς ἐν εἰρήνῃ, τοὺς ἐν πολέμοις, τότε τιμῶσιν, ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλ' εὐθέως γενόμενον αὐτὸν ἐπὶ τὴν τιμὴν ταύτην ἤγαγε, δεικνὺς ὅτι οὐ κατορθωμάτων ἐστὶν ἀμοιβὴ τὸ γινόμενον, ἀλλὰ θεία χάρις, καὶ οὐκ ὀφειλή. Τὸ μὲν οὖν λαβεῖν αὐτὸν τὴν ἀρχήν, ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγένετο

ΛΟΓΟΣ Δ'

Περὶ τοῦ ὅτι ἡ ἁμαρτία εἰσήγαγε τρεῖς τρόπους δουλείας, καὶ πρὸς ἐκείνους ποὺ ἀκοῦν μὲ ἀδιαφορία καὶ δὲν τιμοῦν τοὺς γονεῖς τους.

1. Ἀκούσατε χθές, πῶς μὲν ὁ Θεὸς ἔκαμε τὸν ἄνθρωπο βασιλιὰ καὶ ἄρχοντα τῶν θηρίων, πῶς δὲ ἀπομάκρυνε αὐτὸν εὐθὺς ἀμέσως ἀπὸ τὴ βασιλεία· μᾶλλον δὲ ὄχι ὁ Θεός, ἀλλ' ὁ ἴδιος ὁ ἄνθρωπος μὲ τὴν παρακοή του στέρησε τὸν ἑαυτό του ἀπὸ τὴν τιμή. Διότι τὸ ὅτι ἔτυχε τῆς βασιλείας, ὑπῆρξε ἔργο μόνο τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Καθόσον δὲν ἔδωσε σ' αὐτὸν αὐτὴν τὴν ἀμοιβὴ ἐξ αἰτίας τῶν κατορθωμάτων του, ἀλλὰ πρὶν ἀκόμα τὸν δημιουργήσει τὸν στόλισε μὲ αὐτὴ τὴν τιμή. Διότι, γιὰ νὰ μὴ λέγεις, ὅτι ὁ ἄνθρωπος ἔγινε μετὰ ἀπὸ αὐτά, καὶ ὅτι, ἀφοῦ στὴ συνέχεια ἐπέτυχε πολλὰ κατορθώματα, ἀπέσπασε μὲ αὐτὰ τὸ Θεὸ στὸ νὰ δώσει σ' αὐτὸν τὴν ἐξουσία ἐπὶ τῶν θηρίων, τὴ στιγμὴ ποὺ πρόκειται νὰ πλάσει αὐτόν, κάμνει συζήτηση γιὰ τὴν ἐξουσία αὐτοῦ καὶ λέγει· «Ἂς δημιουργήσουμε ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα καὶ ὁμοίωση καὶ ἂς ἐξουσιάζει τὰ θηρία τῆς γῆς»[1]. Πρὶν ἀπὸ τὴ ζωὴ δίνεται ἡ τιμή, πρὶν ἀπὸ τὴ δημιουργία ὁ στέφανος, καὶ πρὶν ἀκόμα δημιουργηθεῖ ὁδηγεῖται στὸ βασιλικὸ θρόνο.

Πράγματι οἱ μὲν ἄνθρωποι τιμοῦν τοὺς συνανθρώπους τους, ὅταν φθάσουν σὲ βαθιὰ γηρατειά, ἀφοῦ ὑποστοῦν κατὰ τὴ διάρκεια εἰρήνης ἢ πολέμων πολλοὺς κόπους καὶ ἀμέτρητους κινδύνους, ὁ Θεὸς ὅμως δὲν ἐνεργεῖ ἔτσι, ἀλλ' ἀμέσως, μόλις δημιουργήθηκε ὁ ἄνθρωπος, ὁδήγησε αὐτὸν στὴν τιμὴ αὐτή, γιὰ νὰ δείξει ὅτι αὐτὸ ποὺ γίνεται δὲν ἀποτελεῖ ἀμοιβὴ γιὰ κατορθώματά του, ἀλλὰ θεία χάρη, καὶ ὄχι ὀφειλή. Ἡ μὲν λοιπὸν ἀνάληψη ἀπ' αὐτὸν τῆς ἐξουσίας εἶναι ἀποτέλεσμα μόνο

μόνης, τὸ δὲ ἐκπεσεῖν τῆς ἀρχῆς, ἀπὸ τῆς αὐτοῦ ῥᾳθυμίας. Ὥσπερ γὰρ οἱ βασιλεῖς τοὺς οὐχ ὑπακούοντας τοῖς αὐτῶν προστάγμασι παραλύουσι τῆς ἀρχῆς, οὕτω καὶ ὁ Θεὸς ἐποίησεν ἐπὶ τοῦ ἀνθρώπου τότε, παραλύσας αὐτὸν τῆς ἀρχῆς. Ἀναγκαῖον δὲ σήμερον εἰπεῖν, πόσην καὶ ἄλλην τιμὴν ἡ τῆς ἁμαρτίας παρείλετο φύσις, καὶ ὅσους δουλείας εἰσήγαγε τρόπους, ὥσπερ τις τύραννος ἐν πολυτρόποις δεσμοῖς, ταῖς παντοδαπαῖς ἀρχαῖς τὴν ἡμετέραν δεσμεύουσα φύσιν.

Ἔστι τοίνυν ἀρχὴ καὶ δουλεία πρώτη, καθ' ἣν καὶ γυναικῶν οἱ ἄνδρες κρατοῦσι· μετὰ γὰρ τὴν ἁμαρτίαν ἡ ταύτης ἐγένετο χρεία. Πρὸ γὰρ τῆς παρακοῆς ὁμότιμος ἦν τῷ ἀνδρί· καὶ γὰρ ὅτε ταύτην διέπλαττεν ὁ Θεός, οἷς ἐχρήσατο ῥήμασι καὶ ἐπὶ τῆς διαπλάσεως τοῦ ἀνδρός, τούτοις καὶ ἐπὶ τῆς δημιουργίας τῆς γυναικός. Ὥσπερ οὖν εἶπεν ἐπ' ἐκείνῳ, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν», καὶ οὐκ εἶπε, 'γενηθήτω ἄνθρωπος', οὕτω καὶ ἐπὶ ταύτης οὐκ εἶπε, 'γενηθήτω γυνή', ἀλλὰ καὶ ἐνταῦθα, «Ποιήσωμεν αὐτῷ βοηθόν· καὶ οὐχ ἁπλῶς βοηθόν, ἀλλά, «Κατ' αὐτόν», πάλιν τὸ ὁμότιμον δηλῶν. Ἐπειδὴ γὰρ πολλὴν εἰς τὴν τῆς ζωῆς ἡμῶν χρείαν τὰ ἄλογα τὴν τῆς βοηθείας εἰσήγαγε κοινωνίαν, ἵνα μὴ τῶν δούλων νομίσῃς εἶναι καὶ τὴν γυναῖκα, ὅρα πῶς ποιεῖ τὴν διάκρισιν φανεράν. «Ἤγαγε τὰ θηρία», φησίν, «ἐνώπιον τοῦ Ἀδάμ, καὶ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ κατ' αὐτόν». Τί οὖν; ὁ ἵππος οὐ βοηθός, συμπαρατασσόμενος ἐν τοῖς πολέμοις; ὁ βοῦς οὐ βοηθός, ἄροτρον ἕλκων καὶ συγκάμνων ἡμῖν ἐν ταῖς τῶν σπερμάτων καταβολαῖς; ὄνος καὶ ἡμίονος οὐ βοηθοί, πρὸς τὴν τῶν ἀγωγίμων ἡμῖν συμπράττοντες μετακομιδήν; Ἀλλ' ἵνα μὴ τοῦτο λέγῃς, διὰ τοῦτο ἀκριβῆ ποιεῖται τὴν διαίρεσιν. Οὐδὲ γὰρ εἶπεν ἁπλῶς, ὅτι 'οὐχ εὑρέθη αὐτῷ βοηθός, ἀλλ' ὅτι

1. Γέν. 1, 26. 2. Γέν. 2, 18. 3. Γέν. 2, 19-20.

τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ἡ δὲ ἔκπτωσή του ἀπὸ τὴν ἐξουσία προέρχεται ἀπὸ τὴν ἀδιαφορία του. Διότι ὅπως ἀκριβῶς οἱ βασιλεῖς ἀπολύουν ἀπὸ τὴν ἐξουσία ἐκείνους ποὺ δὲν ὑπακούουν στὰ προστάγματά τους, ἔτσι καὶ ὁ Θεὸς τότε ἐνήργησε στὴν περίπτωση τοῦ ἀνθρώπου, ἀπολύοντας αὐτὸν ἀπὸ τὴν ἐξουσία. Ἀνάγκη ὅμως εἶναι σήμερα νὰ ποῦμε καὶ πόση ἄλλη τιμὴ ἀφήρησε ἀπὸ τὸν ἄνθρωπο ἡ φύση τῆς ἁμαρτίας, καὶ πόσες μορφὲς δουλείας εἰσήγαγε, δεσμεύοντας τὴ φύση μας, σὰν κάποιος ἀκριβῶς τύραννος, μὲ παντὸς εἴδους δεσμά, μὲ παντὸς εἴδους ἐξουσίες.

Ὑπάρχει λοιπὸν ἐξουσία καὶ δουλεία πρώτη ἐκείνη κατὰ τὴν ὁποία οἱ ἄνδρες ἐξουσιάζουν τὶς γυναῖκες· διότι αὐτὴ ἡ ἐξουσία κατέστη ἀναγκαία μετὰ τὴν ἁμαρτία. Πρὶν δηλαδὴ ἀπὸ τὴν ἁμαρτία ἦταν ἡ γυναίκα ἰσότιμη μὲ τὸν ἄνδρα· καθόσον ὅταν ἔπλαθε αὐτὴν ὁ Θεός, τὰ λόγια ποὺ χρησιμοποίησε γιὰ τὴ διάπλαση τοῦ ἄνδρα, αὐτὰ χρησιμοποίησε καὶ γιὰ τὴ δημιουργία τῆς γυναίκας. Ὅπως ἀκριβῶς λοιπὸν εἶπε γιὰ ἐκεῖνον, «Ἂς δημιουργήσουμε ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα καὶ ὁμοίωση», καὶ δὲν εἶπε, 'Ἂς γίνει ἄνθρωπος', ἔτσι καὶ γι' αὐτὴν δὲν εἶπε, 'Ἂς γίνει γυναίκα', ἀλλὰ καὶ ἐδῶ λέγει, «Ἂς δημιουργήσουμε βοηθὸ γι' αὐτόν»[1]· καὶ ὄχι ἁπλῶς βοηθό, ἀλλά, «Ὅμοιο μ' αὐτόν»[2], γιὰ νὰ δείξει καὶ πάλι τὴν ἰσοτιμία. Ἐπειδὴ δηλαδὴ κατέστησε πολὺ μεγάλη τὴ συμμετοχὴ τῶν ἀλόγων ζώων στὴ βοήθεια τῶν ἀναγκῶν τῆς ζωῆς μας, γιὰ νὰ μὴ νομίσεις ὅτι καὶ ἡ γυναίκα ἀνήκει στοὺς δούλους, πρόσεχε πῶς κάμνει φανερὴ τὴ διάκριση. «Ὁδήγησε», λέγει, «τὰ θηρία μπροστὰ στὸν Ἀδὰμ καὶ δὲν βρέθηκε βοηθὸς γι' αὐτὸν ὅμοιος μὲ αὐτόν»[3]. Τί λοιπόν; ὁ ἵππος δὲν εἶναι βοηθός του καὶ δὲν παρατάσσεται μαζί του στοὺς πολέμους; τὸ βόδι δὲν εἶναι βοηθός μας σέρνοντας τὸ ἄροτρο καὶ ὑποφέροντας μαζί μας κατὰ τὴ σπορὰ τῶν σπερμάτων; ὁ ὄνος καὶ ὁ ἡμίονος δὲν εἶναι βοηθοί μας βοηθώντας μας στὴ μεταφορὰ τῶν φορτίων; Ἀλλὰ γιὰ νὰ μὴ λέγεις αὐτό, γι' αὐτὸ κάμνει τὴ διάκριση μὲ ἀκρίβεια. Διότι δὲν εἶπε ἁπλῶς, ὅτι 'δὲν βρέθηκε βοηθὸς γι' αὐτόν', ἀλλ' ὅτι

«Οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ». Οὕτω καὶ ἐνταῦθα, 'ποιήσωμεν αὐτῷ βοηθόν', οὐχ ἁπλῶς, ἀλλά, «ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν», εἶπε.

Ταῦτα δὲ πρὸ τῆς ἁμαρτίας· μετὰ δὲ τὴν ἁμαρτίαν, «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει». Ἐποίησά σε, φησίν, ὁμότιμον· οὐκ ἐχρήσω καλῶς τῇ ἀρχῇ· μετάβηθι πρὸς τὴν ὑποταγήν. Οὐκ ἤνεγκας τὴν εὐλευθερίαν· κατάδεξαι τὴν δουλείαν. Οὐκ οἶδας ἄρχειν, καὶ δι' αὐτῆς τῶν πραγμάτων ἔδειξας τῆς πείρας· γενοῦ τῶν ἀρχομένων, καὶ τὸν ἄνδρα ἐπίγνωθι κύριον. «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει». Καὶ ὅρα Θεοῦ ἐνταῦθα φιλανθρωπίαν. Ἵνα γὰρ μὴ ἀκούσασα τό, «Αὐτός σου κυριεύσει», φορτικὴν εἶναι νομίσῃ τὴν δεσποτείαν, πρότερον τὸ τῆς κηδεμονίας ἔθηκεν ὄνομα εἰπών, «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου», τουτέστιν, ἡ καταφυγή σου καὶ ὁ λιμὴν καὶ ἡ ἀσφάλεια ἐκεῖνος ἔσται σοι· ἐν πᾶσι τοῖς ἐπιοῦσι δεινοῖς πρὸς ἐκεῖνον ἀποστρέφεσθαι καὶ καταφεύγειν σοι δίδωμι. Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ φυσικαῖς αὐτοὺς συνέδησεν ἀνάγκαις, καθάπερ ἄρρηκτόν τινα δεσμόν, τὴν ἐκ τῆς ἐπιθυμίας περιβαλὼν αὐτοῖς ἄλυσιν.

Εἶδες πῶς εἰσήγαγε μὲν τὴν ὑποταγὴν ἡ ἁμαρτία, ὁ δὲ εὐμήχανος καὶ σοφὸς Θεὸς καὶ τούτοις πρὸς τὸ συμφέρον ἡμῖν ἀπεχρήσατο; Ἄκουσον πῶς καὶ Παῦλος περὶ ταύτης λέγει τῆς ὑποταγῆς, ἵνα μάθῃς πάλιν Παλαιᾶς καὶ Καινῆς τὴν συμφωνίαν. «Γυνή», φησίν, «ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ». Εἶδες καὶ αὐτὸν ὑποτάξαντα τῷ ἀνδρὶ τὴν γυναῖκα; Ἀλλ' ἀνάμεινον, καὶ τὴν αἰτίαν ἀκούσῃ. Διὰ τί ἐν πάσῃ ὑποταγῇ; «Γυναῖκα» γάρ, φησί, «διδάσκειν οὐκ ἐπιτρέπω». Διὰ τί; Ἐδίδαξε γὰρ ἅπαξ κακῶς τὸν Ἀδάμ. «Οὐδὲ αὐθεντεῖν τοῦ ἀνδρός». Τί δήποτε; Καὶ γὰρ ηὐθέντησεν ἅπαξ κακῶς. «Ἀλλ' εἶναι ἐν ἡσυχίᾳ». Ἀλλ' εἶπε καὶ τὴν αἰτίαν.

«Δὲν βρέθηκε βοηθὸς ὅμοιος μὲ αὐτόν». Ἔτσι καὶ ἐδῶ δὲν εἶπε ἁπλῶς, 'ἂς δημιουργήσουμε βοηθὸ γι' αὐτόν', ἀλλ' εἶπε, «Ἂς δημιουργήσουμε γι' αὐτὸν βοηθὸ ὅμοιο μ' αὐτόν».

Καὶ αὐτὰ μὲν λέγει πρὶν ἀπὸ τὴν ἁμαρτία, μετὰ δὲ τὴν ἁμαρτία λέγει· «Θὰ ἐξαρτᾶσαι ἀπὸ τὸν ἄνδρα σου καὶ αὐτὸς θὰ σὲ ἐξουσιάζει»[4]. Σὲ δημιούργησα, λέγει, ἰσότιμη· δὲν ἔκαμες καλὴ χρήση τῆς ἐξουσίας· πήγαινε στὴν ὑποταγή· δὲν ὑπέφερες τὴν ἐλευθερία· καταδέξου τὴ δουλεία. Δὲν γνωρίζεις νὰ ἐξουσιάζεις καὶ τὸ ἔδειξες μὲ τὰ ἴδια τὰ πράγματα· γίνε μία ἀπὸ τὰ ἐξουσιαζόμενα καὶ νὰ ἔχεις τὸν ἄνδρα σου κύριό σου· «Νὰ ἐξαρτᾶσαι ἀπὸ τὸν ἄνδρα σου καὶ αὐτὸς νὰ εἶναι ὁ κύριός σου»[4]. Καὶ πρόσεχε ἐδῶ τὴ φιλανθρωπία τοῦ Θεοῦ. Γιὰ νὰ μὴ θεωρήσει δηλαδὴ βαριὰ τὴν ἐξουσία ἀκούοντας τό, «Αὐτὸς θὰ εἶναι ὁ κύριός σου», πρῶτα ἀνέφερε τὸ ὄνομα τῆς κηδεμονίας, λέγοντας, «Ἀπὸ τὸν ἄνδρα σου νὰ ἐξαρτᾶσαι», δηλαδὴ ἐκεῖνος θὰ εἶναι τὸ καταφύγιό σου καὶ ὁ λιμένας σου καὶ ἡ ἀσφάλειά σου· σ' ἀφήνω σ' ὅλα τὰ ἐπερχόμενα κακὰ νὰ ἔχεις αὐτὸν προστάτη καὶ καταφύγιο. Καὶ ὄχι μόνο μὲ τὸν τρόπο αὐτό, ἀλλὰ καὶ μὲ φυσικὲς ἀνάγκες συνέδεσε αὐτούς, σὰν ἀκριβῶς μὲ κάποιο ἀδιάσπαστο δεσμό, περιβάλλοντας αὐτοὺς μὲ τὴν ἁλυσίδα τῆς ἐπιθυμίας.

Εἶδες πῶς ἐπέφερε μὲν τὴν ὑποταγὴ ἡ ἁμαρτία, ἐνῶ ὁ εὐμήχανος καὶ σοφὸς Θεὸς μεταχειρίσθηκε καὶ αὐτὰ γιὰ τὸ συμφέρον μας; Ἄκουσε πῶς καὶ ὁ Παῦλος ὁμιλεῖ γι' αὐτὴν τὴν ὑποταγή, γιὰ νὰ μάθεις πάλι τὴ συμφωνία τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης. «Ἡ γυναίκα», λέγει, νὰ δέχεται τὴ διδασκαλία μὲ ἡσυχία καὶ κάθε ὑποταγή»[5]. Εἶδες καὶ αὐτὸν ποὺ ὑπέταξε τὴ γυναίκα στὸν ἄδρα; Ἀλλὰ περίμενε καὶ θ' ἀκούσεις καὶ τὴν αἰτία. Γιατί «μὲ κάθε ὑποταγή»; Διότι, λέγει, «Δὲν ἐπιτρέπω τὴ γυναίκα νὰ διδάσκει». Γιατί; Διότι δίδαξε τὸν Ἀδὰμ μιὰ φορὰ κακῶς. «Οὔτε νὰ γίνεται ἐξουσιαστὴς τοῦ ἄνδρα»[6]. Γιατί τέλος πάντων; Καθόσον ἄσκησε ἐπάνω του ἐξουσία μιὰ φορὰ κακῶς. «Ἀλλὰ νὰ σιωπᾶ». Εἶπε ὅμως καὶ τὴν αἰτία. Διότι, λέ-

4. Γέν. 3, 16. 5. Α' Τιμ. 2, 11. 6. Α' Τιμ. 2, 12.

«Ἀδὰμ» γάρ, φησίν, «οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε». Διὰ τοῦτο αὐτὴν ἀπὸ τοῦ τῆς διδασκαλίας κατεβίβασε θρόνου. Ὁ γὰρ διδάσκειν οὐκ εἰδώς, μανθανέτω, φησίν· εἰ δὲ μὴ βούλοιτο μανθάνειν, ἀλλὰ διδάσκειν ἐθέλοι, καὶ ἑαυτὸν καὶ τοὺς μανθάνοντας προσαπολεῖ· ὅπερ οὖν καὶ ἐπὶ τῆς γυναικὸς τότε γέγονεν. Ἀλλ' ὅτι μὲν ὑποτέτακται τῷ ἀνδρί, καὶ διὰ τὴν ἁμαρτίαν ὑπετάγη, δῆλον ἐντεῦθεν, βούλομαι δὲ ἐκεῖνο ἀκοῦσαι, τό, «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει».

2. Βούλομαι μαθεῖν πῶς καὶ περὶ τῆς κηδεμονίας ταύτης ὁ Παῦλος διαλέγεται, καὶ τὴν δεσποτείαν ἀναμίγνυσι τῇ φιλοστοργίᾳ. Ποῦ οὖν τοῦτο ποιεῖ; Κορινθίοις ἐπιστέλλων φησίν· «Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας»· ἰδοὺ τό, «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου». «Αἱ γυναῖκες ἵνα φοβῶνται τοὺς ἄνδρας»· ἰδοὺ τό, «Αὐτός σου κυριεύσει». Εἶδες πῶς ἀνεπαχθὴς ἡ δεσποτεία, ὅταν ἐραστὴς μανικὸς τῆς δουλευούσης ὁ δεσπότης ᾖ, ὅταν φόβος ᾖ μετὰ ἀγάπης; Οὕτω γὰρ τὸ φορτικὸν ἀνῄρηται τῆς δουλείας. Μίαν μὲν οὖν εἰσήγαγε τὴν ἀρχὴν ἡ παρακοή. Μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι πρὸς τὸ δέον ἐρρύθμισεν αὐτὴν ὁ Θεός, ἀλλ' ὅτι αὐτὴν τῆς δουλείας τὴν φύσιν ἡ ἁμαρτία κατεσκεύασεν· ἥ ἐστι καὶ δεύτερον δουλείας εἶδος τοῦ προτέρου φορτικώτερον, καὶ αὐτὸ δὲ τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ἐκ τῆς ἁμαρτίας ἔχει.

Μετὰ γὰρ τὸν κατακλυσμὸν τὸν ἐπὶ τοῦ Νῶε, καὶ τὸ κοινὸν τῆς οἰκουμένης ἁπάσης ναυάγιον καὶ τὴν πανωλεθρίαν ἐκείνην, ἥμαρτεν εἰς τὸν γεγεννηκότα ὁ Χάμ, καὶ γυμνωθέντα ἰδὼν τὸν πατέρα, μᾶλλον ἐγύμνωσε τῇ πρὸς τοὺς ἀδελφοὺς κατηγορίᾳ, καὶ ἐντεῦθεν οἰκέτης ἐγένετο τῶν ἀδελφῶν. Ἐλυμήνατο γὰρ τῆς φύσεως τὴν εὐγένειαν ἡ τῆς

---

7. Α' Τιμ. 2, 14.
8. Ἐφ. 5, 25. Ἐσφαλμένα γράφηκε Κορινθίοις.
9. Ἐφ. 5, 33.
10. Γεν. 9, 20 ἑ.

γει, «Ὁ Ἀδὰμ δὲν ἀπατήθηκε, ἡ δὲ γυναίκα ἀπατήθηκε καὶ παρέβηκε τὴν ἐντολὴ τοῦ Θεοῦ»[7]. Γι' αὐτὸ κατέβασα αὐτὴν ἀπὸ τὸ θρόνο τῆς διδασκαλίας. Διότι ἐκεῖνος, λέγει, ποὺ δὲν γνωρίζει νὰ διδάσκει, ἂς διδάσκεται· ἐὰν ὅμως δὲν θὰ ἤθελε νὰ διδάσκεται, ἀλλὰ θὰ ἤθελε νὰ διδάσκει, θὰ ζημιώσει καὶ τὸν ἑαυτό του καὶ τοὺς διδασκομένους, πράγμα λοιπὸν ποὺ συνέβηκε τότε καὶ μὲ τὴ γυναίκα. Ἀλλὰ τὸ ὅτι μὲν ἔχει ὑποταχθεῖ στὸν ἄνδρα, καὶ ὑποτάχθηκε ἐξ αἰτίας τῆς ἁμαρτίας, γίνεται φανερὸ ἀπὸ αὐτά, θέλω ὅμως καὶ αὐτὸ νὰ ἀκούσετε, τὸ «Ὁ ἄνδρας σου θὰ εἶναι τὸ καταφύγιό σου καὶ αὐτὸς θὰ σὲ ἐξουσιάζει».

2. Θέλω νὰ μάθετε τί λέγει ὁ Παῦλος καὶ γιὰ τὴν κηδεμονία αὐτὴ καὶ πῶς ἀναμιγνύει τὴν ἀξουσία μὲ τὴ φιλοστοργία. Ποῦ λοιπὸν τὸ κάμνει αὐτό; Γράφοντας πρὸς τοὺς Κορινθίους λέγει· «Οἱ ἄνδρες νὰ ἀγαπᾶτε τὶς γυναῖκες σας»[8]· νὰ τὸ «Ὁ ἄνδρας θὰ εἶναι τὸ καταφύγιό σου». «Οἱ γυναῖκες ὀφείλουν νὰ φοβοῦνται τοὺς ἄνδρες»[9]· νὰ τὸ «Αὐτὸς θὰ εἶναι ὁ κύριος σου». Εἶδες πῶς ἡ ἐξουσία εἶναι ἐλαφριά, ὅταν ὁ κύριος τῆς δούλης εἶναι μανικὸς ἐραστής, ὅταν ὑπάρχει φόβος μαζὶ μὲ τὴν ἀγάπη; Διότι ἔτσι ἐξαφανίζεται τὸ βάρος τῆς δουλείας. Μιὰ λοιπὸν ἐξουσία εἰσήγαγε ἡ παρακοή. Διότι βέβαια μὴ προσέξεις αὐτό, τὸ ὅτι ὁ Θεὸς ρύθμισε αὐτὴν κατὰ τὸν ὀρθὸ αὐτὸ τρόπο, ἀλλ' ὅτι ἡ ἁμαρτία προξένησε τὴ φύση τῆς δουλείας· αὐτὴ εἶναι τὸ δεύτερο εἶδος τῆς δουλείας ποὺ εἶναι βαρύτερο ἀπὸ τὸ προηγούμενο, καὶ αὐτὸ δὲ ἔχει τὴν ἀρχὴ καὶ τὴν ἀφορμὴ στὴν ἁμαρτία.

Μετὰ δηλαδὴ τὸν κατακλυσμὸ τῶν χρόνων τοῦ Νῶε καὶ τὸ γενικὸ ναυάγιο ὅλης τῆς οἰκουμένης καὶ τὴν ὁλοκληρωτικὴ ἐκείνη καταστροφή, ἁμάρτησε ὁ Χὰμ ἀπέναντι στὸν πατέρα του, διότι βλέποντας γυμνὸ τὸν πατέρα του, περισσότερο τὸν γύμνωσε μὲ τὴν κατηγορία πρὸς τοὺς ἀδελφούς του, καὶ ἐξ αἰτίας αὐτοῦ ἔγινε δοῦλος τῶν ἀδελφῶν του[10]. Διότι κατέστρεψε τὴν εὐγένεια τῆς φύσεως ἡ κακία τῆς διαθέσεως· καὶ πολὺ σω-

προαιρέσεως πονηρία· καὶ μάλα εἰκότως. Ἡ μὲν οὖν Γραφὴ μυρίας ὑπὲρ τοῦ δικαίου συντίθησιν ἀπολογίας, μᾶλλον δὲ ἑνὶ ρήματι πᾶσαν αὐτῷ δίδωσι συγγνώμην. «Ἤρξατο» γάρ, φησί, «Νῶε ἄνθρωπος γεωργός». Τὸ δέ, «Ἤρξατο», τοῦτο πολλὴν ἔχει τὴν ἀπολογίαν τὴν ἐπὶ τῇ μέθῃ. Οὔτε γὰρ πόσον πιεῖν ἐχρῆν τὸν οἶνον ᾔδει, οὔτε πῶς πιεῖν, ἄκρατον, ἢ μεμιγμένον ὕδατι, οὔτε πότε πιεῖν, εὐθέως τῶν ὑποληνίων ἐξαντληθέντα, ἢ μικρὸν ἀναμείναντα χρόνον.

Ἡ μὲν οὖν Γραφὴ διὰ τούτων ἀπολογεῖται ὑπὲρ τοῦ Νῶε, ὁ δὲ ἐξ αὐτοῦ γεννηθείς, ὁ δι' ἐκείνου σωθεὶς (διὰ γὰρ τὴν εἰς τὸν πατέρα τιμὴν οὐ συναπώλετο τῷ τῶν λοιπῶν κλυδωνίῳ), οὐ πρὸς τὴν φύσιν ἰδὼν αὐτήν, οὐ τῆς σωτηρίας ἀναμνησθείς, οὐ τῷ φόβῳ σωφρονισθείς, ὁρῶν ἔτι τὰ λείψανα τῆς τοῦ Θεοῦ μένοντα ὀργῆς, καὶ τῆς συμφορᾶς τὰ ἴχνη φαινόμενα, καὶ τὸν τῶν γεγενημένων ἀκμάζοντα φόβον, ἐξύβρισεν εἰς τὸν γεγεννηκότα. Διὰ τοῦτο καί τις σοφὸς παραινεῖ λέγων· «Μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου· οὐ γάρ ἐστί σοι δόξα πατρὸς ἀτιμία». Ἀλλ' οὐδὲ τοῦτο ἔγνω ἐκεῖνος, ἀλλ' ἥμαρτεν ἁμαρτίαν πάσης συγγνώμης καὶ ἀπολογίας μείζονα. Διὰ τοῦτο τιμωρίαν ἔδωκε τῆς ἁμαρτίας τὴν δουλείαν, καὶ τῶν ἀδελφῶν οἰκέτης ἐγένετο, καὶ τὴν ἀπὸ τῆς φύσεως προεδρίαν τῇ τῆς γνώμης κακίᾳ προέδωκεν. Ἰδοὺ καὶ δεύτερος δουλείας τρόπος.

Βούλει καὶ τρίτον μαθεῖν; Φορτικώτερος δὲ οὗτος τῶν δύο τῶν προτέρων ἐστί, καὶ πολὺ φοβερώτερος. Ἐπειδὴ γὰρ ἐκείνοις οὐκ ἐσωφρονίσθη, ἐπέτεινεν ἡμῖν ὁ Θεὸς τὰ δεσμά. Τίς οὖν οὗτος ἐστιν; Ὁ τῶν ἀρχόντων, ὁ τῶν ἐξουσιῶν· οὐ τοιοῦτος, οἷος ὁ τῆς γυναικός, οὐδὲ τοιοῦτος, οἷος ὁ τῶν δούλων, ἀλλὰ πολλῷ φοβερώτερος. Ξίφη γάρ ἐστιν ἰδεῖν ἠκονημένα πανταχοῦ, δημίους, κολάσεις, βασανιστήρια, τιμωρίας, τὴν μέχρι θανάτου καὶ ζωῆς ἐξουσίαν.

11. Σοφ. Σειρὰχ 3, 10.

στά. Ἡ μὲν λοιπὸν Γραφὴ ἀναφέρει πολλὲς δικαιολογίες γιὰ τὸν δίκαιο, μᾶλλον δὲ μὲ ἕνα λόγο δίνει σ' αὐτὸν κάθε συγχώρηση. Διότι, λέγει, «Ἄρχισε ὁ Νῶε νὰ ἀσχολεῖται μὲ τὴ γεωργία»[10]. Αὐτὸ δὲ τό, «Ἄρχισε», ἀποτελεῖ μεγάλη δικαιολογία γιὰ τὴ μέθη του. Διότι οὔτε γνώριζε πόσο κρασὶ ἔπρεπε νὰ πιεῖ, οὔτε πῶς νὰ τὸ πιεῖ, ἀνόθευτο ἢ ἀνακατεμένο μὲ νερό, οὔτε πότε νὰ τὸ πιεῖ, μόλις εἶχε ἀντληθεῖ ἀπὸ τὸ πατητήρι τῶν σταφυλιῶν, ἢ νὰ περιμένει λίγο χρόνο.

Ἡ μὲν λοιπὸν Γραφὴ μὲ αὐτὰ δικαιολογεῖ τὸν Νῶε, ἐκεῖνος δὲ ποὺ γεννήθηκε ἀπὸ αὐτόν, ποὺ σώθηκε ἐξ αἰτίας ἐκείνου (διότι ἐξ αἰτίας τῆς τιμῆς πρὸς τὸν πατέρα του δὲν πέθανε μαζὶ μὲ τοὺς ὑπόλοιπους κατὰ τὸν κατακλυσμό), μὴ βλέποντας πρὸς τὴν ἴδια τὴ φύση, μὴ φέροντας στὴ μνήμη του τὴ σωτηρία, καὶ χωρὶς νὰ σωφρονισθεῖ ἀπὸ τὸ φόβο, βλέποντας ἀκόμα τὰ λείψανα τῆς ὀργῆς τοῦ Θεοῦ νὰ ὑπάρχουν, καὶ τὰ ἴχνη τῆς συμφορᾶς νὰ φαίνονται, καὶ τὸ φόβο ἀπὸ τὰ ὅσα εἶχαν συμβεῖ νὰ βρίσκεται στὴν ἀκμή του, συμπεριφέρθηκε προσβλητικὰ πρὸς τὸν πατέρα του. Γι' αὐτὸ καὶ κάποιος σοφὸς συμβουλεύει μὲ τὰ ἑξῆς λόγια· «Μὴ προσπαθεῖς ν' ἀποκτήσεις δόξα ἀτιμάζοντας τὸν πατέρα σου· διότι δὲν ἀποτελεῖ δόξα σου ἡ ἀτίμωση τοῦ πατέρα σου»[11]. Ὅμως οὔτε αὐτὸ δὲν τὸ γνώριζε ἐκεῖνος, ἀλλὰ διέπραξε ἁμαρτία πάνω ἀπὸ κάθε συγγνώμη καὶ ἀπολογία. Γι' αὐτὸ τιμωρήθηκε γιὰ τὴν ἁμαρτία του μὲ τὴ δουλεία, καὶ ἔγινε δοῦλος τῶν ἀδελφῶν του, καὶ τὴν ἐξουσία ποὺ τοῦ εἶχε δοθεῖ ἀπὸ τὴ φύση τὴν πρόδωσε μὲ τὴν κακία τῆς διαθέσεώς του. Αὐτὴ εἶναι ἡ δεύτερη μορφὴ δουλείας.

Θέλεις νὰ μάθεις καὶ τρίτη μορφὴ δουλείας; Αὐτὴ εἶναι βαρύτερη ἀπὸ τὶς δύο προηγούμενες καὶ πολὺ φοβερότερη. Διότι, ἐπειδὴ ἐκεῖνος δὲν σωφρονίσθηκε, ἐπεξέτεινε ὁ Θεὸς τὰ δεσμὰ σ' ἐμᾶς. Ποιὰ λοιπὸν εἶναι αὐτὴ ἡ μορφὴ δουλείας; Εἶναι ἡ τῶν ἀρχόντων, ἡ τῶν ἐξουσιῶν· δὲν εἶναι τέτοια, ὅπως ἡ τῆς γυναίκας, οὔτε τέτοια, ὅπως ἡ τῶν δούλων, ἀλλὰ πολὺ φοβερότερη. Διότι εἶναι δυνατὸ νὰ δεῖ κανεὶς παντοῦ ξίφη ἀκονισμένα, δήμιους, κολάσεις, βασανιστήρια, τιμωρίες, τὴν ἐξουσία μέχρι

Καὶ ὅτι καὶ οὗτος τῆς ἀρχῆς ὁ τρόπος ἀναγκαῖος διὰ τὴν ἁμαρτίαν ἐγένετο, ἄκουσον πάλιν αὐτοῦ τοῦ Παύλου περὶ τούτου φιλοσοφοῦντος. «Εἰ δὲ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει», φησί, «καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ».

Ὁρᾷς ὅτι διὰ τοὺς τὸ κακὸν πράττοντας καὶ ἄρχων καὶ μάχαιρα; Ἄκουσον γοῦν σαφέστερον τοῦτο πάλιν. «Ἔκδικος» γάρ, φησίν, «ἔστι τῷ τὸ κακὸν πράσσοντι». Καὶ οὐκ εἶπεν, οὐ γὰρ εἰκῇ ἄρχων ἐστίν· ἀλλὰ τί; «Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ». Ὡπλισμένον σοι τὸν δικαστὴν ἐπέστησε. Καθάπερ γὰρ φιλόστοργος πατὴρ παῖδας εἰς αὐτὸν ῥᾳθυμοῦντας, καὶ διὰ τὴν πατρικὴν φιλοστοργίαν καταφρονοῦντας αὐτοῦ, διὰ τὴν ἀγαθότητα παιδαγωγοῖς καὶ διδασκάλοις ἐκδίδωσι φοβεροῖς, οὕτω καὶ ὁ Θεὸς τὴν φύσιν τὴν ἡμετέραν καταφρονοῦσαν αὐτοῦ, διὰ τὴν ἀγαθότητα, καθάπερ διδασκάλοις καὶ παιδαγωγοῖς, τοῖς ἄρχουσιν ἐξέδωκεν, ὥστε αὐτοὺς ἐπιστρέψαι αὐτῶν τὴν ῥᾳθυμίαν. Ἀλλ', εἰ βούλεσθε, καὶ ἀπὸ τῆς Παλαιᾶς αὐτὸ τοῦτο ἴδωμεν, ὅτι διὰ τὴν πονηρίαν τὴν ἡμετέραν καὶ τῆς ἀρχῆς ἐγένετο χρεία ταύτης. Τῶν προφητῶν τις παροξυνόμενος ἐπὶ τοῖς ἀδίκοις, οὕτω πώς φησι· «Παρασιωπήσεις ἐν τῷ καταπίνειν τὸν ἀσεβῆ τὸν δίκαιον, καὶ ποιήσεις τοὺς ἀνθρώπους, ὡς τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ ὡς ἑρπετὰ οὐκ ἔχοντα ἡγούμενον;».

Οὐκοῦν διὰ τοῦτο ἡγούμενος, ἵνα μὴ ὡς ἑρπετὰ ὦμεν· διὰ τοῦτο ἄρχων, ἵνα μὴ ὡς οἱ ἰχθύες καταπίνωμεν ἀλλήλους. Ὥσπερ γὰρ διὰ τὰ νοσήματα τὰ φάρμακα, οὕτω διὰ τὰ ἁμαρτήματα αἱ κολάσεις. Ἐπεὶ ὅτι γε ὁ συζῶν ἀρετῇ τῆς ἐκεῖθεν ἐπιστασίας οὐ δεῖται, ἄκουσον τί φησιν ὁ Παῦλος· «Εἰ δὲ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς». Θεατής σου, φησίν, ὁ δικαστής

θανάτου καὶ ζωῆς. Καὶ τὸ ὅτι καὶ αὐτὴ ἡ μορφὴ τῆς ἐξουσίας ὑπῆρξε ἀναγκαία γιὰ τὴν ἁμαρτία, ἄκουσε πάλι τὸν ἴδιο τὸν Παῦλο νὰ φιλοσοφεῖ γι' αὐτό. «'Εὰν δὲ θέλεις νὰ μὴ φοβᾶσαι τὴν ἐξουσία, κάμνε τὸ καλό», λέγει, «καὶ θὰ ἔχεις τὸν ἔπαινο αὐτῆς. 'Εὰν δὲ πράττεις τὸ κακό, νὰ φοβᾶσαι· διότι δὲν φορεῖ τυχαῖα τὴ μάχαιρα»[12].

Βλέπεις ὅτι γιὰ ἐκείνους ποὺ πράττουν τὸ κακὸ ὑπάρχει καὶ ἄρχοντας καὶ μάχαιρα; Ἄκουσε λοιπὸν σαφέστερα πάλι αὐτό. Διότι, λέγει, «Εἶναι τιμωρὸς ἐκείνου ποὺ πράττει τὸ κακό». Καὶ δὲν εἶπε, 'διότι δὲν εἶναι τυχαῖα ἄρχοντας', ἀλλὰ τί; «Διότι δὲν φέρει τυχαῖα τὴ μάχαιρα». Σοῦ τοποθέτησε τὸ δικαστὴ ὁπλισμένο. Διότι, ὅπως ἀκριβῶς ὁ φιλόστοργος πατέρας ποὺ ἔχει παιδιὰ ἀδιάφορα καὶ ποὺ τὸν περιφρονοῦν ἐξ αἰτίας τῆς πατρικῆς φιλοστοργίας, ἐξ αἰτίας τῆς ἀγαθότητάς του τὰ παραδίνει σὲ παιδαγωγοὺς καὶ δασκάλους φοβερούς, ἔτσι καὶ ὁ Θεὸς τὴ φύση μας ποὺ τὸν περιφρόνησε, ἐξ αἰτίας τῆς ἀγαθότητάς του, τὴν παρέδωσε στοὺς ἄρχοντες, σὰν ἀκριβῶς σὲ δασκάλους καὶ παιδαγωγούς, ὥστε νὰ ἐπαναφέρουν ἀπὸ τὴν ἀδιαφορία τοὺς ἀνθρώπους. 'Αλλά, ἂν θέλετε, ἂς-δοῦμε αὐτὸ καὶ ἀπὸ τὴν Παλαιὰ Διαθήκη, ὅτι δηλαδὴ ἐξ αἰτίας τῆς κακίας μας χρησιμοποιήθηκε καὶ αὐτὴ ἡ ἐξουσία. Κάποιος ἀπὸ τοὺς προφῆτες παροργιζόμενος ἀπὸ τοὺς ἄδικους, λέγει τὰ ἑξῆς· «Θὰ παραβλέψεις τὸν ἀσεβὴ ποὺ καταπίνει τὸν δίκαιο, καὶ θὰ καταστήσεις τοὺς ἀνθρώπους σὰν τὰ ψάρια τῆς θάλασσας καὶ σὰν τὰ ἑρπετὰ ποὺ δὲν ἔχουν ἀρχηγό;»[13].

Λοιπὸν γι' αὐτὸ ὑπάρχει ἀρχηγός, γιὰ νὰ μὴ εἴμαστε σὰν τὰ ἑρπετά· γι' αὐτὸ ὑπάρχει ἄρχοντας, γιὰ νὰ μὴ καταπίνουμε σὰν τὰ ψάρια ὁ ἕνας τὸν ἄλλο. Διότι ὅπως ἀκριβῶς ὑπάρχουν τὰ φάρμακα γιὰ τὰ νοσήματα, ἔτσι ὑπάρχουν καὶ οἱ τιμωρίες γιὰ τὰ ἁμαρτήματα. Διότι τὸ ὅτι βέβαια ἐκεῖνος ποὺ ζεῖ ἐνάρετα δὲν ἔχει ἀνάγκη τῆς ἐπιστασίας ἐκείνης, ἄκουσε τί λέγει ὁ Παῦλος· «'Εὰν δὲ θέλεις νὰ μὴ φοβᾶσαι τὴν ἐξουσία, κάμνε τὸ καλό, καὶ θὰ ἔχεις τὸν ἔπαινο αὐτῆς»[14]. Θεατής σου, λέγει, εἶ-

12. Ρωμ. 13, 3-4. 13. 'Αββακ. 1, 13-14. 14. Ρωμ. 13, 3.

ἐστιν. Ἐὰν ὀρθῶς ζῇς, οὐ θεατὴς μόνον, ἀλλὰ καὶ ἐπαινέτης. Καὶ τί λέγω τὴν ἀπὸ τῶν ἀρχόντων χρείαν, ὅπου γε καὶ ἑτέρων μειζόνων ἀνώτεροι οἱ φιλοσοφίαν διώκοντές εἰσιν; Ἄρχοντες γὰρ ἀρχόντων εἰσὶν οἱ νόμοι. Ἀλλ' ὅμως οὐδὲ νόμων δεῖται ὁ μετ' ἐπιεικείας ζῶν· καὶ τοῦτο ἄκουσον τοῦ Παύλου λέγοντος, «δικαίῳ νόμος οὐ κεῖται». Εἰ δὲ νόμος οὐ κεῖται, πολλῷ μᾶλλον ἄρχων οὐκ ἐφέστηκεν. Ἰδοὺ τρίτος ἀρχῆς τρόπος, καὶ οὗτος ἀπὸ τῆς ἁμαρτίας καὶ πονηρίας ἔχων τὴν ὑπόθεσιν.

3 Πῶς οὖν ὁ Παῦλός φησιν, ὅτι «Οὐκ ἔστιν ἐξουσία, εἰ μὴ ἀπὸ Θεοῦ»; Ὅτι αὐτὸς αὐτὴν πρὸς τὸ λυσιτελὲς ἡμῖν κατέστησεν. Εἰσήγαγε μὲν γὰρ αὐτῆς τὴν χρείαν ἡ ἁμαρτία, ὁ δὲ Θεὸς πρὸς τὸ συμφέρον ἡμῖν ἀπεχρήσατο. Καὶ καθάπερ ἡ χρεία τῶν φαρμάκων ἀπὸ τῶν τραυμάτων γίνεται, ἡ δὲ ἐπαγωγὴ τῶν φαρμάκων ἀπὸ τῆς τῶν ἰατρῶν σοφίας, οὕτω καὶ ἡ χρεία τῆς δουλείας ἀπὸ τῆς ἁμαρτίας γέγονε, τὸ δὲ εἰς δέον αὐτὴν ρυθμίσαι, ἀπὸ τῆς τοῦ Θεοῦ σοφίας. Ἀλλὰ γὰρ διανάστητε, καὶ τὴν ρᾳθυμίαν ἀπόθεσθε. Τίνος ἕνεκα τοῦτο λέγω; Περὶ Γραφῶν ὑμῖν διηγούμεθα, ὑμεῖς δὲ τοὺς ὀφθαλμοὺς ἀποστήσαντες ἡμῶν, πρὸς τὰς λαμπάδας καὶ τὸν τὰς λαμπάδας ἅπτοντα μετεστήσατε. Καὶ πόσης τοῦτο ρᾳθυμίας, ἡμᾶς ἀφέντας τούτῳ προσέχειν; Πῦρ ἀνάπτω κἀγὼ τὸ ἀπὸ τῶν Γραφῶν, καὶ ἐπὶ τῆς γλώττης τῆς ἡμετέρας λαμπάδιον καίεται τὸ τῆς διδασκαλίας. Τοῦτο μεῖζον καὶ βέλτιον τὸ φῶς ἐκείνου τοῦ φωτός· οὐ γὰρ δὴ θρυαλλίδα διάβροχον ἐλαίῳ, καθάπερ οὗτος, ἐξάπτομεν, ἀλλὰ ψυχὰς ἐν εὐσεβείᾳ ἀρδομένας τῇ τῆς ἀκροάσεως ἀνάπτομεν ἐπιθυμίᾳ.

Διελέγετό ποτε καὶ ὁ Παῦλος ἐν ὑπερῴῳ τινί. Ἀλλὰ μηδεὶς νομιζέτω με Παύλῳ παραβάλλειν ἐμαυτόν, οὐ γὰρ

---

15. Α' Τιμ. 1, 9. 16. Ρωμ. 13, 1.

ναι ὁ δικαστής. Ἐὰν ζεῖς ὀρθά, δὲν εἶναι μόνο θεατής σου, ἀλλὰ καὶ ἐπαινέτης σου. Καὶ γιατί ἀναφέρω τὴ χρησιμότητα τῶν ἀρχόντων, τὴ στιγμὴ βέβαια ποὺ ἐκεῖνοι ποὺ ἐπιδιώκουν νὰ ζοῦν μὲ εὐσέβεια εἶναι ἀνώτεροι καὶ ἀπὸ ἄλλους πιὸ μεγάλους; Διότι ἄρχοντες τῶν ἀρχόντων εἶναι οἱ νόμοι. Ἀλλ' ὅμως οὔτε νόμους χρειάζεται ἐκεῖνος ποὺ ζεῖ μὲ πραότητα· καὶ αὐτὸ ἄκουσέ το ἀπὸ τὸν Παῦλο ποὺ λέγει· «Ὁ νόμος δὲν θεσπίσθηκε γιὰ τὸν δίκαιο»[15]. Ἐὰν δὲ ὁ νόμος δὲν θεσπίσθηκε γιὰ τὸν δίκαιο, πολὺ περισσότερο δὲν εἶναι ἀναγκαία ἡ παρουσία τοῦ ἄρχοντα. Νὰ καὶ τρίτη μορφὴ ἐξουσίας καὶ ποὺ ἔχει αὐτὴ τὴν ἀρχή της στὴν ἁμαρτία καὶ τὴν κακία.

3. Πῶς λοιπὸν ὁ Παῦλος λέγει, ὅτι «Δὲν ὑπάρχει ἄλλη ἐξουσία, παρὰ μόνο αὐτὴ ποὺ προέρχεται ἀπὸ τὸ Θεό»[16]; Διότι αὐτὸς ἔδωσε αὐτὴν γιὰ τὸ δικό μας καλό. Διότι εἰσήγαγε μὲν αὐτῆς τὴν ἀνάγκη ἡ ἁμαρτία, ὁ Θεὸς ὅμως τὴ χρησιμοποίησε γιὰ τὸ συμφέρον μας. Καὶ ὅπως ἀκριβῶς ἡ ἀνάγκη τῶν φαρμάκων ἀπὸ τὰ τραύματα δημιουργεῖται, ἡ δὲ κατάλληλη χορήγηση τῶν φαρμάκων γίνεται ἀπὸ τὴ σοφία τῶν ἰατρῶν, ἔτσι καὶ ἡ ἀνάγκη τῆς δουλείας προῆλθε ἀπὸ τὴν ἁμαρτία, ἡ δὲ ρύθμιση αὐτῆς κατὰ τὸν πρέποντα τρόπο προέρχεται ἀπὸ τὸ Θεό. Ἀλλ' ὅμως συνέλθετε καὶ ἀποβάλατε τὴν ἀδιαφορία. Γιὰ ποιὸ λόγο τὸ λέγω αὐτό; Σᾶς ὁμιλῶ γιὰ τὶς Γραφές, σεῖς δέ, ἀφοῦ ἀποσπάσατε τὰ μάτια σας ἀπὸ ἐμένα, τὰ στρέψατε πρὸς τὶς λαμπάδες καὶ πρὸς ἐκεῖνον ποὺ ἀνάβει τὶς λαμπάδες. Καὶ πόσης ἀδιαφορίας αὐτὸ δὲν εἶναι δεῖγμα, τὸ νὰ ἀφήσετε ἐμένα καὶ νὰ προσέχετε αὐτόν; Φωτιὰ ἀνάβω καὶ ἐγὼ ποὺ προέρχεται ἀπὸ τὶς Γραφὲς καὶ στὴ γλώσσα μου ἐπάνω καίεται ἡ λαμπάδα τῆς διδασκαλίας. Αὐτὸ τὸ φῶς εἶναι σπουδαιότερο καὶ καλύτερο ἀπὸ ἐκεῖνο τὸ φῶς· διότι δὲν ἀνάβω φιτίλι μουσκεμένο μὲ λάδι, ὅπως αὐτός, ἀλλὰ ἀνάβω ψυχές, ποὺ εἶναι ποτισμένες μὲ τὴν εὐσέβεια, μὲ τὴν ἐπιθυμία τῆς ἀκροάσεως.

Μιλοῦσε κάποτε καὶ ὁ Παῦλος μέσα σὲ κάποιο ὑπερῶο. Ὅμως κανεὶς νὰ μὴ νομίζει ὅτι παραβάλλω τὸν ἑαυτό μου μὲ

οὕτω μέμηνα, ἀλλ' ἵνα μάθητε πόσην περὶ τὴν ἀκρόασιν σπουδὴν ἐπιδείκνυσθαι χρή. Διελέγετο τοίνυν ὁ Παῦλος ἐν ὑπερῴῳ, καὶ ἑσπέρα κατέλαβε, καθάπερ καὶ νῦν, καὶ λαμπάδες ἦσαν ἐν τῷ ὑπερῴῳ· εἶτα ὁ Εὔτυχος ἀπὸ τῆς θυρίδος κατέπεσε, καὶ οὐ διέλυσε τὸ πτῶμα τὸν σύλλογον, οὐδὲ ἀνέστησε τὸ θέατρον ὁ θάνατος, ἀλλ' οὕτως ἦσαν προσηλωμένοι τῇ τῶν θείων ἀκροάσει λογίων, ὡς μηδὲ αἰσθηθῆναι τοῦ πτώματος· ὑμεῖς δὲ οὐδὲν ξένον ἰδόντες, οὐδὲ παράδοξον, ἀλλ' ἄνθρωπον τὰ συνήθη ποιοῦντα, τὰς ὄψεις ἐκεῖ μετεθήκατε. Καὶ ποίας ἂν εἴη τοῦτο συγγνώμης ἄξιον; Μηδεὶς τοίνυν, ἀγαπητοί, φορτικήν τινα τὴν ἐπιτίμησιν νομιζέτω· οὐ γὰρ μισοῦντες, ἀλλὰ κηδόμενοι ἐγκαλοῦμεν. «Ἀξιοπιστότερα γὰρ τραύματα φίλων, ἢ ἑκούσια φιλήματα ἐχθρῶν». Διανάστητε τοίνυν, παρακαλῶ, καὶ τοῦτο ἀφέντες τὸ πῦρ, τῷ φωτὶ προσέχετε τῶν θείων Γραφῶν. Ἕτερον γὰρ ὑμῖν ἀρχῆς βούλομαι τρόπον εἰπεῖν, οὐκ ἀπὸ ἁμαρτίας λαμβάνοντα τὴν ὑπόθεσιν, ἀλλὰ παρὰ τῆς φύσεως αὐτῆς.

Τίς οὖν οὗτός ἐστιν; Ὁ τῶν τεκόντων εἰς ἔκγονα. Ὠδίνων γάρ ἐστιν ἀμοιβὴ ἡ τοιαύτη τιμή. Διὰ τοῦτο καί τις σοφὸς λέγει· «Ὡς δεσπόταις δούλευσον τοῖς γεννήσασί σε». Εἶτα καὶ τὴν αἰτίαν ἐπάγει λέγων· «Τί γὰρ αὐτοῖς ἀνταποδώσεις, καθὼς αὐτοί σοι»; Καίτοι τί ποτέ ἐστιν, ὃ μὴ δύναται παῖς ἀποδοῦναι πατρί; Οὐδὲν οὖν ἄλλο ἢ τοῦτο λέγει· καθὼς αὐτοί σε ἐγέννησαν, σὺ αὐτοὺς γεννῆσαι οὐ δυνήσῃ. Ἐπεὶ οὖν κατὰ τοῦτο ἠλαττώμεθα, ἑτέρωθεν πλεονεκτήσωμεν ταῖς εἰς αὐτοὺς τιμαῖς, μὴ διὰ τὸν τῆς φύσεως νόμον μόνον, ἀλλὰ πρὸς τῆς φύσεως διὰ τὸν τοῦ Θεοῦ φόβον. Καὶ γὰρ σφόδρα ὁ Θεὸς βούλεται τοὺς τεκόντας τιμᾶσθαι παρὰ

---

17. Παροιμ. 27, 6. 18. Σοφ. Σειρὰχ 3, 8. 19. Σοφ. Σειρὰχ 7, 28.

τὸν Παῦλο, διότι δὲν ἔχω τρελλαθεῖ τόσο πολύ, ἀλλὰ γιὰ νὰ μάθετε πόση προθυμία πρέπει νὰ δείχνετε γιὰ τὴν ἀκρόαση τῆς διδασκαλίας. Μιλοῦσε λοιπὸν ὁ Παῦλος μέσα σὲ κάποιο ὑπερῶο καὶ εἶχε βραδιάσει, ὅπως ἀκριβῶς καὶ τώρα, καὶ ὑπῆρχαν λαμπάδες στὸ ὑπερῶο· καὶ τότε ἔπεσε κάτω ἀπὸ τὸ παράθυρο ὁ Εὔτυχος καὶ ἡ πτώση δὲν διέλυσε τὴ συγκέντρωση, οὔτε ὁ θάνατος σήκωσε ὄρθιο τὸ ἀκροατήριο, ἀλλὰ τόσο πολὺ προσηλωμένοι ἦταν στὴν ἀκρόαση τῶν θείων λόγων, ὥστε οὔτε κἂν ν' ἀντιληφθοῦν τὴν πτώση· σεῖς ὅμως χωρὶς νὰ δεῖτε τίποτε τὸ παράξενο, οὔτε τὸ παράδοξο, ἀλλ' ἄνθρωπο νὰ κάμνει συνηθισμένα πράγματα, στρέψατε τὰ μάτια σας ἐκεῖ. Καὶ ποιᾶς συγγνώμης θὰ μποροῦσε αὐτὸ νὰ εἶναι ἄξιο; Κανένας λοιπόν, ἀγαπητοί, ἂς μὴ θεωρεῖ βαριὰ τὴν ἐπιτίμηση· διότι δὲν σᾶς κατηγορῶ ἐπειδὴ σᾶς μισῶ, ἀλλ' ἀπὸ ἐνδιαφέρον γιὰ σᾶς. «Διότι εἶναι πολὺ πιὸ ὠφέλιμα τὰ τραύματα ποὺ προέρχονται ἀπὸ φίλους, παρὰ τὰ φαινομενικὰ ἐγκάρδια φιλήματα τῶν ἐχθρῶν»[17]. Συνέλθετε λοιπόν, παρακαλῶ, καί, ἀφοῦ ἀφήσετε αὐτή τὴ φωτιά, προσέχετε στὸ φῶς τῶν θείων Γραφῶν. Διότι θέλω καὶ ἄλλη μορφὴ ἐξουσίας νὰ σᾶς πῶ, ποὺ ἔχει τὴν ἀρχή της ὄχι στὴν ἁμαρτία, ἀλλ' ἀπὸ τὴν ἴδια τὴ φύση μας.

Ποιὰ λοιπὸν εἶναι αὐτή; Εἶναι ἡ ἐξουσία τῶν γονέων πρὸς τὰ τέκνα τους. Διότι ἡ τιμὴ αὐτοῦ τοῦ εἴδους ἀποτελεῖ ἀμοιβὴ γιὰ τοὺς πόνους τους. Γι' αὐτὸ καὶ κάποιος σοφὸς λέγει· «Ὑπηρέτησε αὐτοὺς ποὺ σὲ γέννησαν σὰν νὰ εἶναι κύριοί σου»[18]. Ἔπειτα προσθέτει καὶ τὴν αἰτία, λέγοντας· «Διότι τί θὰ ἀποδώσεις σ' αὐτούς, γιὰ τὰ ὅσα ἔκαναν αὐτοὶ σὲ σένα;»[19]. Ἂν καὶ βέβαια ποιὸ εἶναι ἐκεῖνο ποὺ δὲν μπορεῖ ὁ υἱὸς ν' ἀνταποδώσει στὸν πατέρα του; Τίποτε λοιπὸν ἄλλο δὲν ἐννοεῖ παρὰ αὐτό· ὅπως αὐτοὶ σὲ γέννησαν σὺ δὲ μπορεῖς νὰ τοὺς γεννήσεις. Ἐπειδὴ λοιπὸν ὡς πρὸς αὐτὸ μειονεκτοῦμε, ἀπὸ ἀλλοῦ ἂς πλεονεκτήσουμε ὡς πρὸς τὶς τιμές μας πρὸς αὐτούς, ὄχι μόνο ἐξ αἰτίας τοῦ νόμου τῆς φύσεως, ἀλλά, πρὶν ἀπὸ τὴ φύση, ἐξ αἰτίας τοῦ φόβου πρὸς τὸ Θεό. Καθόσον ὁ Θεὸς θέλει πάρα πολὺ νὰ τιμοῦνται οἱ γονεῖς ἀπὸ τὰ τέκνα· καὶ ἐκείνους μὲν ποὺ κά-

τῶν τεχθέντων· καὶ τοὺς μὲν τοῦτο ποιοῦντας μεγάλοις ἀγαθοῖς καὶ δωρεαῖς ἀμείβεται, τοὺς δὲ παραβαίνοντας τὸν νόμον μεγάλοις καὶ δεινοῖς κολάζει κακοῖς. «Ὁ κακολογῶν», φησί, «πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω». Τοῖς δὲ τιμῶσιν αὐτοὺς οὕτω πώς φησι· «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται· καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς».

«Ὅπερ μέγιστον ἀγαθὸν εἶναι νομίζεται, γῆρας λιπαρὸν καὶ μῆκος ζωῆς, τοῦτο ἔθηκεν ἔπαθλον τοῖς τιμῶσιν αὐτούς· καὶ ὅπερ ἔσχατον εἶναι δοκεῖ κακόν, θάνατος ἄωρος, τοῦτο ἔθηκεν ἐπιτίμιον τοῖς ὑβρίζουσιν εἰς αὐτούς· τοὺς μὲν ἐπισπώμενος εἰς εὔνοιαν τῇ τῆς τιμῆς ἐπαγγελίᾳ, τοὺς δὲ καὶ ἄκοντας ἀπάγων τῆς ὕβρεως τῷ τῆς τιμωρίας φόβῳ. Οὐδὲ γὰρ ἁπλῶς ἀποθνήσκειν κελεύει τὸν πατραλοίαν, οὐδὲ δημίους αὐτὸν ἀπὸ τοῦ δικαστηρίου λαβόντας ἐξάγειν διὰ τῆς ἀγορᾶς, οὐδὲ τῆς πόλεως ἔξω τὴν κεφαλὴν ἀποτέμνειν, ἀλλ' ἄγει μὲν αὐτὸν μέσην τὴν πόλιν αὐτὸς ὁ πατήρ, καὶ χωρὶς ἀποδείξεως πάσης πιστεύεται· καὶ μάλα δικαίως. Ὁ γὰρ καὶ χρήματα καὶ σώματα καὶ πᾶν ὁτιοῦν ἑλόμενος ὑπὲρ τοῦ παιδὸς καταδαπανῆσαι, οὐκ ἄν ποτε κατήγορος αὐτοῦ γέγονεν, εἰ μὴ πολλὴ τῆς ὕβρεως ἦν ἡ ὑπερβολή.

Ἄγει τοίνυν αὐτὸν εἰς τὸ μέσον τῆς πόλεως, εἶτα καλεῖ τὸν δῆμον ἅπαντα, καὶ λέγει τὴν κατηγορίαν, οἱ δὲ ἀκούοντες πάντες, ἕκαστος λίθον λαβών, οὕτω βάλλουσι τὸν πατραλοίαν. Οὐ γὰρ δὴ θεατὰς μόνον τῆς τιμωρίας, ἀλλὰ καὶ αὐτουργοὺς εἶναι βούλεται ὁ νομοθέτης, ἵνα εἰς τὴν δεξιὰν ἕκαστος ἰδὼν τὴν ἑαυτοῦ, δι' ἧς τὸν λίθον καὶ αὐτὸς ἔβαλε κατὰ τῆς τοῦ πατραλοίου κεφαλῆς, ἱκανὸν ὑπόμνημα πρὸς διόρθωσιν ἔχῃ. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἕτερον ἡμῖν ὁ

---

20. Ἐξ. 20, 15. 21. Ἐξ. 20, 12.

μνουν αὐτὸ τοὺς ἀμείβει μὲ μεγάλα ἀγαθὰ καὶ δωρεές, ἐνῶ ἐκείνους ποὺ παραβαίνουν τὸ νόμο τοὺς τιμωρεῖ μὲ μεγάλες συμφορὲς καὶ κακά. «Ἐκεῖνος», λέγει, «ποὺ κακολογεῖ τὸν πατέρα ἢ τὴ μητέρα του, νὰ τιμωρεῖται μὲ θάνατο»[20]. Γιὰ ἐκείνους δὲ ποὺ τιμοῦν τοὺς γονεῖς λέγει τὰ ἑξῆς· «Τίμα τὸν πατέρα σου καὶ τὴ μητέρα σου, γιὰ νὰ εὐτυχήσεις καὶ θὰ γίνεις μακροχρόνιος ἐπάνω στὴ γῆ»[21].

Ἐκεῖνο ἀκριβῶς ποὺ θεωρεῖται ὅτι εἶναι μέγιστο ἀγαθό, δηλαδὴ γεράματα εὐτυχισμένα καὶ μακροημέρευση ζωῆς, αὐτὸ ἀνέφερε σὰν βραβεῖο γιὰ ἐκείνους ποὺ τιμοῦν αὐτούς· καὶ αὐτὸ ποὺ θεωρεῖται τὸ χειρότερο κακό, δηλαδὴ ὁ πρόωρος θάνατος, αὐτὸ ἀνέφερε σὰν ἐπιτίμιο γι' αὐτοὺς ποὺ περιφρονοῦν αὐτούς· καὶ τοὺς μὲν πρώτους προσελκύει στὴν ἀγάπη πρὸς αὐτοὺς μὲ τὴν ὑπόσχεση τῆς τιμῆς, τοὺς δὲ ἄλλους καὶ παρὰ τὴ θέλησή τους τοὺς ἀπομακρύνει ἀπὸ τὴν περιφρόνηση μὲ τὸ φόβο τῆς τιμωρίας. Διότι δὲν παραγγέλλει ἁπλῶς νὰ τιμωρεῖται μὲ θάνατο ἐκεῖνος ποὺ δέρνει τὸν πατέρα του, οὔτε, ἀφοῦ τὸν πάρουν ἀπὸ τὸ δικαστήριο, νὰ τὸν ὁδηγοῦν μέσα ἀπὸ τὴν ἀγορὰ ἔξω ἀπὸ τὴν πόλη, οὔτε καὶ νὰ τὸν ἀποκεφαλίζουν ἔξω ἀπὸ τὴν πόλη, ἀλλ' ὁδηγεῖ αὐτὸν ὁ ἴδιος ὁ πατέρας του στὸ μέσο τῆς πόλεως καὶ χωρὶς καμιὰ ἀπόδειξη γίνεται πιστευτός· καὶ πολὺ ὀρθά. Διότι ἐκεῖνος ποὺ δέχθηκε γιὰ χάρη τοῦ παιδιοῦ του καὶ χρήματα νὰ δαπανήσει καὶ σώματα καὶ ὁ,τιδήποτε ἄλλο, δὲν θὰ ἦταν δυνατὸ ποτὲ νὰ γίνει κατήγορος αὐτοῦ, ἐὰν δὲν ἦταν ὑπερβολικὴ ἡ προσβολή.

Ὁδηγεῖ λοιπὸν αὐτὸν στὸ μέσο τῆς πόλεως, ἔπειτα καλεῖ ὅλο τὸ λαὸ καὶ ἐξαγγέλλει τὴν κατηγορία, ὅλοι δὲ αὐτοὶ ποὺ ἀκοῦν αὐτήν, παίρνοντας ὁ καθένας ἕνα λίθο, τὸν ρίχνουν ἐναντίον ἐκείνου ποὺ ἔδειρε τὸν πατέρα του. Ὁ νομοθέτης δηλαδὴ δὲν θέλει μόνο νὰ εἶναι θεατὲς τῆς τιμωρίας, ἀλλὰ καὶ αὐτουργοί, ὥστε, βλέποντας ὁ καθένας τὸ δεξί του χέρι, μὲ τὸ ὁποῖο ἔρριξε καὶ αὐτὸς τὸ λίθο ἐναντίον τῆς κεφαλῆς ἐκείνου ποὺ ἔδειρε τὸν πατέρα του, νὰ ἔχει σπουδαία ὑπόμνηση γιὰ διόρθωσή του. Ὄχι δὲ μόνο αὐτό, ἀλλὰ καὶ ἄλλο μᾶς ὑπαινίσσεται ὁ

νομοθέτης αἰνίττεται, ὅτι ὁ τοὺς γονέας ὑβρίζων οὐκ ἐκείνους ἠδίκηκε μόνον, ἀλλὰ καὶ πάντας ἀνθρώπους. Διὰ τοῦτο πάντας ἐπὶ τὴν κοινωνίαν τῆς τιμωρίας καλεῖ, καθάπερ ὑβρισμένους ἅπαντας, καὶ δῆμον ὁμοῦ καὶ πόλιν περιίστησιν ἅπασαν, παιδεύων καὶ τοὺς οὐδὲν ἔχοντας κοινὸν πρὸς τοὺς ἠδικημένους ἐπὶ γονεῦσιν ὑβριζομένοις ἀγανακτεῖν, ὡς τῆς κοινῆς φύσεως ὑβριζομένης, καὶ τὸν τοιοῦτον ἄνθρωπον, ὥσπερ λοιμόν τινα καὶ κοινὴν νόσον, μὴ τῆς πόλεως μόνον, ἀλλὰ καὶ τοῦ φωτὸς ἀπελαύνειν αὐτοῦ. Πολέμιος γὰρ ὁ τοιοῦτος καὶ κοινὸς ἁπάντων ἐστὶν ἐχθρός, καὶ τοῦ Θεοῦ, καὶ τῆς φύσεως, καὶ τῶν νόμων, καὶ τῆς κοινῆς ἁπάντων ἡμῶν ζωῆς. Διὰ τοῦτο πάντας συνεφάπτεσθαι κελεύει τῆς σφαγῆς, ὥσπερ τινὰ καθαρμὸν τῆς πόλεως ἐργαζόμενος.

Πολλὰ ὑμῖν ἀγαθὰ γένοιτο, ὅτι μετὰ τοσαύτης ἡδονῆς τοὺς περὶ τοῦ πατραλοίου λόγους ἐδέξασθε, καὶ ἀντὶ τῶν λίθων ταῖς βοαῖς αὐτὸν ἐβάλλετε· τεκμήριον γὰρ τοῦτό ἐστι τοῦ πολλὴν περὶ τὸν ἑαυτοῦ πατέρα ἕκαστον ὑμῶν τὴν εὔνοιαν ἐπιδεδεῖχθαι. Καὶ γὰρ τότε τοὺς νόμους μάλιστα θαυμάζειν εἰώθαμεν τοὺς τὰ ἁμαρτήματα κολάζοντας, ὅταν μὴ συνειδότες ἑαυτοῖς τὰ ἁμαρτήματα ὦμεν. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ τῷ κηδομένῳ τῆς ζωῆς τῆς ἡμετέρας, καὶ προνοοῦντι γονέων, καὶ παίδων φροντίζοντι, καὶ πάντα ὑπὲρ τῆς ἡμετέρας οἰκονομοῦντι σωτηρίας. Αὐτῷ γὰρ πρέπει δόξα, τιμή, καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ Πατρί, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νομοθέτης, ὅτι ἐκεῖνος ποὺ προσβάλλει τοὺς γονεῖς του δὲν ἀδίκησε μόνο ἐκείνους, ἀλλὰ καὶ ὅλους τοὺς ἀνθρώπους. Γι' αὐτὸ καλεῖ ὅλους νὰ πάρουν μέρος στὴν τιμωρία, σὰν νὰ δέχθηκαν τὴν προσβολὴ ὅλοι, καὶ συγκεντρώνει στὸ ἴδιο μέρος ὅλο τὸ λαὸ καὶ τὴν πόλη, γιὰ νὰ διδάξει καὶ ἐκείνους ποὺ δὲν ἔχουν τίποτε τὸ κοινὸ μὲ ἐκείνους ποὺ ἔχουν ἀδικηθεῖ, νὰ ἀγανακτοῦν ὅταν προσβάλλονται οἱ γονεῖς, σὰν νὰ δέχεται τὴν προσβολὴ ἡ ἴδια ἡ ἀνθρώπινη φύση, καὶ τὸν παρόμοιο ἄνθρωπο νὰ τὸν διώχνουν, σὰν κάποια λοιμώδη νόσο καὶ κοινὴ ἀσθένεια, ὄχι μόνο ἀπὸ τὴν πόλη, ἀλλὰ καὶ ἀπὸ τὸ φῶς τῆς ζωῆς. Διότι ὁ παρόμοιος ἄνθρωπος εἶναι πολέμιος καὶ κοινὸς ἐχθρὸς ὅλων τῶν ἀνθρώπων, καὶ τοῦ Θεοῦ καὶ τῆς φύσεως καὶ τῶν νόμων καὶ τῆς κοινῆς ζωῆς ὅλων μας. Γι' αὐτὸ προστάζει ὅλους νὰ λάβουν μέρος στὴ σφαγή, σὰν ἀκριβῶς νὰ ἐνεργεῖ κάποιο καθαρμὸ τῆς πόλεως.

Εὔχομαι νὰ εἶναι πολλὰ τὰ ὀφέλη σας, διότι δεχθήκατε μὲ τόση εὐχαρίστηση τὰ λόγια γιὰ ἐκεῖνον ποὺ πρόσβαλε τὸν πατέρα του, καὶ διώξατε αὐτόν, ἀντὶ μὲ λίθους, μὲ τὶς φωνές σας· διότι ἀπόδειξη εἶναι αὐτό, τὸ ὅτι ὁ καθένας σας ἔχει δείξει γιὰ τὸν πατέρα αὐτοῦ μεγάλη συμπάθεια. Καθόσον συνήθως τότε πρὸ πάντων θαυμάζομε τοὺς νόμους ποὺ τιμωροῦν τὰ ἁμαρτήματα, ὅταν ἐμεῖς οἱ ἴδιοι δὲν εἴμαστε συνεργοὶ τῶν ἁμαρτημάτων. Γιὰ ὅλα αὐτὰ λοιπὸν ἂς εὐχαριστήσουμε τὸν φιλάνθρωπο Θεὸ ποὺ φροντίζει γιὰ τὴ ζωή μας, ποὺ δείχνει τὴν πρόνοιά του γιὰ τοὺς γονεῖς, ποὺ φροντίζει γιὰ τὰ παιδιὰ καὶ ὅλα τὰ ρυθμίζει γιὰ τὴ δική μας σωτηρία. Σ' αὐτὸν λοιπὸν ἁρμόζει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ προσκύνηση, μαζὶ μὲ τὸν ἄναρχο Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ε'.

Ὅτι οὐ διὰ τὸν Ἀδὰμ κολαζόμεθα, καὶ ὅτι μείζονα τῶν δι' ἐκείνου εἰσενεχθέντων λυπηρῶν τὰ χρηστά, ἐὰν ἑαυτοῖς προσέχωμεν· καὶ κατὰ τῶν παρατρεχόντων τοὺς πένητας.

1. Ὑμεῖς μὲν ἴσως νομίζετε τὸν περὶ τῆς δεσποτείας ἡμῖν ἅπαντα ἀπηρτίσθαι λόγον, ἐγὼ δὲ ἔτι πολὺν ὁρῶ τὸν καρπὸν ἐν αὐτῷ φαινόμενον. Ἀλλὰ μὴ ἀποκάμητε, παρακαλῶ, ἕως αὐτὸν ἅπαντα ἐκτρυγήσωμεν. Καὶ γὰρ οἱ φιλόπονοι τῶν γεωργῶν ὅταν ἴδωσιν ἄμπελον πολλοῖς μὲν τοῖς φύλλοις κομῶσαν, πολλῷ δὲ τῷ καρπῷ βριθομένην, οὐχὶ τοὺς ἔξωθεν βότρυας ἐκτέμνουσι μόνον, ἀλλὰ καὶ ἐνδοτέρω χωροῦσι τὰ κλήματα ἀνακλῶντες, καὶ τὰ φύλλα ἀναστέλλοντες, ὥστε μηδὲ μικρὰς σταφυλῆς ῥᾶγας ὑπὸ τοῖς πετάλοις κρυπτομένας λαθεῖν. Μὴ τοίνυν ἐκείνων φανῆτε ῥᾳθυμότεροι, μηδὲ ἀποστῆτε, ἕως ἂν τὸ πᾶν λάβητε· καὶ μάλιστα, ὅτι ὁ μὲν πόνος ἐμός, ὁ δὲ καρπὸς ὑμέτερος.

Κατηγορήσαμεν χθὲς τῶν γυναικῶν, μᾶλλον δὲ οὐχὶ τῶν γυναικῶν, ἀλλὰ τῆς Εὔας, ὅτι διὰ τῆς ἁμαρτίας τὴν δουλείαν εἰσήγαγεν. Εἴποιεν ἂν αἱ γυναῖκες ἡμῖν· τίνος οὖν ἕνεκεν, ἐκείνης ἁμαρτησάσης, ἡμεῖς κατεδικάσθημεν, καὶ τὸ μὲν παράπτωμα γέγονεν ἑνὸς προσώπου, τὸ δὲ ἔγκλημα κοινὸν τῆς φύσεως ἁπάσης; Τοῦτο καὶ δοῦλοι εἴποιεν ἄν· τί δήποτε, τοῦ Χαναὰν εἰς τὸν πατέρα ὑβρίσαντος, τὰ τῆς τιμωρίας εἰς ἅπαν διέβη τὸ γένος; Καὶ οἱ τοὺς ἄρχοντας δὲ

ΛΟΓΟΣ Ε′

Περὶ τοῦ ὅτι δὲν τιμωρούμαστε ἐξ αἰτίας τοῦ Ἀδάμ, καὶ ὅτι τὰ καλὰ εἶναι μεγαλύτερα ἀπὸ τὰ δυσάρεστα ποὺ προέκυψαν ἐξ αἰτίας ἐκείνου, ἂν εἴμαστε προσεκτικοί· καθὼς καὶ ἐναντίον ἐκείνων ποὺ περιφρονοῦν τοὺς φτωχούς.

1. Σεῖς μὲν ἴσως νομίζετε ὅτι ὁλοκληρώσαμε τὸ λόγο γιὰ τὴν ἐξουσία, ἐγὼ ὅμως βλέπω νὰ ὑπάρχει ἀκόμα σ' αὐτὸν πολὺς καρπός. Ἀλλὰ μὴ ἀποκάμετε, παρακαλῶ, μέχρις ὅτου τρυγήσουμε ὅλο τὸν καρπό. Καθόσον οἱ φιλόπονοι ἀπὸ τοὺς γεωργοὺς ὅταν δοῦν τὴν ἄμπελο νὰ ἔχει πυκνὸ φύλλωμα καὶ νὰ εἶναι φορτωμένη μὲ καρπό, δὲν κόβουν μόνο τὰ σταφύλια ποὺ βρίσκονται πρὸς τὰ ἔξω, ἀλλὰ καὶ προχωροῦν καὶ πρὸς τὸ ἐσωτερικὸ μέρος, λυγίζοντας τὰ κλήματα καὶ παραμερίζοντας τὰ φύλλα, ὥστε νὰ μὴ διαφύγουν οὔτε μικρὰ τσαμπιὰ σταφυλιῶν κρυμμένα κάτω ἀπὸ τὰ φύλλα. Μὴ λοιπὸν φανεῖτε πιὸ ἀδιάφοροι ἀπὸ ἐκείνους, οὔτε νὰ φύγετε, προτοῦ λάβετε τὸ πᾶν· καὶ μάλιστα γιὰ τὸ λόγο, ὅτι ὁ μὲν κόπος εἶναι δικός μου, ὁ δὲ καρπὸς δικός σας.

Κατηγορήσαμε χθὲς τὶς γυναῖκες, μᾶλλον δὲ ὄχι τὶς γυναῖκες ἀλλὰ τὴν Εὔα, διότι εἰσήγαγε τὴ δουλεία ἐξ αἰτίας τῆς ἁμαρτίας. Θὰ μποροῦσαν νὰ μοῦ ποῦν οἱ γυναῖκες· γιὰ ποιὸ λόγο, ἀφοῦ ἐκείνη ἁμάρτησε, καταδικασθήκαμε ἐμεῖς, καὶ τὸ μὲν παράπτωμα ὑπῆρξε ἑνὸς προσώπου, ἡ δὲ κατηγορία εἶναι κοινὴ γιὰ ὅλη τὴ φύση; Αὐτὸ θὰ μποροῦσαν νὰ ποῦν καὶ οἱ δοῦλοι· γιατί τέλος πάντων ἐνῶ ὁ Χαναὰν πρόσβαλε τὸν πατέρα του, ὅμως τὰ ἀποτελέσματα τῆς τιμωρίας μεταβιβάσθηκαν σ' ὅλο τὸ γένος; Καὶ ἐκεῖνοι ποὺ φοβοῦνται τοὺς ἄρχοντες αὐτὸ θὰ

φοβούμενοι τοῦτο ἂν αἰτιάσαιντο· τί δήποτε, ἑτέρων ἐν πονηρίᾳ ζησάντων, αὐτοὶ τῷ ζυγῷ τῆς ἀρχῆς παρεδόθησαν; Τί οὖν ἂν εἴποιμεν ἡμεῖς πρὸς τούτους ἅπαντας; Μία γὰρ ἔσται πάντων ζητημάτων ἡ λύσις ὅτι ἥμαρτον μὲν οἱ πρότεροι, καὶ διὰ τῆς οἰκείας παρακοῆς τὴν δουλείαν εἰσήγαγον, εἰσαχθεῖσαν δὲ ὁ μετὰ ταῦτα ταῖς παρ' ἑαυτῶν ἐκύρωσαν ἁμαρτίαις. Εἰ μὲν γὰρ ἔχοιεν ἑαυτοὺς δεῖξαι διαπαντὸς ἁμαρτημάτων ὄντας καθαρούς, ἴσως ἂν εἴη αὐτοῖς καλῶς δοκεῖ ἀντιλέγειν, εἰ δὲ καὶ αὐτοὶ πολλοῖς εἰσιν ἐπιτιμίοις ὑπεύθυνοι, περιττὰ τὰ τῆς ἀπολογίας ταύτης ἐστί.

Ἐγὼ γὰρ οὐκ εἶπον, ὅτι ἤδη μὲν ἡ ἁμαρτία δουλείαν οὐκ εἰσάγει, ἀλλ' ὅτι πᾶσα ἁμαρτία δουλείᾳ συγκλήρωται, καὶ φύσιν ἁμαρτίας, οὐ διαφορὰν ἁμαρτίας ᾐτιασάμην μόνον. Ὥσπερ οὖν ἅπαντα μὲ τὰ ἀνίατα νοσήματα εἰς θάνατον ἄγει, οὐχ ἅπαντα δὲ τῆς αὐτῆς ἐστι φύσεως, οὕτω καὶ τὰ ἁμαρτήματα ἅπαντα μὲν δουλείαν τίκτει, οὐχ ἅπαντα δὲ τῆς αὐτῆς φύσεως. Ἥμαρτεν ἡ Εὔα ἁψαμένη τοῦ ξύλου, καὶ κατεκρίθη δι' αὐτό. Διὰ τοῦτο μὴ ἁμαρτήσῃς σὺ πάλιν ἑτέραν ἴσως ἐκείνης ἁμαρτίαν χαλεπωτέραν. Τοῦτο καὶ ἐπὶ τῶν δούλων ἄξιον εἰπεῖν, τοῦτο καὶ ἐπὶ τῶν ἀρχομένων, ὅτι εἰσήγαγον μὲν οἱ πρῶτοι τὴν ἁμαρτίαν, οἱ δὲ μετ' ἐκείνους διαδεξάμενοι κατέσχον τῆς δεσποτείας τὴν δύναμιν δι' ὧν ἐπλημμέλησαν.

Ἔχω καὶ ἑτέρως ἀπολογήσασθαι· ὅτι πολλοὶ πρὸς ἀρετὴν ἐπανελθόντες, ἀπηλλάγησαν τῆς δεσποτείας. Καὶ πρότερον, εἰ δοκεῖ, ἐπὶ τῶν γυναικῶν τὸν λόγον γυμνάσωμεν, ἵν' ἴδῃς πῶς ὁ μακάριος Παῦλος, ὁ περιθεὶς αὐταῖς τὰ δεσμά, αὐτὸς αὐτὰ πάλιν ἀνῆκε. «Εἴ τις γυνή», φησίν, «ἄνδρα ἔχει ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν». Διὰ τί; Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα

---

1. Α' Κορ. 7, 13.

μποροῦσαν νὰ ἰσχυρισθοῦν· γιατί τέλος πάντων, ἐνῶ ἄλλοι ἔζησαν μέσα στὴν κακία, αὐτοὶ παραδόθηκαν στὸ ζυγὸ τῆς ἐξουσίας; Τί λοιπὸν θὰ μπορούσαμε νὰ ποῦμε πρὸς ὅλους αὐτούς; Μιὰ θὰ εἶναι ἡ ἀπάντηση ὅλων τῶν ζητημάτων, ὅτι δηλαδὴ ἁμάρτησαν μὲν οἱ προηγούμενοι καὶ μὲ τὴν παρακοή τους εἰσήγαγαν τὴ δουλεία, ἀφοῦ δὲ εἰσήχθηκε οἱ μεταγενέστεροι ἄνθρωποι τὴν ἐπικύρωσαν μὲ τὶς δικές-τους ἁμαρτίες. Διότι, ἐὰν μὲν μποροῦσαν νὰ παρουσιάσουν τοὺς ἑαυτούς τους γιὰ πάντα καθαροὺς ἀπὸ ἁμαρτήματα, ἴσως θὰ μποροῦσε νὰ θεωρηθεῖ σωστὴ ἡ ἀντίρρησή τους, ἐὰν ὅμως καὶ αὐτοὶ οἱ ἴδιοι εἶναι ὑπεύθυνοι γιὰ πολλὲς τιμωρίες, εἶναι περιττὰ τὰ ἐπιχειρήματα τῆς ἀπολογίας αὐτῆς.

Ἐγὼ δηλαδὴ δὲν εἶπα, ὅτι πλέον δὲν προξενεῖ δουλεία ἡ ἁμαρτία, ἀλλ' ὅτι κάθε ἁμαρτία εἶναι στενὰ συνδεδεμένη μὲ τὴ δουλεία, καὶ μόνο τὴ φύση τῆς ἁμαρτίας κατηγόρησα, ὄχι τὴ διαφορὰ τῆς ἁμαρτίας. Ὅπως ἀκριβῶς δηλαδὴ ὅλα μὲν τὰ ἀθεράπευτα νοσήματα ὁδηγοῦν στὸ θάνατο, δὲν εἶναι ὅμως ὅλα τῆς ἴδιας φύσεως, ἔτσι καὶ τὰ ἁμαρτήματα ὅλα προξενοῦν μὲν δουλεία, δὲν εἶναι ὅμως ὅλα τῆς ἴδιας φύσεως. Ἁμάρτησε ἡ Εὔα διότι ἔφαγε τὸν ἀπαγορευμένο καρπὸ τοῦ δένδρου, καὶ κατακρίθηκε γι' αὐτό. Γι' αὐτὸ μὴ ἁμαρτήσεις καὶ σὺ πάλι ἐνδεχομένως μὲ ἁμαρτία χειρότερη ἀπὸ ἐκείνης. Αὐτὸ πρέπει νὰ ποῦμε καὶ γιὰ τοὺς δούλους, αὐτὸ καὶ γιὰ τοὺς ἀρχόμενους, ὅτι δηλαδὴ εἰσήγαγαν μὲν οἱ πρῶτοι τὴν ἁμαρτία, ἀλλ' οἱ μεταγενέστεροι, ἀφοῦ κληρονόμησαν αὐτήν, παρέμειναν κάτω ἀπὸ τὴ δύναμη τῆς ἐξουσίας της μὲ ὅσα πλημμελήματα διέπραξαν.

Μπορῶ καὶ ἄλλη ἀπολογία νὰ προβάλω· ὅτι δηλαδὴ πολλοί, ποὺ ἐπανῆλθαν στὴν ἀρετή, ἀπαλλάχθηκαν ἀπὸ τὴν ἐξουσία της. Καὶ πρῶτα, ἐὰν νομίζεις, ἂς μεταφέρομε τὸ λόγο στὶς γυναῖκες, γιὰ νὰ δεῖς πῶς ὁ μακάριος Παῦλος, ποὺ τὶς περιέβαλε μὲ τὰ δεσμά, ὁ ἴδιος πάλι ἀπάλλαξε αὐτὲς ἀπὸ αὐτά. «Ἐὰν», λέγει, «κάποια γυναίκα ἔχει ἄπιστο ἄνδρα καὶ αὐτὸς δέχεται νὰ συγκατοικεῖ μαζί της, ἂς μὴ τὸν ἐγκαταλείπει»[1]. Γιατί; «Διότι ποὺ ξέρεις, γυναίκα, ὅτι δὲν θὰ σώσεις τὸν ἄνδρα

σώσεις;». Καὶ πῶς, φησί, δύναται σῶσαι γυνή; Διδάσκουσα, κατηχοῦσα, ἐνάγουσα πρὸς τὸν τῆς εὐσεβείας λόγον. Καίτοι χθές, ὦ μακάριε Παῦλε, ἔλεγες, ὅτι «Γυναικὶ διδάσκειν οὐκ ἐπιτρέπω». Πῶς οὖν πάλιν διδάσκαλον αὐτὴν ποιεῖς τοῦ ἀνδρός; Οὐχὶ μαχόμενος ἐμαυτῷ τοῦτο ποιῶ, ἀλλὰ καὶ σφόδρα συμφωνῶν. Ἄκουε γοῦν καὶ τίνος ἕνεκεν αὐτὴν ἐξέβαλε, καὶ τίνος ἕνεκεν αὐτὴν πάλιν ἐπανάγει πρὸς τὸν τῆς διδασκαλίας θρόνον, ἵνα μάθῃς τὴν Παύλου σοφίαν. «Διδασκέτω», φησίν, «ὁ ἀνήρ». Διὰ τί; Οὐκ ἠπατήθη γάρ. «Ἀδὰμ γάρ», φησίν, «οὐκ ἠπατήθη». «Μανθανέτω», φησίν, «ἡ γυνή». Διὰ τί; Ἠπατήθη γάρ. «Ἡ γυνὴ» γάρ, φησίν, «ἀπατηθεῖσα ἐν παραβάσει γέγονεν». Ἐνταῦθα δὲ τὸ ἐναντίον. Ὅταν μὲν γὰρ ἄπιστος ᾖ ὁ ἀνήρ, πιστὴ δὲ ἡ γυνή, διδασκέτω, φησίν, ἡ γυνή. Διὰ τί; Ὅτι οὐκ ἠπάτηται· πιστὴ γάρ ἐστι. Μανθανέτω τοίνυν ὁ ἀνήρ· ἠπατήθη γάρ· ἄπιστος γάρ ἐστιν. Ἀντεστράφη, φησί, τὰ τῆς διδασκαλίας· ἀντεστράφθω λοιπὸν καὶ τὰ τῆς δεσποτείας.

Εἶδες πῶς πανταχοῦ οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀπάτῃ καὶ τῇ ἁμαρτίᾳ δείκνυσι τὴν δουλείαν ἀκολουθοῦσαν; Ἦλθε τοίνυν πρὸς τὴν γυναῖκα ἡ ἀπάτη παρὰ τὴν ἀρχήν, ἠκολούθησε τῇ ἀπάτῃ ἡ ὑποταγή· μετέστη μετὰ ταῦτα πρὸς τὸν ἄνδρα ἡ ἀπάτη, μετέστη καὶ ἡ ὑποταγή. Καὶ καθάπερ ἐν ἀρχῇ τῷ ἀνδρὶ τὴν σωτηρίαν τῆς γυναικὸς ἐνεπίστευσεν, ἐπειδὴ οὐκ ἠπάτητο, οὑτωσὶ λέγων, «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει», οὕτω καὶ ἐνταῦθα ἐπὶ τῆς πιστῆς τῆς τὸν ἄπιστον ἄνδρα ἐχούσης, τὴν σωτηρίαν τοῦ ἀνδρὸς ἐμπιστεύει τῇ γυναικί, λέγων· «Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις;». Τί ταύτης τῆς ἀποδείξεως σαφέστερον γένοιτ' ἄν, τοῦ μὴ τῇ φύσει τὴν δουλείαν, ἀλλὰ τῇ ἁμαρτίᾳ ἕπεσθαι; Τοῦτο καὶ ἐπὶ τῶν δούλων ἐστὶν εἰπεῖν. «Δοῦλος ἐκλήθης; Μή σοι μελέτω».

2. Α' Κορ. 7, 16.
3. Α' Τιμ. 2, 12.
4. Α' Τιμ. 2, 14.
5. Α' Τιμ. 2, 11.
6. Α' Τιμ. 2, 14.
7. Γέν. 3, 16.
8. Α' Κορ. 7, 16.
9. Α' Κορ. 7, 21.

σου;»[2]. Καὶ πῶς, λέγει, μπορεῖ νὰ τὸν σώσει ἡ γυναίκα; Διδάσκοντάς τον, κατηχώντας τον καὶ ὁδηγώντας τον πρὸς τὸ λόγο τῆς εὐσέβειας. Ἂν καὶ βέβαια χθές, μακάριε Παῦλε, ἔλεγες, ὅτι «Δὲν ἐπιτρέπω στὴ γυναίκα νὰ διδάσκει»[3]. Πῶς λοιπὸν πάλι κάμνεις αὐτὴν δάσκαλο τοῦ ἄνδρα; Δὲν τὸ κάμνω αὐτὸ ἀντιμαχόμενος τὸν ἑαυτό μου, ἀλλὰ καὶ συμφωνῶ πάρα πολὺ μὲ αὐτά. Ἄκουε λοιπὸν καὶ γιὰ ποιὸ λόγο ἀπομάκρυνε αὐτὴν ἀπὸ τὸ θρόνο τῆς διδασκαλίας καὶ γιὰ ποιὸ λόγο πάλι ἐπαναφέρει αὐτὴν σ' αὐτόν, γιὰ νὰ μάθεις τὴ σοφία τοῦ Παύλου. «Ἂς διδάσκει», λέγει, «ὁ ἄνδρας». Γιατί; Διότι δὲν ἐξαπατήθηκε. «Καθόσον», λέγει, «Ὁ Ἀδὰμ δὲν ἐξαπατήθηκε»[4]. «Ἂς διδάσκεται», λέγει, «ἡ γυναίκα»[5]. Γιατί; Διότι ἐξαπατήθηκε. Καθόσον, λέγει, «Ἡ γυναίκα, ἀφοῦ ἐξαπατήθηκε, παρέβηκε τὴν ἐντολὴ τοῦ Θεοῦ»[6]. Ἐδῶ ὅμως λέγει τὸ ἀντίθετο. Ὅταν δηλαδὴ ὁ ἄνδρας εἶναι ἄπιστος, ἡ δὲ γυναίκα πιστή, ἂς διδάσκει, λέγει, ἡ γυναίκα. Γιατί; Διότι δὲν ἔχει ἐξαπατηθεῖ, ἀλλ' εἶναι πιστή. Ἂς διδάσκεται λοιπὸν ὁ ἄνδρας· διότι ἐξαπατήθηκε· καθόσον εἶναι ἄπιστος. Ἀντιστράφηκαν, λέγει, τὰ τῆς διδασκαλίας· ἂς ἀντιστραφοῦν λοιπὸν καὶ τὰ τῆς ἐξουσίας.

Εἶδες πῶς παντοῦ δείχνει ὅτι ἡ δουλεία ἀκολουθεῖ ὄχι τὴ φύση, ἀλλὰ τὴν ἀπάτη καὶ τὴν ἁμαρτία; Ἦλθε λοιπὸν ἡ ἀπάτη στὴν ἀρχὴ στὴ γυναίκα, ἀκολούθησε δὲ τὴν ἀπάτη ἡ ὑποταγή· στὴ συνέχεια μετατοπίσθηκε ἡ ἀπάτη στὸν ἄνδρα, μετατοπίσθηκε δὲ καὶ ἡ ὑποταγή. Καὶ ὅπως ἀκριβῶς στὴν ἀρχὴ ἐμπιστεύθηκε τὴ σωτηρία τῆς γυναίκας στὸν ἄνδρα, ἐπειδὴ δὲν ἐξαπατήθηκε, λέγοντας τὰ ἑξῆς, «Θὰ ἐξαρτᾶσαι ἀπὸ τὸν ἄνδρα σου καὶ αὐτὸς θὰ εἶναι ὁ κύριός σου»[7], ἔτσι καὶ ἐδῶ ἐμπιστεύεται στὴ γυναίκα, ποὺ εἶναι πιστή, τὴ σωτηρία τοῦ ἄνδρα της, ποὺ εἶναι ἄπιστος, λέγοντας· «Ποῦ ξέρεις, γυναίκα, ἂν δὲν σώσεις τὸν ἄνδρα σου;»[8]. Τί θὰ μποροῦσε νὰ ὑπάρξει σαφέστερο ἀπὸ τὴν ἀπόδειξη αὐτή, τὸ ὅτι δὲν ἀκολουθεῖ ἡ δουλεία τὴ φύση, ἀλλὰ τὴν ἁμαρτία; Αὐτὸ μποροῦμε νὰ ποῦμε καὶ γιὰ τοὺς δούλους. «Κλήθηκες στὴν πίστη ἐνῶ ἦσουν δοῦλος; Μὴ σὲ μέλει»[9].

Ὁρᾷς πῶς πάλιν δείκνυσι ψιλὸν ὄνομα τὴν δουλείαν οὖσαν, ὅταν ἀρετὴ παρῇ; «Ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι»· τουτέστι, μᾶλλον μένε ἐν τῇ δουλείᾳ. Διὰ τί; Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος Κυρίου ἐστίν. Εἶδες μέχρι προσηγορίας τὴν δουλείαν, ἐν τῷ πράγματι δὲ τὴν ἐλευθερίαν; Τίνος δὲ ἕνεκεν ἀφῆκε μένειν δοῦλον; Ἵνα τῆς ἐλευθερίας μάθῃς τὴν περιουσίαν. Ὥσπερ γὰρ τοῦ σβέσαι τὴν κάμινον τὴν ἐπὶ τῶν τριῶν παίδων πολὺ θαυμαστότερον ἦν τὸ μενούσης αὐτῆς ἀσινῆ διατηρῆσαι τὰ σώματα, οὕτω τοῦ λῦσαι τὴν δουλείαν τὸ μενούσης αὐτῆς δεῖξαι τὴν ἐλευθερίαν πολλῷ μεῖζόν ἐστι καὶ θαυμαστότερον. Διὰ τοῦτό φησιν· «Εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι»· τουτέστι, μένε δοῦλος· τὴν γὰρ ἀληθεστάτην ἔχεις ἐλευθερίαν.

2. Βούλει καὶ ἐπὶ τῶν ἀρχόντων τοῦτο ἰδεῖν; Βασιλεὺς ἦν ὁ Ναβουχοδονόσορ, καὶ τὴν κάμινον ἀνῆψε μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ τοὺς τρεῖς παῖδας εἰς μέσον παρήγαγε, νέους, ἐρήμους, οὐδεμίαν ἔχοντας προστασίαν, δούλους αἰχμαλώτους, ἀπόλιδας. Καὶ τί φησιν; «Εἰ ἀληθῶς, Σεδράκ, Μισάκ, Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα, οὐ προσκυνεῖτε;». Τί οὖν ἐκεῖνοι; Θέασαι πῶς αὐτοὺς ἡ ἀρετὴ αἰχμαλώτους ὄντας βασιλικωτέρους ἐποίησε τοῦ βασιλέως, καὶ ὑψηλότερον αὐτῶν ἔδειξε τὸ φρόνημα. Οὐ γὰρ ὡς βασιλεῖ διαλεγόμενοι, ἀλλ' ὥσπερ πρὸς ὑπήκοον τὸν λόγον ἔχοντες, οὕτω μετὰ παρρησίας ἀπεκρίνοντο. «Οὐ χρεία», φασίν, «ἐστὶν ἡμῖν περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναι τῷ βασιλεῖ». Οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων ποιησόμεθα τὴν ἀπόδειξιν. «Ἔστι Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς». Ἀνέμνησαν αὐτὸν τῆς ἐπὶ τοῦ Δανιὴλ εὐεργεσίας, αὐτὰ τὰ ῥήματα εἰπόντες, ἅπερ ὁ προφήτης εἶπε τότε. Τί γὰρ ἐκεῖνος ἔλεγεν; οὐκ ἔστι

10. Α' Κορ. 7, 22.
11. Α' Κορ. 7, 21.
12. Δαν. 3, 14.
13. Δαν. 3, 16.
14. Δαν. 3, 17.

Βλέπεις πῶς πάλι δείχνει ὅτι ἡ δουλεία εἶναι ἕνα ὄνομα χωρὶς ἰδιαίτερη σημασία, ὅταν ὑπάρχει ἡ ἀρετή; «Ἀλλὰ ἂν καὶ μπορεῖς νὰ γίνεις ἐλεύθερος, χρησιμοποίησε περισσότερο αὐτήν»[9]· δηλαδὴ παράμενε ἀκόμα στὴ δουλεία. Γιατί; «Διότι ἐκεῖνος ποὺ κλήθηκε στὸ ὄνομα τοῦ Κυρίου ἐνῶ ἦταν δοῦλος, βρῆκε κοντὰ στὸν Κύριο τὴν ἐλευθερία του»[10]. Εἶδες τὴ δουλεία ὅτι ὑπάρχει μόνο σὰν ὄνομα, ἐνῶ στὴν πραγματικότητα εἶναι ἐλευθερία; Γιὰ ποιὸ λόγο δὲ σὲ ἄφησε νὰ εἶσαι δοῦλος; Γιὰ νὰ γνωρίσεις τὴν ὑπεροχὴ τῆς ἐλευθερίας. Διότι ὅπως ἀκριβῶς στὴ περίπτωση τῶν τριῶν παιδιῶν ἀπὸ τὸ νὰ σβήσει τὴν κάμινο πολὺ πιὸ ἄξιο θαυμασμοῦ ἦταν τὸ νὰ διατηρήσει αὐτὰ αὐβλαβή, ἐνῶ παρέμενε ἡ φωτιά, ἔτσι εἶναι πολὺ πιὸ ἄξιο θαυμασμοῦ τὸ νὰ καταργηθεῖ ἡ δουλεία καὶ νὰ ἀναδειχθεῖ ἡ ἐλευθερία, ἐνῶ παραμένει ἡ δουλεία. Γι' αὐτὸ λέγει· «Ἂν καὶ μπορεῖς νὰ γίνεις ἐλεύθερος, χρησιμοποίησε περισσότερο αὐτήν»[11]· δηλαδή, μένε δοῦλος· διότι ἔχεις τὴν πιὸ ἀληθινὴ ἐλευθερία.

2. Θέλεις νὰ δεῖς ὅτι τὸ ἴδιο συμβαίνει καὶ μὲ τοὺς ἄρχοντες; Βασιλιὰς ἦταν ὁ Ναβουχοδονόσορ καὶ τὴν κάμινο ἄναψε μὲ μεγάλη σφοδρότητα καὶ τὰ τρία παιδιὰ ἔρριξε μέσα σ' αὐτην, ἐνῶ ἦταν νέα, ἔρημα, δὲν εἶχαν καμιὰ προστασία καὶ ἦταν δοῦλοι, αἰχμάλωτοι, καὶ ζοῦσαν σὲ ξένη πατρίδα. Καὶ τί λέγει; «Πράγματι, Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ, δὲν λατρεύετε τοὺς θεούς μου καὶ δὲν προσκυνᾶτε τὸ χρυσὸ ἄγαλμα ποὺ ἔστησα;»[12]. Τί λοιπὸν ἀπαντοῦν ἐκεῖνα; Πρόσεξε πῶς ἡ ἀρετή, ἐνῶ ἦταν αἰχμάλωτα, τὰ ἔκαμε βασιλικότερα καὶ ἀπὸ τὸ βασιλιά, καὶ ἔδειξε ψηλότερο τὸ φρόνημά τους. Διότι δὲν ὁμιλοῦν σὰν πρὸς βασιλιά, ἀλλὰ σὰν νὰ ὁμιλοῦν πρὸς ὑπήκοο, ἔτσι μὲ θάρρος ἀποκρίθηκαν. «Δὲν χρειάζεται», λέγουν, «νὰ δώσουμε στὸ βασιλιὰ ἀπάντηση γιὰ τὰ λόγια αὐτά»[13]. Θὰ σοῦ τὸ ἀποδείξουμε ὄχι μὲ λόγια, ἀλλὰ μὲ τὰ γεγονότα. «Ὑπάρχει στὸν οὐρανὸ Θεὸς ποὺ μπορεῖ νὰ μᾶς σώσει»[14]. Ὑπενθύμισαν σ' αὐτὸν τὴν εὐεργεσία τοῦ Θεοῦ πρὸς τὸν Δανιήλ, λέγοντας τὰ ἴδια ἀκριβῶς λόγια ποὺ εἶπε τότε ὁ προφήτης. Τί λοιπὸν ἐκεῖνος ἔλεγε; «Ἡ ἀπάντηση ποὺ ζητᾶ ὁ βασιλιὰς δὲν εἶναι ἔργο τῶν Γα-

μάγων Γαζαρηνῶν, Χαλδαίων, τὸ ῥῆμα, ὃ ὁ βασιλεὺς ἀπαιτεῖ· ἀλλ' ἔστι Θεὸς ἐν οὐρανοῖς ἀποκαλύπτων μυστήρια». Ταύτης οὖν αὐτὸν ἀναμιμνήσκουσι τῆς φωνῆς, ὥστε ποιῆσαι ἐπιεικέστερον. Εἶτά φασι· «Καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν.».

Ὅρα σοφίαν τῶν νέων ἐκείνων. Ἵνα μὲν γὰρ μὴ καταγνῶσιν ἀσθένειαν τοῦ Θεοῦ οἱ τότε παρόντες, εἰ συμβαίη ἐμπεσόντας αὐτοὺς εἰς τὴν κάμινον ἀποθανεῖν, προλαβόντες ὡμολόγησαν αὐτοῦ τὴν δύναμιν, εἰπόντες, ὅτι «Ἔστι Θεὸς ἐν οὐρανῷ, ὅς δύναται ἐξελέσθαι ἡμᾶς»· ἵνα δὲ μὴ πάλιν διαφυγόντες τὴν φλόγα, νομισθῶσιν ἐπὶ μισθῷ καὶ ἀμοιβῇ τῷ Θεῷ δουλεύειν, ἐπήγαγον, ὅτι «Καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν», ὁμοῦ καὶ τοῦ Θεοῦ τὴν δύναμιν ἀνακηρύττοντες, καὶ τὸ παράστημα τῆς ἑαυτῶν δεικνύντες ψυχῆς, ἵνα μή, ὅπερ ἐπὶ τοῦ Ἰὼβ εἶπεν ὁ διάβολος συκοφαντῶν, τοῦτό τις καὶ περὶ τούτων εἴπῃ. Τί δὲ περὶ τοῦ Ἰὼβ εἶπεν ὁ διάβολος; ὅτι «Οὐ δωρεὰν σέβεταί σε Ἰώβ· περιέφραξας γὰρ αὐτοῦ τὰ ἔσω καὶ τὰ ἔξω». Ἵν' οὖν μὴ καὶ περὶ τούτων ἔχῃ τις τοῦτο λέγειν, ἐκεῖνοι προλαβόντες ἐνέφραξαν τὸ ἀναίσχυντον στόμα. Ἀλλ' ὅπερ ἔλεγον, κἂν αἰχμάλωτος ᾖ τις, κἂν δοῦλος, κἂν ξένος, κἂν ἐπὶ τῆς ἀλλοτρίας διατρίβῃ γῆς, καὶ τὴν ἀρετὴν ἔχῃ μεθ' ἑαυτοῦ, πάντων βασιλέων βασιλικώτερος ἔσται.

Εἶδες καὶ τὴν τῶν γυναικῶν δουλείαν λυθεῖσαν, καὶ τὴν τῶν οἰκετῶν, καὶ τὴν τῶν ἀρχομένων; Δεῦρό σοι δείξω λοιπὸν καὶ τὸν τῶν θηρίων φόβον ἐκβεβλημένον. Ἐνέβαλον τὸν Δανιὴλ εἰς τὸν λάκκον ἐπὶ τῆς αὐτῆς Βαβυλῶνός ποτε, ἀλλ' οὐκ ἐτόλμων ἅψασθαι οἱ λέοντες αὐτοῦ. Τὴν ἀρχαίαν γὰρ καὶ βασιλικὴν εἰκόνα διαλάμπουσαν εἶδον ἐν αὐτῷ, ἐ-

15. Δαν. 2, 27-28.
16. Δαν. 3, 18.
17. Δαν. 3, 17.
18. Δαν. 3, 18.
19. Ἰὼβ 1, 9-10.

ζαρηνῶν μάγων, τῶν Χαλδαίων, ἀλλ' ὑπάρχει Θεὸς στοὺς οὐρανοὺς ποὺ φανερώνει τὰ μυστήρια»[15]. Αὐτὰ λοιπὸν τὰ λόγια τοῦ ὑπενθυμίζουν, ὥστε νὰ τὸν κάνουν νὰ φανεῖ περισσότερο ἐπιεικής. Ἔπειτα προσθέτουν· «Καὶ ἂν ἀκόμα αὐτὸ δὲν συμβεῖ, γνώριζε, βασιλιά μας, ὅτι ἐμεῖς δὲν λατρεύομε τοὺς θεούς σου καὶ δὲν προσκυνοῦμε τὸ χρυσὸ ἄγαλμα ποὺ ἔστησες»[16].

Πρόσεχε τὴ σοφία τῶν νέων ἐκείνων. Γιὰ νὰ μὴ ἀποδώσουν δηλαδὴ οἱ βρισκόμενοι τότε ἐκεῖ ἀδυναμία στὸ Θεό, ἂν συνέβαινε νὰ πεθάνουν ἀφοῦ θὰ ρίχνονταν στὴν κάμινο, πρόλαβαν καὶ ὁμολόγησαν τὴ δύναμή του, λέγοντας, ὅτι «Ὑπάρχει Θεὸς στὸν οὐρανό, ποὺ μπορεῖ νὰ μᾶς σώσει»[17]· πάλι δὲ γιὰ νὰ μὴ νομισθοῦν, ἀφοῦ διαφύγουν τὴ φλόγα, ὅτι ὑπηρετοῦν τὸ Θεὸ ἔναντι μισθοῦ καὶ ἀμοιβῆς, πρόσθεσαν, ὅτι «Καὶ ἂν ἀκόμα δὲν συμβεῖ αὐτό, γνώριζε, βασιλιά, ὅτι ἐμεῖς δὲν λατρεύομε τοὺς θεούς σου, καὶ δὲν προσκυνοῦμε τὸ χρυσὸ ἄγαλμα ποὺ ἔστησες»[18], διακηρύσσοντας συγχρόνως καὶ τὴ δύναμη τοῦ Θεοῦ, καὶ δείχνοντας τὸ παράστημα τῆς ψυχῆς τους, ὥστε νὰ μὴ πεῖ κανείς, ἐκεῖνο ποὺ εἶπε ὁ διάβολος συκοφαντώντας τὸν Ἰώβ, αὐτὸ καὶ γι' αὐτά. Τί δὲ εἶπε γιὰ τὸν Ἰὼβ ὁ διάβολος; ὅτι «Ὁ Ἰὼβ δὲν σὲ λατρεύει χωρὶς ἀμοιβή· διότι περιφρούρησες ὅλα τὰ ὑπάρχοντά του ἐντὸς καὶ ἐκτὸς τῆς οἰκίας του»[19]. Γιὰ νὰ μὴ μπορεῖ λοιπὸν κανεὶς νὰ λέγει καὶ γι' αὐτὰ τὸ ἴδιο, πρόλαβαν αὐτὰ καὶ ἔφραξαν τὸ ἀδιάντροπο στόμα. Ἀλλ', ὅπως προανέφερα, καὶ ἂν ἀκόμα κανεὶς εἶναι αἰχμάλωτος, καὶ ἂν ἀκόμα δοῦλος, καὶ ἂν ἀκόμα ξένος, καὶ ἂν ἀκόμα ζεῖ σὲ ξένη χώρα, ἀλλ' ἔχει μαζί του τὴν ἀρετή, θὰ εἶναι βασιλικότερος ἀπὸ ὅλους τοὺς βασιλεῖς.

Εἶδες ποὺ καταργήθηκε καὶ ἡ δουλεία τῶν γυναικῶν καὶ ἡ τῶν δούλων καὶ ἡ τῶν ἀρχομένων; Ἐμπρὸς λοιπὸν νὰ σοῦ δείξω καταργημένο καὶ τὸ φόβο τοῦ ἀνθρώπου πρὸς τὰ θηρία. Ἔρριξαν κάποτε τὸν Δανιὴλ στὸ λάκκο στὴν ἴδια χώρα τῆς Βαβυλώνας, ἀλλὰ δὲν τόλμησαν τὰ λεοντάρια νὰ τὸν ἀγγίσουν. Διότι εἶδαν νὰ διαλάμπει σ' αὐτὸν τὴν ἀρχαία καὶ βασιλικὴ εἰκόνα, ἐκεῖνα τὰ γνωρίσματα ποὺ ἔβλεπαν καὶ στὸν Ἀδὰμ

κείνους τοὺς χαρακτῆρας ἔβλεπον, οὓς ἑώρων ἐπὶ τοῦ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας. Καὶ γὰρ μετὰ τῆς αὐτῆς ὑποταγῆς ἐλθόντες πρὸς τὸν Ἀδάμ, τὰ ὀνόματα ἐδέξαντο τότε. Καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ μακαρίου Παύλου τοῦτο γέγονε. Καὶ γὰρ ἐκεῖνος εἰς τὴν βαρβάρων νῆσον ἐκπεσών, παρεκάθητο πυρᾷ θερμαινόμενος· εἶτα ἀπὸ τῶ φρυγάνων ἐκπηδήσασα ἔχις καθίκετο αὐτοῦ τῆς χειρός. Τί οὖν μετὰ ταῦτα ἐγίνετο; Ἐξέπεσε τὸ θηρίον εὐθέως. Ἐπειδὴ γὰρ ἁμαρτίαν οὐχ εὗρεν, οὐδὲ δοκεῖν ἴσχυσεν· ἀλλ' ὥσπερ ἡμεῖς, ἐπειδάν τινα σκόπελον λεῖον βουλώμεθα ἀναβῆναι, μηδαμόθεν εὑρίσκοντες ἀντιλαβάς, καταπίπτομεν εὐθέως, κἂν πέλαγος ὑποκείμενον ᾖ, κἂν βάραθρον, οὕτω καὶ τὸ θηρίον ἐκείνο, καὶ ταῦτα πυρᾶς ὑποκειμένης, οὐχ εὑρὸν τῆς ἁμαρτίας τὴν ἀντιλαβήν, οὐδὲ ὅπου τοὺς ὀδόντας ἀπερείσῃ, κατέπεσεν εἰς τὴν πυράν, καὶ διεφθάρη.

Βούλει καὶ τρίτον εἴπω σοι τρόπον ἀπολογίας; Εἷς μέν ἐστι, τὸ μὴ τοὺς προτέρους ἡμαρτηκέναι μόνον, ἀλλὰ καὶ τοὺς μετ' ἐκείνους· δεύτερος, τὸ τοὺς κατωρθωκότας, καὶ ταῦτα ἐν τῷ παρόντι διατρίβοντας βίῳ, κουφοτέρας πειραθῆναι τῆς δουλείας· μᾶλλον δὲ ὁλοκλήρου ταύτης ἀπαλλαγῆναι, καθάπερ οὖν καὶ ἐπὶ τῶν γυναικῶν, καὶ ἐπὶ τῶν ἀρχομένων, καὶ ἐπὶ τῶν θηρίων ἐδείξαμεν. Τρίτος μετ' ἐκείνους, τὸ μείζονα τῶν ἀγαθῶν, ὧν οἱ παρὰ τὴν ἀρχὴν ἁμαρτόντες ἡμᾶς ἐξέβαλον, παραγενόμενον ἡμῖν ὑποσχέσθαι τὸν Χριστὸν ἀγαθὰ νῦν. Τί γὰρ θρηνεῖς, εἰπέ μοι; ὅτι σε ἁμαρτὼν ὁ Ἀδὰμ ἐξέβαλε τοῦ παραδείσου; Κατόρθωσον, καὶ ζήλωσον σὺ ἀρετήν· καὶ οὐχὶ παράδεισον, ἀλλ' αὐτὸν ἀνοίγω σοι τὸν οὐρανόν, καὶ οὐδὲν ἐκ τῆς τοῦ πρωτοπλάστου παρακοῆς ἀφίημί σε παθεῖν δεινόν.

Θρηνεῖς ὅτι σε τῆς ἀρχῆς τῶν θηρίων παρέλυσεν; Ἰδού σοι καὶ δαίμονας ὑποτάττω, ἐὰν προσέχῃς. «Πατεῖτε» γάρ, φησίν, «ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύ-

20. Γέν. 2, 19-20. 21. Πράξ. 28, 1-6.

πρὶν ἀπὸ τὴν ἁμαρτία. Καθόσον μὲ τὴν ἴδια ὑποταγὴ ἦλθαν τότε πρὸς τὸν Ἀδὰμ καὶ δέχθηκαν τὰ ὀνόματα[20]. Καὶ ὄχι μόνο ἐδῶ, ἀλλ' αὐτὸ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Παύλου. Διότι καὶ ἐκεῖνος, ὅταν περιέπεσε στὴ νῆσο τῶν βαρβάρων, καθόταν κοντὰ στὴ φωτιὰ καὶ ζεσταινόταν· καὶ τότε ξεπήδησε μέσα ἀπὸ τὰ ξηρὰ κλαδιὰ μιὰ ἔχιδνα καὶ δάγκωσε τὸ χέρι του[21]. Τί λοιπὸν συνέβηκε στὴ συνέχεια; Ἀμέσως ἔπεσε τὸ θηρίο κάτω. Ἐπειδὴ δηλαδὴ δὲν βρῆκε ἁμαρτία, δὲν μπόρεσε οὔτε καὶ νὰ δαγκώσει· ἀλλ' ὅπως ἀκριβῶς ἐμεῖς, ὅταν θέλουμε ν' ἀνεβοῦμε κάποιο βράχο γλιστερό, ἐπειδὴ δὲν βρίσκομε πουθενὰ μέρος νὰ πιασθοῦμε, πέφτουμε κάτω ἀμέσως, εἴτε βρίσκεται κάτω πέλαγος εἴτε βάραθρο, ἔτσι καὶ τὸ θηρίο ἐκεῖνο, ἂν καὶ ὑπῆρχε κάτω φωτιά, ἐπειδὴ δὲν βρῆκε τῆς ἁμαρτίας τὴ λαβή, οὔτε ποῦ νὰ καρφώσει τὰ δόντια του, ἔπεσε μέσα στὴ φωτιὰ καὶ θανατώθηκε.

Θέλεις νὰ σοῦ πῶ καὶ τρίτο τρόπο ἀπολογίας; Ἕνας μὲν εἶναι τὸ ὅτι δὲν ἔχουν ἁμαρτήσει μόνο οἱ προγενέστεροι, ἀλλὰ καὶ οἱ μεταγενέστεροι ἐκείνων· δεύτερος εἶναι τὸ ὅτι ὑπάρχουν πολλοὶ ποὺ κατόρθωσαν νὰ κάνουν ἐλαφρότερη τὴ δουλεία, καὶ μάλιστα ζώντας μέσα στὴ σημερινὴ ζωή· μᾶλλον δὲ τὸ ὅτι κατόρθωσαν ν' ἀπαλλαγοῦν ἐξ ὁλοκλήρου ἀπὸ αὐτήν, ὅπως ἀκριβῶς βέβαια καὶ δείξαμε ὅτι συνέβηκε αὐτὸ καὶ στὴν περίπτωση τῶν γυναικῶν καὶ τῶν ἀρχομένων καὶ τῶν θηρίων. Τρίτος τρόπος μετὰ ἀπὸ ἐκείνους εἶναι τὸ ὅτι μᾶς ὑποσχέθηκε ἐρχόμενος ὁ Χριστὸς μεγαλύτερα ἀγαθὰ τώρα, ἀπὸ τὰ ἀγαθὰ ἐκεῖνα ποὺ μᾶς στέρησαν ἐκεῖνοι ποὺ ἁμάρτησαν στὴν ἀρχή. Διότι πές μου, τί θρηνεῖς; τὸ ὅτι σὲ ἀπομάκρυνε ὁ Ἀδάμ, ἁμαρτάνοντας, ἀπὸ τὸν παράδεισο; παρουσίασε ἔργα ἀγαθά, ἄσκησε μὲ ζῆλο τὴν ἀρετή, καὶ ὄχι παράδεισο, ἀλλὰ τὸν ἴδιο τὸν οὐρανὸ σοῦ ἀνοίγω καὶ δὲν σ' ἀφήνω νὰ πάθεις κανένα κακὸ προερχόμενο ἀπὸ τὴν παρακοὴ τοῦ πρωτοπλάστου.

Θρηνεῖς γιὰ τὸ ὅτι σοῦ ἀφήρησε τὴν ἐξουσία ἐπὶ τῶν θηρίων; Νὰ σοῦ ὑποτάσσω καὶ τοὺς δαίμονες, ἂν εἶσαι προσεκτικός. Διότι λέγει· «Πατᾶτε ἐπάνω στὰ φίδια καὶ τοὺς σκορπιοὺς

ναμιν τοῦ ἐχθροῦ». Οὐκ εἶπεν, 'ἄρχετε', καθάπερ ἐπὶ τῶν θηρίων, ἀλλά, «Πατεῖτε», ἐπιτεταμένην εἰσάγων τὴν ἀρχήν. Διὰ τοῦτο καὶ ὁ Παῦλος οὐκ εἶπεν, 'ὁ Θεὸς ὑποτάξει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν', ἀλλ', «Ὁ Θεὸς συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν». Οὐκέτι, καθάπερ πρότερον, «Αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ αὐτοῦ τηρήσεις πτέρναν», ἀλλ' ὁλόκληρος ἡ νίκη, καθαρὸν τὸ τρόπαιον, παντελὴς ἀφανισμὸς τοῦ πολεμίου, καὶ συντριβή, καὶ ἀπώλεια. Ὑπέταξέ σε τῷ ἀνδρὶ ἡ Εὔα, ἀλλ' ἐγώ σε οὐκ ἀνδρὸς ὁμότιμον μόνον, ἀλλὰ καὶ αὐτῶν ποιῶ τῶν ἀγγέλων, ἐὰν ἐθέλῃς. Ἀπεστέρησέ σε τῆς παρούσης ζωῆς· ἐγὼ δέ σοι καὶ τὴν μέλλουσαν χαρίζομαι, τὴν ἀγήρω καὶ ἀθάνατον, καὶ μυρίων γέμουσαν ἀγαθῶν.

3. Μηδεὶς τοίνυν διὰ τοὺς προτέρους ἐπηρεάσθαι νομιζέτω· καὶ γὰρ ἂν θελήσωμεν ἅπασιν, οἷς παρέχειν μέλλει, ἐπεξελθεῖν, πολλῷ μείζονα τὰ δοθέντα, ὧν ἀπωλέσαμεν, εὑρήσομεν. Ἀπὸ δὲ τῶν εἰρημένων καὶ τὰ λοιπὰ δῆλα. Βίον ἐπίμοχθον εἰσήγαγεν ὁ Ἀδάμ· ὁ Χριστὸς ὑπέσχετο ζωήν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν χαριεῖσθαι ἐπαγγέλλεται. «Δεῦτε» γάρ, φησίν, «οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς ἤμην καὶ περιεβάλετέ με· ἐν φυλακῇ, καὶ ἤλθετε πρός με».

Ἄρα οὖν ἀκουσόμεθα καὶ ἡμεῖς τῆς μακαρίας ἐκείνης φωνῆς; Οὐ σφόδρα ἂν ἰσχυρισαίμην ἐγώ· πολλὴ γὰρ παρ' ἡμῖν τῶν πενήτων ἡ ὑπεροψία. Νηστείας καιρός, παραίνεσις τοσαύτη καὶ διδασκαλία σωτηρίων διδαγμάτων, εὐχαὶ συνεχεῖς, σύλλογοι καθημερινοί, καὶ τί μετὰ τὴν τοσαύτην ἐπιμέλειαν ὄφελος; Οὐδέν. Ἀναχωροῦμεν γὰρ ἐντεῦθεν ὁρμα-

22. Λουκᾶ 10, 19.
23. Ρωμ. 16, 20.
24. Γέν. 3, 15.
25. Ματθ. 25, 34-36.

καὶ ἐπάνω σ' ὅλη τὴ δύναμη τοῦ ἐχθροῦ»[22]. Δὲν εἶπε, 'ἐξουσίαζε', ὅπως ἀκριβῶς στὴν περίπτωσή τῶν θηρίων, ἀλλά, «Πατᾶτε», παρέχοντας τὴν ἐξουσία σὲ μεγαλύτερο βαθμό. Γι' αὐτὸ καὶ ὁ Παῦλος δὲν εἶπε, 'ὁ Θεὸς θὰ ὑποτάξει τὸν σατανᾶ κάτω ἀπὸ τὰ πόδια μας', ἀλλ', «Ὁ Θεὸς θὰ συντρίψει τὸν σατανᾶ κάτω ἀπὸ τὰ πόδια μας»[23]. Ὄχι πιὰ ὅπως ἀκριβῶς προηγουμένως, «Αὐτὸς θὰ σοῦ συντρίψει τὸ κεφάλι καὶ σὺ θὰ τρυπήσεις τὴ φτέρνα του»[24], ἀλλ' ὁλοκληρωτικὴ εἶναι ἡ νίκη, καθαρὸ τὸ τρόπαιο, γενικὸς ἀφανισμὸς τοῦ ἐχθροῦ, συντριβὴ καὶ καταστροφή. Σὲ ὑπέταξε ἡ Εὔα στὸν Ἄνδρα, ἀλλ' ἐγὼ δὲν σὲ κάμνω μόνο ἰσότιμη μὲ τὸν ἄνδρα, ἀλλὰ καὶ μὲ τοὺς ἴδιους τοὺς ἀγγέλους, ἂν θέλεις. Σοῦ στέρησε τὴν παροῦσα ζωή· ἐγὼ ὅμως σοῦ χαρίζω καὶ τὴ μέλλουσα ζωή, τὴν αἰώνια καὶ ἀθάνατη καὶ γεμάτη ἀπὸ ἀμέτρητα ἀγαθά.

3. Κανένας λοιπὸν νὰ μὴ νομίζει ὅτι βλάπτεται ἐξ αἰτίας τῶν προηγουμένων· καθόσον ἂν θελήσομε νὰ ἐξετάσομε ὅλα ἐκεῖνα ποὺ πρόκειται νὰ μᾶς χαρίσει, θὰ βροῦμε ὅτι εἶναι πολὺ πιὸ μεγαλύτερα αὐτὰ ποὺ μᾶς δόθηκαν ἀπὸ ἐκεῖνα ποὺ χάσαμε. Ἀπὸ τὰ ὅσα ἔχουν λεχθεῖ γίνονται φανερὰ καὶ τὰ ὑπόλοιπα. Εἰσήγαγε ὁ Ἀδὰμ ζωὴ κοπιαστική, ὁ Χριστὸς ὅμως ὑποσχέθηκε ζωή, ἀπὸ τὴν ὁποία ἀπουσιάζει ὁ πόνος, ἡ λύπη καὶ ὁ στεναγμός, ὑπόσχεται δὲ καὶ ὅτι θὰ μᾶς χαρίσει καὶ τὴ βασιλεία τῶν οὐρανῶν. Διότι λέγει, «Ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατέρα μου καὶ κληρονομήσατε τὴ βασιλεία ποὺ ἔχει ἑτοιμασθεῖ γιὰ σᾶς ἀπὸ τὴν ἀρχὴ τοῦ κόσμου. Διότι πείνασα καὶ μοῦ δώσατε νὰ φάγω· δίψασα καὶ μὲ ποτίσατε· ξένος ἤμουν καὶ μὲ περιμαζέψατε· γυμνὸς ἤμουν καὶ μὲ ἐνδύσατε· στὴ φυλακὴ ἤμουν καὶ μὲ ἐπισκεφθήκατε»[25].

Ἄραγε λοιπὸν θ' ἀκούσουμε καὶ ἐμεῖς τὴ μακάρια ἐκείνη φωνή; Δὲν θὰ μποροῦσα νὰ τὸ ἰσχυρισθῶ καὶ πολύ· διότι εἶναι μεγάλη ἡ περιφρόνησή μας πρὸς τοὺς φτωχούς. Εἶναι καιρὸς νηστείας, τόσες παραινέσεις γίνονται καὶ διδασκαλία σωτηρίων διδαγμάτων, συνεχεῖς εὐχές, καθημερινὲς συγκεντρώσεις, καὶ ποιὸ τὸ ὄφελος μετὰ ἀπὸ τὴν τόση φροντίδα; Κανένα.

θοὺς πενήτων ὁρῶντες στοιχηδὸν ἑκατέρωθεν ἑστηκότων, καὶ ὥσπερ κίονας βλέποντες, ἀλλ' οὐκ ἀνθρώπινα σώματα, οὕτως ἀνηλεῶς παρατρέχομεν. Ὥσπερ οὖν ἀνδριάντας ἀψύχους, ἀλλ' οὐκ ἐμπνέοντας ἀνθρώπους βλέποντες, οὕτως οἴκαδε ἐπειγόμεθα. Τὸ γὰρ πεινῆν καταναγκάζει, φησί. Καὶ μὴν τὸ πεινῆν πειθέτω μένειν· αἱ μὲν γὰρ ἐμπεπλησμέναι γαστέρες, κατὰ τὴν παροιμίαν, τὰς πεινώσας ἀγνοοῦσιν, αἱ δὲ πεινῶσαι ἐκ τῆς οἰκείας ἀνάγκης καὶ τὴν ἀλλοτρίαν ἐπιγινώσκουσι· μᾶλλον δὲ οὐδὲ οὕτω δυνατὸν πᾶσαν κατιδεῖν.

Σὺ μὲν γὰρ ἐπὶ παρεσκευασμένην τρέχεις τράπεζαν, καὶ οὐδὲ μικρὸν ἀναμεῖναι ἀνέχῃ, ὁ δὲ πένης ἕστηκε μέχρι τῆς ἑσπέρας αὐτῆς, σπεύδων καὶ ἐπειγόμενος τὴν ἐφήμερον τροφὴν ἀπαρτίσαι· καὶ ὁρῶν τὴν μὲν ἡμέραν πληρωθεῖσαν, τὸ δὲ ἀργύριον οὐδέπω πληρωθὲν ἅπαν, τὸ πρὸς τροφὴν ἀρκοῦν ἐφήμερον, ὀδυνᾶται καὶ ἐμπίπραται, καὶ μείζονα τῆς οἰκείας δυνάμεως τολμᾶν ἀναγκάζεται. Διὰ τοῦτο ἐν ἑσπέρᾳ σφοδρότερον ἡμῖν ἐπιτίθενται ὀμνύοντες, ὁρκοῦντες, θρηνοῦντες, ὀλοφυρόμενοι, τὰς χεῖρας ἐκτείνοντες, μυρία ἕτερα ἀναισχυντεῖν ἀναγκαζόμενοι. Δεδοίκασι γὰρ μή, πάντων οἴκαδε ἀναχωρησάντων, ὡς ἐν ἐρήμῳ, τῇ πόλει πλανᾶσθαι μέλλωσι. Καὶ καθάπερ οἱ ναυαγίῳ περιπεσόντες ἐν ἡμέρᾳ, ἐπειδὰν ἐπιλάβωνται σανίδος, πρὸ τῆς ἑσπέρας τὸν λιμένα καταλαβεῖν ἐπείγονται, μήποτε τῆς νυκτὸς ἐπελθούσης ἔξω μείναντες χαλεπωτέρου πειραθῶσι τοῦ ναυαγίου, οὕτω καὶ οἱ πένητες, καθάπερ ναυάγιον δεδοικότες τὸν λιμόν, σπεύδουσι πρὸ τῆς ἑσπέρας τὸ πρὸς τροφὴν αὐτοῖς ἀργύριον ἀρκοῦν συναγαγεῖν, ἵνα μή, πάντων ἀποδημησάντων οἴκαδε, ἔξω τοῦ λιμένος μείνωσι. Λιμὴν γὰρ αὐτοῖς αἱ τῶν ἀντιλαμβανομένων χεῖρές εἰσιν.

Διότι ἀναχωροῦμε ἀπὸ ἐδῶ βλέποντας πλῆθος φτωχῶν νὰ στέκεται σὲ σειρὰ καὶ ἀπὸ τὰ δυὸ μέρη, καὶ σὰν νὰ βλέπουμε κολόνες, καὶ ὄχι ἀνθρώπινα σώματα, τοὺς προσπερνοῦμε μὲ τόση ἀσπλαχνία. Σὰν δηλαδὴ νὰ βλέπουμε ἄψυχους ἀνδριάντες καὶ ὄχι ζωντανοὺς ἀνθρώπους, τόσο πολὺ βιαζόμαστε νὰ φθάσουμε στὸ σπίτι μας. Διότι, λέγει, μᾶς ἀναγκάζει νὰ τὸ κάνομε αὐτὸ ἡ πείνα. Καὶ ὅμως νὰ σᾶς πείσει ἡ πείνα νὰ μένετε· διότι οἱ μὲν γεμάτες γαστέρες, σύμφωνα μὲ τὴν παροιμία, ἀγνοοῦν τὶς πεινασμένες, οἱ δὲ πεινασμένες ἐξ αἰτίας τῆς δικῆς τους ἀνάγκης αἰσθάνονται καὶ τὴν ξένη πείνα· μᾶλλον δὲ οὔτε ἔτσι εἶναι δυνατὸ νὰ αἰσθανθοῦν αὐτήν.

Σὺ λοιπὸν τρέχεις σὲ τράπεζα ἑτοιμασμένη καὶ δὲν μπορεῖς νὰ περιμένεις οὔτε γιὰ λίγο, ὁ φτωχὸς ὅμως στέκεται καὶ περιμένει μέχρι αὐτὴ τὴν ἑσπέρα, καὶ ἀνυπομονεῖ καὶ ἐπιθυμεῖ νὰ ἐξασφαλίσει τὴν τροφὴ τῆς ἡμέρας· καὶ βλέποντας τὴν μὲν ἡμέρα νὰ τελειώνει, τὰ δὲ χρήματα, ποὺ ἐπαρκοῦν γιὰ τὴν καθημερινὴ τροφή, νὰ μὴ ἔχουν συμπληρωθεῖ ἀκόμα, ὑποφέρει καὶ ἐξοργίζεται καὶ ἀναγκάζεται νὰ κάνει πράγματα μεγαλύτερα ἀπὸ τὴ δύναμή του. Γι' αὐτὸ κατὰ τὴν ἑσπέρα μᾶς ἐπιτίθενται μὲ σφοδρότητα, ὁρκίζονται, ἐξορκίζουν ἄλλους, θρηνοῦν, ὀδύρονται, ἁπλώνουν τὰ χέρια τους, καὶ ἀναγκάζονται νὰ κάμνουν ἀμέτρητες ἄλλες ἀδιάντροπες ἐνέργειες. Διότι φοβοῦνται μήπως, ἀφοῦ ἀναχωρήσουν ὅλοι γιὰ τὰ σπίτια τους, καταντήσουν νὰ περιπλανοῦνται μέσα στὴν πόλη σὰν μέσα στὴν ἔρημο. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ περιέπεσαν σὲ ναυάγιο κατὰ τὴν διάρκεια ἡμέρας, ἐφόσον πιασθοῦν ἀπὸ σανίδα, βιάζονται πρὶν ἀπὸ τὴν ἑσπέρα νὰ φθάσουν στὸ λιμάνι, μὴ τυχὸν καὶ τοὺς βρεῖ ἡ νύχτα, ἐνῶ ἀκόμη εἶναι ἔξω ἀπὸ τὸ λιμάνι, καὶ ὑποστοῦν φοβερότερο ναυάγιο, ἔτσι καὶ οἱ φτωχοί, ἐπειδὴ φοβοῦνται τὴν πείνα σὰν τὸ ναυάγιο, ἀνυπομονοῦν νὰ συγκεντρώσουν πρὶν ἀπὸ τὴν ἑσπέρα τὰ χρήματα ποὺ ἐπαρκοῦν γιὰ τὴν τροφή τους, ὥστε νὰ μὴ συμβεῖ, ἀφοῦ ὅλοι μεταβοῦν στὰ σπίτια τους, νὰ μείνουν ἔξω ἀπὸ τὸ λιμάνι. Διότι λιμάνι γι' αὐτοὺς εἶναι τὰ χέρια ἐκείνων ποὺ τοὺς ἐλεοῦν.

4. Ἡμεῖς δὲ οὔτε ἐν ἀγορᾷ πρὸς τὰς ἐκείνων ἐκκαμπτόμεθα συμφοράς, οὔτε οἴκαδε ἀπελθόντες, ἀλλὰ καὶ τῆς τραπέζης ἡμῖν παρακειμένης, πολλάκις καὶ μυρίων γεμούσης ἀγαθῶν (εἴγε ἀγαθὰ χρὴ καλεῖν, ἃ ἐπὶ κατακρίσει τῆς ἡμῶν ἀπανθρωπίας ἐσθίομεν), πλὴν ἀλλὰ καὶ τῆς τραπέζης παρακειμένης, ἀκούοντες κάτωθεν διὰ τῶν στενωπῶν βαδιζόντων ἐκείνων, καὶ μεγάλα βοώντων ἐν τοῖς ἀμφόδοις, ὀδυνωμένων ἐν βαθυτάτῳ σκότῳ, ἐν ἐρημίᾳ πολλῇ, οὐδὲ οὕτως ἐπικαμπτόμεθα· ἀλλὰ καὶ ἐμπλησθέντες, καὶ πρὸς ὕπνον βαδίζοντες, καὶ ἐν ἐκείνῳ πάλιν τῷ καιρῷ μεγάλα κάτωθεν ὀδυρομένων ἀκούοντες, ὥσπερ κυνὸς λυττῶντος, ἀλλ᾽ οὐκ ἀνθρωπίνης ἀκούοντες φωνῆς, οὕτω παρατρέχομεν· καὶ οὔτε πρὸς τὸν καιρὸν ἐπιστρεφόμεθα, ὅτι ἀωρὶ λοιπὸν τῶν νυκτῶν καθευδόντων ἁπάντων, ἐκεῖνος ὀδύρεται μόνος, οὔτε πρὸς τὸν κοῦφον τῆς αἰτήσεως, ὅτι ἄρτου πλέον οὐδὲν ἡμᾶς ἀπαιτεῖ, ἢ ἀργύριον ὀλίγον, οὔτε πρὸς τὸ μέγεθος τῆς συμφορᾶς, ὅτι λιμῷ παλαίει διηνεκεῖ, οὔτε πρὸς τὴν ἐπιείκειαν τοῦ ἱκέτου, ὅτι τοσαύτῃ κατεχόμενος ἀνάγκῃ, οὐ πρὸς τὰς θύρας ἐλθεῖν, οὐκ ἐγγὺς γενέσθαι τολμᾷ, ἀλλὰ κάτωθεν ἐκ πολλοῦ τοῦ διαστήματος ποιεῖται τὴν ἱκετηρίαν.

Κἂν μὲν λάβῃ, μυρίας δίδωσι τὰς εὐχάς, ἂν δὲ μὴ λάβῃ, οὐδὲ οὕτω πικρὸν ἐκβάλλει ῥῆμα, οὐδὲ λοιδορεῖται καὶ βλασφημεῖ τοὺς δυναμένους δοῦναι, καὶ μὴ παρέχοντας· ἀλλ᾽ ὥσπερ τις ὑπὸ δημίου τινὸς ἐπὶ κόλασιν ἀγόμενος ἀφόρητον, εἶτα τοὺς παριόντας ἅπαντας παρακαλῶν, ἱκετεύων, καὶ μηδεμιᾶς τυγχάνων ἀντιλήψεως, μετὰ πολλῆς τῆς ἀπανθρωπίας πρὸς τὴν κόλασιν ἄγεται, οὕτω καὶ οὗτος, καθάπερ ὑπὸ δημίου τοῦ λιμοῦ πρὸς τὴν νύκτα ἑλκόμενος καὶ τὴν ἀφόρητον ἀγρυπνίαν, ἐκτείνει μὲν τὰς χεῖρας, μετὰ σφοδρᾶς τῆς βοῆς τοὺς ἐν ταῖς οἰκίαις ἄνω καθημένους παρακαλῶν, οὐδεμιᾶς δὲ φιλανθρωπίας τυγχάνων, ἀνηλεῶς ἀποπέμπεται καὶ μετὰ πολλῆς τῆς ὠμότητος.

4. Ἐμεῖς ὅμως οὔτε μέσα στὴν ἀγορὰ συγκινούμαστε ἀπὸ τὶς συμφορὲς ἐκείνων, οὔτε ὅταν μεταβοῦμε στὸ σπίτι μας, ἀλλὰ καὶ ἐνῷ τὸ τραπέζι βρίσκεται δίπλα μας καὶ πολλὲς φορὲς εἶναι γεμάτο ἀπὸ ἄπειρα ἀγαθὰ (ἐὰν βέβαια πρέπει νὰ ὀνομάζουμε ἀγαθὰ ἐκεῖνα ποὺ τὰ τρῶμε πρὸς κατάκριση τῆς ἀπανθρωπιᾶς μας), πλὴν ὅμως καὶ ἐνῷ τὸ τραπέζι εἶναι δίπλα μας στρωμένο, καὶ ἀκοῦμε κάτω ἐκείνους νὰ βαδίζουν μέσα στὰ στενὰ δρομάκια, νὰ φωνάζουν δυνατὰ μέσα στὶς συνοικίες, νὰ ὑποφέρουν μέσα στὸ βαθύτατο σκοτάδι, καὶ νὰ εἶναι τελείως ἔρημοι, οὔτε ἔτσι συγκινούμαστε· ἀλλὰ καὶ ὅταν χορτάσουμε καὶ πηγαίνουμε γιὰ νὰ κοιμηθοῦμε, ἀκούοντας πάλι καὶ κατὰ τὴν ὥρα ἐκείνη νὰ ὑποφέρουν κάτω φοβερά, σὰν ν' ἀκοῦμε ὄχι ἀνθρώπινη φωνή, ἀλλὰ λυσσασμένου σκύλου, δείχνουμε τόση μεγάλη ἀδιαφορία· καὶ οὔτε ἀπὸ τὴν ὥρα μεταβάλλομε στάση ἀπέναντί τους, διότι, ἐνῷ πλέον εἶναι προχωρημένη πολὺ ἡ νύχτα καὶ ὅλοι κοιμοῦνται, ἐκεῖνος μόνο ὀδύρεται, οὔτε ἀπὸ τὸ ἐλαφρὸ αἴτημά του, διότι τίποτε περισσότερο δὲν μᾶς ζητᾶ ἀπὸ τὸν ἄρτο ἢ ἀπὸ λίγα χρήματα, οὔτε ἀπὸ τὸ μέγεθος τῆς συμφορᾶς, διότι παλεύει μὲ συνεχῆ πείνα, οὔτε ἀπὸ τὴν καλωσύνη τοῦ ἱκέτη, διότι ἂν καὶ εἶναι κυριευμένος ἀπὸ τόσο μεγάλη ἀνάγκη, δὲν πλησιάζει τὶς θύρες, δὲν τολμᾶ νὰ τὶς ἀγγίσει, ἀλλὰ παρακαλεῖ ἐκεῖ κάτω γιὰ πολὺ χρόνο.

Καὶ ἂν μὲν λάβει, δίνει ἀμέτρητες εὐχές, ἂν δὲ δὲν λάβει, οὔτε ἔτσι βγάζει κακὸ λόγο ἀπὸ τὸ στόμα του, οὔτε βρίζει καὶ βλασφημεῖ ἐκείνους ποὺ μποροῦν νὰ δώσουν καὶ δὲν δίνουν, ἀλλὰ σὰν κάποιος ποὺ ὁδηγεῖται ἀπὸ κάποιο δήμιο σὲ τιμωρία ἀνυπόφορη, καί, ἐνῷ παρακαλεῖ ὅλους τοὺς περαστικοὺς καὶ τοὺς ἱκετεύει καὶ δὲν παίρνει καμιὰ βοήθεια, ὁδηγεῖται μὲ μεγάλη ἀπανθρωπιὰ πρὸς τὴν τιμωρία, ἔτσι καὶ αὐτός, σὰν νὰ σύρεται ἀπὸ τὸν δήμιο τῆς πείνας μέσα στὴ νύχτα καὶ τὴν ἀνυπόφορη ἀγρυπνία, ἁπλώνει μὲν τὰ χέρια καὶ παρακαλεῖ μὲ δυνατὴ φωνὴ ἐκείνους ποὺ κάθονται ἐπάνω στὴν οἰκία, μὴ ἀπολαμβάνοντας δὲ καμιὰ φιλανθρωπία, διώχνεται ἄσπλαχνα καὶ μὲ μεγάλη σκληρότητα.

Ἀλλ' οὐδὲν τούτων ἡμᾶς ἐπικάμπτει, ἀλλὰ μετὰ τοσαύτην ἀπανθρωπίαν εἰς τὸν οὐρανὸν ἐκτεῖναι τὰς χεῖρας τολμῶμεν, καὶ περὶ ἐλέου διαλεχθῆναι τῷ Θεῷ, καὶ συγγνώμην αἰτῆσαι τῶν οἰκείων ἁμαρτημάτων, καὶ οὐ δεδοίκαμεν μὴ κεραυνὸς μετὰ τὴν τοιαύτην εὐχὴν κατενεχθῇ, μετὰ τὴν τοσαύτην ὠμότητα καὶ ἀπανθρωπίαν. Πῶς πρὸς ὕπνον, εἰπέ μοι, βαδίζομεν καὶ ἀνάπαυσιν, καὶ οὐ δεδοίκαμεν μὴ κατ' ὄναρ αὐτὸς οὗτος ἡμῖν ὁ πένης ἐπιστάς, αὐχμῶν, ρυπῶν, ράκια περιβεβλημένος, ὀδύρηται καὶ θρηνήσῃ, τὴν ὠμότητα ἐγκαλῶν; Καὶ γὰρ πολλῶν πολλάκις ἤκουσα λεγόντων, ὅτι μεθ' ἡμέραν ὑπεριδόντες τῆς τῶν πτωχῶν ἀντιλήψεως, ἐν νυκτὶ σχοινία περιβεβλημένους ἑαυτοὺς εἶδον καὶ ἑλκομένους ὑπὸ τῆς τῶν πενήτων χειρός, σπαραττομένους, μυρία πάσχοντας πράγματα.

Ἀλλὰ ταῦτα μὲν ὕπνος καὶ ὄναρ, καὶ πρόσκαιρος τιμωρία, ἡμεῖς δὲ οὐ δεδοίκαμεν, εἰπέ μοι, μήποτε τὸν πένητα τοῦτον τὸν ὀδυρόμενον καὶ βοῶντα καὶ ὀλοφυρόμενον ἐν τοῖς κόλποις ἴδωμεν τοῦ Ἀβραάμ, καθάπερ ποτὲ τὸν Λάζαρον ὁ πλούσιος ἐκεῖνος; Τὰ δὲ ἐντεῦθεν ἀφίημι ὑμῶν τῷ συνειδότι, τὰ πικρὰ καὶ ἀπαραμύθητα ἐκεῖνα κολαστήρια, πῶς ᾔτησεν ὕδωρ, πῶς οὐδὲ σταγόνος ἔτυχε, πῶς ἡ γλῶττα ἀπετηγανίζετο, πῶς πολλὴν τὴν ἱκετηρίαν θείς, οὐδεμιᾶς συγγνώμης ἀπέλαυσε, καὶ πῶς ἀθάνατα ἐκολάζετο. Ἀλλὰ γὰρ μὴ γένοιτο ἡμᾶς ταῦτα διὰ της πείρας μαθεῖν, ἀλλὰ διὰ τῶν λόγων ἀκούσαντας φυγεῖν τὴν διὰ τῶν ἔργων ἀπειλήν, καὶ τῆς τοῦ προπάτορος Ἀβραὰμ φιλοφροσύνης ἀξίους ἀποδειχθέντας, εἰς τὸν αὐτὸν ἐκείνῳ χωρῆσαι τόπον, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ τιμή, δόξα, κράτος σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

---

26. Πρβλ. Λουκᾶ 16, 29-31.

Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν λυγίζει τὴν καρδιά μας,ἀλλά μετὰ ἀπὸ τόση μεγάλη ἀπανθρωπιά, τολμοῦμε ν' ἁπλώσουμε τὰ χέρια μας πρὸς τὸν οὐρανό, νὰ συνομιλήσουμε μὲ τὸ Θεὸ καὶ νὰ ζητήσουμε συγχώρηση τῶν ἁμαρτημάτων μας, καὶ δὲν φοβούμαστε μὴ πέσει κεραυνὸς μετὰ τὴν τέτοιου εἴδους προσευχή μας, μετὰ τὴν τόσο μεγάλη σκληρότητα καὶ ἀπανθρωπιά. Πές μου, πῶς βαδίζομε γιὰ νὰ πᾶμε νὰ κοιμηθοῦμε καὶ νὰ ἀναπαυθοῦμε καὶ δὲν φοβόμαστε μήπως παρουσιασθεῖ στὸν ὕπνο μας αὐτὸς ὁ ἴδιος ὁ φτωχός, ἀγριωπός, ρυπαρός, ντυμένος μὲ κουρέλια, ξεσπώντας σὲ ὀδυρμοὺς καὶ θρήνους καὶ κατηγορώντας τὴ σκληρότητά μας; Καθόσον ἄκουσα πολλὲς φορὲς πολλοὺς νὰ λέγουν, ὅτι μετὰ ἀπὸ τὴν ἡμέρα ἐκείνη ποὺ παρέβλεψαν νὰ βοηθήσουν τοὺς φτωχούς, εἶδαν τοὺς ἑαυτούς τους δεμένους μὲ σχοινιά, νὰ σέρνονται ἀπὸ τὸ χέρι τῶν φτωχῶν, νὰ κατασπαράσσονται καὶ νὰ παθαίνουν ἀμέτρητα πράγματα.

Ἀλλ' αὐτὰ μὲν συμβαίνουν στὸν ὕπνο καὶ στὸ ὄνειρο καὶ εἶναι πρόσκαιρη τιμωρία, ἐμεῖς ὅμως δὲν φοβόμαστε, πές μου, μήπως τὸν φτωχὸ αὐτό, ποὺ ὀδύρεται καὶ φωνάζει καὶ θρηνολογεῖ, τὸν δοῦμε στοὺς κόλπους τοῦ Ἀβραάμ, ὅπως ἀκριβῶς κάποτε εἶδε ὁ πλούσιος ἐκεῖνος τὸ Λάζαρο[26]; τὰ ὅσα δὲ συνέβηκαν στὴ συνέχεια τὰ ἀφήνω στὴ συνείδησή σας, τὰ φοβερὰ δηλαδὴ καὶ ἀπαρηγόρητα ἐκεῖνα κολαστήρια, πῶς ζήσε νερό, πῶς δὲν ἔλαβε οὔτε σταγόνα, πῶς ἡ γλώσσα του κατατηγανιζόταν, πῶς, ἂν καὶ παρακάλεσε πάρα πολύ, ὅμως δὲν ἀπόλαυσε καμιὰ συγγνώμη, καὶ πῶς τιμωροῦνταν αἰώνια. Ἀλλ' εὔχομαι νὰ μὴ τὰ γνωρίσουμε αὐτὰ ἔμπρακτα, ἀλλ' ἐξ αἰτίας τῶν λόγων ποὺ ἀκούσαμε ν' ἀποφύγουμε τὴν ἔμπρακτη ἀπειλή, καί, ἀφοῦ ἀποδειχθοῦμε ἄξιοι τῆς φιλοφροσύνης τοῦ προπάτορα Ἀβραάμ, νὰ βρεθοῦμε στὸν ἴδιο μὲ ἐκεῖνον τόπο, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ τιμὴ καὶ ἡ δόξα καὶ ἡ δύναμη, συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ S'.

Περὶ τοῦ ξύλου, εἰ ἐξ ἐκείνου γέγονεν ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ πονηροῦ τῷ Ἀδάμ, ἢ καὶ πρὸ τῆς βρώσεως εἶχε τὴν διάγνωσιν ταύτην· ἐν ᾧ καὶ περὶ νηστείας, καὶ περὶ τοῦ δεῖν ἐν οἰκίᾳ μελετᾶν τὰ λεγόμενα ἐν ἐκκλησίᾳ.

1. Φιλῶ μὲν τὴν νηστείαν, ὅτι μήτηρ σωφροσύνης ἐστίν, καὶ πηγὴ φιλοσοφίας ἁπάσης, φιλῶ δὲ αὐτὴν καὶ δι' ὑμᾶς, καὶ διὰ τὴν ὑμετέραν ἀγάπην, ὅτι μοι ταύτην τὴν ἱερὰν καὶ τιμίαν ὑμῶν συνήγαγε σύνοδον, καὶ τὰ ποθούμενα πρόσωπα δίδωσι πάλιν ἰδεῖν, καὶ παρέχει μετὰ ἀδείας ἐντρυφῆσαι τῇ καλῇ ταύτῃ πανηγύρει καὶ ἑορτῇ. Καὶ γὰρ καὶ πανήγυριν καὶ ἑορτὴν καὶ μυρία ἀγαθὰ οὐκ ἄν τις ἁμάρτοι τὴν ὑμετέραν σύνοδον προσειπών. Εἰ γὰρ εἰς ἀγοράν τις ἐμβαλών, καὶ ἑνὶ συντυγχάνων φίλῳ, πολλάκις πᾶσαν ἀθυμίαν ἀποτίθεται, ἡμεῖς οὐκ εἰς ἀγοράν, ἀλλ' εἰς ἐκκλησίαν ἀπαντῶντες, καὶ οὐχ ἑνὶ συντυγχάνοντες φίλῳ, ἀλλὰ τοσούτοις καὶ τοιούτοις ἀδεφλοῖς καὶ πατράσι συγγινόμενοι, πῶς οὐ πᾶσαν ἀποθησόμεθα ἀθυμίαν; πῶς οὐ πᾶσαν ἡδονὴν καρπωσόμεθα; Οὐ γὰρ τῷ πλήθει μόνον οὗτος βελτίων ὁ σύλλογος τῶν συνεδρίων τῶν ἐν ταῖς ἀγοραῖς, ἀλλὰ καὶ αὐτῇ τῇ φύσει τῆς διαλέξεως.

Οἱ μὲν γὰρ ἐν ἀγοραῖς συνεδρεύοντες καὶ μετὰ ἀλλήλων συγκαθήμενοι κύκλῳ, πολλάκις καὶ περὶ ἀνονήτων διαλέγονται πραγμάτων, καὶ ψυχρὰν εἰσάγουσιν ὁμιλίαν,

1. Γέν. 2, 17.

ΛΟΓΟΣ S'.

Γιὰ τὸ δένδρο[1], ἂν ἀπὸ ἐκεῖνο προῆλθε ἡ γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ στὸν Ἀδάμ, ἢ καὶ πρὶν φάγει ἀπὸ τὸν καρπὸ αὐτοῦ εἶχε τὴ γνώση αὐτή· καθὼς ἐπίσης καὶ περὶ νηστείας καὶ περὶ τοῦ ὅτι πρέπει κανεὶς νὰ μελετᾶ στὴν οἰκία του τὰ ὅσα λέγονται στὴν ἐκκλησία.

1. Ἀγαπῶ μὲν τὴ νηστεία, διότι εἶναι μητέρα τῆς σωφροσύνης καὶ πηγὴ κάθε εὐσέβειας, ἀγαπῶ ὅμως αὐτὴν καὶ ἐξ αἰτίας σας, καὶ ἐξ αἰτίας τῆς ἀγάπης σας, διότι γιὰ χάρη μου δημιούργησε αὐτὴ τὴν ἱερὴ καὶ τίμια συγκέντρωση καὶ μοῦ δίνει τὴ δυνατότητα νὰ δῶ καὶ πάλι τὰ ἀγαπητὰ πρόσωπα καὶ μοῦ παρέχει τὴν ἀσφαλὴ εὐκαιρία νὰ ἀπολαύσω τὴν καλὴ αὐτὴ πανήγυρη καὶ ἑορτή. Καθόσον δὲν θὰ ἔσφαλε κανεὶς ὀνομάζοντας τὴ συγκέντρωσή σας αὐτὴ καὶ πανήγυρη καὶ ἑορτὴ καὶ μύρια ἀγαθά. Διότι, ἐάν, πηγαίνοντας κανεὶς στὴν ἀγορὰ καὶ συναντώντας ἐκεῖ ἕνα φίλο, πολλὲς φορὲς διώχνει ἀπὸ μέσα του κάθε λύπη, ἐμεῖς συναντώμενοι ὄχι στὴν ἀγορά, ἀλλὰ στὴν ἐκκλησία, καὶ συναντώμενοι ὄχι μὲ ἕνα φίλο, ἀλλὰ συμβρισκόμενοι μὲ τόσους πολλοὺς καὶ τέτοιου εἴδους ἀδελφοὺς καὶ πατέρες, πῶς δὲν θ' ἀποβάλομε κάθε λύπη; πῶς δὲν θὰ καρπωθοῦμε κάθε εὐχαρίστηση; Καθόσον ἡ συγκέντρωση αὐτὴ δὲν εἶναι καλύτερη ἀπὸ τὶς συγκεντρώσεις ποὺ γίνονται στὴν ἀγορὰ ὡς πρὸς τὸ πλῆθος μόνο, ἀλλὰ καὶ ὡς πρὸς τὸ περιεχόμενο τῆς συζητήσεως.

Πράγματι ἐκεῖνοι ποὺ συγκεντρώνονται στὶς ἀγορὲς καὶ κάθονται ἀναμεταξύ τους κυκλικά, πολλὲς φορὲς συζητοῦν καὶ γιὰ ἀνόητα πράγματα, ποὺ δὲν συγκινοῦν καθόλου, καὶ ἀ-

καὶ φθέγγονται περὶ τῶν οὐδὲν αὐτοῖς προσηκόντων. Καὶ γὰρ εἰώθαμεν, ὡς τὰ πολλά, μετὰ πλείονος σπουδῆς τὰ ἀλλότρια περιεργάζεσθαι καὶ πολυπραγμονεῖν. Ὅτι μὲν οὖν ἐστιν ἐπισφαλὲς καὶ κίνδυνον ἔχον, τὰ ῥήματα προϊέναι καὶ ἀκούειν τοιαῦτα, καὶ παρασύρεσθαι, καὶ πολλοὶ πολλάκις ἀπὸ τῶν τοιούτων συνεδρίων χειμῶνες ἐπηωρίσθησαν ἐν οἰκίαις, παρίημι νῦν, ὅτι δὲ ἀνόνητος καὶ ψυχρὰ καὶ βιωτικὴ πᾶσα ἐκείνη ἡ διάλεξις, καὶ πνευματικὸς λόγος οὐκ ἄν ποτε ταχέως εἰς τοιοῦτον εἰσέλθοι σύλλογον, οὐδεὶς ἀντείποι.

Ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἅπαν τοὐναντίον· πᾶσα μὲν γὰρ ἀκερδὴς διάλεξις ἀπελήλαται, πᾶσα δὲ πνευματικὴ διδασκαλία εἰσενήνεκται. Καὶ γὰρ περὶ ψυχῆς τῆς ἡμετέρας διαλεγόμεθα, καὶ τῶν ψυχῇ προσηκόντων ἀγαθῶν, καὶ περὶ τῶν ἀποκειμένων ἐν τοῖς οὐρανοῖς στεφάνων, καὶ περὶ τῶν λαμπρῶν βίων, καὶ περὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ περὶ τῆς προνοίας τοῦ παντός, καὶ περὶ τῶν ἄλλων ἁπάντων τῶν μάλιστα προσηκόντων ἡμῖν, καὶ τίνος ἕνεκεν γεγόναμεν, καὶ ποία μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἀπαντήσεται λῆξις ἡμῖν, καὶ ἐν τίσι τὰ ἡμέτερα ἔσται τότε. Καὶ τοῦ συλλόγου τούτου οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ προφῆται και ἀπόστολοι κοινωνοῦσι· καὶ τὸ δὴ μεῖζον πάντων, αὐτὸς ὁ τῶν ἁπάντων Δεσπότης μέσος ἡμῶν ἕστηκεν Ἰησοῦς. Αὐτὸς γάρ φησιν, «Ὅπου δύο ἢ τρεῖς συνηγμένοι εἰσὶν εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν». Εἰ δὲ ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι, ἐν μέσῳ αὐτῶν ἐστι, πολλῷ μᾶλλον ὅπου τοσοῦτοι μὲν ἄνδρες, τοσαῦται δὲ γυναῖκες, τοσοῦτοι δὲ πατέρες, καὶ ἀπόστολοι καὶ προφῆται ἐν μέσῳ πάρεισι. Διὸ καὶ ἡμεῖς μετὰ πλείονος προθυμίας φθεγγόμεθα τῆς ἐκεῖθεν ἀπολαύοντες ῥοπῆς, καὶ τὴν ὑπόσχεσιν ὑμῖν ἀποδιδόαμεν.

---

2. Ματθ. 18, 20.

κόμα ὁμιλοῦν γιὰ ἐκεῖνα τὰ πράγματα ποὺ δὲν πρέπουν σ' αὐτούς. Καθόσον συνηθίζομε, ὡς ἐπὶ τὸ πλεῖστο, νὰ περιεργαζόμαστε καὶ νὰ ἐξετάζομε μὲ μεγάλη προθυμία καὶ ἐνδιαφέρον τὰ ξένα πράγματα. Τὸ ὅτι μὲν εἶναι ἐπισφαλὲς καὶ ἐπικίνδυνο τὸ νὰ λέγει κανεὶς καὶ νὰ ἀκούει τὰ λόγια αὐτοῦ τοῦ εἴδους καὶ νὰ παρασύρεται, καὶ τὸ ὅτι πολλὲς φορὲς ἀπὸ τὶς συγκεντρώσεις αὐτὲς ἀπειλήθηκαν πολλὲς δυσάρεστες καταστάσεις στὰ σπίτια, τὸ ἀφήνω τώρα κατὰ μέρος, τὸ ὅτι ὅμως ὅλη ἐκείνη ἡ συζήτηση εἶναι ἀνώφελη καὶ ψυχρὴ καὶ στρέφεται γύρο ἀπὸ τὰ κοσμικὰ καὶ δὲν θὰ ἦταν δυνατὸ ποτὲ ν' ἀκουσθεῖ σὲ μιὰ τέτοια συγκέντρωση λόγος πνευματικός, κανένας δὲν θὰ φέρει ἀντίρρηση.

Ἐδῶ ὅμως δὲν συμβαίνει τὸ ἴδιο, ἀλλ' ἐντελῶς τὸ ἀντίθετο· διότι ὁποιαδήποτε μὲν ἀνώφελη συζήτηση ἔχει ἐξαφανισθεῖ, ἔχει εἰσαχθεῖ δὲ κάθε πνευματικὴ διδασκαλία. Καθόσον συζητοῦμε ἐδῶ γιὰ τὴν ψυχή μας, γιὰ τὰ ἀγαθὰ ποὺ ταιριάζουν στὴν ψυχή, γιὰ τὰ στεφάνια ποὺ ἐπιφυλάσσονται στοὺς οὐρανούς, γιὰ τοὺς λαμπροὺς τρόπους ζωῆς, γιὰ τὴ φιλανθρωπία τοῦ Θεοῦ, γιὰ τὴν πρόνοιά του γιὰ ὅλα, γιὰ ὅλα τὰ ἄλλα ποὺ πρὸ πάντων ταιριάζουν σ' ἐμᾶς, καθὼς ἐπίσης καὶ γιὰ ποιὸ λόγο γίναμε, ποιὸ θὰ εἶναι τὸ τέλος μας μετὰ τὴν ἀναχώρησή μας ἀπὸ αὐτὴ τὴ ζωή, καὶ σὲ τί θὰ συνίστανται τότε τὰ δικά μας. Καὶ στὴ συγκέντρωση αὐτὴ συμμετέχουμε ὄχι μόνο ἐμεῖς, ἀλλὰ καὶ οἱ προφῆτες καὶ οἱ ἀπόστολοι· καὶ τὸ σπουδαιότερο βέβαια ἀπὸ ὅλα, βρίσκεται ἀνάμεσά μας ὁ ἴδιος ὁ Κύριος τῶν πάντων. Διότι αὐτὸς λέγει, «Ὅπου εἶναι συγκεντρωμένοι στὸ ὄνομά μου δυὸ ἢ τρεῖς, ἐκεῖ ἀνάμεσά τους βρίσκομαι καὶ ἐγώ»[2]. Ἂν δὲ ὅπου εἶναι συγκεντρωμένοι δυὸ ἢ τρεῖς, ἐκεῖ ἀνάμεσά τους εἶναι παρὼν καὶ αὐτός, πολὺ περισσότερο βρίσκεται ἐδῶ ἀνάμεσά μας ὅπου εἶναι συγκεντρωμένοι τόσοι ἄνδρες καὶ τόσες γυναῖκες, τόσοι πατέρες καὶ ἀπόστολοι καὶ προφῆτες. Γι' αὐτὸ καὶ ἐμεῖς μὲ μεγαλύτερη προθυμία ὁμιλοῦμε ἀπολαμβάνοντας ἀπὸ ἐκείνους τὴ βοήθεια καὶ θὰ ἐκπληρώσουμε τὴν ὑπόσχεση ποὺ σᾶς δώσαμε.

Ὑπεσχόμεθα γὰρ ἐρεῖν περὶ τοῦ ξύλου πρότερον, εἰ ἐξ ἐκείνου γέγονεν ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ πονηροῦ τῷ Ἀδάμ, ἢ καὶ πρὸ τῆς βρώσεως εἶχε τὴν διάγνωσιν ταύτην. Θαρροῦντες οὖν ἂν εἴποιμεν νῦν, ὅτι καὶ πρὸ τῆς βρώσεως ταύτην εἶχε τὴν διάγνωσιν. Εἰ γὰρ μὴ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν, καὶ αὐτῶν τῶν ἀλόγων ἀλογώτερος ἦν, καὶ τῶν δούλων ὁ δεσπότης ἀνοητότερος. Πῶς γὰρ οὐκ ἄτοπον, αἶγας μὲν καὶ πρόβατα εἰδέναι ποία μὲν αὐτοῖς βοτάνη χρήσιμος, ποία δὲ ὀλεθρία, καὶ μὴ πᾶσιν αὐτὰ ἐπιέναι τοῖς φαινομένοις, ἀλλ' ἔχειν τὴν διάγνωσιν, καὶ εἰδέναι σαφῶς, τί μὲν αὐτοῖς ἐπιβλαβές, τί δὲ ὠφέλιμον, τὸν δὲ ἄνθρωπον τοσαύτης ἀποστερεῖσθαι τῆς ἀσφαλείας; Εἰ γὰρ μὴ τοῦτο εἶχεν, οὐδενὸς ἄξιος ἦν, ἀλλὰ καὶ εὐτελέστερος πάντων ὑπῆρχε. Πολλῷ γὰρ αἱρετώτερον ἦν αὐτῷ ἐν σκότῳ διάγειν, καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκόφθαι, καὶ τοῦ φωτὸς ἀπεστερῆσθαι, ἢ μὴ εἰδέναι τί μὲν καλόν, τί δὲ πονηρόν. Ἐὰν γὰρ τοῦτο ἀνέλῃς τῆς ζωῆς τῆς ἡμετέρας, πᾶσαν τὴν ζωὴν ἡμῶν ἀνεῖλες, καὶ πολλῆς συγχύσεως τὰ πάντα ἐνέπλησας. Τοῦτο γάρ ἐστιν, ᾧ τῶν ἀλόγων διαφέρομεν, καὶ ᾧ τῶν θηρίων ἀμείνους ἐσμέν, τῷ κακίαν καὶ ἀρετὴν εἰδέναι, καὶ τῷ ἐπιγινώσκειν τὸ πονηρόν, καὶ τὸ καλὸν μὴ ἀγνοεῖν.

Εἰ δὲ ἡμεῖς τοῦτο ἴσμεν νῦν, οὐχ ἡμεῖς δὲ μόνον, ἀλλὰ καὶ Σκύθαι καὶ βάρβαροι, πολλῷ μᾶλλον ὁ ἄνθρωπος τότε ἐκεῖνος πρὸ τῆς ἁμαρτίας τοῦτο ἐγνώκει· καὶ οὐκ ἂν ὁ τοσαύταις τιμηθεὶς τιμαῖς, οἷον τῷ «κατ' εἰκόνα», τῷ «καθ' ὁμοίωσιν», καὶ ταῖς λοιπαῖς εὐλογίαις, τοῦ κεφαλαίου τῶν ἀγαθῶν ἔρημος ἔμεινε. Τὸ γὰρ καλὸν καὶ πονηρὸν ἐκεῖνοι μόνοι ἀγνοοῦσιν, ὅσοι τῶν κατὰ φύσιν εἰσὶν ἀπεστερημένοι φρενῶν, ὁ δὲ Ἀδὰμ σοφίας πολλῆς ἐπεπλήρωτο, καὶ διαγνωστικὸς ἑκατέρων τούτων ἦν. Καὶ ὅτι σοφίας ἐπεπλήρωτο πνευματικῆς, ἄκουσον αὐτῆς τὴν ἀπόδειξιν. «Ἤγαγε»,

Σᾶς ὑποσχεθήκαμε λοιπὸν νὰ σᾶς μιλήσουμε πρῶτα γιὰ τὸ δένδρο, ἂν ἀπὸ ἐκεῖνο προῆλθε στὸν Ἀδὰμ ἡ γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἢ εἶχε τὴ γνώση αὐτὴ καὶ πρὶν φάγει ἀπὸ τὸν καρπὸ αὐτοῦ. Μὲ μεγάλη πεποίθηση λοιπὸν θὰ μποροῦσα νὰ πῶ τώρα, ὅτι εἶχε τὴ γνώση αὐτὴ καὶ πρὶν φάγει ἀπὸ τὸν καρπὸ αὐτοῦ. Διότι, ἐὰν δὲν γνώριζε τί μὲν εἶναι καλό, τί δὲ κακό, θὰ ἦταν καὶ ἀπὸ αὐτὰ τὰ ἴδια τὰ ἄλογα ζῶα ἀλογότερος, καὶ πιὸ ἀνόητος ὁ κύριος ἀπὸ τοὺς δούλους. Πῶς δηλαδὴ δὲν εἶναι παράλογο, οἱ μὲν γίδες καὶ τὰ πρόβατα νὰ γνωρίζουν ποιὰ μὲν χόρτα εἶναι χρήσιμα γι' αὐτά, ποιὰ δὲ βλαβερά, καὶ νὰ μὴ πλησιάζουν ὅλα ὅσα βλέπουν, ἀλλὰ νὰ ἔχουν τὴ δύναμη τῆς διαγνώσεως καὶ νὰ γνωρίζουν πολὺ καλά, τί μὲν εἶναι βλαβερὸ γι' αὐτά, τί δὲ ὠφέλιμο, ὁ δὲ ἄνθρωπος νὰ στερεῖται μιᾶς τόσο μεγάλης ἀσφάλειας; Διότι, ἐὰν δὲν εἶχε αὐτό, δὲν θὰ ἦταν ἀνώτερος ἀπὸ κανένα, ἀλλὰ θὰ ἦταν καὶ πιὸ ἀσήμαντος ἀπὸ ὅλα. Θὰ ἦταν δηλαδὴ πολὺ πιὸ προτιμότερο γι' αὐτὸν νὰ ζεῖ μέσα στὸ σκοτάδι, παρὰ νὰ μὴ γνωρίζει τί μὲν εἶναι καλό, τί δὲ κακό. Διότι, ἐὰν ἀφαιρέσεις αὐτὸ ἀπὸ τὴ ζωή μας, ὅλη τὴ ζωή μας τὴν κατέστρεψες, καὶ γέμισες τὰ πάντα ἀπὸ μεγάλη σύγχυση. Καθόσον αὐτὸ εἶναι ἐκεῖνο, ὡς πρὸς τὸ ὁποῖο διαφέρομε ἀπὸ τὰ ἄλογα ζῶα, καὶ ὡς πρὸς τὸ ὁποῖο εἴμαστε ἀνώτεροι ἀπὸ τὰ θηρία, τὸ ὅτι γνωρίζομε τὴν κακία καὶ τὴν ἀρετή, τὸ ὅτι διακρίνομε τὸ κακὸ καὶ δὲν ἀγνοοῦμε τὸ καλό.

Ἐὰν δὲ ἐμεῖς τὸ γνωρίζομε τώρα αὐτό, καὶ ὄχι μόνο ἐμεῖς, ἀλλὰ καὶ οἱ Σκύθες καὶ οἱ βάρβαροι, πολὺ περισσότερο τὸ γνώριζε αὐτὸ τότε ὁ ἄνθρωπος ἐκεῖνος πρὶν ἀπὸ τὴν ἁμαρτία· καὶ δὲν θὰ ἦταν δυνατὸ αὐτὸς ποὺ τιμήθηκε μὲ τόσες μεγάλες τιμές, ὅπως μὲ τὸ «κατ' εἰκόνα» καὶ μὲ τὸ «καθ' ὁμοίωση» καὶ μὲ τὶς ὑπόλοιπες εὐλογίες, νὰ μείνει γυμνὸς ἀπὸ αὐτὸ ποὺ ἀποτελεῖ τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν. Διότι τὸ καλὸ καὶ τὸ κακὸ ἐκεῖνοι μόνοι τὸ ἀγνοοῦν, ὅσοι ἔχουν στερηθεῖ τὴ φυσικὴ λογική, ἐνῶ ὁ Ἀδὰμ ἦταν γεμάτος ἀπὸ πολλὴ σοφία καὶ εἶχε τὴ δυνατότητα νὰ διακρίνει τὸ καθένα ἀπὸ αὐτά. Καὶ τὸ ὅτι ἦταν πλήρης ἀπὸ πνευματικὴ σοφία, ἄκουσε τὴν ἀπόδειξη αὐτῆς.

φησί, «πρὸς αὐτὸν ὁ Θεὸς τὰ θηρία, ἰδεῖν τί καλέσει αὐτά· καὶ εἴ τι ἐκάλεσεν αὐτὰ Ἀδάμ, τοῦτο τὸ ὄνομα αὐτοῖς». Ἐννόησον τοίνυν πόσης ἐπέπληστο σοφίας, τοσούτοις γένεσιν, οὕτω ποικίλοις, καὶ παντοδαποῖς, τοῖς τῶν κτηνῶν, τοῖς τῶν ἑρπετῶν, τοῖς τῶν πτηνῶν προσηγορίας ἐπιθεῖναι, καὶ πάσας κυρίας, δυνηθείς. Οὕτω γὰρ ἀπεδέξατο τὴν θέσιν τῶν ὀνομάτων ὁ Θεός, ὡς μηκέτι κινῆσαι τὰς προσηγορίας ἐκείνας, μηδὲ ἁμαρτόντος αὐτοῦ θελῆσαι ἀνελεῖν τὰς ἐπωνυμίας αὐτῶν· «Πᾶν» γάρ, φησίν, «ὃ ἐκάλεσεν αὐτα Ἀδάμ, τοῦτο ὄνομα αὐτοῖς».

2. Οὗτος γοῦν ἠγνόει τί μὲν καλόν, τί δὲ πονηρόν; Καὶ πῶς ἂν ἔχοι λόγον; Πάλιν ἤγαγε τὴν γυναῖκα πρὸς αὐτόν, καὶ ἰδὼν αὐτὴν εὐθέως ἐπέγνω τὴν τῆς φύσεως κοινωπόν. Καὶ τί φησι; «Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου». Ἐπειδὴ γὰρ πρὸ βραχέος ἦν ὁ Θεὸς παραγαγὼν αὐτῷ τὰ ζῶα ἅπαντα, δεῖξαι βουλόμενος ὁ Ἀδάμ, ὅτι τοῦτο τὸ ζῶον οὐχὶ ἓν ἐκείνων τῶν ζώων ἐστίν, εἶπε· «Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου». Τινὲς δέ, ὅτι οὐχὶ τοῦτο μόνον αἰνίττεται, φασίν, ἀλλὰ καὶ τὸν τρόπον τῆς δημιουργίας, καὶ ὅτι οὐκ ἔσται πάλιν τῇ γυναικὶ τοιοῦτος τῆς γενέσεως ὁ τρόπος, διὰ τοῦτο εἶπε, «Τοῦτο νῦν», ὅπερ οὖν καὶ ἕτερος ἑρμηνευτὴς ἀκριβέστερον ἑρμηνεύων ἔλεγε, «Τοῦτο ἅπαξ», ὡσανεὶ ἔλεγε, νῦν μόνον γυνὴ γέγονεν ἐξ ἀνδρὸς μόνου· μετὰ δὲ ταῦτα οὐκέτι οὕτως ἔσται, ἀλλ' ἐξ ἀμφοτέρων. «Ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου». Ἐξ ὁλοκλήρου γὰρ τοῦ φυράματος ὁ Θεὸς λαβὼν κόμμα, οὕτω τὴν γυναῖκα ἔπλασεν, ἵνα κατὰ πάντα κοινωνῇ τῷ ἀνδρί. «Αὕτη», φησί, «κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς ἐλήφθη».

Ὁρᾷς πῶς καὶ τὴν προσηγορίαν διὰ τοῦτο ἐπιτίθησιν,

---

3. Γέν. 2, 19. 4. Γέν. 2, 23.

«Ὁδήγησε», λέγει, «πρὸς αὐτὸν ὁ Θεὸς τὰ θηρία γιὰ νὰ δεῖ τί ὄνομα νὰ δώσει σ' αὐτά· καὶ τὸ ὄνομα ποὺ θὰ ἔδινε σ' αὐτὰ ὁ Ἀδάμ, αὐτὸ θὰ ἦταν τὸ ὄνομα αὐτῶν»[3]. Σκέψου λοιπὸν ἀπὸ πόση σοφία ἦταν πλήρης, ὥστε σὲ τόσα εἴδη, τόσο ποικίλα καὶ διαφορετικά, στὰ εἴδη τῶν κτηνῶν, στὰ εἴδη τῶν ἑρπετῶν, καὶ στὰ εἴδη τῶν πτηνῶν νὰ μπορέσει νὰ δώσει ὀνόματα καὶ ὅλα μάλιστα αὐθεντικά. Διότι τόσο πολὺ ἀποδέχθηκε ὁ Θεὸς τὰ ἀποδοθέντα ὀνόματα, ὥστε νὰ μὴ ἀλλάξει ποτὲ πιὰ τὰ ὀνόματα ἐκεῖνα, οὔτε ὅταν ἁμάρτησε αὐτὸς νὰ θελήσει νὰ καταργήσει τὶς ὀνομασίες αὐτῶν. Διότι, λέγει, «Τὸ κάθε ὄνομα ποὺ ἔδωσε σ' αὐτὰ ὁ Ἀδάμ, αὐτὸ ἦταν τὸ ὄνομα αὐτῶν».

2. Αὐτὸς λοιπὸν ἀγνοοῦσε τί μὲν ἦταν καλό, τί δὲ κακό; Καὶ πῶς θὰ μποροῦσε αὐτὸ νὰ δικαιολογηθεῖ; Πάλι ὁδήγησε τὴ γυναίκα πρὸς αὐτόν, καὶ μόλις τὴν εἶδε ἀμέσως τὴ θεώρησε σύντροφο τῆς φύσεώς του. Καὶ τί λέγει; «Αὐτὸ τώρα εἶναι ὀστὸ ἀπὸ τὰ ὀστά μου καὶ σάρκα ἀπὸ τὴ σάρκα μου»[4]. Ἐπειδὴ δηλαδὴ πρὶν ἀπὸ λίγο ὁ Θεὸς ὁδήγησε μπροστὰ σ' αὐτὸν ὅλα τὰ ζῶα, θέλοντας ὁ Ἀδὰμ νὰ δείξει, ὅτι αὐτὸ τὸ ζῶο δὲν εἶναι ἕνα ἀπὸ ἐκεῖνα τὰ ζῶα, εἶπε· «Αὐτὸ ἐδῶ τώρα εἶναι ὀστὸ ἀπὸ τὰ ὀστά μου καὶ σάρκα ἀπὸ τὴ σάρκα μου». Μερικοὶ δὲ λέγουν, ὅτι δὲν ὑπαινίσσεται μόνο αὐτό, ἀλλὰ καὶ τὸν τρόπο τῆς δημιουργίας, καὶ ὅτι δὲν πρόκειται νὰ ὑπάρξει πάλι γιὰ τὴ γυναίκα παρόμοιος τρόπος δημιουργίας, καὶ γι' αὐτὸ εἶπε, «Αὐτὸ τώρα», πράγμα βέβαια ποὺ καὶ ἄλλος ἑρμηνευτὴς ἑρμηνεύοντάς το ἀκριβέστερα εἶπε, «Αὐτὸ συνέβηκε μιὰ φορά», σὰν δηλαδὴ νὰ ἔλεγε, τώρα μόνο ἡ γυναίκα δημιουργήθηκε ἀπὸ τὸν ἄνδρα μόνο, ἐνῶ στὴ συνέχεια πλέον δὲν θὰ ἔρχεται στὴν ὕπαρξη μ' αὐτὸ τὸν τρόπο, ἀλλὰ καὶ ἀπὸ τοὺς δύο. «Εἶναι ὀστὸ ἀπὸ τὰ ὀστά μου καὶ σάρκα ἀπὸ τὴ σάρκα μου». Ἀφοῦ δηλαδὴ πῆρε ὁ Θεὸς ἕνα κομμάτι ἀπὸ ὅλο τὸ φύραμα, ἔπλασε μὲ τὸν τρόπο αὐτὸ τὴ γυναίκα, γιὰ νὰ ὑπάρχει τέλεια σχέση καὶ ὁμοιότητα μὲ τὸν ἄνδρα. «Αὐτή», λέγει, «Θὰ ὀνομασθεῖ γυναίκα, διότι ἔχει τὴν προέλευσή της ἀπὸ τὸν ἄνδρα.

Βλέπεις πῶς καὶ τὸ ὄνομα γι' αὐτὸ τὸ προσθέτει, γιὰ νὰ δι-

ἵνα ἡ προσηγορία διδάσκῃ τὴν κοινωνίαν τῆς φύσεως, καὶ ἡ διδασκαλία τῆς κατὰ τὴν φύσιν κοινωνίας, καὶ ὁ τῆς δημιουργίας τρόπος ὑπόθεσις ἀγάπης ᾖ διηνεκοῦς, καὶ σύνδεσμος ὁμονοίας; Εἶτα τί φησιν; «Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ». Οὐκ εἶπεν ἁπλῶς, 'ἑνωθήσεται', ἀλλά, «Κολληθήσεται», τὴν ἀκριβῆ συνάφειαν δηλῶν. «Καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Ὁ τοσαῦτα οὖν εἰδώς, εἰπέ μοι, οὐκ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν; Καὶ πῶς ἂν ἔχοι λόγον; Εἰ γὰρ μὴ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρὸν πρὸ τοῦ φαγεῖν ἀπὸ τοῦ ξύλου, ἀλλὰ μετὰ τὴν βρῶσιν ἔμαθεν, ἡ ἁμαρτία γέγονεν αὐτῷ σοφίας διδάσκαλος, καὶ ὁ ὄφις οὐκέτι ἀπατεών, ἀλλὰ σύμβουλος τῶν συμφερόντων κατέστη, ἐκ θηρίου ποιήσας αὐτὸν ἄνθρωπον. Ἀλλὰ μὴ γένοιτο· οὐκ ἔστι ταῦτα οὕτως, οὐκ ἔστιν. Εἰ γὰρ μὴ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν, πῶς καὶ τὴν ἐντολὴν ἐλάμβανεν; Οὐδεὶς γὰρ δίδωσι νόμον τῷ μὴ εἰδότι, ὅτι κακὸν ἡ παράβασις, ὁ δὲ Θεὸς καὶ ἔδωκε, καὶ παραβάντα ἐκόλασεν, οὐκ ἂν ἀμφότερα ταῦτα ποιήσας, εἰ μὴ γνωστικὸν αὐτὸν ἐξ ἀρχῆς ἐποίησεν ἀρετῆς καὶ κακίας. Ὁρᾷς πῶς πάντοθεν ἡμῖν ἀποδέδεικται, ὅτι οὐ μετὰ τὴν βρῶσιν τοῦ ξύλου τὸ καλὸν ᾔδει καὶ τὸ πονηρόν, ἀλλὰ καὶ πρὸ τούτου ἠπίστατο;

Ταῦτα οὖν ἅπαντα, ἀγαπητοί, διακρατῶμεν, καὶ οἴκαδε ἀναχωρήσαντες διπλῆν παραθῶμεν τὴν τράπεζαν, τὴν τῶν σιτίων, καὶ τὴν τῆς ἀκροάσεως· καὶ λεγέτω μὲν ἀνὴρ τὰ εἰρημένα, μανθανέτω δὲ γυνή, ἀκουέτω δὲ καὶ παιδία, μὴ ἀποστερείσθωσαν δὲ μηδὲ οἰκέται τῆς ἀκροάσεως ταύτης. Ἐκκλησίαν ποίησόν σου τὴν οἰκίαν· καὶ γὰρ ὑπεύθυνος εἶ καὶ τῆς τῶν παιδίων, καὶ τῆς τῶν οἰκετῶν σωτηρίας· καὶ καθάπερ ἡμεῖς ὑπὲρ ὑμῶν ἀπαιτούμεθα λόγον, οὕτω καὶ ἕκαστος

---

5. Γέν. 2, 24.

δάσκει τὸ ὄνομα τὴν ἀπόλυτη συμφωνία καὶ ἑνότητα τῆς φύσεως, καὶ ἡ διδασκαλία τῆς φυσικῆς συμφωνίας καὶ ὁμοιότητας καθὼς καὶ ὁ τρόπος τῆς δημιουργίας νὰ εἶναι ἀφορμὴ διαρκοῦς ἀγάπης καὶ σύνδεσμος ὁμόνοιας; Ἔπειτα τί λέγει; «Ἐξ αἰτίας αὐτοῦ τοῦ στενοῦ συνδέσμου θὰ ἐγκαταλείψει ὁ ἄνδρας τὸν πατέρα του καὶ τὴ μητέρα του καὶ θὰ προσκολληθεῖ στὴ γυναίκα»[5]. Δὲν εἶπε ἁπλῶς, 'θὰ ἑνωθεῖ', ἀλλὰ «Θὰ προσκολληθεῖ», γιὰ νὰ δείξει τὴν ἀκριβὴ ἑνότητα. «Καὶ θὰ ἀποτελέσουν οἱ δύο μία σάρκα»[5]. Αὐτὸς λοιπὸν ποὺ γνωρίζει τόσα πολλὰ δὲν γνώριζε, πές μου, τί μὲν εἶναι καλό, τί δὲ κακό; καὶ πῶς θὰ μποροῦσε αὐτὸ νὰ δικαιολογηθεῖ; Διότι, ἐὰν δὲν γνώριζε τί μὲν εἶναι καλό, τί δὲ κακό, πρὶν νὰ φάγει ἀπὸ τὸν καρπὸ τοῦ δένδρου, ἀλλὰ τὸ ἔμαθε μετὰ τὴ βρώση, ἡ ἁμαρτία ἔγινε σ' αὐτὸν δάσκαλος τῆς σοφίας, καὶ τὸ φίδι δὲν εἶναι πλέον ἀπατεώνας, ἀλλ' ἔγινε σύμβουλος τῶν συμφερόντων του, διότι ἀπὸ θηρίο τὸν ἔκαμε ἄνθρωπο. Ἀλλὰ μακριὰ μιὰ τέτοια σκέψη· δὲν ἔχουν τὰ πράγματα αὐτὰ ἔτσι, δὲν ἔχουν. Διότι ἂν δὲν γνώριζε τί μὲν εἶναι καλό, τί δὲ κακό, πῶς ἔπαιρνε καὶ τὴν ἐντολή; Διότι κανένας δὲν δίνει νόμο σ' ἐκεῖνον ποὺ δὲν γνωρίζει, ὅτι εἶναι κακὸ ἡ παράβαση, ἐνῶ ὁ Θεὸς καὶ ἔδωσε νόμο καὶ ἐπέβαλε τιμωρία ὅταν τὸν παρέβηκε, καὶ δὲν θὰ ἦταν δυνατὸ νὰ κάνει καὶ τὰ δύο αὐτά, ἂν δὲν ἔκαμνε ἀπὸ τὴν ἀρχὴ αὐτὸν γνώστη τῆς ἀρετῆς καὶ τῆς κακίας. Βλέπεις πῶς ἀπὸ παντοῦ μᾶς ἔχει ἀποδειχθεῖ, ὅτι δὲν γνώρισε μετὰ τὴ βρώση τοῦ καρποῦ τοῦ δένδρου τὸ καλὸ καὶ τὸ κακό, ἀλλὰ τὰ γνώριζε καὶ πρὶν ἀπὸ αὐτό;

Ὅλα αὐτὰ λοιπόν, ἀγαπητοί, ἂς τὰ φυλάσσουμε καλὰ μέσα μας καὶ ἀφοῦ ἐπιστρέψουμε στὸ σπίτι μας ἂς παραθέσουμε διπλὴ τράπεζα, καὶ τῶν τροφῶν, καὶ τῶν ὅσων ἀκούσαμε ἐδῶ· καὶ ἂς λέγει ὁ ἄνδρας τὰ ὅσα ἔχουν λεχθεῖ, ἂς τὰ μαθαίνει δὲ ἡ γυναίκα καὶ ἂς τὰ ἀκοῦν τὰ παιδιά, μάλιστα δὲ ἂς μὴ στεροῦνται τῆς ἀκροάσεως αὐτῆς οὔτε καὶ οἱ ὑπηρέτες. Κάνε τὸ σπίτι σου ἐκκλησίας καθόσον εἶσαι ὑπεύθυνος τῆς σωτηρίας καὶ τῶν παιδιῶν σου καὶ τῶν ὑπηρετῶν σου· καὶ ὅπως ἀκριβῶς ἐμεῖς εἴμαστε ὑπεύθυνοι γιὰ σᾶς, ἔτσι καὶ καθένας ἀπὸ σᾶς εἶναι ὑπεύ-

ὑμῶν καὶ ὑπὲρ οἰκέτου, καὶ ὑπὲρ γυναικός, καὶ ὑπὲρ παιδὸς ἀπαιτεῖται εὐθύνας. Ἀπὸ γοῦν τῶν τοιούτων διηγημάτων ἥδιστα διαδέξεται ἡμᾶς τὰ ὀνείρατα, καὶ φαντασίας ἀπηλλαγμένα ἁπάσης· οἷα γὰρ μεθ' ἡμέραν ἡ ψυχὴ μελετᾶν εἴωθε, τοιαῦτα καὶ καθ' ὕπνους φαντάζεται. Καὶ ἐὰν τὰ καθ' ἑκάστην ἡμέραν φυλάττωμεν λεγόμενα, οὐ πολλοῦ δεηθησόμεθα πόνου· καὶ γὰρ σαφέστερος ὁ μετὰ ταῦτα λόγος ὑμῖν ἔσται, καὶ ἡμῖν προθυμοτέρα ἡ διδασκαλία.

Ἵν' οὖν γένηταί τι πλέον καὶ ἡμῖν καὶ ὑμῖν, ἡμῖν μὲν ἀπὸ τῆς διδασκαλίας, ὑμῖν δὲ ἀπὸ τῆς ἀκροάσεως, μετὰ τῆς σωματικῆς τραπέζης καὶ ἡ τράπεζα ὑμῖν παρατιθέσθω ἡ πνευματική. Καὶ γὰρ ἀσφάλεια καὶ κόσμος ἐκεῖνα ὑμῖν γενήσεται, καὶ τὰ τῆς παρούσης ζωῆς πρὸς τὸ συμφέρον ὁ Θεὸς κατευθυνεῖ, καὶ ῥᾷστα ὑμῖν ἔσται πάντα καὶ εὔκολα. «Ζητεῖτε» γάρ, φησί, «πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ πάντα ταῦτα προστεθήσεται ὑμῖν». Ζητῶμεν οὖν ταύτην, ἀγαπητοί, ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ δόξα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

6. Ματθ. 6, 33.

θυνος καὶ γιὰ τὸν ὑπηρέτη του καὶ γιὰ τὴ γυναίκα του καὶ γιὰ τὸ παιδί του. Ἀπὸ αὐτὲς λοιπὸν τὶς διηγήσεις θὰ προκύψουν σὲ μᾶς εὐχάριστα ὄνειρα ποὺ εἶναι ἀπαλλαγμένα ἀπὸ κάθε φαντασία· διότι αὐτὰ ποὺ συνήθως μελετᾶ ἡ ψυχὴ κατὰ τὴν ἡμέρα, τέτοια καὶ φαντάζεται στὸν ὕπνο της. Καὶ ἂν φυλάσσουμε τὰ ὅσα λέγονται καθημερινά, δὲν θὰ χρειασθοῦμε πολὺ κόπο· καθόσον ὁ στὴ συνέχεια λόγος θὰ γίνει σὲ σᾶς σαφέστερος, καὶ σὲ μᾶς προθυμότερη ἡ διδασκαλία.

Γιὰ νὰ προκύψει λοιπὸν κάποια μεγαλύτερη ὠφέλεια, καὶ σ' ἐμᾶς καὶ σὲ σᾶς, σ' ἐμᾶς μὲν ἀπὸ τὴ διδασκαλία, σὲ σᾶς δὲ ἀπὸ τὴν ἀκρόαση αὐτῆς, μαζὶ μὲ τὴ σωματικὴ τράπεζα, ἂς παραθέσετε καὶ τὴν πνευματική. Καθόσον θὰ σᾶς γίνουν ἐκεῖνα καὶ ἀσφάλεια καὶ κόσμημα, καὶ θὰ κατευθύνει ὁ Θεὸς τὰ τῆς παρούσας ζωῆς πρὸς τὸ συμφέρον σας καὶ ὅλα θὰ γίνουν σὲ σᾶς καὶ εὔκολα καὶ κατορθωτά. Διότι, λέγει, «Ζητεῖτε πρῶτα τὴ βασιλεία τῶν οὐρανῶν καὶ ὅλα θὰ σᾶς δοθοῦν ἐπιπρόσθετα»[6]. Ἂς ζητοῦμε λοιπόν, ἀγαπητοί, αὐτήν, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ ἐδῶ ἀγαθὰ καὶ τὰ ἐκεῖ, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο ἀνήκει ἡ δόξα στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ζ'.

Διὰ τί ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον, καὶ τί ποτέ ἐστι, «Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ».

Ι. Πολλὰ παρεκάλεσα χθὲς τὴν ὑμετέραν ἀγάπην μεμνῆσθαι τῶν εἰρημένων, καὶ διπλῆν ἐν ἑσπέρᾳ παραθεῖναι τὴν τράπεζαν, τὴν τῶν βρωμάτων, καὶ τὴν ἀπὸ τῶν λόγων προστιθέντας ἑστίασιν. Τί οὖν; ἐποιήσατε τοῦτο, καὶ παρεθήκατε διπλῆν τὴν τράπεζαν; Οἶδα ὅτι ἐποιήσατε, καὶ οὐκ ἐκείνης μόνον, ἀλλὰ καὶ ταύτης μετέσχετε. Οὐ γὰρ δὴ περὶ τὴν ἐλάττω σπουδάσαντες, τῆς βελτίονος ἐμέλλετε ἀμελεῖν. Καὶ γὰρ βελτίων ἐκείνης αὕτη. Τὴν μὲν γὰρ μαγείρων συνέθηκαν χεῖρες, ταύτην δὲ προφητῶν παρεσκεύασαν γλῶσσαι· καὶ ἡ μὲν τὰ ἀπὸ τῆς γῆς ἔχει βλαστήματα, ἡ δὲ τὸν καρπὸν τὸν ἀπὸ τοῦ Πνεύματος· καὶ ταύτης μὲν τῆς τραπέζης πρὸς φθορὰν ἐπείγεται τὰ σιτία, τὰ δὲ ἐκείνης πρὸς ἀφθαρσίαν· καὶ αὕτη μὲν τὴν παροῦσαν ἡμῶν συγκρατεῖ ζωήν, ἐκείνη δὲ πρὸς τὴν μέλλουσαν ἡμᾶς ὁδηγεῖ. Ὅτι μὲν οὖν παρεθήκατε μετ' ἐκείνης καὶ ταύτην, οἶδα οὐκ ἀκόλουθον ὑμῶν ἐρωτήσας, οὐκ οἰκέτην, ἀλλὰ τὸν τούτων σαφέστερον ἄγγελον. Τίνα δὴ τοῦτον; Τὸν κρότον τῶν εἰρημένων, τὸν ἔπαινον τὸν ἐπὶ τῇ διδασκαλίᾳ. Ἐπειδὴ γὰρ εἶπον χθές, ὅτι ἕκαστος ὑμῶν ποιησάτω τὴν οἰκίαν αὐτοῦ ἐκκλησίαν, μέγα ἀνακεκράγατε, δηλοῦντες τὴν ἡδονὴν τὴν ἐπὶ τοῖς εἰρημένοις. Ὁ δὲ μεθ' ἡδονῆς ἀκούων τῶν λεγομένων, οὗτος καὶ

---

1. Γέν. 2, 9. 2. Λουκᾶ 23, 43.

ΛΟΓΟΣ Ζ'.

Γιατί τὸ δένδρο ὀνομάζεται «δένδρο τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ»[1], καὶ τί τέλος πάντων σημαίνει, «Ἀπὸ σήμερα θὰ εἶναι μαζί μου στὸν παράδεισο»[2].

1. Πολλὲς παρακλήσεις ἀπηύθυνα χθὲς στὴν ἀγάπη σας νὰ θυμᾶσθε τὰ ὅσα λέγονται ἐδῶ καὶ νὰ παραθέτετε τὸ βράδυ διπλὴ τράπεζα, τὴν τράπεζα τῶν φαγητῶν, προσθέτοντας καὶ τὴν ἑστίαση ἀπὸ τοὺς λόγους. Τί λοιπόν, τὸ κάνατε αὐτὸ καὶ παραθέσατε διπλὴ τὴν τράπεζα; Εἶμαι βέβαιος ὅτι τὸ κάνατε καὶ λάβατε μέρος ὄχι μόνο σ' ἐκείνη, ἀλλὰ καὶ σ' αὐτή. Διότι βέβαια δὲν θὰ ἦταν δυνατό, ἀφοῦ φροντίσατε γιὰ τὴν κατώτερη, νὰ ἀδιαφορήσετε γιὰ τὴ σπουδαιότερη. Καθόσον αὐτὴ εἶναι σπουδαιότερη ἀπὸ ἐκείνη. Διότι ἐκείνη μὲν τὴν ἑτοίμασαν χέρια μαγείρων, ἐνῶ αὐτὴν τὴν προετοίμασαν οἱ γλῶσσες τῶν προφητῶν· καὶ ἐκείνη μὲν ἔχει τὰ προϊόντα τῆς γῆς, ἐνῶ αὐτὴ τὸν καρπὸ ποὺ προέρχεται ἀπὸ τὸ Πνεῦμα· καὶ τῆς τράπεζας μὲν ἐκείνης οἱ τροφὲς ὁδηγοῦνται γρήγορα στὴ φθορά, ἐνῶ αὐτῆς ὁδηγοῦν πρὸς τὴν ἀφθαρσία· καὶ ἐκείνη μὲν συγκρατεῖ τὴν παρούσα ζωή μας, ἐνῶ αὐτὴ μᾶς ὁδηγεῖ πρὸς τὴ μέλλουσα ζωή. Τὸ ὅτι λοιπὸν παραθέσατε μαζὶ μὲ ἐκείνη καὶ αὐτή, τὸ γνωρίζω ὄχι ἐπειδὴ ρώτησα ἀκόλουθό σας, οὔτε ὑπηρέτη σας, ἀλλὰ τὸν πιὸ ἀξιόπιστο ἀγγελιοφόρο. Ποιὸς βέβαια εἶναι αὐτός; Τὰ χειροκροτήματά σας γι' αὐτὰ ποὺ ἔχουν λεχθεῖ, τὸν ἔπαινό σας γιὰ τὴ διδασκαλία. Διότι, ὅταν σᾶς εἶπα χθές, ὁ καθένας σας νὰ κάνει τὸ σπίτι του ἐκκλησία, κραυγάσατε δυνατά, ἐκδηλώνοντας τὴν εὐχαρίστησή σας γιὰ τὰ ὅσα εἶχαν λεχθεῖ. Ἐκεῖνος

πρὸς τὴν τῶν ἔργων ἐπίδειξιν παρεσκεύασται. Διὰ ταῦτα καὶ τήμερον προθυμότερον ἀπεδυσάμην πρὸς τὴν διδασκαλίαν.

Ἀλλὰ διεγέρθητε καὶ νῦν. Οὐδὲ γὰρ τὸν λέγοντα διεγηγερμένον εἶναι χρὴ μόνον, ἀλλὰ καὶ τοὺς ἀκούοντας ἐναγωνίους εἶναι χρή, καὶ τοὺς ἀκούοντας μᾶλλον, ἢ τὸν λέγοντα. Ἡμεῖς μὲν γὰρ μίαν ἔχομεν σπουδήν, καταβαλεῖν τὰ δεσποτικὰ χρήματα, ὑμῖν δὲ πλείων ὁ πόνος, ὥστε καὶ ὑποδέξασθαι αὐτά, καὶ μετὰ πολλῆς τηρῆσαι τῆς ἀσφαλείας. Ἐπίθετε τοίνυν μετὰ τὴν ἀκρόασιν τὰ κλεῖθρα ταῖς θύραις, τοὺς μοχλούς· καὶ λογισμοὺς τοὺς φοβερούς, καθάπερ τινὰς φύλακας, πανταχόθεν περιστήσατε τῇ ψυχῇ. Καὶ γὰρ ἀναίσχυντος ὁ κλέπτης ἐστί, καὶ διαπαντὸς ἀγρυπνεῖ, καὶ συνεχῶς ἐπιτίθεται, κἂν πολλάκις ἀποτύχῃ, πολλάκις ἐπιχειρεῖ. Ἔστωσαν τοίνυν φοβεροὶ οἱ φύλακες· κἂν ἴδωσι τὸν διάβολον ἐλθόντα καὶ βουλόμενον ἁρπάσαι τι τῶν καταβληθέντων, μετὰ πολλῆς αὐτὸν ἀπελαυνέτωσαν τῆς κραυγῆς· κἂν φροντίδες βιωτικαὶ ἐπίωσι, κωλυέτωσαν· κἂν λήθη παρὰ τῆς φύσεως διενοχλῇ, τῇ μελέτῃ τὴν μνήμην διεγειρέτωσαν. Οὐ γάρ ἐστι μικρὸς ὁ κίνδυνος, ἀπολέσαι χρήματα δεσποτικά.

Εἰ γὰρ οἱ ταῦτα τὰ χρήματα ὑποδεχόμενοι, ἐπειδὰν διασκορπίσωσι τὰ πιστευθέντα, θανάτῳ κολάζονται πολλάκις, οἱ τὰ πολλῷ τιμιώτερα τούτων ὑποδεξάμενοι λόγια, εἶτα ἀπολέσαντες, ποίαν οὐχ ὑποστήσονται τιμωρίαν; Ἐπὶ μὲν τούτων τῶν χρημάτων φυλακῆς εἰσιν ὑπεύθυνοι μόνον οἱ δεχόμενοι, ἑτέρου δὲ οὐδενός. Ὅσα γὰρ ὑπεδέξαντο, τοσαῦτα αὐτοὺς καταθεῖναι πᾶσα ἀνάγκη, καὶ πλέον οὐδεὶς ἀπαιτεῖται παρ' αὐτῶν· ἐπὶ δὲ τῶν τοῦ Θεοῦ λόγων οὐχὶ φυλακῆς ἐσμεν ὑπεύθυνοι μόνον, ἀλλὰ καὶ ἐργασίας πολλῆς. Οὐδὲ γὰρ ἅπερ ἐδεξάμεθα μόνον ἀποδοῦναι κελευόμεθα, ἀλ-

δὲ ποὺ ἀκούει τὰ λεγόμενα μὲ εὐχαρίστηση, ἔχει προετοιμασθεῖ καὶ γιὰ τὴν ἐπίδειξη τῶν ἔργων. Γι' αὐτὸ καὶ σήμερα ἀνέλαβα μὲ μεγαλύτερη προθυμία τὴν διδασκαλία.

'Αλλ' αὐξήσατε τὴν προσοχή σας καὶ τώρα. Διότι δὲν πρέπει μόνο ὁ ὁμιλητὴς νὰ ἐντείνει τὴν προσπάθειά του, ἀλλὰ πρέπει καὶ οἱ ἀκροατὲς νὰ εἶναι γεμάτοι ἀπὸ ἀγωνία, καὶ περισσότερο οἱ ἀκροατές, παρὰ ὁ ὁμιλητής. Διότι ἐμεῖς μὲν μιὰ φροντίδα μόνο ἔχομε, νὰ καταβάλουμε τὰ δεσποτικὰ χρήματα, σὲ σᾶς ὅμως ὁ κόπος εἶναι μεγαλύτερος, διότι πρέπει νὰ ἀποδεχθεῖτε αὐτὰ καὶ νὰ τὰ διαφυλάξετε μὲ μεγάλη ἀσφάλεια. Θέσατε λοιπὸν μετὰ τὴν ἀκρόαση τὰ κλεῖθρα καὶ τοὺς μοχλοὺς στὶς πόρτες, καὶ τοποθετῆστε τὶς φοβερὲς σκέψεις, σὰν ἀκριβῶς κάποιους φύλακες, γύρω ἀπὸ τὴν ψυχή. Καθόσον ὁ κλέφτης εἶναι ἀδιάντροπος καὶ ἀγρυπνεῖ πάντοτε καὶ συνέχεια ἐπιτίθεται, καὶ πολλὲς φορὲς ἐπιχειρεῖ καὶ ἂν ἀκόμα ἀποτύχει πολλὲς φορές. Ἂς εἶναι λοιπὸν φοβεροὶ οἱ φύλακες· καὶ ἂν ἰδοῦν τὸ διάβολο νὰ ἔχει ἔλθει καὶ νὰ θέλει ν' ἁρπάξει κάτι ἀπὸ αὐτὰ ποὺ τοποθετήθηκαν μέσα στὴν ψυχή, ἂς τὸν ἀπομακρύνουν μὲ μεγάλη κραυγή· καὶ ἂν παρουσιάζονται κοσμικὲς φροντίδες, ἂς τὶς ἐμποδίζουν· καὶ ἂν ἡ λησμοσύνη, ποὺ πηγάζει ἀπὸ τὴ φύση, ἐνοχλεῖ συνέχεια, ἂς διεγείρουν τὴ μνήμη μὲ τὴ μελέτη. Διότι δὲν εἶναι μικρὸς ὁ κίνδυνος, νὰ χάσουν χρήματα δεσποτικά.

Πράγματι, ἐὰν αὐτοὶ ποὺ ἀναλαμβάνουν νὰ φυλάξουν χρήματα, τιμωροῦνται πολλὲς φορὲς μὲ θάνατο, ὅταν διασκορπίσουν αὐτὰ ποὺ τοὺς ἐμπιστευθοῦν, ποιὰ τιμωρία δὲν θὰ ὑποστοῦν ἐκεῖνοι ποὺ δέχθηκαν αὐτὰ τὰ λόγια ποὺ εἶναι πολὺ πιὸ σπουδαιότερα ἀπὸ αὐτά, καὶ ποὺ τὰ λησμόνησαν στὴ συνέχεια; Γιὰ τὴ φύλαξη μὲν αὐτῶν τῶν χρημάτων ὑπεύθυνοι εἶναι μόνο αὐτοὶ ποὺ τὰ δέχονται, ἄλλος δὲ κανένας· διότι ὅσα ἔλαβαν, τόσα εἶναι ὑποχρεωμένοι νὰ παραδώσουν καὶ τίποτε ἐπὶ πλέον δὲν ζητᾶ κανένας ἀπ' αὐτούς· στὴν περίπτωση ὅμως τῶν λόγων τοῦ Θεοῦ δὲν εἴμαστε μόνο ὑπεύθυνοι γιὰ τὴ φύλαξη αὐτῶν, ἀλλα χρειάζεται καὶ πολλὴ ἐργασία. Διότι δὲν παραγγελλόμαστε ν' ἀποδώσουμε μόνο ὅσα δεχθήκαμε, ἀλλὰ καὶ διπλὰ

λὰ καὶ διπλᾶ ταῦτα τῷ Δεσπότῃ προσενεγκεῖν. Καίτοι εἰ καὶ φυλάξαι προέκειτο μόνον, πολλῆς ἀγωνίας καὶ σπουδῆς ἐδεῖτο τὸ πρᾶγμα· ὅταν δὲ καὶ πλεονάσαι αὐτὰ προστάττῃ ἡμῖν ὁ Δεσπότης, ἐννόησον ὅσου πόνου καὶ φροντίδος ἡμῖν δεῖ τοῖς πιστευθεῖσι. Διά τοι τοῦτο πιστευθείς τις πέντε τάλαντα, οὐχ ὅσα ἐνεπιστεύθη προσήνεγκεν, ἀλλὰ καὶ ἕτερα τοσαῦτα. Ἐκεῖνα μὲν γὰρ τῆς τοῦ δεσπότου φιλανθρωπίας ἦν, ἔδει δὲ καὶ τὸν οἰκέτην τὴν ἑαυτοῦ σπουδὴν ἐπιδείξασθαι. Ὁμοίως καὶ ὁ τὰ δύο τάλαντα πιστευθεὶς εἰργάσατο ἄλλα δύο, καὶ τούτου ἕνεκα ἠξιώθη τῆς αὐτῆς τιμῆς παρὰ τοῦ ἰδίου δεσπότου. Ἄλλος δέ τις πάλιν ἓν τάλαντον πιστευθείς, καὶ προσενεγκὼν αὐτὸ ὅπερ ἐπιστεύθη, οὐ μειώσας, οὐκ ἐλαττώσας τὴν παρακαταθήκην, οὐκ ἐξ ἡμισείας ἀποδούς, ἐπειδὴ μὴ τὴν πραγματείαν ἐπεδείξατο, μηδὲ διπλοῦν προσήνεγκε τὸ πιστευθέν, τὴν ἐσχάτην ἔδωκε δίκην· καὶ μάλα εἰκότως. Εἰ γὰρ ἐβουλόμην, φησίν, αὐτὰ φυλάττεσθαι μόνον, καὶ ἄλλην μὴ γενέσθαι ἐμπορίαν ἐν αὐτοῖς, οὐκ ἂν αὐτὰ ταῖς τῶν δούλων ἔδωκα χερσί.

Σὺ δέ μοι θέα τὴν φιλανθρωπίαν τοῦ δεσπότου. Προσήνεγκεν ὁ τὰ πέντε τάλαντα πιστευθεὶς ἄλλα πέντε, καὶ ὁ τὰ δύο, ἄλλα τοσαῦτα, καὶ τῶν αὐτῶν ἑκάτερος ἀπήλαυσεν ἀμοιβῶν. Ὥσπερ γὰρ ἐκείνῳ εἶπεν, «Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω»· οὕτω καὶ τῷ τὰ δύο προσενεγκόντι φησίν, «Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω». Ἡ πρόσοδος οὐχ ἡ αὐτή, καὶ ὁ μισθὸς ὁ αὐτός· οὕτω καὶ τοῦτον τῆς αὐτῆς ἠξίωσε τιμῆς. Τί δήποτε; Ὅτι οὐ τῇ ποσότητι τῶν προσενεχθέντων, ἀλλὰ τῇ δυνάμει τῶν ἐργαζομένων προσεῖχεν ὁ Θεός. Ἐκείνων μὲν γὰρ ἑκα-

---

3. Πρβλ. Ματθ. 25, 14-20.
4. Πρβλ. Ματθ. 25, 22.
5. Πρβλ. Ματθ. 25, 24-30.
6. Ματθ. 25, 21.
7. Ματθ. 25, 23.

νὰ προσφέρουμε αὐτὰ στὸν Κύριο. Ἂν καὶ βέβαια καὶ ἂν ἀκόμα ὑπῆρχε ἡ ἀνάγκη τῆς φυλάξεως, τὸ πράγμα χρειαζόταν πολλὴ ἀγωνία καὶ φροντίδα, ὅταν ὅμως ὁ Κύριος μᾶς προστάζει καὶ νὰ τὰ αὐξήσουμε, σκέψου πόσος κόπος καὶ φροντίδα χρειάζεται ἀπὸ ἐμᾶς στοὺς ὁποίους τὰ ἐμπιστεύθηκε. Γι' αὐτὸ λοιπὸν κάποιος ποὺ τοῦ ἐμπιστεύθηκε πέντε τάλαντα, δὲν προσκόμισε ὅσα τοῦ ἐμπιστεύθηκε, ἀλλὰ καὶ ἄλλα τόσα[3]. Διότι ἐκεῖνα μὲν προέρχονταν ἀπὸ τὴ φιλανθρωπία τοῦ Κυρίου, ἔπρεπε ὅμως καὶ ὁ δοῦλος νὰ δείξει τὴ δική του φροντίδα. Καθ' ὅμοιο τρόπο καὶ ἐκεῖνος ποὺ τοῦ ἐμπιστεύθηκε τὰ δύο τάλαντα ἀπέκτησε ἄλλα δύο καὶ ἐξ αἰτίας αὐτοῦ ἀξιώθηκε τῆς ἴδιας τιμῆς ἀπὸ τὸν ἴδιο τὸν Κύριο[4]. Ἄλλος δὲ πάλι ποὺ τοῦ ἐμπιστεύθηκε ἕνα τάλαντο καὶ προσκόμισε αὐτὸ ποὺ τοῦ ἐμπιστεύθηκε, χωρὶς νὰ μειώσει καὶ χωρὶς νὰ ἐλαττώσει τὴν παρακαταθήκη, οὔτε δὲ καὶ νὰ ἐπιστρέψει τὸ μισὸ αὐτοῦ, ἐπειδὴ δὲν ἐπέδειξε τὴ φροντίδα ποὺ ἔπρεπε, οὔτε προσκόμισε διπλὸ αὐτὸ ποὺ τοῦ ἐμπιστεύθηκε, τιμωρήθηκε μὲ τὴ χειρότερη τιμωρία[5]· καὶ πολὺ ὀρθά. Διότι, λέγει, ἂν ἤθελα μόνο τὴ φύλαξη αὐτῶν καὶ νὰ μὴ προέλθει κανένα κέρδος ἀπ' αὐτά, δὲν θὰ τὰ παρέδινα στὰ χέρια τῶν δούλων.

Σὺ ὅμως σὲ παρακαλῶ πρόσεχε τὴ φιλανθρωπία τοῦ Κυρίου. Προσκόμισε ἐκεῖνος ποὺ τοῦ ἐμπιστεύθηκε τὰ πέντε τάλαντα ἄλλα πέντε, καὶ ἐκεῖνος ποὺ τοῦ ἐμπιστεύθηκε δύο ἄλλα τόσα, καὶ ὁ καθένας ἀπ' αὐτοὺς ἀπόλαυσε τὶς ἴδιες ἀμοιβές. Διότι ὅπως ἀκριβῶς σ' ἐκεῖνον εἶπε, «Εὖγε, δοῦλε ἀγαθὲ καὶ πιστέ, σὲ λίγα φάνηκες ἔμπιστος, γι' αὐτὸ θὰ σοῦ ἐμπιστευθῶ περισσότερα»[6], τὸ ἴδιο λέγει καὶ σ' ἐκεῖνον ποὺ προσκόμισε τὰ δύο, «Εὖγε, δοῦλε ἀγαθὲ καὶ πιστέ, σὲ λίγα φάνηκες ἔμπιστος, γι' αὐτὸ θὰ σοῦ ἐμπιστευθῶ περισσότερα»[7]. Τὸ ἔσοδο δὲν εἶναι τὸ ἴδιο, ὁ μισθὸς ὅμως εἶναι ὁ ἴδιος· ἔτσι καὶ αὐτὸν τὸν ἀξίωσε τῆς ἴδιας τιμῆς. Γιατί τέλος πάντων; Διότι ὁ Θεὸς δὲν πρόσεχε τὴν ποσότητα τῶν προσκομισθέντων, ἀλλὰ τὴ δύναμη τῶν ἐργαζομένων. Καθόσον ὁ καθένας ἀπὸ ἐκείνους ἔκανε ὅ,τι μπο-

στος τὰ κατὰ δύναμιν ἐπεδείξατο, τὸν πλεονασμὸν δὲ τῶν προσενεχθέντων καὶ τὴν ἐλάττωσιν οὐχ ἡ ῥᾳθυμία ἐκείνου, οὐδὲ ἡ σπουδὴ τούτου, ἀλλ' ἡ διαφορὰ τῆς παρακαταθήκης ἐποίησεν. Ἐκεῖνος πέντε ἔλαβε, καὶ πέντε ἄλλα προσήνεγκεν, οὗτος δύο ἔλαβε, καὶ δύο προσήνεγκε, καὶ κατ' οὐδὲν ἠλάττωται ἐν τῷ τῆς σπουδῆς λόγῳ. Καὶ γὰρ καὶ οὗτος διπλᾶ, κακεῖνος διπλᾶ τὰ πιστευθέντα εἰργάσατο· ὁ δὲ ἓν λαβὼν ἁπλοῦν προσήνεγκε· διὸ καὶ ἐκολάζετο.

2. Ἠκούσατε τοίνυν πόση τιμωρία κεῖται τοῖς μὴ πραγματευομένοις περὶ τὰ χρήματα τὰ δεσποτικά; Οὐκοῦν καὶ φυλάξωμεν, καὶ πραγματευσώμεθα, καὶ πολλὴν ἐπιδειξώμεθα περὶ αὐτὰ τὴν ἐμπορίαν. Μὴ λεγέτω τις· ἰδιώτης εἰμί, μαθητής εἰμι, λόγον οὐκ ἔχω διδασκαλίας, ἀμαθὴς ὢν καὶ οὐδενὸς ἄξιος. Κἂν γὰρ ἰδιώτης ᾖς, κἂν ἀμαθής, κἂν ἓν τάλαντον πιστευθῇς, ἐργάζου τὸ ἐγχειρισθέν, καὶ τὸν αὐτὸν τῷ διδάσκοντι λήψῃ μισθόν. Ἀλλ' ὅτι μὲν φυλάττετε τὰ εἰρημένα καὶ μετὰ πολλῆς τῆς ἀκριβείας κατέχετε, πάνυ πεπίστευκα· ἵνα δὲ μὴ εἰς τοῦτο τὸν λόγον ἅπαντα ἀναλώσωμεν, φέρε καὶ τὰ ἑξῆς τῶν χθὲς ἡμῖν λεχθέντων προσθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, τοῦτον τῆς φυλακῆς ὑμῖν ἀποδιδόντες τὸν μισθόν. Ὁ γὰρ τὰ πρότερα πιστευθεὶς καὶ τηρήσας, ἄξιος ἂν εἴη καὶ ἕτερα πάλιν λαβεῖν.

Τί οὖν ἦν τὸ διήγημα τὸ χθὲς ἡμῖν προτεθέν; Περὶ τοῦ ξύλου ὁ λόγος ἦν, καὶ ἐδείξαμεν ὅτι ᾔδει ὁ ἄνθρωπος τὸ καλὸν καὶ τὸ πονηρόν, πρὶν ἢ φαγεῖν ἀπὸ τοῦ ξύλου, καὶ πολλῆς σοφίας ἐπεπλήρωτο, ἀφ' ὧν ἐπέθηκε τὰ ὀνόματα τοῖς θηρίοις, ἀφ' ὧν ἐπέγνω τὴν γυναῖκα τὴν ἑαυτοῦ, ἀφ' ὧν εἶπε, «Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου», ἀφ' ὧν περὶ τοῦ γάμου διελέχθη καὶ περὶ παιδοποιίας, καὶ συζυγίας καὶ πατρὸς καὶ μητρός, ἀφ' ὧν ἐντολὴν ἔλαβεν. Οὐδὲ γὰρ ἐντο-

8. Γέν. 2, 23.

ρουσε, τὸ ἐπὶ πλέον ὅμως τῶν προσκομισθέντων καὶ τὸ λιγότερο τὸ προξένησε ὄχι ἡ ἀδιαφορία ἐκείνου, οὔτε ἡ φροντίδα αὐτοῦ, ἀλλ' ἡ διαφορὰ τῆς παρακαταθήκης. Ἐκεῖνος ἔλαβε πέντε καὶ προσκόμισε ἄλλα πέντε, αὐτὸς ἔλαβε δύο καὶ προσκόμισε ἄλλα δύο καὶ κατὰ τίποτε δὲν μειονεκτεῖ ὡς πρὸς τὴ φροντίδα. Καθόσον καὶ αὐτὸς ἔκανε διπλὰ ἐκεῖνα ποὺ τοῦ ἐμπιστεύθηκε καὶ ἐκεῖνος, ἐνῶ ἐκεῖνος ποὺ ἔλαβε ἕνα τὸ προσκόμισε ἕνα πάλι· γι' αὐτὸ καὶ τιμωρήθηκε.

2. Ἀκούσατε λοιπὸν πόση τιμωρία ἐπιφυλάσσεται γιὰ ἐκείνους ποὺ δὲν φροντίζουν ν' αὐξήσουν τὰ δεσποτικὰ χρήματα; Λοιπὸν καὶ ἂς τὰ φυλάξουμε καὶ ἂς φροντίσουμε νὰ τὰ αὐξήσουμε καὶ ἂς προσπαθήσουμε νὰ καταστήσουμε πολὺ μεγάλο τὸ κέρδος ἀπ' αὐτά. Ἂς μὴ λέγει κάποιος· ἁπλοϊκὸς ἄνθρωπος εἶμαι, μαθητὴς εἶμαι, δὲν ἔχω ἱκανότητα διδασκαλίας, εἶμαι ἀμαθὴς καὶ γιὰ τίποτε ἄξιος. Διότι καὶ ἂν ἀκόμα εἶσαι ἰδιώτης, καὶ ἂν ἀκόμα εἶσαι ἀμαθής, καὶ ἂν ἀκόμη σοῦ ἔχει ἐμπιστευθεῖ ὁ Κύριος ἕνα τάλαντο, προσπάθα ν' αὐξήσεις ἐκεῖνο ποὺ σοῦ παραδόθηκε καὶ θὰ λάβεις τὸν ἴδιο μισθὸ μὲ τὸ δάσκαλο. Ἀλλὰ τὸ ὅτι μὲν φυλάσσετε τὰ ὅσα ἔχουν λεχθεῖ καὶ τὰ ἐπεξεργάζεσθε μὲ μεγάλη προσοχή, εἶμαι ἀπόλυτα πεπεισμένος, ὅμως γιὰ νὰ μὴ δαπανήσουμε ὅλο τὸ λόγο σ' αὐτό, ἐμπρὸς ἂς προσθέσουμε στὴν ἀγάπη σας καὶ τὴ συνέχεια τῶν ὅσων λέχθηκαν χθές, ἀποδίδοντας σὲ σᾶς αὐτὸ τὸ μισθὸ γιὰ τὴ φύλαξη. Διότι ἐκεῖνος ποὺ φύλαξε τὰ πρῶτα ποὺ τοῦ ἐμπιστεύθηκαν, εἶναι ἄξιος νὰ λάβει καὶ πάλι ἄλλα.

Ποιὸ λοιπὸν ἦταν αὐτὸ ποὺ διηγούμουν χθὲς σ' ἐσᾶς; Ὁ λόγος ἦταν γιὰ τὸ δένδρο καὶ δείξαμε ὅτι ὁ ἄνθρωπος γνώριζε τὸ καλὸ καὶ τὸ κακό, προτοῦ ἀκόμα φάγει ἀπὸ τὸν καρπὸ τοῦ δένδρου, καὶ ἦταν προικισμένος μὲ πολλὴ σοφία, πράγμα ποὺ γίνεται φανερὸ ἀπὸ τὸ ὅτι ἔδωσε τὰ ὀνόματα στὰ ζῶα, ἀπὸ τὸ ὅτι ἀνεγνώρισε τὴ γυναίκα του μὲ τὸ νὰ πεῖ, «Αὐτὸ εἶναι ὀστὸ ἀπὸ τὰ ὀστά μου»[8], ἀπὸ ἐκεῖνα ποὺ συζήτησε γιὰ τὸ γάμο, τὴν τεκνοποιΐα, τὸν τρόπο ζωῆς τῶν συζύγων, γιὰ τὸν πατέρα, γιὰ τὴ μητέρα, καὶ ἀπὸ τὰ σχετικὰ μὲ τὴν ἐντολὴ ποὺ ἔλαβε. Διότι

λὴν δίδωσί τις καὶ νόμον τοῦ πρακτέου καὶ τοῦ μὴ πρακτέου τῷ τὸ καλὸν καὶ πονηρὸν ἀγνοοῦντι. Σήμερον ἀναγκαῖον εἰπεῖν, τίνος ἕνεκεν, εἰ μὴ παρὰ τοῦ ξύλου τὴν γνῶσιν ἄνθρωπος ἔλαβε, γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον εἴρηται· οὐ γὰρ μικρὸν τὸ μαθεῖν, διὰ τί ταύτην τὴν προσηγορίαν ἔχει καὶ ξύλον. Καὶ γὰρ ὁ διάβολος εἶπεν· «Ἧ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν». Πῶς οὖν σὺ λέγεις, φησίν, ὅτι οὐκ ἐνέθηκε γνῶσιν καλοῦ καὶ πονηροῦ; Τίς γάρ, εἰπέ μοι, ἐνέθηκεν; ἆρα ὁ διάβολος;

Ναί, φησίν, εἰπών, «Ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν». Εἶτα τοῦ ἐχθροῦ μοι φέροις τὴν μαρτυρίαν καὶ τοῦ ἐπιβούλου; Καίτοι οὗτος εἶπεν, ὅτι καὶ θεοὶ ἔσεσθε· ἆρα οὖν καὶ θεοὶ ἐγένοντο; Ὥσπερ οὖν οὐκ ἐγένοντο θεοί, οὕτως οὔτε γνῶσιν καλοῦ καὶ πονηροῦ τότε ἔλαβον. Ψεύστης γάρ ἐστιν ἐκεῖνος, καὶ οὐδὲν ἀληθὲς φθέγγεται· «Ἐν γὰρ τῇ ἀληθείᾳ», φησίν, «οὐχ ἕστηκε». Μὴ δὴ τοῦ ἐχθροῦ παραγάγωμεν τὴν μαρτυρίαν, ἀλλ' ἴδωμεν ἀπ' αὐτῶν τῶν πραγμάτων, τίνος ἕνεκεν γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον. Καὶ πρότερον, εἰ δοκεῖ, τί ποτέ ἐστι καλὸν καὶ πονηρὸν ἐπισκεψώμεθα. Τί οὖν ἐστι καλόν; Ἡ ὑπακοή. Τί δὲ πονηρόν; Ἡ παρακοή. Καὶ τέως ἡμῖν, ἵνα μὴ πλανώμεθα περὶ τὴν φύσιν τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, ἀπὸ τῶν Γραφῶν ταῦτα διακριβούσθω. Ὅτι γὰρ τοῦτό ἐστι τὸ καλὸν καὶ πονηρόν, ἄκουσον τί φησιν ὁ προφήτης· «Τί καλόν, καὶ τί Κύριος ὁ Θεὸς ἐκζητεῖ παρὰ σοῦ»; Εἰπὲ τί καλόν. «Ἀγαπᾶν Κύριον τὸν Θεόν σου». Ὁρᾷς ὅτι ἡ ὑπακοὴ καλόν; ἐκ γὰρ τῆς ἀγάπης ἡ ὑπακοή. Καὶ πάλιν· «Δύο πονηρά», φησίν, «ἐποίησεν ὁ λαός μου οὗτος· ἐμὲ ἐγκατέλιπον

9. Γέν. 3, 5. 10. Ἰω. 8, 44. 11. 11. Μιχ. 6, 8.

δὲν δίνει κάποιος ἐντολὴ καὶ νόμο γιὰ τὸ τί πρέπει νὰ πράττει καὶ τὸ τί πρέπει νὰ μὴ πράττει σ' ἐκεῖνον ποὺ δὲν γνωρίζει τὸ καλὸ καὶ τὸ κακό. Σήμερα εἶναι ἀνάγκη νὰ ποῦμε, γιὰ ποιὸ λόγο, ἂν ὁ ἄνθρωπος δὲν ἔλαβε τὴ γνώση ἀπὸ τὸ δένδρο, ὀνομάσθηκε τὸ δένδρο, δένδρο τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ· διότι δὲν εἶναι μικρὸ πράγμα τὸ νὰ μάθουμε γιατί τὸ δένδρο ἔχει αὐτὴ τὴν ὀνομασία. Καθόσον ὁ διάβολος εἶπε· «Τὴν ἡμέρα κατὰ τὴν ὁποία θὰ φάγετε ἀπὸ τὸν καρπὸ τοῦ δένδρου θ' ἀνοίξουν τὰ μάτια σας καὶ θὰ γίνετε σὰν θεοί, γνωρίζοντας ποιὸ εἶναι τὸ καλὸ καὶ ποιὸ τὸ κακό»[9]. Πῶς λοιπόν, λέγει, σὺ λέγεις ὅτι δὲν ἔθεσε μέσα στὸν ἄνθρωπο τὴ γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ; Ποιός δηλαδή, πές μου, τὴν ἔθεσε μέσα του; Ἄραγε ὁ διάβολος;

Ναί, λέγει, λέγοντας «Θὰ γίνετε σὰν θεοί, γνωρίζοντας τὸ καλὸ καὶ τὸ κακό». Ἔπειτα μοῦ παρουσιάζεις τὴ μαρτυρία τοῦ ἐχθροῦ καὶ τοῦ ἐπίβουλου; Ἂν καὶ βέβαια αὐτὸς εἶπε, ὅτι καὶ θεοὶ θὰ γίνετε· ἄραγε λοιπὸν ἔγιναν θεοί; Ὅπως ἀκριβῶς λοιπὸν δὲν ἔγιναν θεοί, ἔτσι οὔτε γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ ἔλαβαν τότε. Διότι ἐκεῖνος εἶναι ψεύστης καὶ τίποτε τὸ ἀληθὲς δὲν λέγει· διότι λέγει, «Δὲν στέκεται στὴν ἀλήθεια»[10]. Ἂς μὴ λοιπὸν παρουσιάζουμε τὴ μαρτυρία τοῦ διαβόλου, ἀλλ' ἂς ἐξετάσουμε ἀπὸ τὰ ἴδια τὰ πράγματα γιὰ ποιὸ λόγο ὀνομάζεται τὸ δένδρο 'δένδρο τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ'. Καὶ προηγουμένως, ἂν θεωρεῖτε καλό, ἂς ἐξετάσουμε τί τέλος πάντων σημαίνει καλὸ καὶ κακό. Τί λοιπὸν εἶναι καλό; Ἡ ὑπακοή. Τί δὲ κακό; Ἡ παρακοή. Καὶ κατ' ἀρχή, γιὰ νὰ μὴ πλανόμαστε σχετικὰ μὲ τὴ φύση τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἂς ἐξακριβώσουμε αὐτὰ ἀπὸ τὶς Γραφές. Διότι, τὸ ὅτι αὐτὸ εἶναι τὸ καλὸ καὶ τὸ κακό, ἄκουσε τί λέγει ὁ προφήτης· «Τί εἶναι καλὸ καὶ τί ζητᾶ ἀπὸ σένα ὁ Κύριος ὁ Θεός σου;»[11]. Πές μου τί εἶναι καλό. «Τὸ ν' ἀγαπᾶς τὸν Κύριο τὸ Θεό σου»[11]. Βλέπεις ὅτι ἡ ὑπακοὴ εἶναι τὸ καλό; διότι ἡ ὑπακοὴ προέρχεται ἀπὸ τὴν ἀγάπη. Καὶ πάλι· «Δύο κακά», λέγει, «ἔκαμε ὁ λαός μου αὐτός· ἐμένα ἐγκατέλειψαν ποὺ εἶμαι πηγὴ ὕδατος ποὺ χαρίζει ζωή, καὶ ἄνοι-

πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν».

Ὁρᾷς ὅτι πονηρὸν ἡ παρακοὴ καὶ ἡ ἐγκατάλειψις; Τέως οὖν τοῦτο τηρῶμεν, ὅτι καλὸν ἡ ὑπακοή, καὶ πονηρὸν ἡ παρακοή, καὶ οὕτως εἰσόμεθα κἀκεῖνο. Καὶ γὰρ διὰ τοῦτο γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον, ἐπειδὴ ἡ ἐντολή, ἡ γυμνάζουσα τὴν ὑπακοὴν καὶ τὴν παρακοήν, περὶ τὸ ξύλον ἐγένετο. Ἤδει μὲν γὰρ καὶ πρὸ τούτου ὁ Ἀδάμ, ὅτι καλὸν μὲν ἡ ὑπακοή, πονηρὸν δὲ ἡ παρακοή, ἔμαθε δὲ ὕστερον σαφέστερον δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας. Ὥσπερ γὰρ καὶ ὁ Κάϊν ᾔδει πονηρὸν ὂν τὸ πρᾶγμα, ἄκουσον τί φησι· «Δεῦρο, ἐξέλθωμεν εἰς τὸ πεδίον». Καίτοι τίνος ἕνεκεν ἕλκεις εἰς τὸ παδίον ἀπὸ τῶν πατρικῶν ἀποσπάσας ἀγκαλῶν τὸν ἀδελφόν; τί δὲ καθιστᾷς ἐν ἐρημίᾳ; τί δὲ γυμνὸν ποιεῖς τῆς κηδεμονίας; τί πόρρω τῆς πατρικῆς ἀπάγεις ὄψεως; τί διακρύπτεις τὴν τόλμαν, εἰ μὴ δέδοικας τὴν ἁμαρτίαν; τί δὲ καὶ μετὰ τὸ ποιῆσαι τὸν φόνον, πάλιν ἐρωτώμενος δυσχεραίνεις καὶ ψεύδῃ; Τοῦ γὰρ Θεοῦ εἰπόντος, «Ποῦ Ἄβελ ὁ ἀδελφός σου;», εἶπας· «Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου ἐγώ;». Ὅθεν δῆλον ὅτι σαφῶς εἰδὼς ἦλθεν ἐπὶ τὴν ἐργασίαν ταύτην.

Ὥσπερ οὖν οὗτος ᾔδει μὲν καὶ πρὸ τῆς πείρας ὅτι κακὸν ὁ φόνος, ἔμαθε δὲ σαφέστερον καὶ μετὰ ταῦτα, ὅτε τὴν τιμωρίαν ἐδέξατο καὶ ἤκουσε, «Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς», οὕτω καὶ ὁ πατὴρ τούτου εἶχε τοῦ καλοῦ καὶ τοῦ κακοῦ καὶ πρὸ τοῦ φαγεῖν τὴν γνῶσιν, εἰ καὶ μὴ οὕτω σαφῆ, ὡς μετὰ τὴν τοῦ ξύλου βρῶσιν. Τί λέγω; Τὰ γὰρ κακὰ πάντες οἴδαμεν καὶ πρὶν ἢ πρᾶξαι, σαφέστερον δὲ μανθάνομεν

12. Ἱερ. 2, 13.
13. Γέν. 4, 8.
14. Γέν. 4, 9.
15. Γέν. 4, 12.

ξαν γιὰ τοὺς ἑαυτούς τους λάκκους καταστραμμένους, ποὺ δὲν θὰ μπορέσουν νὰ συγκρατήσουν νερό»[12].

Βλέπεις ὅτι κακὸ εἶναι ἡ παρακοὴ καὶ ἐγκατάλειψη τοῦ Θεοῦ; Κατ' ἀρχὴ λοιπὸν ἂς φροντίζουμε γι' αὐτό, διότι καλὸ εἶναι ἡ ὑπακοὴ καὶ κακὸ ἡ παρακοή, καὶ ἔτσι θὰ γνωρίσουμε καὶ ἐκεῖνο. Καθόσον γι' αὐτὸ ὀνομάζεται τὸ δένδρο, 'δένδρο τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ', ἐπειδὴ ἡ ἐντολή, ποὺ ἀσκεῖ τὴν ὑπακοὴ καὶ τὴν παρακοή, δόθηκε σὲ σχέση μὲ τὸ δένδρο. Διότι γνώριζε μὲν ὁ 'Αδὰμ καὶ πρὶν ἀπ' αὐτό, ὅτι καλὸ μὲν εἶναι ἡ ὑπακοή, κακὸ δὲ ἡ παρακοή, τὸ ἔμαθε ὅμως ἀργότερα σαφέστερα ἀπὸ τὴν ἴδια τὴν πείρα τῶν πραγμάτων. Καθόσον ὅπως ἀκριβῶς ὁ Κάϊν γνώριζε μὲν ὅτι ἦταν κακὸ ἡ ἀδεφλοκτονία πρὶν ἀκόμα σφάξει τὸν ἀδελφό του· τὸ ὅτι βέβαια γνώριζε ὅτι εἶναι κακὸ αὐτὸ τὸ πράγμα ἄκουσε τί λέγει· «Ἔλα νὰ μεταβοῦμε στὴν πεδιάδα»[13]. Καὶ γιὰ ποιὸ λόγο τὸν ὁδηγεῖς τὸν ἀδελφό σου στὴν πεδιάδα καὶ τὸν ἀποσπᾶς ἀπὸ τὴν πατρικὴ ἀγκαλιά; γιατί τὸν μεταφέρεις στὴν ἐρημιά; γιατί τὸν ἀπογυμνώνεις ἀπὸ τὴν κηδεμονία; γιατί τὸν ὁδηγεῖς μακριὰ ἀπὸ τὸ πατρικὸ βλέμμα; γιατί ἀποκρύπτεις τὴν παράτολμη πράξη σου, ἂν δὲν φοβᾶσαι τὴν ἁμαρτία; γιατί δὲ καὶ μετὰ τὴ διάπραξη τοῦ φόνου, πάλι ἐρωτώμενος προβάλλεις δυσκολίες καὶ ψεύδεσαι; Διότι ὅταν ὁ Θεὸς σοῦ εἶπε, «Ποῦ εἶναι ὁ Ἄβελ ὁ ἀδελφός σου;», σὺ εἶπες· «Μήπως ἐγὼ εἶμαι φύλακας τοῦ ἀδελφοῦ μου;»[14]. Ἄρα λοιπὸν γίνεται φανερὸ ὅτι προχώρησε στὴν πράξη αὐτὴ γνωρίζοντας πολὺ καλὰ τὴ βαρύτητα αὐτῆς.

Ὅπως ἀκριβῶς λοιπὸν αὐτὸς γνώριζε μὲν καὶ πρὶν ἀπὸ τὴν ἐκτέλεση τῆς πράξεώς του αὐτῆς ὅτι εἶναι κακὸ ὁ φόνος, τὸ ἔμαθε δὲ σαφέστερα στὴ συνέχεια, ὅταν δέχθηκε τὴν τιμωρία καὶ ἄκουσε, «Θὰ ζεῖς στὴ γῆ κάτω ἀπὸ τὴν πίεση τῶν στεναγμῶν καὶ τοῦ τρόμου»[15], ἔτσι καὶ ὁ πατέρας αὐτοῦ εἶχε τὴ γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ καὶ πρὶν νὰ φάγει τὸν καρπὸ τοῦ δένδρου, ἂν καὶ ὄχι τόσο σαφή, ὅπως μετὰ τὴ βρώση τοῦ καρποῦ τοῦ δένδρου. Τί λέγω; Διότι τὰ κακὰ ὅλοι μας τὰ γνωρίζομε καὶ πρὶν τὰ διαπράξουμε, τὰ μαθαίνομε δὲ σαφέστερα

μετὰ τὸ πρᾶξαι· πολλῷ δὲ σαφέστερον, ὅταν κολαζώμεθα. Οὕτω καὶ ὁ Κάϊν ᾔδει μὲν ὅτι κακὸν ἡ ἀδελφοκτονία καὶ πρὸ τούτου, ἔμαθε δὲ ὕστερον διὰ τῆς κολάσεως σαφέστερον· ἐπεὶ καὶ ἡμεῖς οἴδαμεν ὅτι καλὸν ἡ ὑγεία, καὶ φορτικὸν ἡ νόσος καὶ πρὸ τῆς πείρας, πολλῷ δὲ μᾶλλον, ὅταν εἰς τὴν νόσον ἐμπέσωμεν, ἀμφοτέρων τὴν διαφορὰν γινώσκομεν.

3. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ Ἀδὰμ ᾔδει μὲν ὅτι καλὸν ἡ ὑπακοή, καὶ κακὸν ἡ παρακοή, ὕστερον δὲ σαφέστερον ἔμαθεν, ὅτε τοῦ ξύλου γευσάμενος ἐξεβλήθη τοῦ παραδείσου, καὶ τῆς μακαριότητος ἐκείνης ἐξέπεσεν. Ἐπεὶ οὖν εἰς τιμωρίαν ἐνέπεσεν, ὅτι, τοῦ Θεοῦ κωλύσαντος, ἐγεύσατο τοῦ ξύλου, ἡ τιμωρία αὐτὸν σαφέστερον ἐπαίδευσε διὰ τῆς πείρας, ὅσον κακὸν Θεοῦ παρακούειν, καὶ ὅσον ὑπακούειν καλόν· διὰ τοῦτο γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον καλεῖται. Καὶ τίνος ἕνεκεν, εἰ μὴ αὐτὴ ἡ φύσις τοῦ ξύλου τὴν γνῶσιν εἶχε τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, ἀλλ' ἐκ τῆς τιμωρίας τῆς διὰ τὴν παρακοὴν τὴν ἐπὶ τῷ ξύλῳ σαφέστερον τοῦτο ἔμαθεν ὁ ἄνθρωπος, γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον καλεῖται; Ὅτι ἔθος τῇ Γραφῇ τοῦτο, ἐπειδὰν τὸ πρᾶγμα γένηται, ἢ ἐν τόποις, ἢ ἐν καιροῖς, ἀπὸ τῶν πραγμάτων καλεῖν καὶ τοὺς τόπους καὶ τοὺς καιρούς. Καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, ἐπὶ ὑποδείγματος ὑμῖν τοῦτο ποιήσω φανερόν.

Ὁ Ἰσαάκ ποτε φρέατα ὤρυξε· ταῦτα τὰ φρέατα ἐπεχείρησαν οἱ γείτονες διαφθεῖραι· ἐντεῦθεν ἐγένετό τις ἀπέχθεια, καὶ ἐκάλεσε τὸ φρέαρ ἔχθραν, οὐκ ἐπειδὴ αὐτὸ τὸ φρέαρ ἤχθρανεν, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἡ ἔχθρα γέγονεν. Οὕτω καὶ τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται, οὐκ ἐπειδὴ αὐτὸ εἶχε γνῶσιν, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἐγένετο ὁ ἔλεγχος τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ. Πάλιν ὤρυξε

---

16. Γέν. 26, 21.

μετὰ τὴ διάπραξή τους, καὶ πολὺ πιὸ σαφέστερα δὲ ὅταν τιμωρούμαστε. Ἔτσι καὶ ὁ Κάϊν γνώριζε μὲν ὅτι εἶναι κακὸ ἡ ἀδελφοκτονία καὶ πρὶν διαπράξει αὐτήν, τὸ ἔμαθε δὲ σαφέστερα ἀργότερα μὲ τὴν τιμωρία ποὺ δέχθηκε· καθόσον καὶ ἐμεῖς γνωρίζομε ὅτι εἶναι καλὸ ἡ ὑγεία καὶ ἀνυπόφορο κακὸ ἡ ἀσθένεια καὶ προτοῦ μᾶς συμβεῖ αὐτή, πολὺ περισσότερο ὅμως διαπιστώνομε τὴν διαφορὰ καὶ τῶν δύο ὅταν περιπέσουμε στὴν ἀσθένεια.

3. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ Ἀδὰμ γνώριζε μὲν ὅτι εἶναι καλὸ ἡ ὑπακοὴ καὶ κακὸ ἡ παρακοή, τὸ ἔμαθε ὅμως σαφέστερα ἀργότερα, ὅταν γεύθηκε ἀπὸ τὸν καρπὸ τοῦ δένδρου καὶ διώχθηκε ἀπὸ τὸν Παράδεισο καὶ ἐξέπεσε ἀπὸ τὴ μακαριότητα ἐκείνη. Ἐπειδὴ λοιπὸν τιμωρήθηκε, διότι γεύθηκε ἀπὸ τὸν καρπὸ τοῦ δένδρου, ἂν καὶ ὁ Θεὸς τοῦ τὸ εἶχε ἀπαγορεύσει, ἡ τιμωρία τὸν δίδαξε σαφέστερα, ἀπὸ τὴν ἴδια τὴν πείρα τῶν πραγμάτων, πόσο μεγάλο κακὸ εἶναι νὰ παρακούει στὸ Θεὸ καὶ πόσο μεγάλο καλὸ τὸ νὰ ὑπακούει· γι' αὐτὸ ὀνομάζεται τὸ δένδρο, 'δένδρο τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ'. Καὶ γιὰ ποιό λόγο, ἂν ἡ ἴδια ἡ φύση τοῦ δένδρου δὲν εἶχε τὴ γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἀλλ' ἔμαθε αὐτὸ ὁ ἄνθρωπος σαφέστερα μὲ τὴν τιμωρία ἐξ αἰτίας τῆς παρακοῆς σχετικὰ μὲ τὴ γεύση τοῦ καρποῦ τοῦ δένδρου; Διότι συνηθίζει νὰ τὸ κάμνει αὐτὸ ἡ Γραφή, ὅταν δηλαδὴ συμβεῖ κάποιο γεγονὸς σὲ διάφορους τόπους ἢ σὲ καιρούς, ἀπὸ τὰ ἴδια γεγονότα νὰ ὀνομάζει καὶ τοὺς τόπους καὶ τοὺς καιρούς. Καὶ γιὰ νὰ γίνει σαφέστερο αὐτὸ ποὺ λέγω, θὰ σᾶς τὸ κάνω φανερὸ μὲ κάποιο παράδειγμα.

Ὁ Ἰσαὰκ ἄνοιξε κάποτε πηγάδια· αὐτὰ τὰ πηγάδια ἐπιχείρησαν οἱ γείτονες καὶ τὰ καταστρέψουν· ἐξ αἰτίας αὐτοῦ τοῦ γεγονότος δημιουργήθηκε κάποια ἔχθρα καὶ ὀνόμασε τὸ πηγάδι 'ἔχθρα'[16], ὄχι ἐπειδὴ τὸ ἴδιο τὸ πηγάδι ἔδειχνε ἔχθρα πρὸς αὐτόν, ἀλλ' ἐπειδὴ ἡ ἔχθρα συνέβηκε ἐξ αἰτίας αὐτοῦ. Ἔτσι καὶ τὸ δένδρο ὀνομάζεται τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ὄχι ἐπειδὴ αὐτὸ εἶχε γνώση, ἀλλ' ἐπειδὴ σὲ σχέση μὲ αὐτὸ ἔγινε ἡ ἀπόδειξη τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ. Πάλι ἄνοι-

φρέαρ ὁ Ἀβραάμ, ἐπεβούλευσεν ὁ Ἀβιμέλεχ· συνῆλθον, κατέλυσαν τὴν ἔχθραν, καὶ ὅρκους δόντες ἀλλήλους, ἐκάλεσαν τὸ φρέαρ ἐκεῖνο «φρέαρ ὅρκου», οὐκ ἐπειδὴ τὸ φρέαρ ὤμοσεν, ἀλλ' ἐπειδὴ περὶ τὸ φρέαρ ὁ ὅρκος ἐγένετο. Ὁρᾷς πῶς οὐχὶ τῶν πραγμάτων οἱ τόποι αἴτιοι γίνονται, εἰ καὶ τῶν πραγμάτων λαμβάνουσι τὰ ὀνόματα; Καὶ γὰρ πολὴ ἀνάγκη παραγαγεῖν παραδείγματα, ὥστε σαφέστερον γενέσθαι τὸ λεγόμενον.

Πάλιν εἶδεν ὁ Ἰακὼβ ἀγγέλους ἀπαντήσοντας αὐτῷ καὶ παρεμβολὴν Θεοῦ, καὶ ἐκάλεσε τὸν τόπον παρεμβολήν. Καίτοι οὐχ ὁ τόπος ἦν ἡ παρεμβολή, ἐπειδὴ ἐκεῖ εἶδε τὴν παρεμβολήν. Ὁρᾷς πῶς ἀπὸ τοῦ πράγματος τοῦ συμβάντος ἐν τῷ τόπῳ τὸν τόπον ὠνόμασεν; Οὕτω καὶ τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται, οὐκ ἐπειδὴ αὐτὸ εἶχε γνῶσιν καλοῦ καὶ πονηροῦ, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἐγένετο ἡ ἀπόδειξις τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, καὶ ἡ γυμνασία τῆς παρακοῆς καὶ τῆς ὑπακοῆς. Πάλιν εἶδε τὸν Θεὸν ὁ Ἰακὼβ ὡς ἰδεῖν ἀνθρώπῳ δυνατὸν ἦν, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου «εἶδος Θεοῦ». Διὰ τί; «Ὅτι εἶδον τὸν Θεόν», φησί. Καὶ μὴν οὐχ ὁ τόπος εἶδος Θεοῦ ἦν, ἀλλ' ἀπὸ τοῦ πράγματος τοῦ συμβάντος ἐν τῷ τόπῳ ἡ προσηγορία γέγονεν. Ὁρᾷς διὰ πόσων ἀποδέδεικται, ὅτι ἔθος τῇ Γραφῇ ἀπὸ τῶν πραγμάτων τῶν συμβαινόντων ἐν τοῖς τόποις αὐτοὺς τοὺ τόπους καλεῖν; Τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ καιρῶν ποιεῖν εἴωθεν.

Ἀλλ' ἵνα μὴ κατατείνωμεν ὑμᾶς, φέρε μεταγάγωμεν τὸν λόγον ἀπὸ τῶν σκυθρωποτέρων ἐπὶ τὰ φαιδρότερα. Καὶ γὰρ ἔκαμεν ὑμῶν ἡ διάνοια τοῖς λεπτοτέροις νοήμασιν ἐνδιατρίβουσα· διόπερ αὐτὴν ἀναπαῦσαι καλόν, τοῖς ἀφελεστέροις καὶ φαιδροτέροις διαιτῶντας νοήμασιν. Ἐπανίωμεν τοίνυν ἐπὶ τὸ σωτήριον τοῦ σταυροῦ ξύλον. Τοῦτο γάρ, τοῦ-

17. Γέν. 21, 31-32.
19. Γέν. 32, 30.
18. Παρεμβολή· δηλαδὴ παραταγμένο θεῖο στράτευμα. Γέν. 32, 1-2.

ξε πηγάδι ὁ 'Αβραάμ, καὶ ἔδειξε ἐχθρικὴ στάση ἐναντίον τοῦ 'Αβιμέλεχ· συναντήθηκαν, διέλυσαν τὴν ἔχθρα καί, ἀφοῦ ὁρκίσθηκαν ἀναμεταξύ τους, ὀνόμασαν τὸ πηγάδι ἐκεῖνο «πηγάδι ὅρκου»[17], ὄχι ἐπειδὴ τὸ πηγάδι ἔδωσε ὅρκο, ἀλλ' ἐπειδὴ ὁ ὅρκος ἔγινε σχετικὰ μὲ τὸ πηγάδι. Βλέπεις πῶς δὲν γίνονται αἴτιοι τῶν γεγονότων οἱ τόποι, ἂν καὶ παίρνουν τὰ ὀνόματα τῶν γεγονότων ποὺ συμβαίνουν ἐκεῖ; Καὶ πρέπει βέβαια ν' ἀναφέρουμε παραδείγματα, ὥστε νὰ γίνει σαφέστερο αὐτὸ ποὺ λέγω.

Πάλι εἶδε ὁ 'Ιακὼβ ἀγγέλους ποὺ τὸν συνάντησαν καὶ παρεμβολὴ Θεοῦ καὶ ὀνόμασε τὸν τόπο ἐκεῖνο «παρεμβολή»[18]. Ἂν καὶ βέβαια δὲν ἦταν ὁ τόπος ἡ παρεμβολή, ἀλλ' ὅμως ὀνομάσθηκε ὁ τόπος παρεμβολή, ἐπειδὴ ἐκεῖ εἶδε τὴν παρεμβολή. Βλέπεις πῶς ὀνόμασε τὸν τόπο ἀπὸ τὸ γεγονὸς ποὺ συνέβηκε στὸν τόπο ἐκεῖνο; Ἔτσι καὶ τὸ δένδρο ὀνομάζεται τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ὄχι ἐπειδὴ αὐτὸ εἶχε τὴ γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἀλλ' ἐπειδὴ σὲ σχέση μ' αὐτὸ ἔγινε ἡ ἀπόδειξη τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ καὶ ἡ ἄσκηση τῆς παρακοῆς καὶ τῆς ὑπακοῆς. Πάλι εἶδε τὸ Θεὸ ὁ 'Ιακώβ, ὅσο ἦταν δυνατὸ σὲ ἄνθρωπο νὰ τὸν δεῖ, καὶ κάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου «Εἶδος Θεοῦ»[19]. Γιατί, «Διότι εἶδα», λέγει «τὸ Θεό»[19]. Καὶ βέβαια δὲν ἦταν ὁ τόπος εἶδος Θεοῦ, ἀλλ' ἀπὸ τὸ γεγονὸς ποὺ συνέβηκε στὸν τόπο ἐκεῖνο δόθηκε ἡ ὀνομασία. Βλέπεις μὲ πόσα ἀποδεικνύεται, ὅτι συνηθίζει ἡ Γραφὴ ἀπὸ τὰ γεγονότα, ποὺ συμβαίνουν στοὺς τόπους αὐτούς, νὰ δίνει τὴν ὀνομασία σ' αὐτούς; Τὸ ἴδιο δὲ συνηθίζει νὰ κάμνει καὶ γιὰ τοὺς καιρούς.

'Αλλὰ γιὰ νὰ μὴ σᾶς κουράζουμε, ἐμπρὸς ἂς μεταφέρουμε τὸ λόγο ἀπὸ τὰ δυσάρεστα στὰ χαρωπά. Καθόσον ἀπόκαμε ἡ σκέψη σας μὲ τὸ ν' ἀσχολεῖται μὲ τὰ ψηλότερα νοήματα· γι' αὐτὸ καλὸ εἶναι νὰ τὴν ἀναπαύσουμε, τρέφοντάς την μὲ τὰ πιὸ ἁπλὰ καὶ τὰ πιὸ χαρωπὰ νοήματα. Ἂς ἐπανέλθουμε λοιπὸν στὸ σωτήριο ξύλο τοῦ σταυροῦ. Διότι αὐτό, αὐτὸ ἐξάλειψε ὅλα

το πάντα ἀνέλυσε τὰ δεινά, ὅσα ἐκεῖνο εἰσήγαγε· μᾶλλον δὲ οὐκ ἐκεῖνο εἰσήγαγε τὰ δεινά, ἀλλ' ὁ ἄνθρωπος ἅπαντα, ἅπερ μετὰ πολλῆς ὕστερον ἀνέλυσε τῆς περιουσίας ὁ Χριστός, πολλῷ μείζονα αὐτῶν εἰσαγαγὼν ἀγαθά. Δι' αὐτὸ τοῦτο ὁ Παῦλός φησιν· «Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις»· τουτέστι, μεῖζον τὸ δῶρον τοῦ ἁμαρτήματος. Διὰ τοῦτο πάλιν φησίν· «Οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα»· οὐχ ὅσον ἥμαρτεν ὁ ἄνθρωπος, τοσοῦτον ἐχαρίσατο ὁ Θεός· οὐχ ὅση ἡ ζημία, τοσαύτη καὶ ἡ πραγματεία· οὐχ ὅσον τὸ ναυάγιον, τοσαύτη καὶ ἡ ἐμπορία, ἀλλὰ πλείω τὰ ἀγαθὰ τῶν κακῶν· καὶ εἰκότως. Τὰ μὲν γὰρ κακὰ δοῦλος εἰσήγαγε, καὶ ἐλάττονα ἦν, τὰ δὲ ἀγαθὰ Δεσπότης ἐχαρίσατο, διὸ καὶ πλείονα ἦν. Διὰ τοῦτό φησιν· «Οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα».

Εἶτα ἐπάγει καὶ τὴν διαφοράν· «Τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα». Ἀσαφέστερον τὸ εἰρημένον· οὐκοῦν ἀνάγκη τὴν λύσιν ἐπαγαγεῖν. Τὸ μὲν γὰρ «κρίμα», τουτέστιν ἡ κόλασις, ἡ τιμωρία, ὁ θάνατος, «Ἐξ ἑνός», τουτέστιν ἁμαρτήματος· μία γάρ, φησίν, ἁμαρτία τοσοῦτον εἰσήγαγε κακόν, τὸ δὲ χάρισμα οὐκ ἐκείνην μόνην τὴν ἁμαρτίαν ἔλυσεν, ἀλλὰ καὶ ἑτέρας πολλάς. Διὰ τοῦτο λέγει· «Τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα». Διὰ τοῦτο καὶ ὁ Ἰωάννης ὁ βαπτιστὴς ἐβόα· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ», οὐχί, 'ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Ἀδάμ', ἀλλ', «Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». Εἶδες πῶς οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα, ἀλλὰ πλείονα εἰσήγαγε τοῦτο τὸ ξύλον ἀγαθὰ τῶν παρὰ τὴν ἀρχὴν εἰσενεχθέντων κακῶν;

4. Ταῦτα δὲ εἶπον, ἵνα μὴ νομίσῃς ἐπηρεάζεσθαί σε πα-

---

20. Ρωμ. 5, 20.
21. Ρωμ. 5, 15.
22. Ρωμ. 5, 16.
23. Ἰω. 1, 29.

τὰ δεινά, ὅσα προξένησε ἐκεῖνο· μᾶλλον δὲ δὲν προξένησε τὰ δεινὰ ἐκεῖνο, ἀλλ' ὅλα ὁ ἄνθρωπος τὰ προξένησε, τὰ ὁποῖα ἀργότερα ἐξάλειψε μὲ μεγάλη δύναμη ὁ Χριστός, παρέχοντας πολὺ πιὸ μεγαλύτερα ἀπ' αὐτὰ ἀγαθά. Γι' αὐτὸ ἀκριβῶς ὁ Παῦλος λέγει· «Ὅπου πλεόνασε ἡ ἁμαρτία, ἐκεῖ δόθηκε μὲ ὑπεραφθονία ἡ χάρη»[20]· δηλαδὴ τὸ δῶρο εἶναι μεγαλύτερο ἀπὸ τὸ ἁμάρτημα. Γι' αὐτὸ πάλι λέγει· «Τὸ δῶρο τῆς θείας χάριτος δὲν εἶναι ὅπως τὸ παράπτωμα»[21]· αὐτὸ ποὺ μᾶς χώρισε ὁ Θεὸς δὲν εἶναι τόσο ὅσο τὸ ἁμάρτημα ποὺ διέπραξε ὁ ἄνθρωπος· δὲν ἦταν τόσο τὸ κέρδος, ὅση καὶ ἡ ζημία· δὲν ἦταν τὸ ἐμπόρευμα τόσο, ὅσο καὶ τὸ ναυάγιο, ἀλλὰ τὰ ἀγαθὰ εἶναι περισσότερα ἀπὸ τὰ κακά· καὶ πολὺ σωστά. Διότι τὰ μὲν κακὰ τὰ εἰσήγαγε ὁ δοῦλος καὶ ἦταν λιγότερα, ἐνῶ τὰ ἀγαθὰ τὰ χάρισε ὁ Κύριος, γι' αὐτὸ καὶ ἦταν καὶ περισσότερα. Γι' αὐτὸ λέγει, «Τὸ χάρισμα δὲν εἶναι τόσο, ὅσο καὶ τὸ παράπτωμα»[21].

Ἔπειτα προσθέτει καὶ τὴ διαφορά. «Διότι ἡ μὲν καταδίκη ἐξ αἰτίας ἑνὸς ἁμαρτήματος μεταβλήθηκε σὲ καταδίκη ὅλου τοῦ ἀνθρώπινου γένους, ἐνῶ τὸ δῶρο τῆς θείας χάριτος χάρισε τὴ δικαίωση ἀπὸ πολλὰ ἁμαρτήματα»[22]. Τὰ λόγια αὐτὰ περιέχουν μεγάλη ἀσάφεια· ἀνάγκη λοιπὸν νὰ προσπαθήσουμε νὰ δώσουμε τὴ λύση. Τὸ μὲν λοιπὸν «κρίμα», δηλαδὴ ἡ κόλαση, ἡ τιμωρία, ὁ θάνατος, ἐπιβλήθηκε «ἐξ αἰτίας ἑνός», δηλαδὴ ἁμαρτήματος· διότι, λέγει, μία ἁμαρτία τόσο μεγάλο κακὸ προξένησε, ἐνῶ τὸ θεῖο χάρισμα δὲν ἐξάλειψε μόνο ἐκείνη τὴν ἁμαρτία, ἀλλὰ καὶ πολλὲς ἄλλες. Γι' αὐτὸ λέγει· «Τὸ δὲ θεῖο χάρισμα χάρισε τὴ δικαίωση ἀπὸ πολλὰ ἁμαρτήματα». Γι' αὐτὸ καὶ ὁ Ἰωάννης ὁ βαπτιστὴς βροντοφώναξε· «Νὰ ὁ ἀμνὸς τοῦ Θεοῦ», ὄχι 'ποὺ σηκώνει τὴν ἁμαρτία τοῦ Ἀδάμ', ἀλλά, «ποὺ σηκώνει τὴν ἁμαρτία τοῦ κόσμου»[23]. Εἶδες πῶς τὸ χάρισμα δὲν ἦταν τόσο, ὅσο καὶ τὸ παράπτωμα, ἀλλὰ περισσότερα ἀγαθὰ εἰσήγαγε αὐτὸ τὸ ξύλο ἀπὸ τὰ κακὰ ποὺ προξενήθηκαν ἀπὸ τὴν ἀρχή;

4. Αὐτὰ δὲ τὰ εἶπα γιὰ νὰ μὴ νομίσεις ὅτι ζημιώνεσαι ἀπὸ

ρὰ τῶν πρώτων. Ἐξέβαλεν ὁ διάβολος τὸν Ἀδάμ, εἰσήγαγε τὸν λῃστὴν ὁ Χριστός. Καὶ σκόπει τὸ διάφορον. Ἐκεῖνος οὐκ ἔχοντα ἁμαρτίαν τὸν ἄνθρωπον, ἀλλὰ μίαν κηλῖδα παρακοῆς, ἐξέβαλεν· ὁ Χριστὸς λῃστὴν μυρία φορτία ἁμαρτημάτων βαστάζοντα οὕτως εἰσήγαγεν εἰς τὸν παράδεισον. Ἆρ' οὖν τοῦτο μόνον τὸ θαῦμά ἐστιν, ὅτι λῃστὴν εἰσήγαγεν εἰς παράδεισον, ἄλλο δὲ οὐδέν; Ἔστι καὶ ἄλλο μεῖζον εἰπεῖν. Οὐ γὰρ λῃστὴν εἰσήγαγε μόνον, ἀλλὰ καὶ πρὸ τῆς οἰκουμένης ἁπάσης, καὶ πρὸ τῶν ἀποστόλων· ἵνα μηδεὶς τῶν μετὰ ταῦτα ἀπογνῷ τὴν εἴσοδον, μηδὲ ἀπελπίσῃ τὴν σωτηρίαν τὴν ἑαυτοῦ, τὸν μυρίων γέμοντα κακῶν ἐν ταῖς βασιλικαῖς αὐλαῖς στρεφόμενον ὁρῶν. Ἀλλ' ἴδωμεν, μὴ πόνους ἐπεδείξατο καὶ κατορθώματα καὶ καρποὺς ὁ λῃστής. Οὐδὲ τοῦτό ἐστιν εἰπεῖν, ἀλλ' ἀπὸ ψιλοῦ ῥήματος, ἀπὸ πίστεως μόνης πρὸ τῶν ἀποστόλων εἰσεπήδησεν εἰς τὸν παράδεισον, ἵνα μάθῃς ὅτι οὐχ ἐκείνου εὐγνωμοσύνη τοσοῦτον ἴσχυσεν, ὅσον τοῦ Δεσπότου ἡ φιλανθρωπία τὸ πᾶν ἐποίησε.

Τί γὰρ εἶπεν ὁ λῃστής; τί δὲ ἔπραξεν; ἐνήστευσεν; ἐδάκρυσεν; περιεσχίσατο; μετάνοιαν ἐπεδείξατο ἐν πολλῷ τῷ χρόνῳ; Οὐδαμῶς· ἀλλ' ἐν αὐτῷ τῷ σταυρῷ μετὰ τὴν ἀπόφασιν σωτηρίας ἔτυχεν. Ὅρα τάχος· ἀπὸ σταυροῦ εἰς οὐρανόν, ἀπὸ καταδίκης εἰς σωτηρίαν. Τίνα ἐστὶν ἄρα ἐκεῖνα τὰ ῥήματα; πόσην ἔχει τὴν δύναμιν, ὅτι τοσαῦτα τούτῳ ἐκόμισεν ἀγαθά; «Μνήσθητί μου», φησίν, «ἐν τῇ βασιλείᾳ σου». Καὶ τί τοῦτο; «Ἤτησε λαβεῖν ἀγαθά, οὐ σπουδὴν τὴν δι' ἔργων ἐπεδείξατο, ἀλλ' ὁ τὴν καρδίαν αὐτοῦ εἰδώς, οὐ τοῖς ῥήμασι προσέσχεν, ἀλλὰ τῇ διαθέσει τῆς διανοίας. Οἱ μὲν γὰρ προφητικῶν ἀπολαύσαντες διδαγμάτων, οἱ τὰ σημεῖα ἰδόντες, οἱ τὰ θαύματα θεασάμενοι, ἔλεγον περὶ τοῦ Χριστοῦ,

---

24. Λουκᾶ 23, 42. 25. Ματθ. 11, 18.

τοὺς πρώτους. Ἐξέβαλε ὁ διάβολος τὸν Ἀδὰμ ἀπὸ τὸν παράδεισο, εἰσήγαγε ὁ Χριστὸς τὸ ληστή. Καὶ πρόσεχε τὴ διαφορά. Ὁ διάβολος ἐξέβαλε τὸν ἄνθρωπο ἂν καὶ δὲν εἶχε ἁμαρτία, ἀλλὰ μιὰ μόνο κηλίδα παρακοῆς· ὁ Χριστὸς τὸν ληστή, ποὺ ἦταν φορτωμένος μὲ ἀμέτρητα ἁμαρτήματα, ἔτσι τὸν εἰσήγαγε στὸν παράδεισο. Ἄραγε λοιπὸν αὐτὸ μόνο εἶναι τὸ ἀξιοθαύμαστο, τὸ ὅτι εἰσήγαγε τὸ ληστὴ στὸν παράδεισο, ἄλλο δὲ τίποτε; Μποροῦμε ν' ἀναφέρουμε καὶ ἄλλο μεγαλύτερο. Διότι δὲν εἰσήγαγε μόνο ληστὴ στὸν παράδεισο, ἀλλὰ καὶ πρὶν ἀπὸ ὅλη τὴν οἰκουμένη καὶ πρὶν ἀπὸ τοὺς ἀποστόλους, ὥστε κανένας ἀπὸ τοὺς ἑπόμενους νὰ μὴ χάσει τὸ θάρρος του γιὰ τὴν εἴσοδό του σ' αὐτόν, οὔτε ν' ἀπελπισθεῖ γιὰ τὴ σωτηρία του, βλέποντας νὰ περιφέρεται στὶς βασιλικὲς αὐλὲς ἐκεῖνος ποὺ ἦταν γεμάτος ἀπὸ ἀμέτρητα κακά. Ἀλλ' ἂς δοῦμε μήπως ὁ ληστὴς ἐπέδειξε κόπους, κατορθώματα καὶ καρπούς. Οὔτε αὐτὸ μποροῦμε νὰ ποῦμε, ἀλλὰ ἀπὸ ἁπλὸ λόγο, ἀπὸ μόνη τὴν πίστη κατόρθωσε νὰ εἰσέλθει στὸν παράδεισο πρὶν ἀπὸ τοὺς ἀποστόλους, γιὰ νὰ μάθεις ὅτι δὲν ἴσχυσε τόσο πολὺ ἡ εὐγνωμοσύνη ἐκείνου, ὅσο κατόρθωσε τὸ πᾶν ἡ φιλανθρωπία τοῦ Κυρίου.

Πράγματι, τί εἶπε ὁ ληστής; τί δὲ ἔπραξε; νήστεψε; δάκρυσε; ξεσχίσθηκε ἡ καρδιά του; ἐπέδειξε μετάνοια γιὰ πολὺ χρόνο; Καθόλου, ἀλλὰ βρισκόμενος ἐπάνω στὸ σταυρὸ ἐπέτυχε τὴ σωτηρία του μετὰ τὴν ἀπόφαση. Πρόσεχε ταχύτητα· ἀπὸ τὸ σταυρὸ μετέβηκε στὸν οὐρανό, ἀπὸ τὴν καταδίκη στὴ σωτηρία. Ποιὰ λοιπὸν εἶναι ἐκεῖνα τὰ λόγια; πόση δύναμη ἔχουν, τὴ στιγμὴ ποὺ χάρισαν σ' αὐτὸν τόσα πολλὰ ἀγαθά; «Νὰ μὲ θυμηθεῖς», λέγει, «στὴ βασιλεία σου»[24]. Καὶ τί σημασία ἔχει αὐτό; Ζήτησε νὰ λάβει ἀγαθά, δὲν ἐπέδειξε προσπάθεια μὲ ἔργα, ἀλλ' ἐκεῖνος ποὺ γνωρίζει τὴν καρδιὰ αὐτοῦ, δὲν πρόσεξε τὰ λόγια του, ἀλλὰ τὴ διάθεση τῆς ψυχῆς του. Διότι ἐκεῖνοι ποὺ ἀπόλαυσαν προφητικὲς διδασκαλίες, ποὺ εἶδαν τὰ σημεῖα, ποὺ εἶδαν τὰ θαύματα, ἔλεγαν γιὰ τὸν Χριστό, ὅτι «Δαιμόνιο ἔχει»[25] καὶ

ὅτι «Δαιμόνιον ἔχει», καί, «Πλανᾷ τὸν ὄχλον», ὁ δὲ λῃστὴς μὴ προφητῶν ἀκούσας, μὴ θαύματα ἰδών, ἐπὶ τοῦ σταυροῦ προσηλωμένον, οὐ προσέσχε τῇ ἀτιμίᾳ, οὐκ εἶδε τὴν ἀδοξίαν, ἀλλ' εἰς τὴν θεότητα αὐτὴν ἰδών, «Μνήσθητί μου», φησίν, «ἐν τῇ βασιλείᾳ σου». Καινὸν τοῦτο καὶ παράδοξον. Σταυρὸν ὁρᾷς, καὶ βασιλείας μέμνησαι; Τί βασιλείας ἄξιον εἶδες; Ἐσταυρωμένον ἄνθρωπον, ραπιζόμενον, χλευαζόμενον, κατηγορούμενον, ἐμπτυόμενον, μαστιζόμενον· ταῦτα οὖν βασιλείας ἄξια, εἰπέ μοι;

Ὁρᾷς ὅτι τοῖς τῆς πίστεως ἔβλεπεν ὀφθαλμοῖς, καὶ οὐ τὰ φαινόμενα ἐξήταζε; Διὰ τοῦτο οὔτε ὁ Θεὸς τὰ ρήματα ἐξήταζε τὰ ψιλά, ἀλλ', ὥσπερ οὗτος εἶδεν εἰς τὴν θεότητα, οὕτως ὁ Θεὸς εἶδεν εἰς τὴν καρδίαν τοῦ λῃστοῦ, καί φησι· «Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ». Ἐνταῦθα προσέχετε· ζήτημα γὰρ οὐ τὸ τυχὸν ἐπιφύεται. Καὶ γὰρ οἱ Μανιχαῖοι, οἱ κύνες, οἱ ἐννεοὶ καὶ λυττῶντες, τὸ σχῆμα μὲν ἐπιδείκνυνται ἐπιεικείας, τὴν χαλεπὴν δὲ ἔνδον ἔχουσι τῶν κυνῶν μανίαν, καὶ κατακρύπτουσι τῇ δορᾷ τοῦ προβάτου τὸν λύκον. Ἀλλὰ μὴ τὸ φαινόμενον ἴδῃς, ἀλλὰ τὸ ἔνδον κεκρυμμένον θηρίον ἐξέτασον. Οὗτοι τοίνυν ἐπιλαβόμενοι τοῦ χωρίου τούτου φασίν· εἶπεν ὁ Χριστός· «Ἀμήν, ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ»· οὐκοῦν ἀντίδοσις ἤδη γέγονε τῶν ἀγαθῶν, καὶ περιττὴ ἡ ἀνάστασις. Εἰ γὰρ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπέλαβεν ὁ λῃστὴς τὰ ἀγαθά, τὸ δὲ σῶμα αὐτοῦ οὐκ ἀνέστη οὐδέπω καὶ τήμερον, οὐκ ἔσται σωμάτων λοιπὸν ἀνάστασις.

Ἆρα ἐνοήσατε τὸ λεχθέν, ἢ δεύτερον αὐτὸ πάλιν εἰπεῖν ἀνάγκη; «Ἀμήν, ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ». Εἰσῆλθεν οὖν, φησίν, εἰς τὸν παράδεισον ὁ λῃστὴς οὐ μετὰ τοῦ σώματος· πῶς γάρ, ὁπότε οὐκ ἐτάφη τὸ σῶμα αὐτοῦ, οὐδὲ διελύθη καὶ κόνις ἐγένετο; καὶ οὐδαμοῦ

26. Ἰω. 7, 12. 27. Λουκᾶ 23, 43.

ὅτι «πλανᾶ τὸ λαό»[26], ἐνῶ ὁ ληστὴς ἂν καὶ δὲν ἄκουσε προφῆτες, οὔτε εἶδε θαύματα, μόλις τὸν εἶδε καρφωμένο στὸ σταυρό, δὲν πρόσεξε τὴν ἀτιμία, δὲν εἶδε τὴν ἀδοξία, ἀλλ', ἀφοῦ πρόσεξε τὴ θεότητά του, «Νὰ μὲ θυμηθεῖς», λέγει, «στὴ βασιλεία σου». Πρωτάκουστο αὐτὸ καὶ παράδοξο. Σταυρὸ βλέπεις καὶ θυμᾶσαι βασιλεία; Τί ἄξιο βασιλείας εἶδες; Σταυρωμένο ἄνθρωπο, ποὺ δέχεται ραπίσματα, ποὺ χλευάζεται, ποὺ κατηγορεῖται, ποὺ φτύνεται, ποὺ μαστιγώνεται· αὐτά, πές μου, εἶναι ἄξια βασιλείας;

Βλέπεις ὅτι ἔβλεπε μὲ τὰ μάτια τῆς πίστεως καὶ ὅτι δὲν ἐξέταζε τὰ πράγματα ποὺ ἔβλεπε; Γι' αὐτὸ οὔτε ὁ Θεὸς ἐξέτασε τὰ ἁπλὰ λόγια, ἀλλ', ὅπως ἀκριβῶς αὐτὸς πρόσεξε στὴ θεότητά του, ἔτσι καὶ ὁ Θεὸς πρόσεξε τὴν καρδιὰ τοῦ ληστῆ καὶ λέγει· «Ἀπὸ σήμερα θὰ εἶσαι μαζί μου στὸν παράδεισο»[27]. Συγκεντρῶστε ἐδῶ τὴν προσοχή σας· διότι ἀνακύπτει πολὺ σοβαρὸ πρόβλημα. Καθόσον οἱ Μανιχαῖοι, οἱ σκύλοι, οἱ παράφρονες καὶ λυσσασμένοι, ἐξωτερικὰ μὲν παρουσιάζονται ἐπιεικεῖς, ἐσωτερικὰ ὅμως φέρουν τὴ φοβερὴ μανία τῶν σκύλων καὶ κρύβουν μὲ τὸ δέρμα τοῦ προβάτου τὸ λύκο. Ὅμως μὴ προσέξεις τὴν ἐξωτερικὴ μορφή, ἀλλὰ ἐξέτασε τὸ θηρίο ποὺ εἶναι κρυμμένο ἐσωτερικά. Αὐτοὶ λοιπὸν παρερμηνεύοντας τὸ χωρίο αὐτὸ λέγουν· εἶπε ὁ Χριστός· «Ἀλήθεια, ἀλήθεια σοῦ λέγω, ἀπὸ σήμερα θὰ εἶσαι μαζί μου στὸν παράδεισο»· ἄρα λοιπὸν ἤδη ἔχει γίνει ἡ ἀνταπόδοση τῶν ἀγαθῶν καὶ εἶναι περιττὴ ἡ ἀνάσταση. Διότι, ἐὰν κατὰ τὴν ἡμέρα ἐκείνη ἀπόλαυσε ὁ ληστὴς τὰ ἀγαθά, τὸ δὲ σῶμα του δὲν ἀναστήθηκε ἀκόμα μέχρι σήμερα, δὲν θὰ ὑπάρξει ἄρα ἀνάσταση σωμάτων.

Ἄραγε ἀντιληφθήκατε αὐτὸ ποὺ εἶπα, ἢ χρειάζεται νὰ τὸ πῶ καὶ δεύτερη φορά; «Ἀλήθεια, ἀλήθεια σοῦ λέγω, ἀπὸ σήμερα θὰ εἶσαι μαζί μου στὸν παράδεισο». Εἰσῆλθε λοιπόν, λέγει, στὸν παράδεισο ὁ ληστὴς ὄχι μὲ τὸ σῶμα του· διότι πῶς, τὴ στιγμὴ ποὺ δὲν τάφηκε τὸ σῶμα του, οὔτε διαλύθηκε, οὔτε ἔγινε σκόνη; καὶ πουθενὰ δὲν ἔχει λεχθεῖ, ὅτι ἀνέστησε αὐτὸν ὁ

εἴρηται, ὅτι ἀνέστησεν ὁ Χριστὸς αὐτόν. Εἰ δὲ εἰσήγαγε τὸν ληστήν, καὶ χωρὶς τοῦ σώματος ἀπήλαυσε τῶν ἀγαθῶν, εὔδηλον ὅτι σώματος οὐκ ἔστιν ἀνάστασις. Εἰ γὰρ ἦν σώματος ἀνάστασις, οὐκ ἂν εἶπε, «Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ», ἀλλ' 'ἐν τῷ καιρῷ τῆς συντελείας, ὅταν σωμάτων ἀνάστασις ᾖ'. Εἰ δὲ ἤδη εἰσήγαγε τὸν ληστήν, τὸ δὲ σῶμα αὐτοῦ φθαρὲν ἔμεινεν ἔξω, εὔδηλον ὅτι σωμάτων ἀνάστασις οὐκ ἔστι.

Ταῦτα ἐκεῖνοι· δέχεσθε δὲ λοιπὸν καὶ τὰ παρ' ἡμῶν, μᾶλλον δὲ οὐ τὰ παρ' ἡμῶν, ἀλλὰ τὰ παρὰ τῆς θείας Γραφῆς· οὐ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλὰ τὰ τοῦ ἁγίου Πνεύματος. Τί λέγεις; οὐ κοινωνεῖ τῶν στεφάνων ἡ σάρξ; Ἀλλ' ἐν μὲν τοῖς πόνοις ἐκοινώνησεν, ἐν δὲ τοῖς μισθοῖς ἀποστερεῖται; καὶ ὅτε μὲν ἀγωνίζεσθαι ἔδει, τὸ πλέον ἐδέξατο τῶν ἱδρώτων, ὅτε δὲ στεφάνων καιρός, μόνη ἡ ψυχὴ στεφανοῦται; Οὐκ ἀκούεις τοῦ Παύλου λέγοντος, ὅτι «Παραστῆναι ἡμᾶς δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται τὰ ἴδια τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν»; Οὐκ ἀκούεις αὐτοῦ λέγοντος πάλιν· «Δεῖ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν, καὶ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν»; Τὸ θνητόν, ποῖον; τὴν ψυχήν, ἢ τὸ σῶμα, Εὔδηλον ὅτι τὸ σῶμα· ἡ γὰρ ψυχὴ φύσει ἀθάνατος, θνητὸν δὲ φύσει τὸ σῶμα. Ἀλλὰ πολλὰ περικόπτουσι τούτων· πλὴν καὶ ἀπ' αὐτῶν τῶν ὑπολελειμμένων τὴν συγγένειαν τῶν περικοπέντων ἐλέγξομεν.

5. Εἰσῆλθεν εἰς τὸν παράδεισον ὁ ληστής, φησί. Καὶ τί τοῦτο; μὴ γὰρ αὐτά ἐστι τὰ ἀγαθά, ἅπερ ὁ Θεὸς ἡμῖν ἐπαγγέλλεται; Οὐκ ἀκούεις τοῦ Παύλου περὶ τὰ ἀγαθὰ ἐκεῖνα τί φησιν; «Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη»· τὸν δὲ παράδεισον καὶ ὀ-

28. Β' Κορ. 5, 10. 29. Α' Κορ. 15, 53. 30. Α' Κορ. 2, 9.

Χριστός. Ἂν δὲ εἰσήγαγε τὸ ληστὴ καὶ ἀπόλαυσε τὰ ἀγαθὰ χωρὶς τὸ σῶμα του, εἶναι ὁλοφάνερο ὅτι δὲν ὑπάρχει ἀνάσταση σώματος. Διότι ἂν ὑπῆρχε ἀνάσταση σώματος, δὲν θὰ ἔλεγε, «Ἀπὸ σήμερα θὰ εἶσαι μαζί μου στὸν παράδεισο», ἀλλά, 'κατὰ τὸ χρόνο τῆς συντέλειας, ὅταν θὰ ὑπάρξει ἀνάσταση σωμάτων'. Ἂν ὅμως ἤδη εἰσήγαγε τὸ ληστή, τὸ δὲ σῶμα αὐτοῦ, ἀφοῦ φθάρθηκε, ἔμεινε ἔξω, εἶναι ὁλοφάνερο ὅτι δὲν ὑπάρχει ἀνάσταση σωμάτων.

Αὐτὰ τὰ λέγουν ἐκεῖνοι· ἀλλὰ ἀκοῦστέ τώρα καὶ τὰ δική μας, μᾶλλον δὲ ὄχι τὰ δικά μας, ἀλλὰ τὰ ἀναφερόμενα ἀπὸ τὴ θεία Γραφή· διότι δὲν λέμε τὰ δικά μας, ἀλλ' ἐκεῖνα ποὺ λέγει τὸ ἅγιο Πνεῦμα. Τί λέγεις; δὲν συμμετέχει τὸ σῶμα στὰ στεφάνια; Ἀλλὰ στοὺς μὲν κόπους ἔλαβε μέρος, στερεῖται δὲ τὶς ἀμοιβές; καὶ ὅταν μὲν ἔπρεπε ν' ἀγωνίζεται, δέχθηκε τότε τὸ μεγαλύτερο μέρος τῶν ἱδρώτων, ὅταν δὲ θὰ εἶναι ὁ καιρὸς τῶν στεφάνων, στεφανώνεται μόνο ἡ ψυχή; Δὲν ἀκοῦς τὸν Παῦλο ποὺ λέγει, ὅτι «Πρέπει νὰ παρουσιασθοῦμε μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ, γιὰ νὰ λάβει ὁ καθένας, σύμφωνα μὲ ἐκεῖνα ποὺ ἔπραξε, αὐτὰ ποὺ ἀνήκουν στὸ σῶμα, εἴτε ἀγαθὸ εἶναι αὐτὰ εἴτε κακό»[28]· Δὲν ἀκοῦς αὐτὸν πάλι ποὺ λέγει, «Πρέπει αὐτὸ τὸ θνητὸ σῶμα νὰ ἐνδυθεῖ ἀθανασία, καὶ τὸ φθαρτὸ αὐτὸ σῶμα νὰ ἐνδυθεῖ ἀφθαρσία»[29]; Τὸ θνητό· ποιό; Ἡ ψυχὴ ἢ τὸ σῶμα; Εἶναι ὁλοφάνερο ὅτι εἶναι τὸ σῶμα· διότι ἡ ψυχὴ ἐκ φύσεως εἶναι ἀθάνατη, ἐνῶ τὸ σῶμα ἐκ φύσεως εἶναι θνητό. Ἀλλὰ πολλὰ ἀπ' αὐτὰ τὰ ἀπορρίπτουν· πλὴν ὅμως καὶ ἀπὸ αὐτὰ ποὺ ὑπολείπονται θὰ ἀποδείξουμε τὴ συγγένεια αὐτῶν πρὸς ἐκεῖνα ποὺ ἀπορρίπτουν.

5. Εἰσῆλθε, λέγει, ὁ ληστὴς στὸν παράδεισο. Καὶ τί σημασία ἔχει αὐτό. Μήπως δηλαδὴ αὐτὰ εἶναι τὰ ἀγαθά, αὐτὰ ποὺ μᾶς ὑπόσχεται ὁ Θεός; Δὲν ἀκοῦς τὸν Παῦλο τί λέγει γιὰ τὰ ἀγαθὰ ἐκεῖνα; «Τὰ ὁποῖα μάτι ἀνθρώπου δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ δὲν τὰ συνέλαβε ἀνθρώπινος νοῦς»[30]· ἀλλὰ τὸν παράδεισο καὶ τὸ μάτι τοῦ Ἀδὰμ τὸν εἶδε, καὶ τὸ αὐτὶ τὸν ἄκουσε

φθαλμὸς εἶδε τοῦ Ἀδάμ, καὶ οὖς ἤκουσε, καὶ καρδία ἀνθρώπου ἐδέξατο· περὶ γὰρ αὐτοῦ τοσαύτας ἡμέρας διαλεγόμεθα· πῶς οὖν ἀπέλαβε τὰ ἀγαθὰ ὁ λῃστής; Οὐ γὰρ εἰς παράδεισον ἐπαγγέλλεται εἰσαγαγεῖν ἡμᾶς ὁ Θεός, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν· οὐδὲ βασιλείαν παραδείσου, ἀλλὰ βασιλείαν οὐρανῶν ἐκήρυξεν. «Ἤρξατο» γάρ, φησί, «κηρύττειν καὶ λέγειν· μετανοεῖτε· ἤγγικε γάρ», οὐχ 'ἡ βασιλεία τοῦ παραδείσου', ἀλλ', «ἡ βασιλεία τῶν οὐρανῶν». Ἀπώλεσας μὲν γὰρ παράδεισον, ἔδωκε δέ σοι ὁ Θεὸς τὸν οὐρανόν, ἵνα καὶ τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται, καὶ τὸν διάβολον δάκῃ, δεικνὺς ὅτι κἂν μυρία τῷ τῶν ἀνθρώπων ἐπιβουλεύσῃ γένει, οὐδὲν ἔσται πλέον αὐτῷ, τοῦ Θεοῦ πρὸς μείζονα ἀεὶ τιμὴν ἡμᾶς ἀνάγοντος. Ἀπώλεσας τοίνυν παράδεισον, καὶ ἀνέῳξέ σοι ὁ Θεὸς τὸν οὐρανόν· κατεδικάσθης πόνῳ προσκαίρῳ, καὶ ἐτιμήθης ζωῇ αἰωνίῳ. Ἐκέλευσε τῇ γῇ ἀκάνθας καὶ τριβόλους ἀνενεγκεῖν, καὶ ἐβλάστησέ σοι καρπὸν Πνεύματος ἡ ψυχή.

Ὁρᾷς πῶς μείζων ἡ εὐπορία τῆς ζημίας; πῶς πλείων ὁ πλοῦτος; Οἷόν τι λέγω· ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον ἀπὸ γῆς καὶ ὕδατος, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ. Οὐκ ἐγένετο χρήσιμος ὁ πλασθείς, ἀλλὰ διεστράφη. Οὐκέτι λοιπὸν ἀπὸ γῆς καὶ ὕδατος αὐτὸν ἀναπλάττει, ἀλλ' ἐξ ὕδατος καὶ Πνεύματος· καὶ οὐκ ἔτι παράδεισον ἐπαγγέλλεται πρὸς αὐτόν, ἀλλὰ βασιλείαν οὐρανῶν. Καὶ ὅπως, ἄκουε. Νικοδήμου γὰρ τοῦ ἄρχοντος τῶν Ἰουδαίων καταπεσόντος καὶ τὴν ἐνταῦθα γέννησιν ἐπιζητοῦντος καὶ λέγοντος, ἀδύνατον εἶναι γέροντα γεννηθῆναι ἄνωθεν, ὅρα πῶς ὁ Χριστὸς σαφέστερον αὐτῷ ἀποκαλύπτει τῆς γεννήσεως τὸν τρόπον. «Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Εἰ τοίνυν βασιλείαν οὐρανῶν ἀπηγγείλατο, εἰς παράδεισον δὲ εἰσήγαγε τὸν λῃστήν, οὐδέπω ἀπέδωκεν αὐτῷ τὰ ἀγαθά.

καὶ νοῦς ἀνθρώπου τὰ συνέλαβε· διότι γι' αὐτὸ τόσες ἡμέρες σᾶς ὁμιλοῦμε· πῶς λοιπὸν ἀπόλαυσε ὁ ληστὴς τὰ ἀγαθά; Διότι ὁ Θεὸς δὲν ὑπόσχεται νὰ μᾶς ὁδηγήσει στὸν παράδεσο, ἀλλὰ στὸν οὐρανό· οὔτε βασιλεία παραδείσου μᾶς ὑπόσχεται, ἀλλὰ κήρυξε βασιλεία τῶν οὐρανῶν. Διότι, λέγει, «Ἄρχισε νὰ κηρύττει καὶ νὰ λέγει· μετανοεῖτε· διότι πλησίασε», ὄχι 'ἡ βασιλεία τοῦ παραδείσου', ἀλλ' «ἡ βασιλεία τῶν οὐρανῶν»[31]. Ἔχασες βέβαια τὸν παράδεισο, ἀλλὰ σοῦ ἔδωσε ὁ Θεὸς τὸν οὐρανό, ὥστε καὶ τὴ δική του φιλανθρωπία νὰ δείξει, καὶ τὸ διάβολο νὰ πληγώσει, καὶ νὰ δείξει ὅτι καὶ ἂν ἀκόμα ἀμέτρητα κακὰ προξενήσει στὸ γένος τῶν ἀνθρώπων, τίποτε ἐπὶ πλέον δὲν θὰ ἐπιτύχει αὐτός, ἀφοῦ ὁ Θεὸς μᾶς ἀνυψώνει πάντοτε πρὸς μεγαλύτερη τιμή. Ἔχασες λοιπὸν τὸν παράδεισο καὶ ὁ Θεὸς σοῦ ἄνοιξε τὸν οὐρανό· καταδικάσθηκες σὲ προσωρινὸ κόπο, καὶ τιμήθηκες μὲ αἰώνια ζωή. Ἔδωσε ἐντολὴ στὴ γῆ νὰ βγάλει ἀγκάθεια καὶ τριβόλια, καὶ βλάστησε σὲ σένα ἡ ψυχή σου καρπὸ Πνεύματος.

Βλέπεις πῶς εἶναι μεγαλύτερο τὸ κέρδος ἀπὸ τὴ ζημιά; πῶς εἶναι περισσότερος ὁ πλοῦτος; Ἐννοῶ περίπου τὸ ἑξῆς· ἔπλασε ὁ Θεὸς τὸν ἄνθρωπο ἀπὸ χῶμα καὶ νερό, καὶ τοποθέτησε αὐτὸν στὸν παράδεισο. Δὲν ἔγινε χρήσιμος αὐτὸς ποὺ πλάσθηκε, ἀλλὰ διαστράφηκε. Δὲν ἀναπλάσσει πλέον αὐτὸν ἀπὸ χῶμα καὶ νερό, ἀλλὰ ἀπὸ νερὸ καὶ Πνεῦμα· καὶ δὲν ὑπόσχεται πλέον παράδεισο σ' αὐτόν, ἀλλὰ βασιλεία τῶν οὐρανῶν. Καὶ πῶς, ἄκουε. Ὅταν δηλαδὴ ὁ Νικόδημος, ὁ ἄρχοντας τῶν Ἰουδαίων, κατέπεσε πνευματικὰ καὶ ἐπιζητοῦσε τὴν ἐδῶ γέννηση λέγοντας, ὅτι εἶναι ἀδύνατο ἕνας γέροντας νὰ γεννηθεῖ ξανά[32], πρόσεχε πῶς ὁ Χριστὸς φανερώνει σ' αὐτὸν σαφέστερα τὸν τρόπο τῆς γεννήσεως. «Ἐὰν κάποιος δὲν γεννηθεῖ ἀπὸ νερὸ καὶ Πνεῦμα, δὲν μπορεῖ νὰ εἰσέλθει στὴ βασιλεία τῶν οὐρανῶν»[33]. Ἂν λοιπὸν ὑποσχέθηκε βασιλεία τῶν οὐρανῶν, τὸν δὲ ληστὴ ὁδήγησε μέσα στὸν παράδεισο, ἄρα δὲν ἔδωσε ἀκόμα σ' αὐτὸν τὰ ἀγαθά.

---

31. Ματθ. 4, 17. 32. Ἰω. 3, 3-5. 33. Ἰω. 3, 5.

Ἀλλ' ἕτερόν τι πρὸς τοῦτο λέγουσι. Τὸν παράδεισον, φασίν, ἐνταῦθα, οὐ τὸν παράδεισον εἶπεν, ἀλλὰ τῷ τοῦ παραδείσου ὀνόματι τὴν βασιλείαν τῶν οὐρανῶν ὠνόμασεν. Ἐπειδὴ γὰρ πρὸς λῃστὴν διελέγετο, ἄνθρωπον οὐδὲν ἀκηκοότα τῶν ὑψηλῶν δογμάτων, οὐδὲ εἰδότα περὶ προφητείας, ἀλλὰ πάντα τὸν χρόνον ἐν ἐρημίαις διατρίψαντα, καὶ φόνους ἐργασάμενον, καὶ μηδὲ παρακύψαντά ποτε εἰς ἐκκλησίαν, μήτε μετασχόντα θείας ἀκροάσεως, μὴ εἰδότα τί ποτέ ἐστι βασιλεία τῶν οὐρανῶν, τοῦτο ἔλεγε· 'Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ»· τῷ γνωριμωτέρῳ καὶ συνηθεστέρῳ ὀνόματι τοῦ παραδείσου τὴν βασιλείαν τῶν οὐρανῶν δηλοῖ, καὶ περὶ ἐκείνης αὐτῷ διαλέγεται ὁ Χριστός. Δέχομαι. Οὐκοῦν, φησίν, εἰσῆλθε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Πόθεν δῆλον; Ἐξ ὧν εἶπε, «Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ». Εἰ δὲ βιαιοτέρα ἡ λύσις αὕτη, τὴν σαφεστέραν ἐπάξομεν.

Τί οὖν ἐστιν αὕτη; Εἶπεν ὁ Χριστός, «Ὁ μὴ πιστεύων εἰς τὸν Υἱόν, ἤδη κέκριται». Τί οὖν; ἤδη κέκριται; Καίτοι οὔπω ἀνάστασις, οὔπω κόλασις καὶ τιμωρία· πῶς οὖν ἤδη κέκριται; Ἀπὸ τῆς ἁμαρτίας. Καὶ πάλιν, «Ὁ πιστεύων εἰς τὸν Υἱόν», φησί, «μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν». Καὶ οὐκ εἶπε, 'μεταβήσεται', ἀλλ' ἤδη «Μεταβέβηκε»· καὶ οὗτος πάλιν ἀπὸ τοῦ κατορθώματος, κἀκεῖνος πάλιν ἀπὸ τοῦ ἁμαρτήματος. Ὥσπερ οὖν ἐκεῖνος κέκριται, μηδέπω κρινόμενος, κἀκεῖνος μεταβέβηκεν εἰς τὴν ζωήν, μηδέπω μεταβάς, καὶ πρὸς ἐκεῖνον ἀπὸ τοῦ κατορθώματος, καὶ πρὸς τοῦτον ἀπὸ τοῦ ἁμαρτήματος, ὡς γεγενημένων δὴ πραγμάτων οὔπω γεγενημένων διαλέγεται· οὕτω καὶ πρὸς τὸν λῃστὴν ἔλεγε. Καὶ γὰρ οἱ ἰατροί, ἐπειδὰν ἴδωσί τινα ἀπεγνωσμένον, λέγουσιν, ὅτι ἤδη τέθνηκε καὶ νεκρός ἐστι, καίτοι γε ἔτι ἐμπνέοντα βλέποντες. Ἀλλ' ὥσπερ ἐκεῖνος, ἐπει-

Ἀλλὰ καὶ κάτι ἄλλο λέγουν μαζὶ μ' αὐτό. Τὸν παράδεισο, λέγουν, ποὺ ἀνέφερε ἐδῶ, δὲν ἐννοοῦσε τὸν παράδεισο, ἀλλὰ μὲ τὸ ὄνομα τοῦ παραδείσου ὀνόμασε τὴ βασιλεία τῶν οὐρανῶν. Διότι, ἐπειδὴ συνομιλοῦσε μὲ ληστή, μὲ ἄνθρωπο δηλαδὴ ποὺ δὲν εἶχε ἀκούσει τίποτε ἀπὸ τὶς ὑψηλὲς ἀλήθειες, οὔτε γνώριζε γιὰ προφητεῖες, ἀλλὰ πέρασε ὅλη τὴ ζωή του στὶς ἐρημιές, καὶ φόνους διέπραξε, καὶ οὔτε γνώριζε τί τέλος πάντων εἶναι ἡ βασιλεία τῶν οὐρανῶν, ἔλεγε αὐτό· «Ἀπὸ σήμερα θὰ εἶσαι μαζί μου μέσα στὸν παράδεισο»[34]· δηλώνει δηλαδὴ τὴ βασιλεία τῶν οὐρανῶν μὲ τὸ πιὸ γνωστό καὶ τὸ πιὸ συνηθισμένο ὄνομα τοῦ παραδείσου, καὶ ὁμιλεῖ ὁ Χριστὸς σ' αὐτὸν καὶ γιὰ ἐκείνη. Δέχομαι. Λοιπόν, λέγει, εἰσῆλθε στὴ βασιλεία τῶν οὐρανῶν. Ἀπὸ ποῦ εἶναι φανερό; Ἀπὸ αὐτὰ ποὺ εἶπε, «Ἀπὸ σήμερα θὰ εἶσαι μαζί μου μέσα στὸν παράδεισο». Ἂν ὅμως ἡ λύση αὐτὴ γίνεται δύσκολα ἀποδεκτή, θὰ προσθέσουμε τὴν πιὸ σαφή.

Ποιὰ λοιπὸν εἶναι αὐτή; Εἶπε ὁ Χριστός, «Ἐκεῖνος ποὺ δὲν πιστεύει στὸν Υἱό, ἤδη ἔχει κατακριθεῖ»[35]. Τί λοιπόν; ἤδη ἔχει κατακριθεῖ; Ἂν καὶ βέβαια δὲν ἔγινε ἀκόμα ἀνάσταση, οὔτε κόλαση οὔτε τιμωρία ἐπιβλήθηκε· πῶς λοιπὸν ἤδη ἔχει κατακριθεῖ; Ἀπὸ τὴν ἁμαρτία. Καὶ πάλι· «Ἐκεῖνος ποὺ πιστεύει στὸν Υἱό», λέγει, «ἔχει μεταβεῖ ἀπὸ τὸ θάνατο στὴ ζωή»[36]. Καὶ δὲν εἶπε, 'θὰ μεταβεῖ', ἀλλ', ἤδη «ἔχει μεταβεῖ»· καὶ αὐτὸς πάλι ἀπὸ τὸ κατόρθωμά του, καὶ ἐκεῖνος πάλι ἀπὸ τὸ ἁμάρτημά του. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖνος ἔχει κατακριθεῖ, χωρὶς ἀκόμα νὰ κρίθηκε, καὶ ἐκεῖνος ἔχει μεταβεῖ στὴ ζωή, χωρὶς ἀκόμη νὰ μετέβηκε ἐκεῖ, καὶ ὁμιλεῖ καὶ πρὸς ἐκεῖνον ἀπὸ τὸ κατόρθωμά του καὶ πρὸς αὐτὸν ἀπὸ τὸ ἁμάρτημά του, σὰν πράγματα ποὺ ἤδη λοιπὸν ἔχουν γίνει, χωρὶς ὅμως νὰ ἔχουν γίνει ἀκόμα· ἔτσι καὶ πρὸς τὸ ληστὴ ἔλεγε. Διότι καὶ οἱ ἰατροί, ὅταν δοῦν κάποιον ἀπελπισμένο, λέγουν, ὅτι ἤδη ἔχει πεθάνει καὶ ὅτι εἶναι νεκρός, ἂν καὶ βέβαια ἀκόμα τὸν βλέπουν νὰ ἀναπνέει. Ἀλλ' ὅπως ἀκριβῶς ἐκεῖνος, ἐπειδὴ δὲν ἔχει ἐλπίδα σωτηρίας,

34. Λουκᾶ 23, 43. 35. Ἰω. 3, 18. 36. Ἰω. 5, 24.

δὴ ἐλπίδα σωτηρίας οὐκ ἔχει, τέθνηκε παρὰ τοῖς ἰατροῖς, οὕτω καὶ ὁ λῃστής, ἐπειδὴ προσδοκίαν οὐκέτι εἶχεν ὑποστροφῆς εἰς ἀπώλειαν, εἰσελήλυθεν εἰς τὸν οὐρανόν.

Οὕτω καὶ ὁ Ἀδὰμ ἤκουσεν, «Ἧ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε». Τί οὖν; αὐτῇ τῇ ἡμέρᾳ ἀπέθανεν; Οὐδαμῶς· ἀλλ' ἔζησεν ἔτη ἐννεακόσια καὶ ἐπέκεινα μετὰ τὴν ἡμέραν ἐκείνην. Πῶς οὖν ἔλεγεν ὁ Θεός, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ἀποθανεῖσθε; Τῇ ἀποφάσει, οὐ τῇ πείρᾳ. Οὕτω καὶ ὁ λῃστὴς εἰσῆλθεν εἰς τὸν οὐρανόν. Ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος, δηλῶν ὅτι οὐδεὶς οὐδέπω τῶν ἀγαθῶν ἀπέλαβε τὴν ἀντίδοσιν· περὶ γὰρ τῶν προφητῶν καὶ τῶν δικαίων διαλεγόμενος ἐπήγαγε· «Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν εἰδότες αὐτὰς καὶ ἀσπασάμενοι, τοῦ Θεοῦ κρεῖσσόν τι περὶ ἡμῶν προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

Ταῦτα κατέχετε, καὶ μέμνησθε, καὶ τοὺς οὐκ ἀκηκοότας διδάσκετε· ταῦτα καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ μελετάτω ἕκαστος. Οὐδὲν γὰρ ἥδυτερον ἀκροάσεως θείας. Ἄκουσον γοῦν τί φησι περὶ ταύτης ὁ προφήτης· «Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου». Τοῦτο τοίνυν παρατίθει τὸ κηρίον ἐπὶ τῆς τραπέζης τῆς ἑσπερινῆς, ὥστε πᾶσαν αὐτὴν ἡδονῆς πληρῶσαι πνευματικῆς. Οὐχ ὁρᾶτε τοὺς εὐπόρους τῶν ἀνθρώπων, πῶς μετὰ τὰ σιτία κιθαρῳδοὺς καὶ αὐλητὰς ἐπεισάγουσι; Θέατρον ἐκεῖνοι ποιοῦσι τὴν ἑαυτῶν οἰκίαν, σὺ ποίησον τὴν οἰκίαν τὴν σὴν οὐρανόν· ποιήσεις δέ, οὐχὶ τοὺς τοίχους ἀμείβων, οὐδὲ μεταλλάττων τὰ θεμέλια, ἀλλ' αὐτὸν τὸν τῶν οὐρανῶν Δεσπότην ἐπὶ τὴν τράπεζαν καλῶν τὴν σήν.

Οὐκ ἐπαισχύνεται τὰ τοιαῦτα δεῖπνα ὁ Θεός. Ἔνθα γὰρ διδασκαλία πνευματική, ἐκεῖ καὶ σωφροσύνη, καὶ σεμνό-

37. Γέν. 2, 17. 38. Ἑβρ. 11, 13· 40. 39. Ψαλμ. 118, 103.

ἔχει πεθάνει γιὰ τοὺς ἰατρούς, ἔτσι καὶ ὁ ληστής, ἐπειδὴ δὲν ὑπῆρχε πλέον περίπτωση ἐπιστροφῆς στὴν ἀπώλεια, ἔχει εἰσέλθει στὸν οὐρανό.

Κατὰ τὸν ἴδιο τρόπο ἄκουσε καὶ ὁ Ἀδάμ, «Τὴν ἡμέρα κατὰ τὴν ὁποία θὰ φᾶτε ἀπὸ τὸν καρπὸ τοῦ δένδρου, θὰ τιμωρηθεῖτε μὲ θάνατο»[37]. Τί λοιπόν; τὴν ἴδια ἡμέρα πέθαναν; Ἀσφαλῶς ὄχι, ἀλλ' ἔζησαν ἐνιακόσια καὶ πλέον ἔτη μετὰ ἀπὸ τὴν ἡμέρα ἐκείνη. Πῶς λοιπὸν ἔλεγε ὁ Θεός, ὅτι τὴν ἴδια ἡμέρα θὰ πεθάνετε; Ὡς πρὸς τὴν ἀπόφαση, ὄχι στὴν πραγματικότητα. Ἔτσι καὶ ὁ ληστὴς εἰσῆλθε στὸν οὐρανό. Ἄκουσε λοιπὸν τί λέγει ὁ Παῦλος, γιὰ νὰ δείξει ὅτι κανένας ἀκόμα δὲν ἀπόλαυσε τὴν ἀνταπόδοση τῶν ἀγαθῶν· διότι, μιλώντας γιὰ τοὺς προφῆτες καὶ τοὺς δικαίους, πρόσθεσε· «Ὅλοι αὐτοὶ πέθαναν μὲ τὴν πίστη, χωρὶς νὰ λάβουν τὶς ὑποσχέσεις, ἀλλὰ τὶς εἶδαν ἀπὸ πολὺ μακριὰ καὶ τὶς ἀποδέχθηκαν, διότι ὁ Θεὸς πρόβλεψε γιὰ ἐμᾶς κάτι τὸ καλύτερο, γιὰ νὰ μὴ λάβουν αὐτοὶ τὴν τελείωση χωρὶς ἐμᾶς»[38].

Νὰ τὰ φυλάσσετε αὐτὰ καὶ νὰ τὰ θυμᾶσθε καὶ νὰ τὰ διδάσκετε σ' ἐκείνους ποὺ δὲν τὰ ἄκουσαν· αὐτὰ νὰ τὰ μελετᾶ ὁ καθένας καὶ στὴν ἐκκλησία καὶ στὴν ἀγορὰ καὶ στὴν οἰκία. Διότι δὲν ὑπάρχει γλυκύτερο ἀπὸ τὴ θεία ἀκρόαση. Ἄκουσε λοιπὸν τί λέγει γι' αὐτὴν ὁ προφήτης· «Πόσο γλυκὰ εἶναι τὰ λόγια σου στὸ λάρυγγά μου· εἶναι πολὺ πιὸ γλυκὰ ἀπὸ τὸ μέλι στὸ στόμα μου»[39]. Αὐτὸ τὸ κερὶ λοιπὸν νὰ τοποθετεῖς ἐπάνω στὴν ἑσπερινὴ τράπεζα, ὥστε ὁλόκληρη νὰ τὴ γεμίσεις ἀπὸ πνευματικὴ ἡδονή. Δὲν βλέπετε τοὺς πλούσιους ἀπὸ τοὺς ἀνθρώπους, πῶς μετὰ τὰ φαγητὰ προσκαλοῦν κιθαρωδοὺς καὶ αὐλητές; Ἐκεῖνοι κάμνουν τὴν οἰκία τους θέατρο, σὺ κάνε τὴν οἰκία σου οὐρανό· θὰ τὴν κάνεις δὲ ὄχι ἀντικαθιστώντας τοὺς τοίχους της, οὔτε ἀλλάσσοντας τὰ θεμέλιά της, ἀλλὰ καλώντας στὴν τράπεζά σου τὸν ἴδιο τὸν Κύριο τῶν οὐρανῶν.

Δὲν τὰ ντρέπεται αὐτὰ τὰ δεῖπνα ὁ Θεός. Διότι ὅπου ὑπάρχει διδασκαλία πνευματική, ἐκεῖ ὑπάρχει καὶ σωφροσύνη καὶ

της, καὶ ἐπιείκεια· ἔνθα ἀνὴρ καὶ γυνὴ καὶ παιδία, καὶ ὁμόνοια καὶ φιλία, καὶ τοῖς ἀρετῆς συνδεδεμένοι δεσμοῖς, ἐκεῖ μέσος ὁ Χριστός. Οὐ γὰρ χρυσοῦν ὄροφον ζητεῖ, οὐδὲ ἀστραπὰς κιόνων, οὐδὲ κάλλη μαρμάρων, ἀλλὰ ψυχῆς ὥραν, καὶ διανοίας εὐμορφίαν, καὶ τράπεζαν δικαιοσύνης γέμουσαν καὶ ἐλεημοσύνης καρποὺς ἔχουσαν. Κἂν ἴδῃ τοιαύτην τράπεζαν, ταχέως κοινωνεῖ τοῦ συλλόγου, καὶ παραγίνεται. Καὶ γὰρ αὐτός ἐστιν ὁ εἰρηκώς· «Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε». Ὅταν οὖν ἀκούσῃς πένητος κάτωθεν μεγάλα βοῶντος, εἶτα ἀπὸ τῆς τραπέζης τῶν προκειμένων δῷς τι τῷ δεομένῳ, τὸν Δεσπότην ἐκάλεσας διὰ τοῦ δούλου πρὸς τὴν τράπεζαν τὴν σήν, πᾶσαν αὐτὴν εὐλογιῶν ἐνέπλησας, καὶ διὰ τῆς ἀπαρχῆς ἀφορμὴν μεγίστην τοῦ πληθύνεσθαί σοι τὰ ταμεῖα ἀγαθῶν πολλῶν παρεσκεύασας.

Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ διδοὺς ἄρτον εἰς βρῶσιν, καὶ σπέρμα τῷ σπείροντι, πληθύνοι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσειε τὰ γεννήματα τῆς δικαιοσύνης ἐν πᾶσιν ὑμῖν, τὴν παρ' αὐτοῦ χάριν διδούς, καὶ καταξιώσειε τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ δόξα τῷ Πατρί, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

40. Ματθ. 25, 35.

σεμνότητα καὶ ἐπιείκεια· ὅπου βρίσκονται ἄνδρας, γυναίκα καὶ παιδιά, καθὼς καὶ ὁμόνοια καὶ ἀγάπη καὶ εἶναι συνδεδεμένοι μὲ τοὺς δεσμοὺς τῆς ἀρετῆς, ἐκεῖ ἀνάμεσά τους βρίσκεται ὁ Χριστός. Διότι δὲν ζητᾶ χρυσὴ στέγη, οὔτε ἀστραφτερὲς κολῶνες, οὔτε λαμπρὰ μάρμαρα, ἀλλὰ ὡραιότητα ψυχῆς, ὀμορφιὰ ψυχῆς καὶ τράπεζα γεμάτη ἀπὸ δικαιοσύνη καὶ πλήρη ἀπὸ καρποὺς ἐλεημοσύνης. Καὶ ἂν δεῖ τέτοια τράπεζα ἀμέσως παρουσιάζεται ἐκεῖ καὶ παίρνει μέρος στὴ συγκέντρωση. Καθόσον αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἔχει πεῖ· «Μὲ εἴδατε πεινασμένο καὶ μοῦ δώσατε τροφή»[40]. Ὅταν λοιπὸν ἀκούσης κάτω ἀπὸ τὸ σπίτι σου νὰ φωνάζει δυνατὰ κάποιος φτωχός, καὶ δώσεις ἀπὸ τὰ βρισκόμενα στὴν τράπεζα κάτι σ' αὐτὸν ποὺ ἔχει ἀνάγκη, τὸν Κύριο κάλεσες στὴν τράπεζά σου μέσω τοῦ δούλου, γέμισες αὐτὴν ἀπὸ κάθε εὐλογία καὶ ἡ προσφορά σου αὐτὴ ἔγινε πάρα πολὺ μεγάλη ἀφορμὴ νὰ αὐξηθοῦν τὰ ἀγαθὰ στὶς ἀποθῆκες σου.

Ἀλλ' ὁ Θεὸς τῆς εἰρήνης, ποὺ δίνει τὸν ἄρτο γιὰ βρώση καὶ τὸ σπόρο στὸ γεωργό, ἂς πληθύνει τὸ σπόρο σας καὶ ἂς αὐξήσει τὰ γεννήματα τῆς δικαιοσύνης σ' ὅλους σας, δίνοντάς σας τὴ χάρη του, καὶ νὰ σᾶς καταξιώσει τὴ βασιλεία τῶν οὐρανῶν, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Η'.

Εἰς τὴν ἡμέραν χειμέριον οὖσαν, καὶ εἰς τὴν σύνοδον τῶν ἐπισκόπων, καὶ εἰς τὴν δόσιν τῆς ἐντολῆς πρὸς τὸν Ἀδάμ, καὶ ὅτι πολλῆς κηδεμονίας τὸν νόμον λαβεῖν.

1. Ἡ μὲν τῶ νεφῶν συνδρομὴ τὴν ἡμέραν ἡμῖν κατηφεστέραν ἐποίησεν, ἡ δὲ παρουσία τοῦ διδασκάλου φαιδροτέραν αὐτὴν εἰργάσατο. Οὐ γὰρ οὕτως ἥλιος ἐκ μέσης τῶν οὐρανῶν τῆς κορυφῆς τὰς ἀκτῖνας ἀφιείς, καταλάμπει τὰ σώματα, ὡς ὄψις πατρικῆς φιλοστοργίας ἀκτῖνας ἀφιεῖσα ἐκ μέσου τοῦ θρόνου, καταυγάζει τὰς ἡμετέρας ψυχάς. Ὅπερ οὖν καὶ αὐτὸς συνιδών, οὐχὶ μόνος ἡμῖν παραγέγονεν, ἀλλὰ καὶ φωστήρων χορὸν ἔχων ἦλθε μεθ' ἑαυτοῦ, ὥστε πλέον γενέσθαι τὸ φῶς. Διὸ καὶ ἡ ἐκκλησία ἡμῖν ἀγάλλεται, καὶ σκιρτᾷ τὰ ποίμνια, καὶ ἡμεῖς μετὰ πλείονος προθυμίας τῶν λόγων ἁπτόμεθα. Ὅπου γὰρ συνδρομὴ ποιμένων, ἐκεῖ καὶ προβάτων ἀσφάλεια. Οὕτω καὶ ναῦται χαίρουσι, κυβερνητῶν αὐτοῖς παρόντων πολλῶν· καὶ γὰρ γαλήνης οὔσης καὶ νηνεμίας, τὸν τῆς κωπηλασίας πόνον αὐτοῖς ἐπικουφίζουσι διὰ τῶν οἰάκων, καὶ τῆς θαλάσσης στασιαζούσης, τῇ τέχνῃ καὶ τῇ πολυχειρίᾳ τὴν τῶν ὑδάτων καταστέλλουσι μάχην. Διὰ τοῦτο καὶ ἡμεῖς θαρροῦντες, τὸν λόγον εἰς διδασκαλίαν προτείνομεν, ταῖς εὐχαῖς αὐτῶν τὸ πᾶν ἐπιρρίψαντες. Ὥστε δὲ εὐμαθεστέραν καὶ σαφεστέραν ὑμῖν γενέσθαι τὴν ἀκρόασιν, καὶ τῶν χθὲς ὑμῖν εἰρημένων ἀναμνήσωμεν ἐν βραχεῖ.

Εἶπον ὅτι πρὸ τῆς τοῦ ξύλου βρώσεως ᾔδει τὸ καλὸν καὶ τὸ πονηρὸν ὁ ἄνθρωπος, καὶ ὅτι οὐ μετὰ τὴν γεῦσιν ταύτην ἔλαβε τὴν γνῶσιν. Εἶπον τίνος ἕνεκεν ξύλον γνωστὸν

ΛΟΓΟΣ Η΄.

Στὴ χειμερινὴ ἡμέρα, στὴ Σύνοδο τῶν Ἐπισκόπων, στὴ δόση τῆς ἐντολῆς πρὸς τὸν Ἀδάμ, καὶ ὅτι ἡ λήψη τοῦ νομοῦ ἦταν δεῖγμα μεγάλης φροντίδας.

1. Ἡ μὲν συσσώρευση τῶν σύννεφων ἔκαμε τὴν ἡμέρα μας πιὸ σκυθρωπή, ἡ παρουσία ὅμως τοῦ δασκάλου ἔκαμε αὐτὴν πιὸ χαρούμενη. Διότι δὲν φωτίζει τὰ σώματα τόσο πολὺ ὁ ἥλιος ποὺ στέλλει τὶς ἀκτίνες του ἀπὸ τὴν κορυφὴ τῶν οὐρανῶν, ὅσο καταλάμπει τὶς ψυχές μας ἡ ὄψη τῆς πατρικῆς φιλοστοργίας ποὺ ρίχνει τὶς ἀκτίνες της ἀπὸ τὸ μέσο τοῦ θρόνου. Αὐτὸ ἀκριβῶς λοιπὸν γνωρίζοντας καὶ αὐτός, δὲν ἦρθε κοντά μας μόνος του, ἀλλ' ἦλθε ἔχοντας μαζί του καὶ χορὸ φωστήρων, ὥστε νὰ γίνει περισσότερο τὸ φῶς. Γι' αὐτὸ καὶ ἡ ἐκκλησία μας εἶναι πλημμυρισμένη ἀπὸ ἀγαλλίαση καὶ σκιρτοῦν ἀπὸ χαρὰ τὰ ποίμνια καὶ ἐμεῖς ἀρχίζομε τὸ λόγο μὲ μεγαλύτερη προθυμία. Διότι ὅπου ὑπάρχει συγκέντρωση ποιμένων, ἐκεῖ ὑπάρχει καὶ ἀσφάλεια τῶν προβάτων. Κατὰ τὸν ἴδιο τρόπο χαίρονται καὶ οἱ ναῦτες, ὅταν βρίσκονται κοντά τους πολλοὶ κυβερνῆτες· καθόσον ὅταν ὑπάρχει γαλήνη καὶ ἡσυχία, ἀνακουφίζουν τοὺς κόπους τῆς κοπηλασίας τους μὲ τὰ πηδάλια, ἐνῶ ὅταν ὑπάρχει θαλασσοταραχὴ μὲ τὴν τέχνη καὶ τὸ πλῆθος τῶν χεριῶν καταστέλλουν τὴ μάχη τῶν ὑδάτων. Γι' αὐτὸ καὶ μεῖς μὲ θάρρος ἀρχίζουμε τὴ διδασκαλία, ἀφοῦ ἀναθέσαμε τὸ πᾶν στὶς εὐχὲς αὐτῶν. Ἀλλὰ γιὰ νὰ σᾶς γίνει περισσότερο κατανοητὴ καὶ σαφέστερη ἡ ἀκρόαση, θὰ σᾶς ὑπενθυμίσω μὲ συντομία τὰ ὅσα λέχθηκαν χθὲς σὲ σᾶς.

Σᾶς εἶπα ὅτι πρὶν ἀπὸ τὴ βρώση τοῦ καρποῦ τοῦ δένδρου ὁ ἄνθρωπος γνώριζε τὸ καλὸ καὶ τὸ κακὸ καὶ ὅτι δὲν ἔλαβε αὐτὴ τὴ γνώση μετὰ τὴ γεύση τοῦ καρποῦ. Σᾶς εἶπα γιὰ ποιὸ λόγο

καλοῦ καὶ πονηροῦ ἐλέγετο, καὶ πῶς ἔθος τῇ Γραφῇ, ἐπειδάν τι πρᾶγμα συμβῇ περὶ τόπον ἢ καιρόν, ἀπὸ τοῦ πράγματος ὀνομάζειν καὶ τὸν τόπον καὶ τὸν καιρόν. Σήμερον ἀναγκαῖον αὐτὴν ἀναγνῶναι τὴν ἐντολήν, δι' ἧς ἐκώλυσε τοῦ ξύλου τὴν βρῶσιν. Τίς οὖν ἐστιν αὕτη; «Καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδάμ, λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ». Θεῖος ὁ νόμος, ἀλλὰ προσέχωμεν. Εἰ γὰρ βασιλικὰ ἀναγινώσκοντες γράμματα ἄνθρωποι, ὁλόκληρον ἀνιστῶσι θέατρον, πολλῷ μᾶλλον ἡμᾶς οὐκ ἀνθρώπων, ἀλλὰ Θεοῦ νόμους ἀναγινώσκειν μέλλοντας διανίστασθαι χρὴ τῇ διανοίᾳ, καὶ προσέχειν τοῖς λεγομένοις.

Οἶδα ὅτι κατηγοροῦσί τινες τοῦ νομοθέτου, καὶ τὸν νόμον αἴτιον εἶναί φασι τοῦ παραπτώματος. Πρὸς τοῦτο οὖν ἀνάγκη στῆναι πρότερον, καὶ δεῖξαι διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι οὐχὶ μισῶν τὸν ἄνθρωπον, οὐδὲ ὑβρίσαι βουλόμενος τὴν φύσιν τὴν ἡμετέραν, ἀλλὰ φιλῶν καὶ κηδόμενος, τὸν νόμον ἔδωκεν. Ὅτι γὰρ εἰς συμμαχίαν ἡμῖν αὐτὸν ἔδωκεν, ἄκουσον τί φησιν Ἡσαΐας· «Νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν». Ὁ δὲ μισῶν, οὐ βοηθεῖ. Πάλιν ὁ προφήτης βοᾷ· «Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου». Ὁ δὲ μισῶν, οὐ λύει τὸ σκότος διὰ τοῦ λύχνου, οὐδὲ ὁδηγεῖ μετὰ φωτὸς τὸ πεπλανημένον. Πάλιν ὁ Σολομών· «Λύχνος ἐντολὴ νόμου, καὶ φῶς, καὶ ζωή, καὶ ἔλεγχος, καὶ παιδεία». Ἰδοὺ οὐχὶ βοήθεια μόνον, οὐδὲ λύχνος μόνον, ἀλλὰ καὶ φῶς καὶ ζωή· ταῦτα δὲ οὐκ ἔστι μισοῦντος, οὐδὲ ἀπολέσαι βουλομένου, ἀλλὰ χεῖρα ὀρέγοντος καὶ διανιστῶντος. Διὰ τοῦτο καὶ ὁ Παῦλος πρὸς τὸν Ἰουδαῖον ἀποτεινόμενος, καὶ δεικνὺς ὅσον εἰσήνεγκε κέρδος ὁ νόμος, καὶ ὅτι ἀνάπαυσις, οὐ βάρησις τῆς φύσεως ἡμῶν ἐστιν, ἔλεγεν· «Ἴδε σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ».

1. Γέν. 2, 16.
2. Ἡσ. 8, 20.
3. Ψαλμ. 118, 105.
4. Παροιμ. 6, 23.
5. Παροιμ. 2, 17.

λεγόταν δένδρο τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ καὶ πῶς συνηθίζει ἡ Γραφή, ὅταν συμβεῖ κάποιο γεγονὸς σ' ἕνα τόπο ἢ σὲ κάποιο χρόνο, νὰ ὀνομάζει ἀπὸ τὸ συμβὰν καὶ τὸν τόπο καὶ τὸ χρόνο. Σήμερα εἶναι ἀνάγκη νὰ ἀναγνώσουμε τὴν ἐντολὴ ἐκείνη μὲ τὴν ὁποία ἀπαγόρευσε τὴ βρώση τοῦ καρποῦ τοῦ δένδρου. Ποιὰ λοιπὸν εἶναι αὐτή; «Καὶ ἔδωσε ὁ Κύριος ὁ Θεὸς ἐντολὴ στὸν 'Αδάμ, λέγοντας· ἀπὸ τὸν καρπὸ ὁποιουδήποτε δένδρου ποὺ βρίσκεται μέσα στὸν παράδεισο μπορεῖς νὰ φᾶς»[1]. Θεῖος ὁ νόμος, ἀλλὰ ἂς προσέχουμε. Διότι, ἐάν, διαβάζοντας οἱ ἄνθρωποι βασιλικὰ γράμματα, σηκώνουν ὄρθιο ὅλο τὸ ἀκροατήριο, πολὺ περισσότερο ἐμεῖς, ποὺ πρόκειται ν' ἀναγνώσουμε ὄχι ἀνθρώπων, ἀλλὰ νόμους Θεοῦ, πρέπει νὰ ἐγείρουμε τὴ σκέψη μας καὶ νὰ προσέχουμε τὰ λεγόμενα.

Γνωρίζω ὅτι μερικοὶ κατηγοροῦν τὸ νομοθέτη καὶ λέγουν ὅτι ὁ νόμος εἶναι αἴτιος τοῦ ἁμαρτήματος. 'Ανάγκη λοιπὸν νὰ σταθοῦμε σ' αὐτὸ πρῶτα καὶ νὰ δείξουμε μὲ τὰ ἴδια τὰ πράγματα, ὅτι ἔδωσε ὁ νομοθέτης τὸ νόμο ὄχι ἐπειδὴ μισοῦσε τὸν ἄνθρωπο, οὔτε ἐπειδὴ ἤθελε νὰ προσβάλει τὴ φύση μας, ἀλλὰ ἀπὸ ἀγάπη καὶ ἐνδιαφέρον. Διότι, τὸ ὅτι ἔδωσε αὐτὸν πρὸς βοήθειά μας, ἄκουσε τί λέγει ὁ προφήτης 'Ησαΐας· «Διότι τὸ νόμο τὸν ἔδωσε γιὰ βοήθειά μας»[2]. 'Εκεῖνος ὅμως ποὺ μισεῖ δὲν βοηθεῖ. Πάλι ὁ προφήτης βροντοφωνάζει· «'Ο νόμος σου εἶναι λύχνος ποὺ φωτίζει νὰ βαδίζουν ὀρθὰ τὰ πόδια μου καὶ φῶς στὸ δρόμο μου»[3]. 'Εκεῖνος ὅμως ποὺ μισεῖ δὲν διαλύει τὸ σκοτάδι μὲ τὸ λύχνο, οὔτε ὁδηγεῖ μὲ τὸ φῶς ἐκεῖνον ποὺ ἔχει πλανηθεῖ. Πάλι ὁ Σολομὼν λέγει· «Λύχνος εἶναι ἡ ἐντολὴ τοῦ νόμου καὶ φῶς καὶ ζωὴ καὶ ἔλεγχος καὶ παιδαγωγία»[4]. Νὰ ποὺ ὁ νόμος εἶναι ὄχι μόνο βοήθεια, οὔτε μόνο λύχνος, ἀλλὰ καὶ φῶς καὶ ζωή· αὐτὰ δὲ δὲν προέρχονται ἀπὸ κάποιον ποὺ μισεῖ, οὔτε ποὺ θέλει νὰ καταστρέψει, ἀλλὰ ποὺ ἁπλώνει χέρι βοήθειας καὶ ἀνορθώνει. Γι' αὐτὸ καὶ ὁ Παῦλος, ἀπευθυνόμενος πρὸς τὸν 'Ιουδαῖο καὶ γιὰ νὰ δείξει πόση ὠφέλεια πρόσφερε ὁ νόμος, καὶ ὅτι αὐτὸς εἶναι στήριγμα καὶ ὄχι βάρος τῆς φύσεώς μας, ἔλεγε· «Νὰ σὺ φέρεις τὸ ὄνομα τοῦ 'Ιουδαίου καὶ στηρίζεσαι στὸ νόμο»[5].

Ὁρᾷς ὅτι οὐχὶ βαρῶν ἡμῶν τὴν φύσιν, ἀλλ' ἀναπαύων, τὸ νόμον ἔδωκεν ὁ Θεός; Βούλει μαθεῖν ὅτι καὶ τιμῶν; Μάλιστα μὲν οὖν καὶ ταῦτα ἱκανὰ δεῖξαι τὴν τιμὴν καὶ τὴν κηδεμονίαν, πλὴν καὶ ἀφ' ἑτέρων μαρτυριῶν αὐτὸ τοῦτο ποιήσομαι φανερόν. «Ἐπαίνει», φησίν, «Ἱερουσαλήμ, τὸν Κύριον· αἴνει τὸν Θεόν σου, Σιών· ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί· ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε». Εἶτα εἰπὼν καὶ τὴν διὰ τῆς ἄλλης κτίσεως εὐεργεσίαν παρὰ τοῦ Θεοῦ χορηγουμένην, ἐπήγαγε τὴν ἐξαίρετον καὶ μείζονα, οὑτωσὶ λέγων· «Ὁ ἀποστέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς».

Ὅρα πόσα κατέλεξεν ἀγαθά. Ἀσφάλειαν πόλεως· «Ἐνίσχυσε» γάρ, φησί, «τοὺς μοχλοὺς τῶν πυλῶν σου»· ἀπαλλαγὴν πολέμων· «Ὁ τιθεὶς» γάρ, φησί, «τὰ ὅριά σου εἰρήνην»· ἀφθονίαν τῶν ἀναγκαίων· «Καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε». Ἀλλ' ὅμως πάντων τούτων τὴν τοῦ νόμου δόσιν τιμιωτέραν ἀπέφηνεν. Ὅτι γὰρ καὶ ἀσφαλείας, καὶ εἰρήνης, καὶ ἀπαλλαγῆς πολέμων, καὶ εὐπαιδίας, καὶ πολυπαιδίας, καὶ τῆς τῶν ἀναγκαίων ἀφθονίας πολλῷ μεῖζον δῶρόν ἐστι τὸ νόμον λαβεῖν, καὶ τὰ δικαιώματα τοῦ Θεοῦ μαθεῖν, πάντων ὕστερον αὐτὸ θεὶς ὡς κεφάλαιον καὶ σύνδεσμον τῶν ἀγαθῶν, ἐπήγαγε λέγων· «Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει». Οὕτω, πῶς; Καὶ μὴν καὶ ἀφθονίας, καὶ τῶν ἄλλων τῶν ἀπηριθμημένων πολλοὶ πολλάκις ἀπήλαυσαν. Ἀλλ' οὐ περὶ τῶν προειρημένων λέγω, φησίν, ἀλλὰ περὶ τοῦ νόμου, ὅτι

6. Ψαλμ. 147, 1-3.

7. Ψαλμ. 147, 8-9.

Βλέπεις ὅτι ὁ Θεὸς ἔδωσε τὸ νόμο ὄχι γιὰ νὰ εἶναι αὐτὸς βάρος τῆς φύσεώς μας, ἀλλὰ γιὰ νὰ τὴν προστατεύει; Θέλεις νὰ μάθεις ὅτι τὸ ἔκανε αὐτὸ καὶ γιὰ νὰ τὴν τιμήσει; Καὶ βέβαια καὶ αὐτὰ μὲν εἶναι ἱκανὰ νὰ δείξουν τὴν τιμὴ καὶ τὴ φροντίδα αὐτοῦ, πλὴν ὅμως καὶ ἀπὸ ἄλλες μαρτυρίες θὰ κάνω αὐτὸ φανερό. «Ἀνάπεμπε, Ἰερουσαλήμ, ὕμνους ἐπαινετικοὺς πρὸς τὸν Κύριο· δοξολόγα τὸν Θεό σου, Σιών· διότι κατέστησε ἰσχυροὺς τοὺς μοχλοὺς τῶν πυλῶν σου, καὶ εὐλόγησε τοὺς υἱούς σου ποὺ κατοικοῦν ἐντὸς τῶν τειχῶν σου. Αὐτὸς ἐγκατέστησε εἰρήνη στὰ σύνορά σου καὶ σὲ τρέφει μὲ ἐκλεκτὸ σῖτο»[6]. Ἔπειτα, ἀφοῦ ἀνέφερε καὶ τὴν εὐεργεσία ποὺ χορηγεῖται ἀπὸ τὸ Θεὸ μέσω τῆς ἄλλης δημιουργίας, πρόσθεσε τὴν ἐξαίρετη καὶ μεγαλύτερη, λέγοντας τὰ ἑξῆς· «Αὐτὸς εἶναι ἐκεῖνος ποὺ γνώρισε τὸ λόγο του στὸν Ἰακὼβ καὶ τὶς ἐντολὲς του καὶ τὰ δίκαια προστάγματά του στὸν Ἰσραήλ. Δὲν ἐνήργησε κατὰ τὸν ἴδιο τρόπο πρὸς κάθε ἄλλο ἔθνος, καὶ δὲν φανέρωσε σ' αὐτοὺς τὰ προστάγματά του»[7].

Πρόσεχε πόσα ἀγαθὰ ἀνέφερε. Τὴν ἀσφάλεια τῆς πόλεως· διότι, λέγει, «Κατέστησε ἰσχυροὺς τοὺς μοχλοὺς τῶν πυλῶν σου»· τὴν ἀπαλλαγὴ ἀπὸ τοὺς ἐχθρούς· διότι, λέγει, «Ἐγκατέστησε εἰρήνη στὰ σύνορά σου»· τὴν ἀφθονία τῶν ἀναγκαίων ἀγαθῶν· διότι, λέγει, «Σὲ τρέφει μὲ ἐκλεκτὸ σῖτο». Ἀλλ' ὅμως ἀπ' ὅλα αὐτὰ παρουσίασε τιμιότερη τὴν χορήγηση τοῦ νόμου. Διότι τὸ ὅτι ὁ νόμος ποὺ ἔλαβαν καὶ οἱ ἐντολὲς ποὺ γνώρισαν ἀπὸ τὸ Θεὸ ἀποτελοῦν πολὺ πιὸ μεγαλύτερο δῶρο καὶ ἀπὸ τὴν ἀσφάλεια καὶ ἀπὸ τὴν εἰρήνη καὶ ἀπὸ τὴν ἀπαλλαγὴ ἀπὸ τοὺς ἐχθροὺς καὶ ἀπὸ τὴν εὐτεκνία καὶ ἀπὸ τὴν πολυτεκνία καὶ ἀπὸ τὴν ἀφθονία τῶν ἀναγκαίων ἀγαθῶν, ἀφοῦ ἀνέφερε αὐτὸ ὕστερα ἀπὸ ὅλα σὰν ἀποκορύφωμα καὶ σύνδεσμο τῶν ἀγαθῶν, πρόσθεσε τὰ ἑξῆς λόγια· «Δὲν ἐνήργησε κατὰ τὸν ἴδιο τρόπο πρὸς κάθε ἄλλο ἔθνος». Κατὰ τὸν ἴδιο τρόπο, πῶς; Καὶ ὅμως καὶ ἀφθονία ἀγαθῶν καὶ τὰ ἄλλα ποὺ ἀπαριθμήθηκαν ἀπόλαυσαν πολλοὶ πολλὲς φορές. Ἀλλὰ δὲν ὁμιλῶ, λέγει, γιὰ τὰ προαναφερθέντα ἀγαθά, ἀλλὰ γιὰ τὸ νόμο, διότι, «Δὲν ἐνήργησε

«Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει». Καὶ διὰ τοῦτο ἐπήγαγε· «Καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς». Ὁρᾷς πῶς τῶν ἀπηριθμημένων ἁπάντων ἀγαθῶν μεῖζον ὁ νόμος;

2. Τοῦτο καὶ Ἰερεμίας ἐνέφηνε· τοὺς γὰρ ἐν αἰχμαλωσίᾳ ὄντας θρηνῶν, ἔλεγε, «Τί ὅτι ἐν τῇ γῇ τῶν ἐχθρῶν εἶ; Τὴν πηγὴν τῆς σοφίας ἐγκατέλιπες», τὸν νόμον λέγων. Καθάπερ ἡ πηγὴ πολλοὺς πανταχόθεν ἀφίησι ρύακας, οὕτω καὶ ὁ νόμος πολλὰς πανταχόθεν ἀφίησι τὰς ἐντολάς, ἄρδων ἡμῶν τὴν ψυχήν. Εἶτα δηλῶν τὸ ἐξαίρετον τῆς τιμῆς τῆς διὰ τοῦ νόμου γενομένης, ἔλεγεν· «Οὐκ ἠκούσθη ἐν Χαναὰν αὕτη ἡ σοφία, οὐδὲ ὤφθη ἐν Θαιμάν, οὐδὲ υἱοὶ Ἄγαρ, οἱ ἔμποροι, καὶ οἱ ἐκζητηταὶ ἔγνωσαν τὰς ὁδοὺς αὐτῆς, οὐδὲ ἐμνήσθησαν τῶν τρίβων αὐτῆς». Καὶ δεικνὺς ὅτι πνευματική τίς ἐστι καὶ θεία, «Τίς ἀνέβη», φησίν, «εἰς τὸν οὐρανόν, καὶ κατεβίβασεν αὐτήν;». Εἶτα ἐπήγαγεν· «Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ». Διὰ τοῦτο καὶ ὁ Δαυὶδ ἔλεγεν· «Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς». Τοῦτο γοῦν καὶ Παῦλος αἰνιττόμενος ἔγραφε· «Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς»; Πολὺ κατὰ πάντα τρόπον.

Πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ. Ὁρᾷς πῶς καὶ οὗτος ἡρμήνευσε τό, «Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς»; Εἰ γὰρ τὸ περισσὸν τοῦ Ἰουδαίου τοῦτό ἐστιν, αὐτοὶ μόνοι τῶν ἄλλων ἀνθρώπων ἐτιμήθησαν τῇ δώσει τοῦ γραπτοῦ νόμου, οὐκ ἄρα βαρῶν ἡμῶν τὴν φύσιν, ἀλλὰ τιμῶν, τὸν νόμον ἔδωκεν ὁ Θεός. Καὶ οὐ τούτῳ μόνον ἐτίμησε, τῷ δοῦναι τὸν

---

8. Βαρούχ 3, 10· 12.
9. Βαρούχ 3, 22-23.
10. Βαρούχ 3, 29.
11. Βαρούχ 3, 36-37.
12. Ψαλμ. 147, 9.
13. Ρωμ. 3, 1.

κατὰ τὸν ἴδιο τρόπο πρὸς κάθε ἄλλο ἔθνος». Καὶ γι' αὐτὸ πρόσθεσε· «Καὶ τὰ προστάγματά του δὲν τὰ φανέρωσε σ' αὐτούς. Βλέπεις πῶς ὁ νόμος εἶναι σπουδαιότερος ἀπὸ ὅλα τὰ ἀγαθὰ ποὺ ἀπαριθμήθηκαν;

2. Αὐτὸ καὶ ὁ Ἰερεμίας δήλωσε· διότι, θρηνώντας ἐκείνους ποὺ βρίσκονταν στὴν αἰχμαλωσία, ἔλεγε, «Γιατί βρίσκεσαι στὴ γῆ τῶν ἐχθρῶν σου; Ἐγκατέλειψες τὴν πηγὴ τῆς σοφίας»[8], ἐννοώντας τὸ νόμο. Ὅπως ἀκριβῶς ἡ πηγὴ δημιουργεῖ ἀπὸ παντοῦ πολλὰ ρυάκια, ἔτσι καὶ ὁ νόμος ἀφήνει ἀπὸ παντοῦ πολλὲς ἐντολές, ποτίζοντας τὴν ψυχή μας. Ἔπειτα γιὰ νὰ δείξει τὴν ἐξαιρετικὴ τιμὴ ποὺ πηγάζει ἀπὸ τὸ νόμο, εἶπε· «Δὲν ἀκούσθηκε αὐτὴ ἡ σοφία στὴ Χαναάν, οὔτε φανερώθηκε στὴ Θαιμάν, οὔτε οἱ ἀπόγονοι τῆς Ἄγαρ, οἱ ἔμποροι καὶ οἱ ἀναζητητὲς αὐτῆς, γνώρισαν τὶς ὁδοὺς αὐτῆς, οὔτε θυμήθηκαν τοὺς δρόμους της»[9]. Καὶ γιὰ νὰ δείξει ὅτι εἶναι κάποια πνευματικὴ καὶ θεία, «Ποιὸς ἀνέβηκε», λέγει, «στὸν οὐρανὸ καὶ κατέβασε αὐτήν;»[10]. Ἔπειτα πρόσθεσε· «Αὐτὸς εἶναι ὁ Θεός μας καὶ δὲν θὰ μπορέσει ν' ἀναμετρηθεῖ ἄλλος πρὸς αὐτόν. Αὐτὸς βρῆκε ὅλη τὴν ὁδὸ τῆς σοφίας καὶ ἔδωσε αὐτὴν στὸν Ἰακώβ, τὸν δοῦλο του, καὶ στὸν Ἰσραὴλ τὸν ἀγαπημένο του»[11]. Γι' αὐτὸ καὶ ὁ Δαυὶδ ἔλεγε· «Δὲν ἐνήργησε κατὰ τὸν ἴδιο τρόπο σὲ κάθε ἄλλο ἔθνος καὶ τὰ προστάγματά του δὲν τὰ φανέρωσε σ' αὐτούς»[12]. Αὐτὸ λοιπὸν καὶ ὁ Παῦλος ὑπαινισσόμενος ἔγραφε· «Ποιὸ εἶναι τὸ πλεονέκτημα τοῦ Ἰουδαίου; ἢ ποιὰ ἡ ὠφέλεια τῆς περιτομῆς;»[13]. Εἶναι πολὺ μεγάλη καὶ ποικιλότροπη.

Πρῶτο λοιπὸν τὸ ὅτι ἔγιναν πιστευτὰ τὰ λόγια τοῦ Θεοῦ. Βλέπεις πῶς καὶ αὐτὸς ἑρμήνευσε τό, «Δὲν ἐνήργησε κατὰ τὸν ἴδιο τρόπο πρὸς κάθε ἄλλο ἔθνος καὶ τὰ προστάγματα αὐτοῦ δὲν τὰ φανέρωσε σ' αὐτούς»; Διότι, ἐὰν τὸ πλεονέκτημα τοῦ Ἰουδαίου εἶναι αὐτό, τὸ ὅτι δηλαδὴ αὐτοὶ μόνοι ἀπὸ ὅλους τοὺς ἄλλους ἀνθρώπους τιμήθηκαν μὲ τὴ λήψη τοῦ γραπτοῦ νόμου, ἄρα ὁ Θεὸς δὲν ἔδωσε τὸ νόμο γιὰ νὰ καταπιέζει τὴ φύση μας, ἀλλὰ γιὰ νὰ τὴν τιμήσει. Καὶ δὲν τὴν τίμησε μόνο μὲ αὐτό, μὲ τὸ ὅτι ἔδωσε τὸ νόμο, ἀλλὰ καὶ μὲ τὸ ὅτι τὸν ἔδωσε αὐτὸς ὁ ἴ-

νόμον, ἀλλὰ καὶ τῷ δι' ἑαυτοῦ δοῦναι. Καὶ γὰρ καὶ τοῦτο μέγιστον εἶδος τιμῆς, τὸ μὴ μόνον παρασχεῖν τὰ ἀγαθά, ἀλλὰ καὶ δι' ἑαυτοῦ παρασχεῖν. Ὅτι γὰρ μέγα τοῦτό ἐστι τὸ δῶρον, ἄκουσον καὶ τοῦ Παύλου τοῦτο ἐνδεικνυμένου. Ὁρῶν γὰρ τοὺς Ἰουδαίους πεφυσιωμένους ἐν τῷ τοὺς προφήτας πρὸς αὐτοὺς ἐλθεῖν, καὶ καταστέλλων αὐτῶν τὸ φρόνημα, δεικνὺς ὅτι μείζονος ἡμεῖς ἀπηλαύσαμεν τῆς τιμῆς, οὐ διὰ δούλου, ἀλλὰ διὰ Δεσπότου τῆς διδασκαλίας τυχόντες, οὑτωσί πώς φησι πρὸς Ἑβραίους γράφων· «Πολυμερῶς καὶ πολυτρόπως ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ». Καὶ πάλιν ἀλλαχοῦ· «Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν καταλλαγὴν ἐλάβομεν».

Ὁρᾷς αὐτὸν οὐκ ἐπὶ τῇ καταλλαγῇ καυχώμενον μόνον, ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ Χριστοῦ λαβεῖν τὴν καταλλαγήν; Καὶ πάλιν τὴν ἀνάστασιν σεμνύνων, φησίν· «Αὐτὸς ὁ Κύριος καταβήσεται ἐξ οὐρανοῦ». Ὅρα κἀκεῖ διὰ τοῦ Δεσπότου τὸ πᾶν γινόμενον· καὶ ἐνταῦθα οὐ δι' οἰκέτου τινός, οὐ δι' ἀγγέλου καὶ ἀρχαγγέλου, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ ἐνετείλατο τῷ Ἀδάμ, διπλῇ τιμῇ τὸν ἄνθρωπον τιμῶν, καὶ τῷ δοῦναι τὸν νόμον, καὶ τῷ δι' ἑαυτοῦ δοῦναι. Πῶς οὖν ὠλίσθησεν ἐκεῖνος; Παρὰ τὴν ἑαυτοῦ ῥᾳθυμίαν· καὶ δηλοῦσιν ὅσοι νόμον ἔλαβον, καὶ οὐκ ὤλισθον, ἀλλὰ καὶ πλείω τῶν ἐπιτεταγμένων ἐποίησαν. Ἀλλ' ἐπειδὴ τὸν καιρὸν ἡμᾶς ὁρῶ συνελαύνοντα τοῦτον, εἰς ἑτέραν διάλεξιν ἀναβαλοῦμαι τὸν λόγον· ὑμεῖς δὲ τὰ εἰρημένα τέως φυλάττετε καὶ μέμνησθε, καὶ τοὺς οὐκ ἀκηκοότας διδάσκετε, καὶ ταῦτα καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ μελετάτω ἕκαστος. Οὐδὲν γὰρ ἥδύτερον ἀκροάσεως θείας. Ἄκουσον γοῦν τί φησι περὶ ταύτης ὁ προφήτης· «Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου».

---

14. Ἑβρ. 1, 1.
15. Ρωμ. 5, 11.
16. Α' Θεσ. 4, 16.
17. Ψαλμ. 118, 103.

διος. Καθόσον καὶ αὐτὸ εἶναι μέγιστο εἶδος τιμῆς, τὸ νὰ μὴ μᾶς δώσει δηλαδὴ μόνο τὰ ἀγαθά, ἀλλὰ καὶ νὰ μᾶς τὰ δώσει αὐτὸς ὁ ἴδιος. Τὸ ὅτι βέβαια αὐτὸ τὸ δῶρο εἶναι μεγάλο, ἄκουσε καὶ τὸν Παῦλο ποὺ ἀποδεικνύει αὐτό. Διότι βλέποντας τοὺς Ἰουδαίους νὰ ὑπερηφανεύονται μὲ τὸ ὅτι οἱ προφῆτες ἦλθαν πρὸς αὐτοὺς καὶ καταστέλλοντας τὴν ὑψηλοφροσύνη τους, γιὰ νὰ δείξει ὅτι ἐμεῖς ἀπολαύσαμε μεγαλύτερη τιμή, μὲ τὸ ὅτι λάβαμε τὴ διδασκαλία ὄχι μὲ δοῦλο, ἀλλὰ μὲ τὸν Κύριο, γράφοντας πρὸς τοὺς Ἑβραίους λέγει τὰ ἑξῆς· «Πολλὲς φορὲς καὶ μὲ διάφορους τρόπους παλαιότερα ὁ Θεὸς μίλησε στοὺς πατέρες μας, ἀλλὰ κατὰ τὶς τελευταῖες ἡμέρες μίλησε σὲ μᾶς μὲ τὸν Υἱό του»[14]. Καὶ πάλι ἀλλοῦ λέγει· «Ὄχι δὲ μόνο θὰ σωθοῦμε, ἀλλὰ καὶ καυχόμαστε στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μὲ τὸν ὁποῖο λάβαμε τὴ συμφιλίωσή μας μὲ τὸ Θεό»[15].

Βλέπεις αὐτὸν ποὺ δὲν καυχιέται μόνο γιὰ τὴ συμφιλίωση μὲ τὸ Θεό, ἀλλὰ καὶ γιὰ τὸ ὅτι λάβαμε αὐτὴν μέσω τοῦ Χριστοῦ; Καὶ πάλι καυχώμενος γιὰ τὴν ἀνάσταση, λέγει· «Ὁ ἴδιος ὁ Κύριος θὰ κατεβεῖ ἀπὸ τὸν οὐρανό»[16]. Πρόσεχε καὶ ἐκεῖ ὅτι τὸ πᾶν γίνεται ἀπὸ τὸν Κύριο· καὶ ἐδῶ δὲν ἔδωσε τὴν ἐντολὴ στὸν Ἀδὰμ μὲ κάποιο δοῦλο, οὔτε μὲ ἄγγελο καὶ ἀρχάγγελο, ἀλλ' αὐτὸς ὁ ἴδιος, τιμώντας τὸν ἄνθρωπο μὲ διπλὴ τιμή, καὶ μὲ τὸ ὅτι ἔδωσε τὸ νόμο, καὶ μὲ τὸ ὅτι τὸν ἔδωσε ὁ ἴδιος. Πῶς λοιπὸν παραστράτησε ἐκεῖνος; Ἐξ αἰτίας τῆς ἀδιαφορίας του· καὶ τὸ φανερώνουν αὐτὸ ὅσοι ἔλαβαν νόμο καὶ δὲν παρέβηκαν αὐτόν; ἀλλά, καὶ ἔπραξαν περισσότερα ἀπὸ τὰ προστάγματα. Ἀλλ', ἐπειδὴ βλέπω τὸ χρόνο νὰ μᾶς καταπιέζει, θ' ἀναβάλω τὸ λόγο γιὰ ἄλλη ὁμιλία, σεῖς ὅμως νὰ φυλάσσετε τὰ ὅσα λέχθηκαν προηγουμένως καὶ νὰ τὰ θυμᾶσθε καὶ νὰ τὰ διδάσκετε καὶ σ' ἐκείνους ποὺ δὲν τὰ ἔχουν ἀκούσει καὶ ὁ καθένας νὰ μελετᾶ αὐτὰ καὶ στὴν ἐκκλησία καὶ στὴν ἀγορὰ καὶ στὴν οἰκία. Διότι τίποτε δὲν ὑπάρχει γλυκύτερο ἀπὸ τὴν θεία ἀκρόαση. Ἄκουσε λοιπὸν τί λέγει γι' αὐτὴν ὁ προφήτης· «Πόσο γλυκὰ εἶναι τὰ λόγια σου στὸ λάρυγγά μου· εἶναι περισσότερο γλυκὰ ἀπὸ τὸ μέλι καὶ τὸ κερὶ στὸ στόμα μου»[17].

Τοῦτο τοίνυν παρατίθει τὸ κηρίον ἐπὶ τῆς τραπέζης τῆς ἑσπερινῆς, ὥστε πᾶσαν αὐτὴν ἡδονῆς πληρῶσαι πνευματικῆς. Οὐχ ὁρᾶτε τοὺς εὐπόρους τῶν ἀνθρώπων, πῶς μετὰ τὰ σιτία κιθαρῳδοὺς καὶ αὐλητὰς ἐπεισάγουσι; Θέατρον ἐκεῖνοι ποιοῦσι τὴν ἑαυτῶν οἰκίαν, σὺ ποίησον τὴν οἰκίαν τὴν σὴν οὐρανόν· ποιήσεις δέ, οὐχὶ τοὺς τοίχους ἀμείβων, οὐδὲ μεταλλάττων τὰ θεμέλια, ἀλλ' αὐτὸν τὸν τῶν οὐρανῶν Δεσπότην ἐπὶ τὴν τράπεζαν καλῶν τὴν σήν. Οὐκ ἐπαισχύνεται τὰ τοιαῦτα δεῖπνα ὁ Θεός. Ἔνθα γὰρ διδασκαλία πνευματική, ἐκεῖ καὶ σωφροσύνη καὶ σεμνότης καὶ ἐπιείκεια· ἔνθα ἀνὴρ καὶ γυνὴ καὶ παιδία, καὶ ὁμόνοια καὶ φιλία, καὶ τοῖς τῆς ἀρετῆς συνδεδεμένοι δεσμοῖς, ἐκεῖ μέσος ὁ Χριστός. Οὐ γὰρ χρυσοῦν ὄροφον ζητεῖ, οὐδὲ ἀστραπὰς κιόνων, οὐδὲ κάλλη μαρμάρων, ἀλλὰ ψυχῆς ὥραν, καὶ διανοίας εὐμορφίαν, καὶ τράπεζαν δικαιοσύνης γέμουσαν, καὶ ἐλεημοσύνης καρποὺς ἔχουσαν. Κἂν ἴδῃ τοιαύτην τράπεζαν, ταχέως κοινωνεῖ τοῦ συλλόγου, καὶ παραγίνεται. Καὶ γὰρ αὐτός ἐστιν ὁ εἰρηκώς· «Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε».

Ὅταν οὖν ἀκούσῃς πένητος κάτωθεν μεγάλα βοῶντος, εἶτα ἀπὸ τῆς τραπέζης τῶν προκειμένων δῷς τι τῷ δεομένῳ, τὸν Δεσπότην ἐκάλεσας διὰ τοῦ δούλου πρὸς τὴν τράπεζαν τὴν σήν, πᾶσαν αὐτὴν εὐλογιῶν ἐνέπλησας, καὶ διὰ τῆς ἀπαρχῆς ἀφορμὴν μεγίστην τοῦ πληθύνεσθαί σοι τὰ ταμεῖα ἀγαθῶν πολλῶν παρεσκεύασας. Ὁ δὲ Θεὸς τῆς εἰρήνης καὶ τῆς ἀγάπης, ὁ διδοὺς ἄρτον εἰς βρῶσιν, καὶ σπέρμα τῷ σπείροντι, πληθύνοι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσειε τὰ γεννήματα τῆς δικαιοσύνης ἐν πᾶσιν ὑμῖν, τὴν παρ' αὐτοῦ χάριν διδούς, καὶ καταξιώσειε τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάνας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ Πατρὶ δόξα, τιμή, κράτος σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Αὐτὸ λοιπὸν τὸ κερὶ τοποθέτα στὴν ἑσπερινὴ τράπεζά σου, ὥστε νὰ τὴ γεμίσεις ὁλόκληρη μὲ πνευματικὴ ἡδονή. Δὲν βλέπετε τοὺς πλούσιους ἀπὸ τοὺς ἀνθρώπους, πῶς μετὰ τὰ φαγητὰ εἰσάγουν μέσα στὴν οἰκία τους κιθαρωδοὺς καὶ αὐλητές; Ἐκεῖνοι κάμνουν τὴν οἰκία τους θέατρο, σὺ κάνε τὴν οἰκία σου οὐρανό· θὰ τὴν κάνεις ὅμως, ὄχι ἀντικαθιστώντας τοὺς τοίχους, οὔτε ἀλλάσσοντας τὰ θεμέλιά της, ἀλλὰ καλώντας στὴν τράπεζά σου τὸν ἴδιο τὸν Κύριο τῶν οὐρανῶν. Δὲν ντρέπεται ὁ Θεὸς τὰ παρόμοια δεῖπνα. Διότι ὅπου ὑπάρχει διδασκαλία πνευματική, ἐκεῖ ὑπάρχει καὶ σωφροσύνη καὶ σεμνότητα καὶ ἐπιείκεια· ὅπου ὑπάρχει ἄνδρας καὶ γυναίκα καὶ παιδιὰ καθὼς καὶ ὁμόνοια καὶ ἀγάπη καὶ εἶναι συνδεδεμένοι μὲ τοὺς δεσμοὺς τῆς ἀρετῆς, ἐκεῖ ἀνάμεσα βρίσκεται ὁ Χριστός. Διότι δὲν ζητᾶ χρυσὴ στέγη, οὔτε ἀστραφτερὲς κολῶνες, οὔτε μάρμαρα λαμπρά, ἀλλὰ ὡραιότητα ψυχῆς, ψυχικὴ ὀμορφιά, τράπεζα γεμάτη ἀπὸ δικαιοσύνη καὶ πλήρη ἀπὸ καρποὺς ἐλεημοσύνης. Καὶ ἂν δεῖ τέτοια τράπεζα, ἀμέσως παίρνει μέρος στὴ συγκέντρωση καὶ παρακάθεται. Καθόσον αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἔχει πεῖ· «Μὲ εἴδατε πεινασμένο καὶ μοῦ δώσατε τροφή»[18].

Ὅταν λοιπὸν ἀκούσεις φτωχὸ νὰ φωνάζει δυνατὰ κάτω ἀπὸ τὸ σπίτι σου, καὶ στὴ συνέχεια δώσεις κάτι σ' αὐτὸν ποὺ ἔχει ἀνάγκη ἀπὸ αὐτὰ ποὺ ὑπάρχουν στὴν τράπεζα, τὸν Κύριο κάλεσες, μέσω τοῦ δούλου, στὴν τράπεζά σου, τὴ γέμισες μὲ κάθε εὐλογία, καὶ μὲ τὴν προσφορά σου αὐτὴ δημιούργησες τὴ πιὸ μεγάλη ἀφορμὴ νὰ γεμίσουν οἱ ἀποθῆκες σου μὲ πολλὰ ἀγαθά. Ὁ δὲ Θεὸς τῆς εἰρήνης καὶ τῆς ἀγάπης, ποὺ δίνει ἄρτο γιὰ βρώση καὶ σπόρο στὸ γεωργό, εἴθε νὰ πληθύνει τὸ σπόρο σας καὶ ν' αὐξήσει τοὺς καρποὺς τῆς δικαιοσύνης σ' ὅλους σας παρέχοντας σὲ σᾶς τὴ χάρη του, καὶ νὰ σᾶς καταστήσει ἄξιους τῆς βασιλείας τῶν οὐρανῶν, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ δύναμη, μαζὶ δὲ καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

18. Ματθ. 25, 35.

ΛΟΓΟΣ Θ'.

Εἰς τό, πῶς δεῖ ἐπιτιμᾶν τοῖς τῶν ἀδελφῶν ἁμαρτήμασι, καὶ ὅτι χρὴ τῆς τούτων σωτηρίας προνοεῖν, καὶ διὰ τί Ἄβραμ Ἀβραὰμ ἐκλήθη, καὶ εἰς τὸ ὄνομα τοῦ Νῶε· ὅτι οὐχ ἁπλῶς ταῦτα οἱ δίκαιοι ἐκαλοῦντο τὰ ὀνόματα, ἀλλὰ τῇ τοῦ Θεοῦ οἰκονομίᾳ.

1. Εἰ μὲν ἦν δυνατὸν ὑμῖν εἰδέναι, τί μὲν ἡμῖν εἴρηται, τί δὲ ὑπολέλειπται, καὶ ποῦ μὲν τὸν λόγον κατελύσαμεν πρῴην, πόθεν δὲ αὐτὸν σήμερον ἀνελέσθαι χρή, εὐθέως τὰ προοίμια ἀπὸ τῆς ἀκολουθίας τῶν πρῴην εἰρημένων ἐποιησάμην ἄν. Ἐπειδὴ δὲ καὶ τῶν τότε ἀκηκοότων ἡμῶν πολλοὶ σήμερον οὐ παρήκασι, καὶ τῶν νῦν παρόντων τότε οὐκ ἤκουσαν, τὸ διάφορον τῶν ἀκροατῶν ἀναγκαίαν ποιεῖ γενέσθαι τῶν εἰρημένων ἡμῖν τὴν ἐξήγησιν· οὕτω γὰρ καὶ τοῖς ἐξ ἀρχῆς παρηκολουθηκόσι τῷ λόγῳ μᾶλλον ἐμπαγήσεται τούτων ἡ μνήμη, πάλιν ἀναμιμνησκομένοις ὧν ἤκουσαν, καὶ τοῖς ἀπολειφθεῖσιν οὐ τοσαύτη ἔσται βλάβη, τοῦ λόγου γνωριμωτέραν αὐτοῖς ἄνωθεν ποιοῦντος τὴν διδασκαλίαν.

Καὶ μὴν ἴσως ἂν εἴποιεν οἱ ἀεὶ παραγινόμενοι, ὅτι δι' αὐτὸ μὲν οὖν τοῦτο οὐκ ἐχρῆν ἀναλαβεῖν τὰ εἰρημένα, ἵνα ἀπολειφθέντες καὶ τῶν συνάξεων καταφρονήσαντες, ἔργῳ τὴν βλάβην ὑπομείναντες, βελτίους γένωνται, τῇ ζημίᾳ σωφρονιζόμενοι. Ἐγὼ δὲ ἐπαινῶ μὲν ὑμᾶς, ὅτι οὕτω δάκνεσθε ὑπὲρ τῆς ῥαθυμίας τῶν ἀδελφῶν, καὶ τὸν ζῆλον θαυμάζω, βούλομαι δὲ καὶ φιλανθρωπίᾳ τὸν ζῆλον ὑμᾶς κεράσαι τοῦτον. Ζῆλος γὰρ συγγνώμης ἀπεστερημένος, οὐ ζῆλος, ἀλλὰ

ΛΟΓΟΣ Θ'

Στὸ *πῶς πρέπει νὰ ἐπιτιμοῦμε τὰ ἁμαρτήματα τῶν ἀ*δελφῶν μας καὶ ὅτι *πρέπει νὰ φροντίζουμε γιὰ τὴ* σωτηρία αὐτῶν, καὶ γιατί ὁ Ἄβραμ ὀνομάσθηκε Ἀβραάμ, καὶ γιὰ τὸ ὄνομα τοῦ Νῶε· διότι οἱ δίκαιοι δὲν λάμβαναν τυχαῖα τὰ ὀνόματα αὐτά, ἀλλὰ μὲ τὴν πρόνοια τοῦ Θεοῦ.

1. Ἐὰν μὲν σεῖς ἦταν δυνατὸ νὰ γνωρίζετε, τί μὲν σᾶς ἔχω πεῖ, τί δὲ ὑπολείπεται, καὶ ποῦ σταμάτησα τὸ λόγο χθές, ἀπὸ ποὺ δὲ πρέπει νὰ συνεχίσω αὐτὸν σήμερα, ἀμέσως θὰ μποροῦσα ν' ἀρχίσω τὴν ὁμιλία ἀπὸ τὴ συνέχεια τῶν ὅσων λέχθηκαν χθές. Ἐπειδὴ δὲ καὶ πολλοὶ ἀπὸ ἐκείνους ποὺ μὲ εἶχαν ἀκούσει τότε δὲν ἦρθαν σήμερα καὶ πολλοὶ ἀπὸ τοὺς παρόντες δὲν μὲ ἄκουσαν τότε, ἡ διαφορὰ αὐτὴ τῶν ἀκροατῶν μὲ ἐξαναγκάζει νὰ ἐπαναλάβω τὰ ὅσα λέχθηκαν τότε· διότι ἔτσι καὶ θὰ παγιωθοῦν περισσότερο στὴ μνήμη αὐτῶν ποὺ εἶχαν παρακολουθήσει ἀπὸ τὴν ἀρχὴ τὸ λόγο, φέροντας στὴ μνήμη τους καὶ πάλι ἐκεῖνα ποὺ ἄκουσαν, καὶ σ' ἐκείνους ποὺ εἶχαν ἀπουσιάσει τότε δὲν θὰ εἶναι τόσο μεγάλη ἡ βλάβη, ἀφοῦ ὁ λόγος θὰ καταστήσει σ' αὐτοὺς γνωστὴ τὴ διδασκαλία ἀπὸ τὴν ἀρχή.

Καὶ βέβαια ἴσως θὰ μποροῦσαν νὰ ποῦν αὐτοὶ ποὺ ἔρχονται πάντοτε, ὅτι ἀκριβῶς γι' αὐτὸ δὲν ἔπρεπε νὰ ἐπαναληφθοῦν τὰ λεχθέντα, ὥστε, ἀφοῦ ἀπουσίασαν καὶ περιφρόνησαν τὶς συγκεντρώσεις, καὶ ὑπέστησαν ἔμπρακτα τὴ βλάβη, νὰ γίνουν καλύτεροι, σωφρονιζόμενοι μὲ τὴ ζημία. Ἀλλ' ἐγὼ ἐπαινῶ μὲν ἐσᾶς, διότι νιώθετε τέτοιο πλήγωμα ἐξ αἰτίας τῆς ἀδιαφορίας τῶν ἀδελφῶν μας καὶ θαυμάζω τὸ ζῆλο σας, θέλω ὅμως τὸ ζῆλο σας αὐτὸ νὰ τὸν ἀναμείξω καὶ μὲ φιλανθρωπία. Διότι ζῆλος

θυμὸς μᾶλλόν ἐστι, καὶ νουθεσία, φιλανθρωπίαν οὐκ ἔχουσα, βασκανία τις εἶναι δοκεῖ. Διὰ τοῦτο ὑμᾶς μᾶλλον παρακαλῶ, μὴ πικρῶς τὰ τῶν πλησίον κρίνειν ἁμαρτήματα. Ὥσπερ γὰρ ὁ χωρὶς συγγνώμης ὁρῶν τὰ τῶν ἀδελφῶν τραύματα, εἴ ποτε καὶ αὐτὸς ἁμάρτοι, οὐδένα εὑρήσει τὸν συγγνώμην αὐτῷ νέμοντα, οὕτως ὁ μετ' ἐλέου δικάζων τοῖς τῶν πλησίον παραπτώμασιν, εἴ ποτε ὑποσκελισθείη, πολλοὺς ὄψεται τοὺς χεῖρα ὀρέγοντας. Καὶ ταῦτα λέγω νῦν, οὐ τὴν ῥᾳθυμίαν τῶν ἀπολειφθέντων αὐξῆσαι βουλόμενος, ἀλλὰ τὴν ἡμετέραν κηδεμονίαν ἐπιτεῖναι σπουδάζων, ἵνα μετὰ λόγου γίνηται καὶ φιλοστοργίας. Ἐπεὶ καὶ ἡμεῖς πολλοὺς καὶ μακροὺς τῇ προτεραίᾳ κατ' αὐτῶν ἀπετείναμεν λόγους, καὶ οὐδὲ ἀνθρώπους αὐτοὺς εἶναι ἔφαμεν, καθάπερ μέμνησθε, κατηγόρους αὐτοῖς ἐπιστήσαντες δύο προφήτας τοὺς κορυφαίους, τὸν μὲν λέγοντα, «Ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος», τὸν δὲ καταβοῶντα πάλιν καὶ πυνθανόμενον»· «Πρὸς τίνα λαλήσω καὶ διαμαρτύρομαι; Ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν». Καὶ σφόδρα αὐτῶν διὰ τούτων καὶ τῶν τοιούτων ἐδάκομεν τὴν διάνοιαν.

Ἀλλὰ νῦν αὐτοὺς πάλιν παρακαλοῦμεν· οὕτω γὰρ καὶ ὁ Παῦλος ἐκέλευσεν· «Ἔλεγξον» γάρ, φησίν, «ἐπιτίμησον, παρακάλεσον». Οὔτε γὰρ τοῦτο ἀεὶ χρὴ ποιεῖν μόνον, οὔτε ἐκεῖνο μόνον, ἀλλ' ἑκάτερα μίξαντα ἀπηρτισμένην ἐργάζεσθαι τὴν ὠφέλειαν. Ἄν τε γὰρ διαπαντὸς ἐλέγχωμεν, ἀναισχυντοτέρους αὐτοὺς ἀπεργαζόμεθα, ἄν τε διαπαντὸς παρακαλῶμεν, ῥᾳθυμοτέρους ποιοῦμεν. Διὰ τοῦτο καὶ ἰατροὶ οὐχὶ τέμνουσι μόνον, ἀλλὰ καὶ τραύματα ἐπιδεσμοῦσιν· οὐδὲ ἀεὶ φάρμακα πικρὰ ἐπιβάλλουσιν, ἀλλὰ καὶ προσηνῆ πολλάκις· δι' ἐκείνων μὲν τῶν προτέρων τὸ σεσηπὸς ἀποκαθαίροντες, διὰ τούτων δὲ τῶν δευτέρων τὴν ἐξ ἐκείνων ὀ-

1. Ἡσ. 50, 2. 2. Ἰερ. 6, 10. 3. Β' Τιμ. 4, 2.

ποὺ στερεῖται συγγνώμης, δὲν εἶναι ζῆλος, ἀλλὰ μᾶλλον θυμός, καὶ νουθεσία ποὺ δὲν περιέχει καὶ φιλανθρωπία, θεωρεῖται σὰν μιὰ κάποια μορφὴ φθόνου. Γι' αὐτό, σᾶς παρακαλῶ πάρα πολύ, νὰ μὴ κρίνετε τὰ ἁμαρτήματα τῶν πλησίον σας μὲ κακία. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ βλέπει τὰ τραύματα τῶν ἀδελφῶν του χωρὶς συγγνώμη, ἂν κάποτε συμβεῖ καὶ αὐτὸς ὁ ἴδιος ν' ἁμαρτήσει, δὲν θὰ βρεῖ κανένα νὰ τοῦ δώσει συγγνώμη, ἔτσι ἐκεῖνος ποὺ μὲ εὐσπλαχνία δικάζει τὰ παραπτώματα τῶν πλησίον, ἂν κάποτε συμβεῖ νὰ πέσει σὲ κάποιο παράπτωμα, θὰ δεῖ πολλοὺς ν' ἁπλώνουν χέρι βοήθειας. Καὶ αὐτὰ τὰ λέγω τώρα ὄχι θέλοντας ν' αὐξήσω τὴν ἀδιαφορία τῶν ἀπόντων, ἀλλὰ προσπαθώντας ν' αὐξήσω τὴ δική σας φροντίδα, ὥστε νὰ γίνεται αὐτὴ μὲ περίσκεψη καὶ μὲ φιλοστοργία. Καθόσον καὶ ἐγὼ πολλοὺς καὶ μακροὺς λόγους ἀπηύθυνα ἐναντίον αὐτῶν κατὰ τὴν προηγούμενη ἡμέρα, καὶ οὔτε κἂν ἀνθρώπους τοὺς ὀνόμασα, ὅπως θυμᾶσθε, παρουσιάζοντας κατήγορους αὐτῶν δύο προφῆτες, τοὺς κορυφαίους, τὸν μὲν ἕνα νὰ λέγει, «Ἦρθα καὶ δὲν ὑπῆρχε ἄνθρωπος, σᾶς κάλεσα καὶ δὲν ὑπῆρχε κανένας νὰ μ' ἀκούσει»[1], τὸν δὲ ἄλλο πάλι νὰ βροντοφωνάζει καὶ νὰ ἐρωτᾶ· «Πρὸς ποιὸν νὰ μιλήσω καὶ νὰ διαμαρτυρηθῶ; Τὰ αὐτιά τους εἶναι ἀπερίτμημα καὶ δὲν μποροῦν ν' ἀκοῦν» . Καὶ πάρα πολὺ πληγώσαμε τὴ σκέψη τους μὲ αὐτὰ καὶ τὰ παρόμοια λόγια.

Ἀλλὰ τώρα πάλι τοὺς παρακαλοῦμε. Καθόσον ἔτσι παράγγειλε ὁ Παῦλος· διότι, λέγει, «Ἔλεγξέ τον, ἐπίπληξέ τον, παρακάλεσέ τον»[3]. Οὔτε δηλαδὴ αὐτὸ πρέπει νὰ κάμνουμε μόνο, οὔτε μόνο ἐκεῖνο, ἀλλ', ἀναμειγνύοντας καὶ τὰ δύο, νὰ κάμνουμε μεγαλύτερη τὴν ὠφέλεια. Διότι, ἂν τοὺς ἐλέγχουμε συνέχεια, τοὺς κάμνουμε πιὸ ἀδιάντροπους, ἂν δὲ τοὺς παρακαλοῦμε συνέχεια τοὺς κάμνουμε πιὸ ἀδιάφορους. Γι' αὐτὸ καὶ οἱ ἰατροὶ δὲν ἐγχειρίζουν μόνο, ἀλλὰ καὶ δένουν τὰ τραύματα· οὔτε πάντοτε δίνουν φάρμακα πικρά, ἀλλὰ πολλὲς φορὲς καὶ εὐχάριστα· μὲ τὰ μὲν πρῶτα καθαρίζουν τὴ σαπίλα, ἐνῶ μὲ αὐτὰ τὰ δεύτερα ἀνακουφίζουν τὸν πόνο ποὺ προέρχεται ἀπὸ ἐ-

δύνην παραμυθούμενοι. Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησιν ὁ Παῦλος· «Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον, σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς».

Ἀρίστη παραίνεσις, ἀπηρτισμένη συμβουλή, πολλὴν ἔχουσα τὴν κηδεμονίαν, σπλάγχνα ἐνδεικνυμένη πατρικά· ὄντως τῆς Παύλου γλώττης τὰ ῥήματα, ἀδελφοί. Εὐθέως ἀπὸ τοῦ τῆς συγγενείας ὀνόματος πρὸς τὴν εὔνοιαν ἐπεσπάσατο τὸν ἀρκοατήν. Τὰς αὐτὰς ὠδῖνας ἔλυσας αὐτῷ, τὰς αὐτὰς ἐτράφης τροφάς, τὸν αὐτὸν ἔσχες πατέρα, ἐκοινώνησας αὐτῷ κατὰ τὸν τόκον τὸν πνευματικόν· τὴν συγγένειαν τοίνυν ταύτην καὶ ἐν τῇ τῶν πτωμάτων ἐπιδείκνυσο διορθώσει. «Ἐὰν προληφθῇ». Οὐκ εἶπεν, 'ἐὰν ἁμάρτῃ', ἀλλ' ἐπὶ εἶδος ἁμαρτίας κατέφυγε συγγνώμην ἔχον. Τὸ γάρ, «Ἐὰν προληφθῇ», τουτέστιν, ἐὰν ἐπηρεασθῇ, ἐὰν ἀπατηθῇ, οὐ τὸν ἐκ μελέτης ἁμαρτήσαντα λέγων, ἀλλὰ τὸν σπουδάζοντα μὲν κατορθῶσαι, ὑπὸ περιστάσεως δὲ διαβολικῆς ὑποσκελιζόμενον. Ὁ γὰρ τοιοῦτος οὐ τοσοῦτον κατηγορίας ὅσον συγγνώμης ἐστὶν ἄξιος.

«Ἐὰν καὶ προληφθῇ ἄνθρωπος». Πάλιν ἐφ' ἕτερον εἶδος συγγνώμης κατέφυγε, τῆς φύσεως τὴν ἀσθένειαν, ἣν διὰ τῆς προσηγορίας ᾐνίξατο. Καθάπερ οὖν ὁ μέγας Ἰὼβ ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ συγγνώμην βουλόμενος, ἔλεγε, «Τί ἐστιν ἄνθρωπος, ὅτι λογίζῃ αὐτόν, καὶ ἐπισκοπὴν ἐποιήσω τῶν ἁμαρτημάτων αὐτοῦ;», οὕτω καὶ ἡμεῖς ποιῶμεν, ὅταν τινὰ τῶν ἡμαρτηκότων ἐξαιτώμεθα, ἄνθρωπός ἐστι συνεχῶς λέγοντες, καὶ τῆς φύσεως ἀναμιμνήσκοντες, καὶ ταύτῃ πρὸς ἔλεον ἐφελκόμενοι τὸν ἀγανακτοῦντα. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἐπὶ τὴν φύσιν καὶ τὴν εὐτέλειαν αὐτῆς κατέφυγεν εἰπών, «Ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι». Οὐχ ἁπλῶς τὰ μεγάλα λέγει ἁμαρτήματα, τὰ συγγνώμης μείζονα καὶ τὰ φιλανθρωπίας οὐκ ἄξια, ἀλλὰ τὰ

κεῖνα. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει ὁ Παῦλος· «Ἀδελφοί, ἂν κάποιος ἄνθρωπος ὑποπέσει σὲ κάποιο παράπτωμα, σεῖς οἱ πνευματικοὶ νὰ διορθώνετε αὐτὸν προσέχοντας τὸν ἑαυτό σας νὰ μὴ πέσετε καὶ σεῖς σὲ πειρασμό»[4].

«Ἄριστη παραίνεση, ὁλοκληρωμένη συμβουλή, ποὺ περιλαμβάνει πολὺ ἐνδιαφέρον καὶ δείχνει σπλάχνα πατρικά· πράγματι, ἀδελφοί, τὰ λόγια εἶναι βγαλμένα ἀπὸ τὴ γλώσσα τοῦ Παύλου. Ἀμέσως μὲ τὸ ὄνομα τῆς συγγένειας ἀπέσπασε τὴν εὔνοια τοῦ ἀκροατῆ. Τοὺς ἴδιους πόνους τοκετοῦ ἔλυσες μ' αὐτόν, μὲ τὶς ἴδιες τροφὲς τράφηκες, τὸν ἴδιο πατέρα εἶχες, ἔλαβες μέρος μαζὶ μ' αὐτὸν στὴν ἴδια πνευματικὴ ἀναγέννηση· τὴ συγγένεια λοιπὸν αὐτὴ δεῖξε καὶ στὴ διόρθωση τῶν παραπτωμάτων. «Ἐὰν προληφθῇ». Δὲν εἶπε, 'ἂν ἁμαρτήσει', ἀλλὰ κατέφυγε σὲ εἶδος ἁμαρτίας ποὺ ἐπιδέχεται συγγνώμη. Διότι τὸ «Ἐὰν προληφθῇ» σημαίνει, ἂν δοκιμασθεῖ, ἂν ἀπατηθεῖ, δὲν ἐννοεῖ αὐτὸν ποὺ ἁμαρτάνει ἐκ προθέσεως, ἀλλ' ἐκεῖνον ποὺ φροντίζει μὲν νὰ ἐπιτύχει κάποιο κατόρθωμα, ἀλλ' ὑποσκελίζεται ἀπὸ διαβολικὴ ἐπίδραση. Διότι ὁ ἄνθρωπος αὐτὸς δὲν εἶναι τόσο πολὺ ἄξιος κατηγορίας, ὅσο εἶναι συγγνώμης.

«Ἐὰν ἐπηρεασθεῖ ὁ ἄνθρωπος καὶ πέσει σὲ παράπτωμα». Πάλι σὲ ἄλλο εἶδος συγγνώμης κατέφυγε, τὴν ἀδυναμία τῆς φύσεως, τὴν ὁποία ὑπαινίχθηκε μὲ τὸ ὄνομα. Ὅπως ἀκριβῶς δηλαδὴ ὁ μέγας Ἰώβ, θέλοντας ν' ἀποσπάσει συγγνώμη ἐκ μέρους τοῦ Θεοῦ, ἔλεγε, «Τί εἶναι ὁ ἄνθρωπος, ὥστε νὰ τὸν σκέφτεσαι καὶ νὰ φροντίζεις γιὰ τὴν θεραπεία τῶν ἁμαρτημάτων του;»[5], ἔτσι καὶ ἐμεῖς ἂς κάμνουμε, ὅταν ζητοῦμε συγγνώμη γιὰ κάποιον ποὺ ἁμάρτησε, λέγοντας συνέχεια, ἄνθρωπος εἶναι, καὶ νὰ ὑπενθυμίζουμε τὴ φύση του, καὶ μὲ τὸν τρόπο αὐτὸ νὰ προσελκύουμε τὸν λυπημένο ἄνθρωπο. Γι' αὐτὸ καὶ ὁ Παῦλος κατέφυγε στὴ φύση τοῦ ἀνθρώπου καὶ τὴν εὐτέλεια αὐτῆς, λέγοντας, «Ἂν ἐπηρεασθεῖ ὁ ἄνθρωπος καὶ πέσει σὲ κάποιο παράπτωμα». Δὲν ἐννοεῖ γενικὰ τὰ μεγάλα ἁμαρτήματα, ποὺ δὲν συγχωροῦνται εὔκολα καὶ δὲν εἶναι ἄξια τῆς φιλανθρωπίας, ἀλλὰ τὰ μικρὰ καὶ εὐκολοθεράπευτα. «Σεῖς οἱ πνευματικοί».

4. Γαλ. 6, 1.

5. Ἰὼβ 7, 17-18.

μικρὰ καὶ κατεσταλμένα. «Ὑμεῖς οἱ πνευματικοί». Ὁ μὲν ἁμαρτών, ἄνθρωπος, οἱ δὲ κατορθοῦντες, πνευματικοί. Ἐκεῖ τῆς φύσεως εἶπε τὸ ὄνομα, ἐνταῦθα τῆς ἀρετῆς ἔθηκε τὴν προσηγορίαν. Πολὺ δὲ τὸ μέσον τοῦ ἀνθρώπου καὶ τοῦ πνευματικοῦ. «Ὑμεῖς οἱ πνευματικοί». Εἰ πνευματικὸς εἶ, δεῖξόν μοι τὴν ἰσχύν σου, μὴ ἀπὸ τῆς σῆς σωτηρίας, ἀλλὰ καὶ ἀπὸ τῆς ἐμῆς σωτηρίας, ἀλλὰ καὶ ἀπὸ τῆς βοηθείας τῆς εἰς τοὺς πεπτωκότας. Τοῦτο γὰρ πνευματικοῦ, μὴ περιορᾶν τὰ οἰκεῖα μέλη ἠμελημένα. «Καταρτίζετε τὸν τοιοῦτον». Ἀχείρωτον ποιεῖτε, φησίν, ἀκαταγώνιστον, ἄμαχον τῷ διαβόλῳ, «Σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς».

2. Αὕτη μεγίστη συμβουλή, ἀναγκαστικὴ παραίνεσις. Κἂν λίθος ᾖ ὁ ἀκούων, ἱκανὸν αὐτόν φοβῆσαι τὸ ῥῆμα, καὶ πρὸς ἀνάληψιν διεγεῖραι τοῦ πεπτωκότος. Οὐ βούλει, φησίν, ὡς ἀδελφὸς ἐλεῆσαι; οὐ βούλει ὡς ἀνθρώπῳ ὄντι δοῦναι συγγνώμην; οὐ βούλει ὡς πνευματικὸς χεῖρα ὀρέξαι; Τὰ κατὰ σαυτὸν σκόπησον, καὶ οὐ δεήσῃ τοῦ συμβουλεύοντος, ὥστε βοηθῆσαι τῷ κειμένῳ, ἀλλ' οἴκοθεν καὶ παρὰ σαυτοῦ δέξαι τὴν παραίνεσιν. Πῶς καὶ τίνι τρόπῳ; «Σκοπῶν σεαυτόν», φησί, «μὴ καὶ σὺ πειρασθῇς». Οὐκ εἶπε, 'πάντως γὰρ καὶ σὺ ἁμαρτήσῃ', ἵνα μὴ φορτικώτερον ποιήσῃ τὸν λόγον, ἀλλὰ πῶς; «Μή ποτε καὶ σὺ πειρασθῇς». Ἴσως δὲ ἁμαρτήσῃ, ἴσως δὲ οὐχ ἁμαρτήσῃ. Ἐπεὶ οὖν ἄδηλον τὸ μέλλον, προαπόθου σοι φιλανθρωπίας ἔρανον, δι' ὧν εἰς τὸν πλησίον ποιεῖς, ἣν ποτε περιτραπείης, πολλὴν εὑρήσεις συγγνώμης ἀποθήκην ἀποκειμένην. Οὐκ εἶπε, 'μή ποτε καὶ σὺ ἁμάρτῃς, μή ποτε καὶ σὺ πέσῃς' (προσέχετε ἀκριβῶς τῇ δυ-

6. Γαλ. 6, 1.

Ἐκεῖνος μὲν ποὺ ἁμαρτάνει εἶναι ὁ ἄνθρωπος, αὐτοὶ δὲ ποὺ κατορθώνουν νὰ τὸν σώσουν εἶναι οἱ πνευματικοί. Ἐκεῖ ἀνέφερε τὸ ὄνομα τῆς φύσεως, ἐδῶ ἔθεσε τὸ ὄνομα τῆς ἀρετῆς. Μεγάλη δὲ εἶναι ἡ ἀπόσταση μεταξὺ τοῦ ἀνθρώπου καὶ τοῦ πνευματικοῦ. «Σεῖς οἱ πνευματικοί». Ἂν εἶσαι πνευματικός, δεῖξε μου τὴ δύναμή σου, ὄχι ἀπὸ τὴ δική σου σωτηρία, ἀλλὰ καὶ ἀπὸ τὴ δική μου σωτηρία, καὶ ἀπὸ τὴ βοήθειά σου πρὸς αὐτοὺς ποὺ ἔχουν ἁμαρτήσει. Διότι αὐτὸ εἶναι τὸ γνώρισμα τοῦ πνευματικοῦ, τὸ νὰ μὴ ἀφήνει τὰ δικά του μέλη παραμελημένα. «Νὰ τὸν διορθώνετε αὐτὸν τὸν ἄνθρωπο». Νὰ τὸν κάμνετε, λέγει, ἀκατάβλητο, ἀκατανίκητο, ἀκαταμάχητο στὸ διάβολο. «Καὶ νὰ προσέχεις τὸν ἑαυτό σου, μήπως καὶ σὺ πέσεις σὲ πειρασμό».

2. Αὐτὴ εἶναι μέγιστη συμβουλή, ἀναγκαστικὴ παραίνεση. Καὶ ἂν ἀκόμα εἶναι λίθος ὁ ἀκροατής, εἶναι ἱκανὸς αὐτὸς ὁ λόγος νὰ τὸν φοβήσει καὶ νὰ παρακινήσει τὸν πνευματικὰ πεσμένο νὰ ἐπανορθώσει τὸ σφάλμα του. Δὲν θέλεις, λέγει, νὰ τὸν ἐλεήσεις σὰν ἀδελφός; δὲν θέλεις νὰ τοῦ δώσεις συγχώρηση σὰν ἄνθρωπος ποὺ εἶναι; δὲν θέλεις νὰ τοῦ δώσεις χέρι βοήθειας σὰν πνευματικός; κάνε ἐξέταση τοῦ ἑαυτοῦ σου καὶ δὲν θὰ χρειασθεῖς κάποιον νὰ σὲ συμβουλεύσει γιὰ νὰ βοηθήσεις τὸν πεσμένο, ἀλλ', ἀπὸ μόνος σου καὶ ἀπὸ τὸν ἑαυτό σου δέξου τὴ συμβουλή. Πῶς καὶ μὲ ποιὸ τρόπο; «Σκεπτόμενος καὶ προσέχοντας», λέγει, «μήπως καὶ σὺ πέσεις σὲ πειρασμό»[6]. Δὲν εἶπε, 'διότι ὁπωσδήποτε καὶ σὺ θ' ἁμαρτήσεις', γιὰ νὰ μὴ κάνει τὸ λόγο πιὸ βαρύ, ἀλλὰ τί λέγει; «Μὴ τυχὸν καὶ σὺ κάποτε πέσεις σὲ πειρασμό». Ἴσως δὲ ν' ἁμαρτήσεις, ἴσως δὲ νὰ μὴ ἁμαρτήσεις. Ἐπειδὴ λοιπὸν εἶναι ἄγνωστο τὸ μέλλον, δῶσε ἀπὸ πρὶν τὴ συνεισφορὰ τῆς φιλανθρωπίας σου, καὶ μὲ αὐτὰ ποὺ κάμνεις στὸν πλησίον σου, ἂν κάποτε συμβεῖ νὰ ξεφύγεις ἀπὸ τὸν ὀρθὸ δρόμο τῆς ζωῆς, θὰ βρεῖς πολλὴ συγγνώμη φυλαγμένη σὰν σὲ ἀποθήκη. Δὲν εἶπε, 'μήπως καὶ σὺ κάποτε ἁμαρτήσεις, μήπως καὶ σὺ κάποτε πέσεις' (προσέχετε μὲ ἀκρίβεια τὴ δύναμη τῶν

νάμει τῶν ρημάτων αὐτῶν), ἀλλά, «Μή ποτε καὶ σὺ πειρασθῇς».

Ἔδειξεν ὅτι πειρατὴν ἔχομεν ἐχθρόν· ὁ δὲ πειρατὴς οὐχ ὡμολογημένον τῆς ἐπιθέσεως τὸν καιρὸν ἔχει, ἀλλὰ πολλάκις ἡμῖν καὶ καθεύδουσι καὶ ῥαθυμοῦσιν ἐπιτίθεται· διὰ τοῦτο κἀκεῖνος ὁ προληφθεὶς συγγνώμης ἄξιος, ἐπειδὴ ὑπὸ πειρατοῦ ἑάλω. Οὐ γὰρ ἦν αὐτῷ φανερὰ ἡ μάχη, οὐδὲ ὡμολογημένος ὁ καιρὸς τοῦ πολέμου, ἀλλὰ ἀγνοοῦντι ἐπέθετο, καὶ διὰ τοῦτο περιεγένετο. Οὕτω καὶ οἱ πλέοντες τὴν θάλατταν τὴν μεγάλην ταύτην καὶ εὐρύχωρον ποιοῦσι. Κἂν ἐξουρίων αὐτοῖς φέρηται τὸ σκάφος, κἂν πάσης ἀπολαύωσιν ἀσφαλείας, ἴδωσι δὲ πόρρωθεν ναυαγήσαντας ἑτέρους, οὐ πρὸς τὴν οἰκείαν εὐπρέπειαν βλέποντες, τῆς ἐκείνων καταφρονοῦσι συμφορᾶς, ἀλλὰ τὸ πλοῖον στήσαντες καὶ τὰς ἀγκύρας χαλάσαντες καὶ τὰ ἱστία καθελόντες, ἐξακοντίζουσι σχοίνους καὶ ῥίπτουσι σανίδας, ὥστε ἐκεῖνον τὸν ὑπὸ τῶν κυμάτων βαπτίζεσθαι μέλλοντα ἑνὸς τούτων ἐπιλαμβανόμενον, διαφεύγειν τὸ ναυάγιον.

Μίμησαι τοίνυν καὶ σὺ τοὺς ναύτας, ἄνθρωπε· καὶ γὰρ καὶ σὺ θάλατταν πλέεις μεγάλην καὶ εὐρύχωρον, τὸ μῆκος τοῦ παρόντος βίου, θάλατταν θηρία ἔχουσαν καὶ πειρατάς, θάλατταν σκοπέλους ἔχουσαν καὶ σπιλάδας, θάλατταν ὑπὸ κυμάτων ταραττομένην πολλῶν καὶ χειμώνων· καὶ πολλοὶ πολλάκις καὶ ἐν τῇ θαλάττῃ ταύτῃ ναυαγίῳ περιπίπτουσιν. Ὅταν οὖν ἴδῃς τινὰ τῶν πλεόντων ὑπό τινος περιστάσεως διαβολικῆς ἀπολέσαντα τὸν πλοῦτον τῆς σωτηρίας, καὶ κλυδωνιζόμενον, καὶ μέλλοντα ὑποβρύχιον γίνεσθαι, στῆσόν σου τὸ πλοῖον, κἂν ἑτέρωθι σπεύδῃς, προνόησον τῆς ἐκείνου σωτηρίας, τὰ κατὰ σαυτὸν ἀφείς. Οὐ γὰρ ἀνέχεται ἀναβολῆς, οὐδὲ βραδυτῆτος ὁ βαπτίζεσθαι μέλλων. Ἐπίστηθι τοίνυν ταχύ, ἐξάρπασον αὐτὸν ὀξέως τοῦ κλυδωνίου, πάντα κίνησον κάλων, ὥστε αὐτὸν ἀνιμήσασθαι ἐκ τοῦ βά-

λόγων αὐτῶν), ἀλλά, «Μὴ τυχὸν κάποτε καὶ σὺ πέσεις σὲ πειρασμό».

Ἔδειξε ὅτι ἔχομε ἐχθρὸ πειρατή[7]· ὁ δὲ πειρατὴς δὲν ἔχει προκαθορισμένο τὸ χρόνο τῆς ἐπιθέσεώς του, ἀλλὰ πολλὲς φορὲς μᾶς ἐπιτίθεται καὶ ἐνῶ κοιμόμαστε καὶ ἀναπαυόμαστε· γι' αὐτὸ καὶ εἶναι ἄξιος συγγνώμης ἐκεῖνος ποὺ κυριεύθηκε ξαφνικά, ἐπειδὴ κυριεύθηκε ἀπὸ πειρατή. Διότι δὲν ἦταν σ' αὐτὸν ἡ μάχη φανερή, οὔτε γνωστὸς ἀπὸ πρὶν ὁ καιρὸς τοῦ πολέμου, ἀλλὰ ἐπιτέθηκε σὲ κάποιον ποὺ δὲν τὸ γνώριζε καὶ γι' αὐτὸ τὸν νίκησε. Ἔτσι κάμνουν καὶ αὐτοὶ ποὺ διαπλέουν τὴ μεγάλη αὐτὴ καὶ εὐρύχωρη θάλασσα. Καὶ ἂν ἀκόμα τὸ σκάφος τους πλέει μὲ εὐνοϊκὸ ἄνεμο, καὶ ἂν ἀκόμα ἀπολαμβάνουν κάθε ἀσφάλεια, ἂν δοῦν ὅμως ἀπὸ μακριὰ ἄλλους ποὺ ναυάγησαν, δὲν φροντίζουν γιὰ τὴ δική τους ἀσφάλεια, ἀδιαφορώντας γιὰ τὴ συμφορὰ ἐκείνων, ἀλλ', ἀφοῦ σταματήσουν τὸ πλοῖο καὶ ρίξουν τὶς ἄγκυρες καὶ κατεβάσουν τὰ πανιά, πετοῦν σχοινιὰ καὶ ρίχνουν σανίδες, ὥστε, ἐκεῖνος ποὺ κινδυνεύει νὰ καταποντισθεῖ ἀπὸ τὰ κύματα, ἀφοῦ κρατηθεῖ ἀπὸ ἕνα ἀπ' αὐτά, νὰ διαφύγει τὸ ναυάγιο.

Μιμήσου λοιπόν, ἄνθρωπε, καὶ σὺ τοὺς ναῦτες· καθόσον καὶ σὺ θάλασσα πλέεις μεγάλη καὶ εὐρύχωρη, τὸ μῆκος δηλαδὴ τῆς παρούσας ζωῆς, θάλασσα ποὺ ἔχει θηρία καὶ πειρατές, θάλασσα ποὺ ἔχει σκοπέλους καὶ βράχους, θάλασσα ποὺ ταράσσεται ἀπὸ πολλὰ κύματα καὶ κακοκαιρίες, καὶ πολλοὶ εἶναι ἐκεῖνοι πολλὲς φορὲς ποὺ ναυαγοῦν σ' αὐτὴ τὴ θάλασσα. Ὅταν λοιπὸν δεῖς κάποιον ἀπὸ αὐτοὺς ποὺ τὴ διαπλέουν ποὺ νὰ ἔχασε, ἐξ αἰτίας κάποιας διαβολικῆς περιστάσεως, τὸν πλοῦτο τῆς σωτηρίας του καὶ νὰ κλυδωνίζεται καὶ νὰ κινδυνεύει νὰ καταποντισθεῖ, σταμάτησε τὸ πλοῖο σου, καὶ ἂν ἀκόμα ὁ δρόμος σου εἶναι γιὰ ἀλλοῦ, φρόντισε γιὰ τὴ σωτηρία ἐκείνου, ἀφήνοντας κατὰ μέρος τὰ δικά σου. Διότι ἐκεῖνος ποὺ κινδυνεύει νὰ καταποντισθεῖ δὲν ἐπιδέχεται ἀναβολή, οὔτε ἀργοπορία. Σταμάτησε λοιπὸν τὴν ἴδια στιγμή, ἅρπαξέ τον ἀμέσως ἀπὸ τὸ ναυάγιο, χρησιμοποίησε κάθε μέσο, ὥστε νὰ τὸν ἀνασύ-

7. Πρβλ. Α' Θεσ. 3, 5.

θους τῆς ἀπωλείας· κἂν μυρία σε ἕλκῃ πράγματα, μηδὲν ἔστω τῆς σωτηρίας τοῦ κάμνοντος ἀναγκαιότερον· κἂν γὰρ μικρὸν ἀναβαλέσθαι βουληθῇς, προδώσεις αὐτὸν τῇ τοῦ χειμῶνος ὀξύτητι. Διὸ τάχους ἡμῖν ἐν ταῖς τοιαύταις συμφοραῖς δεῖ, τάχους καὶ σπουδῆς ἐπιτεταμένης. Ἄκουσον πῶς Παῦλος ἐπείγεται, καὶ ἑτέρους διανίστησι πολλούς, ἰδών τινα ἄνθρωπον βυθίζεσθαι μέλλοντα. «Κυρώσατε εἰς αὐτὸν ἀγάπην», φησί, «μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος». Διὰ τοῦτο κελεύει ταχέως ὀρέξαι χεῖρα, ἵνα μή, μελλόντων ἡμῶν καὶ ἀναβαλλομένων, φθάσῃ καταποθῆναι ἐκεῖνος.

Γινώμεθα τοίνυν κηδεμονικοὶ περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους. Τοῦτο κεφάλαιον τῆς καθ' ἡμᾶς πολιτείας ἐστί, τοῦτο γνώρισμα, τὸ μὴ τὰ ἑαυτῶν σκοπεῖν μόνον, ἀλλὰ καὶ τὰ μέλη ἡμῶν διεστραμμένα διορθοῦν καὶ καταρτίζειν· τοῦτο δεῖγμα τῆς πίστεως μέγιστον. «Ἐν τούτῳ γὰρ γνώσονται», φησί, «πάντες, ὅτι μαθηταί μού ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους». Ἀγάπην δὲ δείκνυσι γνησίαν οὐ κοινωνία τραπέζης, οὐδὲ πρόσρησις ψιλή, οὐδὲ κολακεία ρημάτων, ἀλλὰ τὸ διορθῶσαι καὶ σκοπῆσαι τὸ συμφέρον τοῦ πλησίον, τὸ τὸν πεπτωκότα διαναστῆσαι, τὸ τῷ κειμένῳ χεῖρα ὀρέξαι τῆς οἰκείας ἀμελήσαντι σωτηρίας, καὶ πρὸ τῶν οἰκείων ἀγαθῶν τὰ τοῦ πλησίον ζητῆσαι. Τοῦτο ἀγάπης γνησίας. «Ἡ γὰρ ἀγάπη τὰ αὐτῆς οὐ βλέπει», ἀλλὰ πρὸ τῶν αὐτῆς τὰ τοῦ πλησίον ὁρᾷ, ἵνα δι' ἐκείνων τὰ αὐτῆς ἴδῃ. Ἐπεὶ καὶ ἐγὼ νῦν οὐχὶ δι' ἐμαυτὸν ἀποτείνω τοσούτους λόγους, ἀλλὰ δι' ὑμᾶς. Καὶ ὑμεῖς τοίνυν μὴ δι' ἑαυτοὺς ἀκούετε μόνον, ἀλλὰ καὶ δι' ἑτέρους τοὺς παρ' ὑμῶν παιδεύεσθαι μέλλοντας. Κα-

---

8. Β' Κορ. 2, 8· 7. 9. Ἰω. 13, 35. 10. Α' Κορ. 13, 5.

ρεις ἀπὸ τὸ βάθος τῆς ἀπώλειας· καὶ ἂν ἀκόμα σὲ ἀπασχολοῦν ἀμέτρητα πράγματα, τίποτε νὰ μὴ θεωρήσεις ἀναγκαιότερο ἀπὸ τὴ σωτηρία τοῦ ἀρρώστου· διότι ἔστω καὶ λίγο νὰ θελήσεις ν' ἀναβάλεις, θὰ τὸν προδώσεις λόγῳ τῆς ἀγριότητας τῆς κακοκαιρίας. Γι' αὐτὸ χρειάζεται ταχύτητα ἐκ μέρους μας στὶς συμφορὲς αὐτοῦ τοῦ εἴδους, ταχύτητα καὶ πάρα πολὺ μεγάλη φροντίδα. Ἄκουσε πῶς ὁ Παῦλος βιάζεται καὶ πολλοὺς ἄλλους παρακινεῖ, βλέποντας κάποιο ἄνθρωπο ποὺ κινδυνεύει νὰ καταποντισθεῖ. «Δείξατε πρὸς αὐτὸν μεγάλη ἀγάπη», λέγει, «μήπως αὐτὸς καταποθεῖ ἐξ αἰτίας τῆς ὑπερβολικῆς λύπης του»[8]. Γι' αὐτὸ δίνει ἐντολὴ ἀμέσως νὰ τὸν βοηθήσουμε, ὥστε νὰ μὴ καταποθεῖ ἐκεῖνος ἐξ αἰτίας τῆς δικῆς μας χρονοτριβῆς καὶ ἀναβολῆς.

Ἂς δείχνουμε λοιπὸν μεγάλη φροντίδα γιὰ τοὺς ἀδελφούς μας. Αὐτὸ εἶναι τὸ σπουδαιότερο πράγμα τοῦ δικοῦ μας χριστιανικοῦ τρόπου ζωῆς, αὐτὸ εἶναι τὸ γνώρισμα αὐτῆς, τὸ νὰ μὴ φροντίζουμε μόνο γιὰ τὰ δικά μας πράγματα, ἀλλὰ καὶ νὰ διορθώνουμε καὶ νὰ θεραπεύουμε τὰ ἀρρωστημένα μέλη μας· αὐτὸ εἶναι μέγιστο δεῖγμα τῆς πίστεώς μας. Διότι λέγει, «Ἀπὸ αὐτὸ θὰ γνωρίσουν ὅλοι οἱ ἄνθρωποι ὅτι εἶστε μαθητές μου, ἂν ἔχετε ἀγάπη ἀναμεταξύ σας»[9]. Ἀγάπη δὲ γνήσια δείχνει ὄχι ἡ συμμετοχὴ σὲ τράπεζα φαγητῶν, οὔτε ὁ ἁπλὸς χαιρετισμός, οὔτε τὰ κολακευτικὰ λόγια, ἀλλὰ τὸ νὰ διορθώσουμε τὸν πλησίον καὶ νὰ φροντίσουμε γιὰ τὸ συμφέρον του, τὸ νὰ ἀνορθώσουμε τὸν ἁμαρτωλό, τὸ νὰ βοηθήσουμε αὐτὸν ποὺ εἶναι πεσμένος καὶ ἔδειξε ἀδιαφορία γιὰ τὴ σωτηρία του, καὶ νὰ ἐπιζητοῦμε πρὶν ἀπὸ τὰ δικά μας τὰ ἀγαθὰ τοῦ πλησίον μας. Αὐτὸ εἶναι δεῖγμα γνήσιας ἀγάπης. «Διότι ἡ ἀγάπη δὲν προσέχει τὰ δικά της»[10], ἀλλὰ φροντίζει πρὶν ἀπὸ τὰ δικά της γιὰ τὰ τοῦ πλησίον, φορντίζοντας ἔτσι γιὰ τὰ δικά της. Διότι καὶ ἐγὼ τώρα σᾶς ἀπευθύνω τόσους πολλοὺς λόγους ὄχι γιὰ μένα, ἀλλὰ γιὰ σᾶς. Καὶ σεῖς λοιπὸν μὴ τοὺς ἀκοῦτε μόνο γιὰ τοὺς ἑαυτούς σας, ἀλλὰ καὶ γιὰ ἄλλους ποὺ πρόκειται νὰ διδαχθοῦν ἀπὸ

τὰ γὰρ τὴν ἀκολουθίαν τῶν μελῶν καὶ τὸ τῆς Ἐκκλησίας τρέφεται σῶμα.

Ὥσπερ οὖν τὸ μέλος, ἐὰν κατάσχῃ παρ' ἑαυτῷ τὴν τροφὴν πᾶσαν, καὶ μὴ μεταδῷ τῷ πλησίον, καὶ ἑαυτὸ λυμαίνεται, καὶ τὸ λοιπὸν διαφθείρει σῶμα· οἷον ὁ στόμαχος, ἐὰν τὴν τροφὴν αὐτὸς κατάσχῃ μόνος, καὶ τὸ λοιπὸν σῶμα τῷ λιμῷ κατατήκει, καὶ ἑαυτὸν ὑπὸ τῆς ἀμετρίας διαφθείρει· ἂν δὲ τὸ ἀρκοῦν λαβὼν κατὰ τὴν φυσικὴν ἀκολουθίαν, τὸ λοιπὸν τοῖς ἑτέροις παραπέμψῃ μέλεσι, καὶ ἑαυτὸν καὶ τὸ λοιπὸν σῶμα ἐν ὑγιείᾳ διατηρεῖ. Οὕτω καὶ σὺ νῦν, ἂν ἀκούσας τὰ παρ' ἡμῶν κατάσχῃς, ἑτέρῳ δὲ μὴ μεταδῷς, κἀκεῖνον ἐζημίωσας καὶ σεαυτὸν διέφθειρας, χαλεπώτατα νοσήματα ἐπισπασάμενος, νωθείαν καὶ φθόνον. Ἢ γὰρ διὰ πονηρίαν, ἢ δι' ἀργίαν καὶ ῥᾳθυμίαν οὐ μεταδίδομεν ἑτέροις. Ὁπότερον δὲ ἂν ᾖ τούτων, ἱκανὸν ἀπολέσαι τὸν ἔχοντα. Ἂν δὲ ἀφθόνως καὶ εἰς ἑτέρους παραπέμψῃς τὴν τροφήν, καὶ ἑαυτὸν καὶ ἐκεῖνον ὠφέλησας. Ἀλλ' ὑπὲρ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα. Δεῖ δὲ λοιπὸν ἐπὶ τὴν ἀκολουθίαν ἐλθεῖν τῶν πρῴην λεχθέντων.

3. Τίνα οὖν ἦν ἐκεῖνα; Περὶ Σαύλου καὶ Παύλου τότε ἐζητοῦμεν, διὰ τί ποτὲ μὲν Σαῦλος, ποτὲ δὲ Παῦλος ἐλέγετο· εἶτα ἐξέβημεν ἐκ τῆς ἀκολουθίας ταύτης εἰς ὀνομάτων ἱστορίαν πολλήν. Καὶ ἐπειδὴ ἐξέβημεν ἀπ' αὐτῶν, οὐκ ἔδοξεν ἡμῖν ἄξιον εἶναι παραδραμεῖν τὴν ἐμπορίαν ἐκείνην. Εἰ γὰρ καὶ διὰ Παῦλον ἤλθομεν ἐπὶ τὴν ὑπόθεσιν ταύτην, ἀλλ' ὅμως καὶ τὴν τῶν ἄλλων ὀνομάτων εὕρεσιν ἐμπορεύσασθαι ἔγνωμεν. Οὕτω καὶ οἱ τὴν θάλατταν πλέοντες κατ' ἐμπορίαν ποιοῦσι πολλάκις, ὑπὲρ πραγματείας ὀλίγων τινῶν ἐπιδημήσαντες· ἐπειδὰν εἰς τὴν πόλιν ἐλθόντες, εἰς ἣν ἐστέλλοντο, ἴδωσι καὶ ἑτέρων ἀγωγίμων ἔχουσαν ἀφθονίαν,

σᾶς. Διότι τὸ σῶμα τῆς Ἐκκλησίας τρέφεται ἀπὸ τὴν ἀμοιβαία φροντίδα τῶν μελῶν του.

Ὅπως ἀκριβῶς λοιπὸν τὸ μέλος, ἐὰν κρατήσει γιὰ τὸν ἑαυτό του ὅλη τὴν τροφὴ καὶ δὲν τὴ μεταδώσει στὸ μέλος ποὺ εἶναι πλησίον του, καὶ τὸν ἑαυτό του καταστρέφει καὶ τὸ ὑπόλοιπο σῶμα διαφθείρει· γιὰ παράδειγμα τὸ στομάχι, ἐὰν κρατήση μόνο του τὴ τροφή, καὶ τὸ ὑπόλοιπο σῶμα τὸ λειώνει ἀπὸ τὴν πείνα, καὶ τὸν ἑαυτό του καταστρέφει μὲ τὴν ὑπερβολικὴ ποσότητα· ἂν ὅμως, ἀφοῦ λάβει αὐτὸ ποὺ τοῦ εἶναι ἀπαραίτητο, σύμφωνα μὲ τὴ φυσικὴ ἀναγκαιότητα, τὸ δὲ ὑπόλοιπο τὸ παραπέμψει στὰ ἄλλα μέλη, διατηρεῖ τότε ὑγιὴ καὶ τὸν ἑαυτό του καὶ τὸ ὑπόλοιπο σῶμα. Ἔτσι καὶ σὺ τώρα, ἂν κρατήσεις αὐτὰ ποὺ ἄκουσες ἀπὸ ἐμένα, δὲν τὰ μεταδώσεις δὲ σ' ἄλλον, καὶ ἐκεῖνον ζημίωσες, καὶ τὸν ἑαυτό σου ἔβλαψες, ἀποσπώντας γιὰ τὸν ἑαυτό σου φοβερότατα νοσήματα, τὴ νωθρότητα καὶ τὸ φθόνο. Διότι δὲν τὰ μεταδίδουμε στοὺς ἄλλους ἢ ἀπὸ κακία, ἢ ἀπὸ ὀκνηρία καὶ ραθυμία. Ὅποιο δὲ καὶ ἂν εἶναι ἀπὸ τὰ δύο, εἶναι ἱκανὸ νὰ καταστρέψει αὐτὸν ποὺ τὸ ἔχει. Ἂν ὅμως δώσεις τὴν τροφὴ μὲ ἀφθονία καὶ σ' ἄλλους, ὠφέλησες καὶ τὸν ἑαυτό σου καὶ ἐκεῖνον. Ἀλλὰ γι' αὐτὰ μὲν εἶναι ἀρκετὰ τὰ ὅσα ἔχουν λεχθεῖ. Πρέπει πλέον νὰ ἔρθουμε στὴ συνέχεια ἐκείνων ποὺ λέχθηκαν προηγουμένως.

3. Ποιὰ λοιπὸν ἦταν ἐκεῖνα; Ἐξετάζαμε τὰ σχετικὰ μὲ τὸν Σαῦλο καὶ τὸν Παῦλο· γιατί δηλαδὴ κάποτε μὲν ὀνομαζόταν Σαῦλος, κατόπιν δὲ Παῦλος· ἔπειτα ξεφύγαμε ἀπὸ τὴ συνέχεια αὐτὴ καὶ μιλήσαμε γιὰ τὴν ἱστορία πολλῶν ὀνομάτων. Καὶ ἐπειδὴ ξεφύγαμε ἀπ' αὐτά, δὲν θεωρήσαμε καλὸ νὰ παραβλέψουμε τὴν ὠφέλεια ἐκείνη. Διότι ἂν καὶ ἐξ αἰτίας τοῦ Παύλου ἤρθαμε στὴν ὑπόθεση αὐτή, ἀλλ' ὅμως κρίναμε ἄξιο ν' ἀποκομίσουμε κέρδος καὶ ἀπὸ τὴν ἐξέταση τῶν ἄλλων ὀνομάτων. Ἔτσι κάμνουν πολλὲς φορὲς καὶ ἐκεῖνοι ποὺ διαπλέουν τὴ θάλασσα μὲ σκοπὸ τὸ κέρδος, καὶ φεύγουν μακριὰ γιὰ τὴν ἐμπορία μόνο λίγων πραγμάτων· ἀφοῦ ἔρθουν στὴν πόλη τοῦ προορισμοῦ τους καὶ δοῦν νὰ ὑπάρχει ἀφθονία καὶ ἄλλων ἐμπορευ-

πολλῷ πλείονα τῆς παρεσκευασμένης ποιοῦνται τὴν ἐμπορίαν. Κἂν ἐγκαλέσῃ τις, ταῦτα λέγουσι τὰ ῥήματα· μακράν, φασίν, ἤλθομεν ὁδόν, πολλοὺς χειμῶνας ὑπεμείναμεν, πολλοὺς κινδύνους, διαπόντιον ἀποδημίαν ἐστειλάμεθα· τί δὴ κωλύει ἀφθονοτέραν γενέσθαι τὴν πραγματείαν ἡμῖν; Ταῦτα δὴ καὶ ἡμεῖς ἀπολογώμεθα. Καὶ γὰρ ἡμεῖς ζητοῦντες περὶ τῶν ὀνομάτων τοῦ Παύλου, εὕρομεν ἐκ τῆς ἀκολουθίας καὶ ἑτέραν ἐμπορίαν ὀνομάτων, οἷόν τι ὁ Πέτρος Σίμων ἐκαλεῖτο πρὸ τούτου, καὶ οἱ υἱοὶ Ζεβεδαίου Ἰάκωβος καὶ Ἰωάννης υἱοὶ βροντῆς ὠνομάσθησαν.

Εὕρομεν καὶ ἐν τῇ Παλαιᾷ τὸν Ἀβραὰμ πρὸ τούτου μὲν Ἄβραμ καλούμενον, μετὰ δὲ ταῦτα Ἀβραάμ, καὶ τὸν Ἰακὼβ Ἰσραὴλ μετακληθέντα, καὶ τὴν Σάρραν Σάραν. Εὕρομεν πρὸς τούτοις, ὅτι ἕτεροί τινες οὐ μετωνομάσθησαν, ὥσπερ οὗτοι, ἀλλ' ἐξαρχῆς ἔλαβον τὰ ὀνόματα, ὥσπερ Ἰωάννης ὁ Βαπτιστής, ὡς ὁ Ἰσαάκ, ὡς τὸ Ἀδάμ. Ἄτοπον τοίνυν ἡμῖν ἔδοξεν εἶναι καὶ βλακείας ἐσχάτης, τοσοῦτον ἀπὸ τῶν χειρῶν ῥῖψαι θησαυρόν. Διὰ τοῦτο μακρότερον ἐποιήσαμεν τὸν λόγον, καὶ περὶ τῶν ἐξαρχῆς ὀνομασθέντων πρῴην εἰπόντες, σήμερον διανοούμεθα περὶ τῶν διωνύμων εἰπεῖν, ὧν εἷς ἐστιν ὁ Ἀβραάμ. Ὁ μὲν γὰρ Ἀδὰμ τοῦτο ἐκλήθη διαπαντὸς τὸ ὄνομα, καὶ οὐκ ἔσχεν ἕτερον· και ὁ Ἰσαὰκ οὕτω πάλιν οὐκ ἐδέξατο δευτέραν προσηγορίαν, ἀλλ' ἐξ ἀρχῆς μέχρι τέλους Ἰσαὰκ ἐλέγετο· ὁ δὲ τοῦ Ἰσαὰκ πατὴρ Ἄβραμ πρὸ τούτου μὲν ἐλέγετο, μετὰ δὲ ταῦτα Ἀβραάμ. Εἶπε γὰρ πρὸς αὐτὸν ὁ Θεός, φησίν, «Οὐκέτι ἔσται τὸ ὄνομά σου Ἄβραμ, ἀλλὰ Ἀβραὰμ κληθήσεται τὸ ὄνομά σου». Καὶ γὰρ Ἀβραὰμ ἐκαλεῖτο τὸ πρότερον, ἀλλὰ τοῦτο τὸ ὄνομα οὐκ ἔστιν ἑλληνικόν, οὐδὲ τῇ ἡμετέρᾳ γλώττῃ, ἀλλὰ τῇ τῶν Ἑβραίων οὕτω λέγεται.

---

11. Γέν. 17, 5.

μάτων, προμηθεύονται πολὺ περισσότερα ἐμπορεύματα ἀπὸ ἐκεῖνα ποὺ εἶχαν προγραμματισμένα. Καὶ ἂν τοὺς κατηγορήσει κάποιος, αὐτὰ τὰ λόγια λέγουν· διανύσαμε, λέγουν, μακρὺ δρόμο, ὑπομείναμε πολλὲς κακοκαιρίες, πολλοὺς κινδύνους, κάναμε ὑπερπόντιο ταξίδι, τί λοιπὸν μᾶς ἐμποδίζει νὰ αὐξήσουμε κατὰ πολὺ περισσότερο τὴν ποσότητα τῶν ἐμπορευμάτων; Αὐτὴ λοιπὸν τὴ δικαιολογία προβάλλομε καὶ ἐμεῖς. Καθόσον καὶ ἐμεῖς ἐξετάζοντας τὰ σχετικὰ μὲ τὰ ὀνόματα τοῦ Παύλου, βρήκαμε στὴ συνέχεια καὶ ἄλλη ἐμπορία ὀνομάτων, ὅπως τὸ ὅτι ὁ Πέτρος ὀνομαζόταν Σίμων πρὶν λάβει τὸ ὄνομα αὐτό, καὶ οἱ υἱοὶ τοῦ Ζεβεδαίου Ἰάκωβος καὶ Ἰωάννης ὀνομάσθηκαν 'υἱοὶ βροντῆς'.

Βρήκαμε καὶ στὴν Παλαιὰ Διαθήκη τὸν Ἀβραὰμ ποὺ ὀνομαζόταν πρὶν μὲν λάβει τὸ ὄνομα αὐτὸ Ἅβραμ, στὴ συνέχεια δὲ ὀνομάσθηκε Ἀβραάμ, καὶ τὸν Ἰακὼβ ποὺ μετονομάσθηκε Ἰσραήλ, καὶ τὴ Σάρρα ποὺ ὀνομαζόταν πρῶτα Σάρα. Βρήκαμε ἐπὶ πλέον, ὅτι μερικοὶ ἄλλοι δὲν ἄλλαξαν ὀνόματα, ὅπως ἀκριβῶς αὐτοί, ἀλλ' ἀπὸ τὴν ἀρχὴ ἔλαβαν τὰ ὀνόματα, ὅπως ἀκριβῶς Ἰωάννης ὁ Βαπτιστής, ὅπως ὁ Ἰσαάκ, ὅπως ὁ Ἀδάμ. Θεωρήσαμε λοιπὸν ὅτι εἶναι παράλογο καὶ ἡ χειρότερη μορφὴ βλακείας, τὸ νὰ ρίξουμε ἀπὸ τὰ χέρια μας ἕνα τόσο μεγάλο θησαυρό. Γι' αὐτὸ μακρύναμε τὸ λόγο καί, ἀφοῦ μιλήσαμε πρῶτα γιὰ ἐκείνους ποὺ ἀπὸ τὴν ἀρχὴ ἔλαβαν τὰ ὀνόματα, σήμερα σκεπτόμαστε νὰ μιλήσουμε γι' αὐτοὺς ποὺ ἔχουν δύο ὀνόματα, ἀπὸ τοὺς ὁποίους ἕνας εἶναι ὁ Ἀβραάμ. Διότι ὁ μὲν Ἀδὰμ ὀνομαζόταν μὲ αὐτὸ τὸ ὄνομα γιὰ πάντα, καὶ δὲν εἶχε ἄλλο ὄνομα· καὶ ὁ Ἰσαὰκ πάλι ὅμοια δὲν ἔλαβε δεύτερο ὄνομα, ἀλλ' ἀπὸ τὴν ἀρχὴ μέχρι τέλους ὀνομαζόταν Ἰσαάκ, ὁ πατέρας ὅμως τοῦ Ἰσαὰκ στὴν ἀρχὴ μὲν ὀνομαζόταν Ἅβραμ, στὴ συνέχεια δὲ ὀνομάσθηκε Ἀβραάμ. Διότι, λέγει, εἶπε πρὸς αὐτὸν ὁ Θεός, «Δὲν θὰ εἶναι πλέον τὸ ὄνομά σου Ἅβραμ, ἀλλὰ θὰ ὀνομασθεῖς Ἀβραάμ»[11]. Καθόσον Ἅβραμ ὀνομαζόταν στὴν ἀρχή, ἀλλὰ τὸ ὄνομα αὐτὸ δὲν εἶναι Ἑλληνικό, οὔτε ὑπάρχει στὴν δική μας γλώσσα, ἀλλὰ λέγεται ἔτσι στὴ γλώσσα τῶν Ἑβραίων.

Τί οὖν ἐστιν ἑρμηνευόμενον τὸ ὄνομα τοῦτο; Περάτης. Καὶ γὰρ τὸ Ἄβραμ τῇ Σύρων φωνῇ τὸ πέραν λέγεται, καὶ ἴσασιν ὅσοι τῆς φωνῆς ταύτης εἰσὶν ἔμπειροι. Πολλὴ δὲ τῇ Σύρων φωνῇ πρὸς τὴν τῶν Ἑβραίων γλῶτταν ἡ συγγένεια. Καὶ διὰ τί περάτης ἐλέγετο, φησίν; Ἡ Ἰουδαία χώρα, τουτέστιν, ἡ Παλαιστίνη πᾶσα, ἡ ἀπὸ τῆς Αἰγύπτου μέχρι τοῦ Εὐφράτου, κατ' ἀντικρὺ κεῖται τῆς Βαβυλωνίας, ὅθεν ἦν ὁ Ἀβραάμ· καὶ μέσος ῥεῖ δι' ἀμφοτέρων ὁ ποταμός, κοινὸν μεθόριον ὢν ἑκατέρας τῆς γῆς. Ἐπεὶ οὖν οὐκ ἀπὸ τῆς Παλαιστίνης ἦν, ἀλλ' ἀπὸ τοῦ πέραν ἦλθεν ἀπὸ τῆς Βαβυλωνίας, διὰ τοῦτο ἀπὸ τοῦ τόπου καὶ τοῦ πράγματος τὸ ὄνομα ἔλαβε, καὶ περάτης ἐλέγετο, ἐπειδὴ ἀπὸ τοῦ πέραν ἦλθε. Διὰ τί δὲ ἀπὸ τοῦ πέραν ἦλθεν; Ἐπειδὴ ὁ Θεὸς ἐκέλευσε. Καὶ διὰ τί ὁ Θεὸς ἐκέλευσεν; Ἵνα δείξῃ τὴν ὑπακοὴν τοῦ δικαίου. Καὶ πῶς ἐδείκνυ τὴν ὑπακοὴν τοῦ δικαίου; Ὅτι διὰ τὸ αὐτοῦ πρόσταγμα τὴν οἰκείαν ἀφείς, τὴν ἀλλοτρίαν ἀντὶ ἐκείνης ἠλλάξατο.

Εἶδες πόση πλέκεται σειρὰ ἀπὸ τῆς τοῦ δικαίου προσηγορίας; Ὁλόκληρον ἡμῖν πέλαγος ἱστορίας τὸ ὄνομα ἤνοιξε τοῦτο. Μάθε τοίνυν αὐτοῦ τὸ ὄνομα τὸ παλαιόν, ἵνα ὅταν ἴδῃς αὐτὸν τὴν Παλαιστίνην οἰκοῦντα, διὰ τῆς προσηγορίας αὐτοῦ πρὸς τὴν ἀρχαίαν πατρίδα χειραγωγούμενος, καὶ μανθάνων τὴν αἰτίαν, δι' ἣν αὐτὴν ἐγκατέλιπεν, ἱκανὴν πρὸς τὸν αὐτὸν ζῆλον λάβῃς παράκλησιν. Ἄνθρωπος γὰρ πρὸ νόμου καὶ τῆς ἐννόμου πολιτείας ὤν, τὴν ἐν τῇ χάριτι φιλοσοφίαν ἐπεδείξατο, καὶ ὅπερ ἔλεγεν ὕστερον ὁ Χριστὸς τοῖς ἀποστόλοις, «Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκ ἔστιν, ὅστις ἀφῆκεν οἰκίαν, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ὅς οὐχ ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει», τοῦτο ἐκεῖνος διὰ τῶν ἔργων πρὸ τῆς χάριτος ἐποίησεν. Οὐκ ἀπὸ τούτου δὲ μόνον τὴν φιλοσοφίαν ἐστὶν ἰδεῖν

---

12. Περάτης· αὐτὸς ποὺ περιπλανιέται ἢ ποὺ κατοικεῖ πέραν ποταμοῦ, ὁ διαβάτης.

13. Ματθ. 19, 28-29.

Τί σημαίνει λοιπὸν τὸ ὄνομα αὐτὸ ἑρμηνευόμενο; Περάτης[12]. Καθόσον τὸ ὄνομα Ἅβραμ στὴ γλώσσα τῶν Σύρων σημαίνει τὸ πέραν καὶ τὸ γνωρίζουν ὅσοι εἶναι γνῶστες αὐτῆς τῆς γλώσσας. Εἶναι δὲ μεγάλη ἡ συγγένεια τῆς γλώσσας τῶν Σύρων πρὸς τὴ γλώσσα τῶν Ἑβραίων. Καὶ γιατί, λέγει, ὀνομαζόταν περάτης; Ἡ χώρα τῶν Ἰουδαίων, δηλαδὴ ὁλόκληρη ἡ Παλαιστίνη, ποὺ ἁπλώνεται ἀπὸ τὴ Αἴγυπτο μέχρι τὸν Εὐφράτη, βρίσκεται ἀπέναντι στὴ Βαβυλώνα, ἀπὸ ὅπου καταγόταν ὁ Ἀβραάμ· καὶ ἀνάμεσα σ' αὐτὲς τὶς δυὸ χῶρες ρέει ὁ ποταμός, ποὺ εἶναι κοινὸ σύνορο τῆς κάθε μιᾶς χώρας. Ἐπειδὴ λοιπὸν δὲν καταγόταν ἀπὸ τὴν Παλαιστίνη, ἀλλ' ἦρθε ἀπὸ τὴ Βαβυλωνία ποὺ εἶναι πέραν τοῦ ποταμοῦ, γι' αὐτὸ ἀπὸ τὸν τόπο καὶ τὸ γεγονὸς αὐτὸ πῆρε τὸ ὄνομα, καὶ ὀνομαζόταν περάτης, ἐπειδὴ ἦρθε ἀπὸ τὴ χώρα πέραν τοῦ ποταμοῦ. Γιατί δὲ ἦρθε ἀπὸ τὴ χώρα πέραν τοῦ ποταμοῦ; Ἐπειδὴ ὁ Θεὸς τὸ πρόσταξε. Καὶ γιατί τὸ πρόσταξε ὁ Θεός; Γιὰ νὰ δείξει τὴν ὑπακοὴ τοῦ δικαίου. Καὶ πῶς ἔδειξε τὴν ὑπακοὴ τοῦ δικαίου; Μὲ τὸ ὅτι, ἀφοῦ ἄκουσε τὸ πρόσταγμά του, ἄφησε τὴ δική του χώρα καὶ τὴν ἀντάλλαξε μὲ τὴν ξένη.

Εἶδες πόσο πλῆθος συμβάντων σχετίζεται μὲ τὴν ὀνομασία τοῦ δικαίου; Ὁλόκληρο πέλαγος ἱστορίας μᾶς ἄνοιξε τὸ ὄνομα αὐτό. Μάθε λοιπὸν τὸ ὄνομα αὐτοῦ τὸ παλιό, ὥστε, ὅταν δεῖς αὐτὸν νὰ κατοικεῖ στὴν παλαιστίνη, ὁδηγούμενος ἀπὸ τὸ ὄνομά του πρὸς τὴν παλιὰ πατρίδα του καὶ μαθαίνοντας τὴν αἰτία γιὰ τὴν ὁποία ἐγκατέλειψε αὐτήν, νὰ λάβεις ἱκανὴ παρηγοριὰ στὸ νὰ δείξεις τὸν ἴδιο ζῆλο μὲ ἐκεῖνον. Διότι ἂν καὶ ἦταν ἄνθρωπος ποὺ ἔζησε πρὶν ἀπὸ τὸ νόμο καὶ τὴν ἔννομη πολιτεία, παρουσίασε τὴν εὐσέβεια τῆς ἐποχῆς τῆς χάριτος, καὶ ἐκεῖνο ἀκριβῶς ποὺ ἔλεγε ἀργότερα ὁ Χριστὸς στοὺς ἀποστόλους, «Ἀλήθεια σᾶς λέγω, δὲν ὑπάρχει κανένας, ποὺ ν' ἄφησε τὴν οἰκία του, ἢ τοὺς ἀδελφούς του, ἢ τὶς ἀδελφές του, ἢ τὸν πατέρα του, ἢ τὴ μητέρα του, ποὺ νὰ μὴ λάβει ἑκατονταπλάσια καὶ νὰ μὴ κληρονομήσει τὴν αἰώνια ζωή»[13], αὐτὸ ἔκαμε ἐκεῖνος μὲ τὰ ἔργα του πρὶν ἀπὸ τὴ χάρη. Καὶ ὄχι μόνο ἀπὸ αὐτὸ εἶναι

τοῦ δικαίου, ἀλλὰ καὶ ἀπὸ τῆς ὑποσχέσεως αὐτῆς τοῦ Θεοῦ. «Δεῦρο» γάρ, φησίν, «εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω». Εἰ γὰρ καὶ ἀμφότεραι αἰσθηταὶ αἱ πατρίδες, ἀλλ' ἡ μὲν οἰκεία ἦν, ἡ δὲ ἀλλοτρία· καὶ ἡ μὲν φανερά, ἡ δὲ ἄδηλος· καὶ ἡ μὲν ἐν χερσίν, ἡ δὲ ἐν ἐλπίσι· καὶ ὅμως τὰ φανερὰ καὶ δῆλα καὶ τὰ ἐν χερσὶν ἀφείς, πρὸς τὰ ἀφανῆ καὶ ἄδηλα, καὶ ὧν οὐκ ἦν κύριος ἔτρεχεν, ἵνα σε πείσῃ καὶ παιδεύσῃ, ὅταν ὁ Θεὸς τὰ μὲν δῆλα ἀφεῖναι κελεύῃ, πρὸς δὲ τὰ ἄδηλα βλέπειν, μὴ ἀντιλέγειν, μηδὲ ἀμφισβητεῖν. Οὐ γὰρ οὕτω δῆλά ἐστι τὰ ἐν χερσίν, ὡς ἐκεῖνα τὰ ἐν ἐλπίσιν· οὐχ οὕτω δήλη ἐστὶν ἡ παροῦσα ζωή, ὡς ἐκείνη ἡ μέλλουσα. Ταύτην μὲν γὰρ ὁρῶμεν τοῖς ἡμετέροις ὀφθαλμοῖς, ἐκείνην ὁρῶμεν τοῖς τῆς πίστεως ὀφθαλμοῖς· ταύτην ὁρῶμεν ἐν ταῖς ἡμετέραις χερσὶ κειμένην, ἐκείνην ὁρῶμεν καὶ ταῖς ἐπαγγελίαις τοῦ Θεοῦ φυλαττομένην, αἱ δὲ ἐπαγγελίαι τοῦ Θεοῦ πολλῷ δυνατώτεραι τῶν ἡμετέρων χειρῶν.

Βούλει μαθεῖν πῶς αὕτη μὲν ἡ ζωὴ ἡ παροῦσα ἐν ἀδήλῳ κεῖται διαπαντός, ἐκείνη δὲ ἡ μέλλουσα, ἡ δοκοῦσα ἄδηλος εἶναι, φανερωτέρα τῆς παρούσης ἐστὶ καὶ βεβαιοτέρα καὶ μόνιμος; Ἐξετάσωμεν, εἰ δοκεῖ, τὰ λαμπρὰ τῆς παρούσης ζωῆς, τὸν πλοῦτον, τὴν δόξαν, τὴν δυναστείαν, τὰς τιμὰς τὰς παρὰ ἀνθρώπων, καὶ ὄψει τούτων οὐδὲν ἀδηλότερον. Τί γὰρ ἀπιστότερον πλούτου, τοῦ μηδὲ μέχρι τῆς ἑσπέρας πολλάκις ἡμῖν παραμένοντος; Καθάπερ γὰρ δραπέτης ἀγνώμων ἀπὸ τούτου εἰς ἐκεῖνον συνεχῶς μεθίσταται, καὶ πάλιν ἀπὸ τούτου πρὸς ἄλλον. Τοιοῦτόν τι καὶ ἡ δόξα ἐστίν. Ὁ γὰρ πρὸ τούτου λαμπρὸς καὶ ἐπίσημος, ἄτιμος καὶ ἀνώνυμος ἐξαίφνης γίνεται· καὶ τὸ ἐναντίον πάλιν. Καὶ καθάπερ τὸν τροχὸν συνεχῶς στρεφόμενον οὐκ ἔστιν ὁρᾶν ἐπὶ τοῦ αὐτοῦ τῆς ἄντυγος μέρους, τῇ γὰρ πυκνότητι τῆς δίνης δια-

14. Γέν. 12, 1.

δυνατὸ νὰ διαπιστώσουμε τὴν εὐσέβεια τοῦ δικαίου, ἀλλὰ καὶ ἀπὸ τὴν ἴδια τὴν ὑπόσχεση τοῦ Θεοῦ. Διότι λέγει, «Πήγαινε στὴ χώρα ποὺ θὰ σοῦ δείξω»[14]. Διότι, ἂν καὶ οἱ δύο πατρίδες ἦταν αἰσθητές, ἀλλ' ἡ μὲν μία ἦταν δική του, ἡ δὲ ἄλλη ξένη· καὶ ἡ μὲν μία ἦταν γνωστή, ἡ δὲ ἄλλη ἄγνωστη· καὶ ἡ μὲν μία ἦταν στὰ χέρια του, ἡ δὲ ἄλλη στὶς ἐλπίδες του· καὶ ὅμως, ἀφοῦ ἄφησε τὰ φανερὰ καὶ γνωστὰ καὶ αὐτὰ ποὺ ἦταν χειροπιαστά, ἔτρεχε πρὸς τὰ ἄγνωστα καὶ τὰ μὴ φανερὰ καὶ πρὸς ἐκεῖνα ποὺ δὲν ἦταν κύριος αὐτῶν, γιὰ νὰ σὲ πείσει καὶ νὰ σὲ διδάξει, ὅταν ὁ Θεὸς σὲ προστάζει τὰ μὲν γνωστὰ ν' ἀφήσεις, τὰ δὲ ἄγνωστα νὰ προσέχεις, νὰ μὴ προβάλλεις ἀντίρρηση, οὔτε καὶ νὰ τὰ ἀμφισβητεῖς. Διότι δὲν εἶναι τόσο φανερὰ τὰ χειροπιαστὰ πράγματα, ὅσο ἐκεῖνα ποὺ βρίσκονται στὶς ἐλπίδες· δὲν εἶναι τόσο φανερὴ ἡ παρούσα ζωή, ὅσο ἐκείνη ἡ μέλλουσα. Διότι τὴν μὲν παρούσα ζωὴ τὴ βλέπομε μὲ τὰ σωματικὰ μάτια μας, ἐνῶ τὴ μέλλουσα ζωὴ τὴ βλέπομε μὲ τὰ μάτια τῆς πίστεως· αὐτὴν τὴ βλέπομε νὰ βρίσκεται στὰ χέρια μας, ἐνῶ ἐκείνη τὴ βλέπομε νὰ φυλάσσεται μέσα στὶς ὑποσχέσεις τοῦ Θεοῦ, οἱ δὲ ὑποσχέσεις τοῦ Θεοῦ εἶναι πολὺ πιὸ δυνατότερες ἀπὸ τὰ δικά μας χέρια.

Θέλεις νὰ μάθεις πῶς αὐτὴ μὲν ἡ παρούσα ζωὴ εἶναι γιὰ πάντα ἄγνωστη, ἐνῶ ἐκείνη ἡ μέλλουσα, ποὺ θεωρεῖται ἄγνωστη, ὅτι εἶναι πιὸ φανερὴ ἀπὸ τὴν παρούσα ζωὴ καὶ πιὸ βέβαια καὶ μόνιμη; Ἂς ἐξετάσουμε, ἂν νομίζετε, τὰ λαμπρὰ τῆς παρούσας ζωῆς, τὸν πλοῦτο, τὴ δόξα, τὴν ἐξουσία, τὶς τιμὲς ἐκ μέρους τῶν ἀνθρώπων, καὶ θὰ δεῖτε ὅτι τίποτε ἀπὸ αὐτὰ δὲν ὑπάρχει πιὸ ἀβέβαιο. Πράγματι τί ὑπάρχει πιὸ ἄπιστο ἀπὸ τὸν πλοῦτο, ποὺ δὲν παραμένει πολλὲς φορὲς κοντά μας οὔτε μέχρι τὴν ἑσπέρα; Διότι σὰν ἀκριβῶς δραπέτης ἀχάριστος συνέχεια μετατοπίζεται ἀπὸ αὐτὸν σὲ ἐκεῖνον, καὶ πάλι ἀπὸ ἐκεῖνον πρὸς ἄλλον. Κάτι παρόμοιο εἶναι καὶ ἡ δόξα. Διότι ἐκεῖνος ποὺ πρὶν ἀπὸ λίγο ἦταν λαμπρὸς καὶ ἔνδοξος, ξαφνικὰ γίνεται ἄτιμος καὶ ἄσημος, καὶ τὸ ἀντίθετο πάλι. Καὶ ὅπως ἀκριβῶς ἂν στρέφεται συνέχεια ὁ τροχὸς δὲν εἶναι δυνατὸ νὰ βλέπουμε τὴ στεφάνη αὐτοῦ, διότι μὲ τὴν πάρα πολὺ μεγάλη περιστροφικὴ

παντὸς τὰ ἄνω κάτω γίνεται, καὶ τοὐναντίον πάλιν, οὕτω καὶ ἡ τῶν πραγμάτων τῶν ἡμετέρων φορὰ συνεχῶς στρεφομένη, τὰ ἄνω κάτω ποιεῖ· οὕτω καὶ ἐπὶ τοῦ πλούτου καὶ ἐπὶ τῆς δυναστείας καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. Οὐδέποτε ἐπὶ τῆς αὐτῆς ἕστηκεν ἕδρας, ἀλλὰ τὰ τῶν ποταμῶν μιμεῖται ρεύματα, μηδαμοῦ ποτε ἱστάμενα. Τί οὖν τούτων γένοιτ' ἂν ἀδηλότερον, τῶν οὕτω συνεχῶς μεταβαλλομένων, καὶ πρὶν ἢ φανῆναι ἀφιπταμένων, πρὶν ἢ παραγενέσθαι ἀποπηδώντων; Διὰ τοῦτο καὶ ὁ προφήτης περὶ τρυφῆς καὶ πλούτου καὶ τῶν τοιούτων διαλεγόμενος, καὶ σκώπτων εἰς τοὺς πρὸς αὐτὰ κεχηνότας ὡς διαμένοντα, φησίν· «Ὡς ἑστῶτα ἐλογίσαντο ταῦτα, καὶ οὐχ ὡς φεύγοντα». Οὐκ εἶπεν, οὐ παρερχόμενα, ἀλλ', ὃ πολλῷ μεῖζόν ἐστιν, «Ὡς φεύγοντα»· οὐδὲ γὰρ ἠρέμα ἀναχωρεῖ, ἀλλὰ μετὰ πολλοῦ τοῦ τάχους.

'Αλλ' οὐχ ὁ πατριάρχης οὕτως, ἀλλὰ πάντα ταῦτα ἀφείς, πρὸς τὰς ἐπαγγελίας τὰς παρὰ τοῦ Θεοῦ μόνον ἔβλεπε, προοδοποιῶν ἡμῖν πρὸς τὴν τῶν μελλόντων πίστιν, ἵν', ὅταν ἐπαγγέλληταί σοι ὁ Θεὸς τὰ μέλλοντα καὶ οὐχ ὁρώμενα, μὴ λέγῃς, ὅτι ἄδηλά ἐστιν ἐκεῖνα καὶ ἀφανῆ. Τὰ γὰρ ἄδηλα ἐκεῖνα τούτων ἐστὶ σαφέστερα τῶν ὁρωμένων, ἐὰν τοὺς τῆς πίστεως ἔχωμεν ὀφθαλμούς. Εἰ γὰρ καὶ μὴ ἑωράκαμεν αὐτά, ἀλλ' ὁ Θεὸς αὐτὰ ἐπηγγείλατο καὶ ὑπέσχετο. Ὅταν ὁ Θεὸς ἐπαγγέλληται, οὐδεμία μεταβολὴ τῶν ὑποσχέσεων ἅπτεται· ὥστε ἐκεῖνα μάλιστα μένει καὶ πέπηγεν ἐν τῇ χειρὶ τοῦ Θεοῦ. 'Εκ γὰρ τῆς χειρὸς τοῦ Θεοῦ ἁρπάζειν οὐδεὶς δύναται, φησίν. «'Αρπάζειν ἐκ τῆς χειρὸς τοῦ Πατρός μου οὐδεὶς δύναται». 'Επεὶ οὖν οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Θεοῦ, ἐν δήλῳ μένει θησαυρῷ διαπαντός. Ταῦτα δὲ παντοίαις μεταβολαῖς ὑπόκειται καὶ τροπαῖς· διὰ τοῦτο πολ-

15. 'Αμὼς 6, 5. 16. 'Ιω. 10, 29.

κίνηση συνέχεια τὰ ἐπάνω μεταφέρονται κάτω καὶ τὸ ἀντίθετο πάλι, ἔτσι καὶ ἡ κίνηση τῶν δικῶν μας πραγμάτων, μὲ τὴ συνεχὴ περιστροφή, μεταφέρει τὰ ἐπάνω κάτω· ἔτσι συμβαίνει καὶ μὲ τὸν πλοῦτο καὶ μὲ τὴν ἐξουσία καὶ μὲ ὅλα γενικὰ τὰ ἄλλα. Ποτὲ δὲν παραμένουν στὴν ἴδια θέση καὶ κατάσταση, ἀλλὰ μιμοῦνται τὰ ρεύματα τῶν ποταμῶν, χωρὶς πουθενὰ ποτὲ νὰ σταματοῦν. Τί λοιπὸν θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἀβέβαιο καὶ ἀσταθὲς ἀπὸ αὐτά, ποὺ συνέχεια καὶ τόσο πολὺ μεταβάλλονται, καὶ ποὺ πρὶν καλὰ καλὰ φανοῦν, φεύγουν καὶ χάνονται, πρὶν νὰ ἔρθουν ἀπομακρύνονται; Γι' αὐτὸ καὶ ὁ προφήτης μιλώντας γιὰ τὴ γεμάτη ἀπολαύσεις ζωή, τὸν πλοῦτο καὶ τὰ παρόμοια, καὶ κατηγορώντας ἐκείνους ποὺ συγκεντρώνουν τὴ φροντίδα τους σ' αὐτὰ σὰν νὰ εἶναι μόνιμα, λέγει· «Τὰ θεώρησαν αὐτὰ σὰν μόνιμα καὶ ὄχι σὰν πράγματα ποὺ φεύγουν»[15]. Δὲν εἶπε, δὲν παρέρχονται, ἀλλ' αὐτὸ ποὺ εἶναι πολὺ πιὸ μεγαλύτερο ἀπ' αὐτό, «Σὰν πράγματα ποὺ φεύγουν»· διότι δὲν ἀναχωροῦν μὲ βραδύτητα, ἀλλὰ μὲ πολὺ μεγάλη ταχύτητα.

Ὅμως ὁ πατριάρχης δὲν ἐνεργοῦσε ἔτσι, ἀλλ', ἀφοῦ τὰ ἄφησε ὅλα αὐτά, εἶχε στραμμένη τὴν προσοχή του μόνο πρὸς τὶς ὑποσχέσεις τοῦ Θεοῦ, προετοιμάζοντάς μας τὴν πίστη πρὸς τὰ μελλοντικὰ πράγματα, ὥστε, ὅταν σοῦ ὑπόσχεται ὁ Θεὸς τὰ μελλοντικὰ πράγματα καὶ ἐκεῖνα ποὺ δὲν βλέπονται, νὰ μὴ λέγεις, ὅτι ἐκεῖνα εἶναι ἀβέβαια καὶ μὴ φανερά. Διότι τὰ ἀβέβαια ἐκεῖνα εἶναι πιὸ σαφὴ ἀπὸ τὰ ὁρατά, ἐὰν ἔχομε τοὺς ὀφθαλμοὺς τῆς πίστεως. Καὶ ἂν ἀκόμα δηλαδὴ δὲν τὰ ἔχομε δεῖ αὐτά, ὅμως ὁ Θεὸς ἐπαγγέλθηκε καὶ ὑποσχέθηκε αὐτά. Ὅταν ὁ Θεὸς ὑπόσχεται, καμιὰ μεταβολὴ δὲν συμβαίνει στὶς ὑποσχέσεις· ὥστε ἐκεῖνα πρὸ πάντων μένουν σταθερὰ στὰ χέρια τοῦ Θεοῦ. Διότι, λέγει, ἀπὸ τὰ χέρια τοῦ Θεοῦ κανένας δὲν μπορεῖ νὰ τὰ ἁρπάξει. «Κανένας δὲν μπορεῖ νὰ τὰ ἁρπάξει ἀπὸ τὸ χέρι τοῦ Πατέρα μου»[16]. Ἐπειδὴ λοιπὸν κανένας δὲν μπορεῖ νὰ τὰ ἁρπάξει ἀπὸ τὸ χέρι τοῦ Θεοῦ, γι' αὐτὸ μένουν γιὰ πάντα σὲ ἀσφαλὲς θησαυροφυλάκιο. Αὐτὰ ὅμως ἐδῶ ὑφίστανται παντὸς εἴδους μεταβολὲς καὶ μετατροπὲς καὶ γι' αὐτὸ πολλὲς φορὲς

λάκις τὸν μὲν πόνον αὐτῶν ὑπομένομεν, τοῦ δὲ τέλους αὐτῶν ἀποστερούμεθα. Ἐπὶ δὲ τῶν ἐλπίδων ἐκείνων οὐκ ἔνι τοῦτο, ἀλλὰ τὸν πονέσαντα πάντως δεῖ καὶ τῶν στεφάνων ἐπιτυχεῖν. «Ἡ γὰρ ἐλπὶς οὐ καταισχύνει». Θεοῦ γάρ ἐστιν ὑπόσχεσις, καὶ τὸν ὑποσχόμενον μιμεῖται τὰ δῶρα.

Ἀφεὶς τοίνυν τὰ ἄδηλα, κάτεχε τὰ φαινόμενα· τὰ γὰρ φαινόμενα οὐ τὰ παρόντα ἐστίν, ἀλλὰ τὰ μέλλοντα. Εἰ δέ τινες, πρὸς τὰ παρόντα ἐπτοημένοι, τῶν μελλόντων ὑπερορῶσιν, ἐπειδὴ ἀσθενέστεροί εἰσι τοῦ ὕψους τῆς ἐλπίδος ἐκείνης, διὰ τοῦτο ὑπερορῶσιν, οὐκ ἐπειδὴ ἀφανῆ ταῦτά ἐστι καὶ ἄδηλα. Σκόπει γοῦν τὴν φιλοσοφίαν τοῦ δικαίου. Ὁ Θεὸς ἐπηγγείλατο αὐτῷ αἰσθητὰ πράγματα, καὶ αὐτὸς νοητὰ ἐζήτει. Καὶ ποῦ ὁ Θεὸς αἰσθητὰ αὐτῷ ἐπηγγείλατο, αὐτὸς δὲ νοητὰ ἤθελεν; «Ἔξελθε», φησίν, «ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἂν σοι δείξω». Αἰσθητὴ καὶ ἡ προτέρα γῆ, καὶ ἡ μέλλουσα δίδοσθαι ὕστερον. Τί οὖν αὐτός; Μᾶλλον δὲ μὴ αὐτοῦ ἀκούσωμεν, ἀλλὰ Παύλου περὶ αὐτοῦ λέγοντο, ἵνα μάθωμεν ὅτι οὐ πρὸς ταύτην ἔβλεπε τὴν γῆν, εἰ καὶ ταύτην ἐπηγγείλατο ὁ Θεός, ἀλλὰ τὰ παρόντα ἀφείς, πρὸς τὰ μέλλοντα ἐκεχήνει.

Τί οὖν ὁ Παῦλός φησι; «Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες», περὶ Ἀβραὰμ λέγων, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, καὶ τῶν δικαίων ἁπάντων. Οὐδὲ γὰρ Ἀβραὰμ μόνος, ἀλλὰ πάντες τῆς αὐτῆς ἦσαν φιλοσοφίας κοινωνοί. «Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες». Τί λέγεις; οὐκ ἐκομίσατο τὰς ἐπαγγελίας ὁ Ἀβραάμ, οὐδὲ ἦλθεν εἰς τὴν Παλαιστίνην; Ψεῦδος οὖν τὰ εἰρημένα; Οὐχί, φησίν. Ἦλθε μὲν γὰρ εἰς τὴν

17. Ρωμ. 5, 5. 18. Γέν. 12, 1. 19. Ἑβρ. 11, 13.

τὸν μὲν κόπο γι' αὐτὰ τὸν ὑπομένομε, στερούμαστε ὅμως τὸν καρπὸ αὐτῶν. Στὴν περίπτωση ὅμως τῶν ἐλπίδων ἐκείνων δὲν συμβαίνει αὐτό, ἀλλ' ἐκεῖνος ποὺ κόπιασε ὁπωσδήποτε πρέπει νὰ ἐπιτύχει καὶ τὴν ἀπόκτηση τῶν στεφάνων. «Καθόσον ἡ ἐλπίδα δὲν ντροπιάζει»[17]. Διότι ἀποτελοῦν ὑπόσχεση τοῦ Θεοῦ καὶ τὰ δῶρα μιμοῦνται αὐτὸν ποὺ ἔδωσε τὴν ὑπόσχεση.

Ἀφοῦ λοιπὸν ἀφήσεις τὰ ἀβέβαια, κράτα αὐτὰ ποὺ φαίνονται· διότι τὰ φανερὰ καὶ βέβαια εἶναι ὄχι τὰ παρόντα, ἀλλὰ τὰ μέλλοντα. Ἂν δὲ μερικοί, ἐπειδὴ εἶναι ἀπορροφημένοι ἀπὸ τὰ παρόντα, περιφρονοῦν τὰ μέλλοντα, τὰ περιφρονοῦν ὄχι ἐπειδὴ εἶναι αὐτὰ ἄγνωστα καὶ ἀβέβαια, ἀλλ' ἐπειδὴ πνευματικὰ εἶναι ἀνίκανοι νὰ συλλάβουν τὸ νόημα τοῦ ὕψους τῆς ἐλπίδας ἐκείνης. Πρόσεχε λοιπὸν τὴ φιλοσοφία τοῦ δικαίου. Ὁ Θεὸς ὑποσχέθηκε σ' αὐτὸν αἰσθητὰ πράγματα καὶ αὐτὸς ζητοῦσε πνευματικά. Καὶ ποῦ ὁ Θεὸς ὑποσχέθηκε σ' αὐτὸν αἰσθητὰ πράγματα, ἐνῶ αὐτὸς ἤθελε πνευματικά; «Φύγε», λέγει, «ἀπὸ τὴ χώρα σου καὶ ἀπὸ τοὺς συγγενεῖς σου καὶ ἀπὸ τὸν οἶκο τοῦ πατέρα σου καὶ ἔλα στὴ χώρα ποὺ θὰ σοῦ δείξω»[18]. Αἰσθητὴ ἦταν καὶ ἡ πρώτη χώρα του καὶ ἐκείνη ποὺ ἐπρόκειτο νὰ τοῦ δοθεῖ ἀργότερα. Τί λοιπὸν ἀπαντᾶ αὐτός; Καλύτερα ὅμως ἂς μὴ ἀκούσουμε αὐτόν, ἀλλὰ τὸν Παῦλο ποὺ ὁμιλεῖ γι' αὐτόν, γιὰ νὰ μάθουμε ὅτι δὲν εἶχε στραμμένη τὴν προσοχή του πρὸς αὐτὴν ἐδῶ τὴν αἰσθητὴ χώρα, ἂν καὶ αὐτὴν τοῦ τὴν εἶχε ὑποσχεθεῖ ὁ Θεός, ἀλλ' ἀφοῦ ἄφησε τὰ *παρόντα*, ἦταν προσηλωμένος στὰ μελλοντικά.

Τί λοιπὸν λέγει ὁ Παῦλος; «Μὲ πίστη πέθαναν ὅλοι αὐτοί»[19], ἐννοώντας τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακὼβ καὶ ὅλους τοὺς δικαίους. Διότι συμμετεῖχε στὴ φιλοσοφία αὐτὴ ὄχι μόνο ὁ Ἀβραάμ, ἀλλ' ὅλοι γενικά. «Μὲ πίστη πέθαναν ὅλοι αὐτοί, χωρὶς ν' ἀπολαύσουν τὶς ὑποσχέσεις, ἀλλ' εἶδαν ἀπὸ μακριὰ αὐτὰ ποὺ τοὺς ὑποσχέθηκε ὁ Θεός»[19]. Τί λέγεις; δὲν ἐπέτυχε ὁ Ἀβραὰμ τὴν πραγματοποίηση τῶν ὑποσχέσεων, οὔτε ἦρθε στὴν Παλαιστίνη; εἶναι ψέματα λοιπὸν τὰ ὅσα λέχθηκαν; Ὄχι, λέγει. Διότι ἦρθε μὲν στὴν Παλαιστίνη, δὲν εἶχε ὅμως

Παλαιστίνην, οὐ πρὸς ταύτην δὲ ἔβλεπε τὴν ἐπαγγελίαν, ἀλλ' ἑτέρας ἐπεθύμει τῆς ἐν οὐρανοῖς, καὶ τῶν παρόντων ξένον ἑαυτὸν ἐνόμιζεν εἶναι ἁπάντων. Ὅπερ οὖν καὶ αὐτῷ μαρτυρῶν ὁ Παῦλος ἐπήγαγε· «Καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσι».

Ξένος ὁ πατρίδα λαβών, εἰπέ μοι, καὶ χώραν τοσαύτην; Ναί, φησίν· οὐ γὰρ πρὸς ταύτην, ἀλλὰ πρὸς τὸν οὐρανὸν ἔβλεπεν. Οἱ γὰρ ταῦτα λέγοντες ἐμφανίζουσιν, ὅτι ἑτέραν πατρίδα ζητοῦσιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός, ἐκείνην τὴν ἐπουράνιον Ἰερουσαλήμ, τὴν ἄνω. Εἶδες πῶς ἐπηγγείλατο αὐτῷ ὁ Θεὸς αἰσθητά; πῶς ἐκεῖνος τὴν ἄνω Ἰερουσαλὴμ ἐζήτει; «Οἱ γὰρ ταῦτα λέγοντες», φησίν, «ἐμφανίζουσιν ὅτι πατρίδα ζητοῦσι». Καὶ εἰ μὲν ἐκείνης ἐμέμνηντο, ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι, νυνὶ δὲ ἑτέρας κρείττονος ὀρέγονται, τουτέστιν, ἐπουρανίου. Οὐκοῦν αἰσθητὴ μὲν ἡ ὑπόσχεσις, νοητὴ δὲ ἡ ἐπιθυμία τοῦ δικαίου, ἀπεναντίας ἡμῖν. Ἐκείνῳ μὲν γὰρ ἐπηγγείλατο τὴν Παλαιστίνην, ὁ δὲ περιεβλέπετο τὸν οὐρανόν· ἡμῖν δὲ ἐπαγγέλλεται τὸν οὐρανόν, καὶ πρὸς τὴν γῆν κεχήναμεν.

4. Ταῦτα ἐκερδάναμεν ἀπὸ τοῦ Ἀβραὰμ ὀνόματος, μαθόντες διὰ τί περάτης ἐλέχθη, καὶ ὅτι, τὴν οἰκείαν ἀφεὶς γῆν, πρὸς τὴν ἀλλοτρίαν μετέστη, καὶ τὰ δῆλα παραδραμών, πρὸς τὰ ἄδηλα ἔβλεπε, τὰ ἐν χερσὶ ρίψας, ἐκεχήνει πρὸς τὰ ἐν ἐλπίσι, καὶ αἰσθητὰ λαβών, πρὸς τὰ νοητὰ ἀνετείνατο, καὶ ταῦτα πρὸ τῆς χάριτος, πρὸ τοῦ νόμου, πρὸ τῆς ἀπὸ τῶν προφητῶν διδασκαλίας. Ὅθεν δῆλον, ὡς οὐδένα ἔσχε καθηγητήν, ἀλλ' ἤρκεσεν αὐτῷ ἡ φύσις τοὺς τοῦ συνειδότος κινήσασα λογισμούς, καὶ οὕτως εὗρε τὸν Θεὸν τὸν τοῦ παντὸς δημιουργόν· διὰ τοῦτο Ἄβραμ ἐλέγετο, διὰ τοῦτο καὶ οἱ

---

20. Ἑβρ. 11, 14· 16.

στραμμένη τὴν προσοχή του πρὸς αὐτὴν τὴν ὑπόσχεση, ἀλλ' ἐπιθυμοῦσε ἄλλη ποὺ βρίσκεται στοὺς οὐρανοὺς καὶ θεωροῦσε τὸν ἑαυτό του ξένο ὅλων αὐτῶν τῶν παρόντων πραγμάτων. Αὐτὸ ἀκριβῶς λοιπὸν γιὰ νὰ ἐπιβεβαιώσει καὶ ὁ Παῦλος, πρόσθεσε· «Καὶ ὁμολόγησαν ὅτι εἶναι ξένοι καὶ περαστικοί»[19].

Ξένος ἦταν αὐτὸς ποὺ ἔλαβε, πές μου, πατρίδα καὶ τόσο μεγάλη χώρα; Ναί, λέγει· διότι δὲν εἶχε στραμμένη τὴν προσοχή του πρὸς αὐτήν, ἀλλὰ πρὸς τὸν οὐρανό. «Διότι αὐτοὶ ποὺ λέγουν αὐτὰ παρουσιάζονται ὅτι ζητοῦν ἄλλη πατρίδα»[20], τῆς ὁποίας τεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός, τὴν ἐπουράνια ἐκείνη 'Ιερουσαλήμ, τὴν ἄνω πατρίδα. Εἶδες πῶς ὑποσχέθηκε σ' αὐτὸν ὁ Θεὸς αἰσθητὰ πράγματα; Πῶς ἐκεῖνος ζητοῦσε τὴν ἄνω 'Ιερουσαλήμ; Διότι, λέγει, «Αὐτοὶ ποὺ λέγουν αὐτὰ ἐμφανίζονται ὅτι ζητοῦν πατρίδα»[20]. Καὶ ἂν μὲν ἔφερναν στὴ μνήμη τους ἐκείνη ἀπὸ τὴν ὁποία ἐξῆλθαν θὰ μποροῦσαν νὰ ἐλπίζουν στὸν καιρὸ τῆς ἐπιστροφῆς σ' ἐκείνην, τώρα ὅμως ἄλλη ἐπιθυμοῦν, δηλαδὴ τὴν ἐπουράνια. Ἄρα λοιπὸν ἡ μὲν ὑπόσχεση ἦταν αἰσθητή, ἡ δὲ ἐπιθυμία τοῦ δικαίου, ἀντίθετα μὲ μᾶς, πνευματική. Διότι σ' ἐκεῖνον μὲν ὑποσχέθηκε τὴν Παλαιστίνη, ἐκεῖνος ὅμως εἶχε στραμμένη τὴν προσοχή του στὸν οὐρανό· ἐνῶ σ' ἐμᾶς ὑπόσχεται τὸν οὐρανό, ἀλλ' εἴμαστε προσηλωμένοι στὴ γῆ.

4. Αὐτὰ κερδίσαμε ἀπὸ τὸ ὄνομα τοῦ 'Αβραάμ, ἀφοῦ μάθαμε γιατί ὀνομάσθηκε Περάτης, καὶ ὅτι, ἀφοῦ ἄφησε τὴν πατρίδα του, μετέβη στὴν ξένη χώρα, καὶ ἀφοῦ παρέβλεψε τὰ φανερά, ἔβλεπε πρὸς τὰ ἄγνωστα καὶ ἀβέβαια, καὶ ἀφοῦ ἔρριξε αὐτὰ ποὺ εἶχε στὰ χέρια του, εἶχε προσηλωθεῖ σ' ἐκεῖνα ποὺ ἀπορρέουν ἀπὸ τὶς ἐλπίδες, καὶ ἂν καὶ ἔλαβε τὰ αἰσθητά, εἶχε στραμμένη τὴν προσοχή του πρὸς τὰ πνευματικά, καὶ ὅλα αὐτὰ πρὶν ἀπὸ τὴ χάρη, πρὶν ἀπὸ τὸ νόμο, πρὶν ἀπὸ τὴ διδασκαλία τῶν προφητῶν. 'Επομένως γίνεται φανερό, ὅτι δὲν εἶχε κανένα καθηγητή, ἀλλ' ὑπῆρξε ἀρκετὴ σ' αὐτὸν ἡ φύση νὰ θέσει σὲ κίνηση τοὺς λογισμοὺς τῆς συνειδήσεως, καὶ ἔτσι βρῆκε τὸ Θεὸ τὸν δημιουργὸ τοῦ παντός· γι' αὐτὸ Ἄβραμ ὀνομαζόταν,

γονεῖς αὐτῷ τὸ ὄνομα ἐπέθηκαν τοῦτο. Ἀλλὰ τάχα ἴσως εἴποι τις ἄν, ὅτι τοῦτο ψεῦδος. Μὴ γὰρ δίκαιοι ἦσαν οἱ γονεῖς τοῦ Ἀβραάμ; μὴ γὰρ εὐάρεστοι τῷ Θεῷ; μὴ γὰρ ᾔδεισαν τὰ μέλλοντα ἔσεσθαι; μὴ γὰρ προεώρων τὴν ὑπόσχεσιν τὴν παρὰ τοῦ Δεσπότου μέλλουσαν ρηθήσεσθαι; Οὐχὶ ἀσεβεῖς ἦσαν καὶ εἰδωλολάτραι, βαρβάρων βαρβαρικώτατοι;

Οἶδα κἀγώ, καὶ διὰ τοῦτο ἐπαινῶ τὸν δίκαιον, ὅτι τοιούτους ἔχων πατέρας, τοιοῦτος αὐτὸς ἐγένετο. Καὶ τὸ θαυμαστὸν καὶ παράδοξον τοῦτό ἐστιν, ὅτι ἐξ ἀλλοτρίας ρίζης καὶ ἀγρίας ἥμερος ἠνέχθη καρπός. Οὐ γάρ ἐστι κατηγορία παίδων ἐν εὐσεβείᾳ ζώντων ἡ τῶν πατέρων κακία, ἀλλ' εἰ χρή τι θαυμαστὸν εἰπεῖν, καὶ ἐγκώμιον μᾶλλον, ὅτι μὴ παρὰ προγόνων δεξάμενοι τὴν εὐσέβειαν, μηδὲ τοὺς χειραγωγοῦντας ἔχοντες, ἀλλ' ὥσπερ ἐν ἐρήμῳ καὶ ἀβάτῳ ὁδεύοντες, ἠδυνήθησαν τὴν ὁδὸν τὴν εἰς τὸν οὐρανὸν φέρουσαν εὑρεῖν. Οὐ τοίνυν κατηγορία ἀσεβῆ πατέρα ἔχειν, ἀλλὰ μιμεῖσθαι τὴν ἀσέβειαν τοῦ πατρός· καὶ ἔγκλημα μέγιστον, οὐχ ὅταν φαύλους ἔχωμεν γονεῖς, ἀλλ' ὅταν αὐτῶν μὴ ἐπιμελώμεθα, καὶ τὰ παρ' ἑαυτῶν πάντα εἰσφέρωμεν πρὸς τὸ τῆς κακίας αὐτοὺς ἀπαλλάξαι ταύτης. Ὡς ὅταν ἡμεῖς μὲν πάντα ἐπιδειξώμεθα περὶ τὴν ἐκείνων ψυχήν, ἐκεῖνοι δὲ ἐπὶ τῆς αὐτῶν μένωσι πονηρίας, πάσης μέμψεως ἀπηλλάγμεθα καὶ αἰτίας.

Ταῦτα δὲ εἶπον, ἵνα μὴ αἰσχυνθῇς, ἀγαπητέ, ὅταν ἀκούσῃς, ὅτι πατέρα ἀσεβῆ ἔσχεν ὁ Ἀβραάμ. Καὶ γὰρ ὁ Τιμόθεος ἀσεβῆ πατέρα εἶχεν· Υἱὸς γὰρ Ἰουδαίας γυναικὸς ἦν, φησί, πιστῆς μητρός, πατρὸς δὲ Ἕλληνος. Καὶ ὅτι ἔμεινεν ἐν ἀσεβείᾳ καὶ οὐ μετεβάλλετο ὁ πατήρ, δῆλον ἐκεῖθεν· ἐπαινῶν γὰρ τοῦ Τιμοθέου τὴν πίστιν, οὕτω φησὶν ὁ Παῦλος· «Ἥτις ἐνῴκησεν ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρὶ Εὐνί-

21. Πράξ. 16, 1.

γι' αὐτὸ καὶ οἱ γονεῖς του τοῦ ἔδωσαν αὐτὸ τὸ ὄνομα. 'Αλλ' ἐνδεχομένως θὰ μποροῦσε κάποιος νὰ πεῖ, ὅτι αὐτὸ εἶναι ψέμα. Διότι μήπως ἦταν δίκαιοι οἱ γονεῖς τοῦ 'Αβραάμ; μήπως ἦταν εὐάρεστοι στὸ Θεό; μήπως γνώριζαν αὐτὰ ποὺ ἐπρόκειτο νὰ συμβοῦν στὸ μέλλον; μήπως προέβλεπαν τὴν ὑπόσχεση ποὺ ἐπρόκειτο νὰ δοθεῖ ἀπὸ τὸν Κύριο σ' αὐτόν; Δὲν ἦταν ἀσεβεῖς καὶ εἰδωλολάτρες, πιὸ βάρβαροι ἀπὸ τοὺς βάρβαρους;

Τὸ γνωρίζω καὶ ἐγὼ καὶ γι' αὐτὸ ἐπαινῶ τὸν δίκαιο, ὅτι δηλαδή, ἂν καὶ εἶχε τέτοιους γονεῖς, ἔγινε αὐτὸς ποὺ ἔγινε. Καὶ τὸ θαυμαστὸ καὶ παράξενο εἶναι αὐτό, ὅτι ἀπὸ ξένη καὶ ἄγρια ρίζα προῆλθε ἥμερος καρπός. Διότι ἡ κακία τῶν γονέων δὲν προσάπτει κατηγορία στὰ παιδιὰ ποὺ ζοῦν μὲ εὐσέβεια, ἀλλὰ μᾶλλον, ἂν πρέπει νὰ ποῦμε καὶ κάτι τὸ ἄξιο θαυμασμοῦ, ἔπαινο, διότι, ἂν καὶ δὲν ἔλαβαν τὴν εὐσέβεια ἀπὸ τοὺς προγόνους τους, οὔτε εἶχαν ἀνθρώπους νὰ τοὺς καθοδηγοῦν, ἀλλ' ἦταν σὰν ἀκριβῶς νὰ βάδιζαν μέσα σὲ ἔρημο καὶ ἀδιάβατο τόπο, ὅμως μπόρεσαν νὰ βροῦν τὸ δρόμο ποὺ ὁδηγεῖ στὸν οὐρανό. Δὲν ἀποτελεῖ λοιπὸν κατηγορία τὸ νὰ ἔχει κάποιος ἀσεβὴ πατέρα, ἀλλὰ τὸ νὰ μιμεῖται τὴν ἀσέβεια τοῦ πατέρα του· καὶ μέγιστο ἔγκλημα εἶναι, ὄχι ὅταν ἔχουμε φαύλους γονεῖς, ἀλλ' ὅταν δὲν φροντίζουμε γι' αὐτοὺς καὶ δὲν κάμνουμε ὅλα ὅσα ἐξαρτῶνται ἀπὸ ἐμᾶς γιὰ νὰ τοὺς ἀπαλλάξουμε ἀπὸ τὴν κακία αὐτή. Ὅπως πάλι ὅταν ἐμεῖς μὲν ἐπιδείξουμε κάθε φροντίδα γιὰ τὴν ψυχὴ ἐκείνων, ἐκεῖνοι δὲ ἐξακολουθοῦν νὰ ζοῦν μέσα στὴν κακία τους, ἔχουμε ἀπαλλαχθεῖ ἀπὸ κάθε μομφὴ καὶ κατηγορία.

Αὐτὰ δὲ τὰ εἶπα, γιὰ νὰ μὴ ντραπεῖς, ἀγαπητέ, ὅταν ἀκούσεις, ὅτι ὁ 'Αβραὰμ εἶχε ἀσεβὴ πατέρα. Καθόσον καὶ ὁ Τιμόθεος εἶχες ἀσεβὴ πατέρα· διότι, λέγει, «ἦταν υἱὸς ἰουδαίας γυναίκας ποὺ ἦταν πιστή, ὁ δὲ πατέρας του ἦταν εἰδωλολάτρης»[21]. Καὶ τὸ ὅτι ἐξακολουθοῦσε νὰ ζεῖ μέσα στὴν ἀσέβεια καὶ δὲν ἄλλαζε πίστη ὁ πατέρας του γίνεται φανερὸ ἀπὸ τὸ ἑξῆς· διότι ἐπαινώντας τὴν πίστη τοῦ Τιμόθεου, λέγει ὁ Παῦλος τὰ ἑξῆς· «Ἡ ὁποία πίστη κατοίκησε στὴ γιαγιά σου Λωΐδα καὶ στὴ μητέρα σου Εὐνίκη, καὶ εἶμαι ἀπόλυτα σίγουρος ὅτι κατοίκησε

κῃ, πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί». Καὶ οὐδαμοῦ τοῦ πατρὸς τὸ ὄνομα. Διὰ τί; Ὅτι ἐν τῇ ἀσεβείᾳ ἔμεινεν, οὐκ ἦν ἄξιος ἀριθμεῖσθαι μετὰ τοῦ παιδός. Καὶ οἱ ἀπόστολοι δὲ πονηροὺς ἔσχον πατέρας, καὶ τοῦτο ἐδήλωσεν ὁ Χριστὸς εἰπών· «Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβαλοῦσι; Διὰ τοῦτο αὐτοὶ ἔσονται κριταὶ ὑμῶν». Ἀλλὰ μή σε θορυβείτω τοῦτο, μηδὲ σκανδαλιζέτω. Καὶ γὰρ ἐκ τούτου μανθάνομεν, ὅτι οὐ φύσεως, ἀλλὰ προαιρέσεως ἡ κακία καὶ ἡ ἀρετή. Εἰ γὰρ φύσεως ἦν, πάντως ἂν οἱ πονηροὶ πονηροὺς ἔτεκον καὶ οἱ χρηστοὶ τοιούτους, ἐπειδὴ δὲ προαιρέσεώς ἐστι τὸ φαῦλον εἶναι καὶ σπουδαῖον, διὰ τοῦτο καὶ πατέρων πονηρῶν παῖδες ἐγένοντο χρηστοί, καὶ παίδων ῥαθύμων πατέρες σπουδαῖοι πολλάκις, ἵνα μὴ τῇ φύσει, ἀλλὰ τῇ γνώμῃ πανταχοῦ ταῦτα ἑκάτερα λογιζώμεθα.

Ἀλλ' ὅπερ ἔλεγον, ὅτι ἀσεβεῖς ὄντες οἱ γονεῖς τοῦ Ἀβραάμ, πῶς τὸ ὄνομα αὐτῷ ἐπέθηκαν τοῦτο; Τῆς τοῦ Θεοῦ σοφίας μάλιστα ἔργον καὶ τοῦτο ἦν διὰ ἀπίστου γλώττης οἰκονομήσαντος ἐπιτεθῆναι ὄνομα, τῶν μελλόντων ἔχον τὴν ἱστορίαν. Καὶ γὰρ τὸν Βαλαὰμ ἠνάγκασέ ποτε τὰ μέλλοντα εἰπεῖν, τὴν οἰκείαν δύναμιν ἐπιδεικνύμενος, καὶ δηλῶν ὅτι οὐχὶ ἐν τοῖς οἰκείοις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἀλλοτρίοις κρατεῖν δύναται. Καὶ ἵνα μάθῃς, ὅτι ἐπὶ τῶν δικαίων, κἂν μὴ εὐσεβεῖς ὦσιν οἱ πατέρες, πολλάκις οὐκ εἰδότες ἐπιτιθέασιν ὀνόματα πολλὴν τῶν μελλόντων δηλοῦντα τὴν οἰκονομίαν, καὶ ἐξ ἑτέρου σοι παραδείγματος τοῦτο ποιήσω φανερόν. Ὁ Λάμεχ ὁ τοῦ Νῶε πατήρ, τοῦ Νῶε ἐκείνου, ἐφ' οὗ ὁ κατακλυσμὸς ἐγένετο, οὐκ ἦν δίκαιος, οὐκ ἦν εὐάρεστος τῷ Θεῷ, οὐκ ἦν δόκιμος τῷ Θεῷ· εἰ γὰρ ἦν δίκαιος, εἰ ἦν εὐάρεστος, εἰ ἦν εὐδόκιμος τῷ Θεῷ, οὐκ ἂν εἶπεν, ὅτι Νῶε μό-

---

22. Β' Τιμ. 1, 5.
23. Ματθ. 12, 27.
24. Βλ. Ἀριθμ. 22, 5-25, 20 καὶ Β' Πέτρ. 2, 15-16.

καὶ σὲ σένα»[22]. Καὶ πουθενὰ δὲν ἀναφέρει τὸ ὄνομα τοῦ πατέρα του. Γιατί; Διότι ἐξακολουθοῦσε νὰ ζεῖ στὴν ἀσέβεια καὶ δὲν ἤταν ἄξιος ν' ἀπαριθμηθεῖ μαζὶ μὲ τὸ παιδί του. Καὶ οἱ ἀπόστολοι δὲ εἶχαν κακοὺς πατέρες καὶ αὐτὸ τὸ δήλωσε ὁ Χριστὸς μὲ αὐτὰ ποὺ εἶπε· «Ἐὰν ἐγὼ στὸ ὄνομα τοῦ Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοί σας στὸ ὄνομα ποιοῦ θὰ τὰ ἐκβάλουν; Γι' αὐτὸ αὐτοὶ θὰ γίνουν κριτές σας»[23]. Ἀλλὰ ἂς μὴ σὲ ἀνησυχεῖ αὐτό, οὔτε νὰ σὲ σκανδαλίζει. Καθόσον ἀπὸ αὐτὸ μαθαίνομε, ὅτι ἡ κακία καὶ ἡ ἀρετὴ δὲν εἶναι ἀποτέλεσμα τῆς φύσεως, ἀλλὰ τῆς προαιρέσεως. Διότι, ἐὰν ἦταν τῆς φύσεως, ὁπωσδήποτε οἱ κακοὶ θὰ γεννοῦσαν κακοὺς καὶ οἱ καλοὶ καλούς, ἐπειδὴ ὅμως τὸ κακὸ καὶ τὸ καλὸ εἶναι ἀποτέλεσμα τῆς προαιρέσεως, γι' αὐτὸ καὶ ἀπὸ κακοὺς πατέρες γεννήθηκαν καλὰ παιδιά, καὶ πολλὲς φορὲς ὀκνηρῶν παιδιῶν οἱ πατέρες ἦταν ἐνάρετοι, ὥστε νὰ μὴ ἀποδίδουμε αὐτὰ τὰ δύο στὴ φύση, ἀλλὰ στὴ διάθεση.

Ἀλλ', ὅπως ἔλεγα προηγουμένως, ἐνῶ οἱ γονεῖς τοῦ Ἀβραὰμ ἦταν ἀσεβεῖς, πῶς ἔδωσαν αὐτὸ τὸ ὄνομα σ' αὐτόν; Καὶ αὐτὸ ἦταν ἔργο τῆς σοφίας τοῦ Θεοῦ πρὸ πάντων, ποὺ ρύθμισε νὰ δοθεῖ μὲ ἄπιστη γλώσσα ὄνομα ποὺ περιέχει τὴν ἱστορία τῶν μελλοντικῶν γεγονότων. Καθόσον τὸν Βαλαὰμ[24] τὸν ἀνάγκασε κάποτε νὰ προφητέψει τὰ μέλλοντα, φανερώνοντας τὴ δύναμή του καὶ γιὰ νὰ δείξει ὅτι μπορεῖ νὰ ἐξουσιάζει ὄχι μόνο τοὺς δικούς του, ἀλλὰ καὶ τοὺς ξένους. Καὶ γιὰ νὰ μάθεις, ὅτι στὴν περίπτωση τῶν δικαίων, καὶ ἂν ἀκόμα δὲν εἶναι εὐσεβεῖς οἱ πατέρες, πολλὲς φορὲς χωρὶς νὰ τὸ γνωρίζουν δίνουν στὰ τέκνα τους ὀνόματα ποὺ φανερώνουν σὲ μεγάλο βαθμὸ τὴ μέριμνα τοῦ Θεοῦ γιὰ τὰ μέλλοντα, θὰ σοῦ τὸ κάνω φανερὸ καὶ ἀπὸ ἄλλο παράδειγμα. Ὁ Λάμεχ, ὁ πατέρας τοῦ Νῶε, τοῦ Νῶε ἐκείνου, ποὺ στὶς ἡμέρες του ἔγινε ὁ κατακλυσμός, δὲν ἦταν δίκαιος, δὲν ἦταν εὐάρεστος στὸ Θεό, δὲν ἦταν εὐπρόσδεκτος στὸ Θεό· διότι, ἐὰν ἦταν δίκαιος, ἐὰν ἦταν εὐάρεστος, ἐὰν ἦταν εὐπρόσδεκτος στὸ Θεό, δὲν θὰ ἔλεγε, ὅτι «ὁ Νῶε μόνος

νος εὑρέθη τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ· οὐκ ἂν παρέδραμε τοῦ δικαίου τὸν πατέρα, εἰ δίκαιος ἦν.

Τί οὖν ἐκεῖνος; Ἐπέθηκεν ὄνομα τῷ παιδίῳ, πολλὴν ἔχον τῶν μελλόντων πραγμάτων τὴν ἱστορίαν, καὶ αὐτὸ προφητεία ἦν ἡ προσηγορία τοῦ δικαίου. Τὸ γὰρ ὄνομα τοῦτο τὸν μέλλοντα κατακλυσμὸν ἔσεσθαι ἐδήλου. Καὶ πῶς τὸν μέλλοντα ἔσεσθαι κατακλυσμὸν ἐδήλου τὸ ὄνομα τοῦ Νῶε; Τό, «Νῶε», τοῦτο τὸ ὄνομα ἑβραϊκῇ λέγεται γλώττῃ καὶ ἑρμηνεύεται, ‘ὁ ἀναπαύων’. Τὸ γάρ, «Νία», τῇ Σύρων φωνῇ, ἀνάπαυσίς ἐστιν. Ὥσπερ οὖν ἐκεῖ ἀπὸ τοῦ Ἄβαρ, ὅπερ ἐστὶ πέραν, Ἀβραὰμ ἐλέγετο, ὅπερ ἐστὶ γηΐνος, οὕτω καὶ ἐνταῦθα ἀπὸ τοῦ Νία, ὅπερ ἐστὶν ἀνάπαυσις, Νῶε ἐκλήθη, ὅπερ ἐστὶν ‘ἀναπαύων’· δηλοῖ δὲ τοῦτο καὶ ἡ ἐπαγωγή. «Ἐκάλεσε γὰρ αὐτὸν Νῶε, λέγων· Οὗτος ἡμᾶς διαναπαύσει», ἀνάπαυσιν τὸν κατακλυσμὸν καλῶν. Ἐπειδὴ γὰρ ἔμελλεν ἐπ᾽ αὐτοῦ ὁ κατακλυσμὸς γίνεσθαι, ὁ δὲ κατακλυσμὸς θάνατος ἦν, «Θάνατος δὲ ἀνδρὶ ἀνάπαυσις», διὰ τοῦτο τὸν ἄνθρωπον, ἐφ᾽ οὗ γέγονεν ὁ κατακλυσμός, τὸν ἀναπαύοντα ἐκάλεσέ.

5. Καὶ ὅτι οὐ βιάζομαι τὴν ἑρμηνείαν, ἀπ᾽ αὐτῆς τῆς Γραφῆς ἀκούσωμεν τοῦτο. «Ἔζησε Λάμεχ ἔτη ὀκτὼ καὶ ὀγδοήκοντα καὶ ἑκατόν, καὶ ἐγέννησεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νῶε, λέγων· οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν πόνων ἡμῶν, καὶ τῶν λυπῶν, καὶ τῶν ἔργων τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο ὁ Θεός». Τί λέγεις, «Ἀναπαύσει ἡμᾶς»; Καὶ διὰ τί μὴ εἶπε, φησίν, οὗτος ἀποκτενεῖ ἡμᾶς, οὗτος ποιήσει τὸν κατακλυσμὸν γενέσθαι, ἀλλ᾽ εἶπεν, «Ἀναπαύσει ἡμᾶς»; Ἀνεστοιχειώθη ἡ κτίσις ἅπασα, ἄβυσσοι ἀνερράγησαν κάτωθεν, καταρράκται ἀνεῴχθησαν ἄνωθεν, ἅπαντα πέλαγος ἦν ξένον καὶ παράδοξον καὶ φρικῶδες; καὶ ἐν τάφῳ κοινῷ τῇ ἰλύϊ καὶ σώματα ἀνθρώπων

25. Γέν. 6, 9.
26. Γέν. 5, 29.
27. Ἰὼβ 3, 23.
28. Γέν. 5, 28-29.

βρέθηκε τέλειος στὴ γενεά του»[25], δὲν θὰ παρέλειπε τὸν πατέρα τοῦ δικαίου, ἐὰν ἦταν δίκαιος.

Τί λοιπὸν ἔκανε ἐκεῖνος; Ἔδωσε ὄνομα στὸ παιδί του, ποὺ περιέχει μεγάλη ἑρμηνεία τῶν μελλοντικῶν πραγμάτων, καὶ αὐτὸ τὸ ὄνομα τοῦ δικαίου ἦταν προφητεία. Διότι τὸ ὄνομα αὐτὸ δήλωνε τὸν κατακλυσμὸ ποὺ ἐπρόκειτο νὰ γίνει. Καὶ πῶς τὸ ὄνομα τοῦ Νῶε δήλωνε τὸν κατακλυσμὸ ποὺ ἐπρόκειτο νὰ γίνει; Τὸ ὄνομα αὐτὸ «Νῶε» στὴν ἑβραϊκὴ γλώσσα σημαίνει καὶ ἑρμηνεύεται, 'ἀνάπαυση'. Διότι τὸ «Νία» στὴ γλώσσα τῶν Σύρων, σημαίνει 'ἀνάπαυση'. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖ ἀπὸ τὸ Ἄβαρ, ποὺ σημαίνει 'πέραν', ὀνομάσθηκε Ἀβραάμ, καὶ ἀπὸ τὸ Αἰδέμ, ποὺ σημαίνει γῆ, ὀνομάσθηκε Ἀδάμ, ποὺ σημαίνει γήϊνος, ἔτσι καὶ ἐδῶ ἀπὸ τὸ Νία, ποὺ σημαίνει 'ἀνάπαυση', ὀνομάσθηκε Νῶε, ποὺ σημαίνει 'ὁ ἀναπαύων'· αὐτὸ τὸ φανερώνει καὶ αὐτὸ ποὺ προστίθεται. Διότι λέγει, «Ὀνόμασε αὐτὸν Νῶε, λέγοντας· Αὐτὸς θὰ μᾶς ἀναπαύσει»[26], ὀνομάζοντας ἀνάπαυση τὸν κατακλυσμό. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο στὶς ἡμέρες αὐτοῦ νὰ γίνει ὁ κατακλυσμός, ὁ δὲ κατακλυσμὸς ἦταν θάνατος, «Ὁ θάνατος εἶναι γιὰ τὸν ἄνθρωπο ἀνάπαυση»[27], γι' αὐτὸ τὸν ἄνθρωπο, στὶς ἡμέρες τοῦ ὁποίου ἔγινε ὁ κατακλυσμός, τὸν ὀνόμασε 'ἀναπαύοντα'.

5. Καὶ ὅτι δὲν διαστρέφω τὴν ἑρμηνεία, ἂς τὸ ἀκούσουμε αὐτὸ ἀπὸ τὴν ἴδια τὴ Γραφή. «Ἔζησε ὁ Λάμεχ ἑκατὸν ὀγδόντα ὀχτὼ χρόνια, καὶ γέννησε υἱό, καὶ ἔδωσε σ' αὐτὸν τὸ ὄνομα Νῶε, λέγοντας· αὐτὸς θὰ μᾶς ἀναπαύσει ἀπὸ τοὺς κόπους καὶ ἀπὸ τὶς λύπες καὶ ἀπὸ τὰ ἔργα τῶν χεριῶν μας, καὶ ἀπὸ τὴ γῆ, τὴν ὁποία καταράσθηκε ὁ Θεός»[28]. Τί λέγεις, «Θ' ἀναπαύσει ἐμᾶς»; Καὶ γιατί δὲν εἶπε, λέγει, αὐτὸς θὰ μᾶς θανατώσει, αὐτὸς θὰ συντελέσει νὰ γίνει ὁ κατακλυσμός, ἀλλ' εἶπε, «Θ' ἀναπαύσει ἐμᾶς»; Ὁλόκληρη ἡ κτίση καταστράφηκε, οἱ ἄβυσσοι τῆς γῆς διαρρήχθηκαν, οἱ καταρράχτες τῶν οὐρανῶν ἄνοιξαν, ὅλα ἦταν πέλαγος πρωτοφανὲς καὶ παράδοξο καὶ φρικῶδες, καὶ μέσα στὸν κοινὸ τάφο τῆς λάσπης θάφτηκαν καὶ σώματα ἀν-

καὶ σώματα ἵππων καὶ θηρίων ἐκρύπτετο· καὶ τοσαῦτα κακά, εἰπέ μοι, καὶ τοσαύτην συμφορὰν ἀνάπαυσιν καλεῖς;

Ναί, φησίν. Ἐπειδὴ γὰρ ἐν κακίᾳ ἔζων οἱ ἄνθρωποι, ὁ δὲ κατακλυσμὸς τὴν κακίαν ἀνέκοψεν, οἱ τῆς κακίας ἀπαλλαγέντες ἀνέπαυσαν. Καθάπερ γὰρ σῶμα ποικίλοις νοσήμασι κατεχόμενον, καὶ ἰατρείαν οὐδεμίαν εὑρίσκον, ἐὰν ἐπελθὼν ὁ θάνατος λάβῃ, ἀνέπαυσεν, οὕτω δὴ καὶ τὴν τῶν ἀνθρώπων ἐκείνων γενεάν, καθάπερ σῶμα ἀνίατα νοσοῦν καὶ πολλοῖς προκατειλημμένον δεινοῖς παραμυθίαν οὐδεμίαν ἔχουσιν, ἐπελθὼν ὁ κατακλυσμὸς ἐξήρπασε καὶ ἀνέπαυσεν. Εἰ γὰρ «Θάνατος ἀνδρὶ ἀνάπαυσις», πολλῷ μᾶλλον τοῖς ἐν κακίᾳ ἀδιορθώτως ζῶσιν ἀνάπαυσις ὁ θάνατος, τῶν πόνων αὐτοὺς ἀπαλλάττων, καὶ οὐκ ἐῶν περαιτέρω τῆς πονηρίας τὴν νομὴν προελθεῖν, οὐδὲ βαρύτερον τοῦ ὄντος γενέσθαι τῶν ἁμαρτημάτων τὸ φορτίον. Οὐδὲν γὰρ οὕτω βαρὺ καὶ δυσβάστακτον, ὡς ἁμαρτίας φύσις· οὐδὲν οὕτω κάματον καὶ πόνον ἡμῖν παρέχει, ὡς τὸ τῆς πονηρίας εἶδος καὶ τὰ πλημμελήματα. Διὰ τοῦτο ὁ Χριστὸς τοῖς ἐν ἁμαρτίαις ζῶσιν ἔλεγε· «Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς». Διὰ τοῦτο καὶ ὁ Λάμεχ ἀνάπαυσιν τὸν κατακλυσμὸν ἐκάλεσεν, ἐπελθόντα καὶ στήσαντα τὴν πονηρίαν.

Ἐβουλόμην περαιτέρω τὸν λόγον ἐκτεῖναι τοῦτον, καὶ γὰρ πολλὰ ὑπολέλειπται ἀπὸ τῆς προσηγορίας τοῦ Νῶε, ἀλλὰ τέως ταῦτα τῇ μνήμῃ τῆς ὑμετέρας διανοίας ἐναποθέμενοι, καὶ πρὸς τοὺς ἡμετέρους ἀδελφοὺς τοὺς ἀπολειφθέντας εἰπόντες, ἵνα μὴ πάλιν ἀναγκαζώμεθα μακρότερα ποιεῖν τὰ προοίμια, τῶν εἰρημένων τὴν ἀκολουθίαν ἀναλαμβάνοντες, εἰς εὐχὰς τὸν λόγον καταλύσωμεν, εὐχαριστοῦντες τῷ ταῦτα δεδωκότι εἰπεῖν Θεῷ, ὅτι αὐτῷ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

29. Ἰὼβ 3, 23. 30. Ματθ. 11, 28.

θρώπων καὶ σώματα ἵππων καὶ θηρίων, καὶ τόσα κακὰ καὶ τόση συμφορά, πές μου, τὰ ὀνομάζεις ἀνάπαυση;

Ναί, λέγει. Διότι, ἐπειδὴ οἱ ἄνθρωποι ζοῦσαν μέσα στὴν κακία, ὁ δὲ κατακλυσμὸς διέκοψε τὴν κακία, ἐκεῖνοι ποὺ ἀπαλλάχθηκαν ἀπὸ τὴν κακία ἀναπαύθηκαν. Ὅπως ἀκριβῶς δηλαδὴ σῶμα ποὺ ὑποφέρει ἀπὸ διάφορα νοσήματα καὶ δὲν βρίσκει καμιὰ θεραπεία, ἐὰν ἔρθει ὁ θάνατος καὶ τὸ πάρει τὸ ἀνάπαυσε, ἔτσι λοιπὸν καὶ τὴ γενεὰ ἐκείνων τῶν ἀνθρώπων, ποὺ σὰν ἀκριβῶς σῶμα ὑπέφερε ἀθεράπευτα καὶ βασανιζόταν ἀπὸ πολλὰ κακὰ καὶ δὲν ὑπῆρχε καμιὰ παρηγοριά, ἀφοῦ ἦρθε ὁ κατακλυσμὸς τὴν ἄρπαξε καὶ τὴν ἀνάπαυσε. Διότι, ἐὰν «Ὁ θάνατος γιὰ τὸν ἄνθρωπο εἶναι ἀνάπαυση»[29], πολὺ περισσότερο ὁ θάνατος εἶναι ἀνάπαυση γιὰ τοὺς ἀνθρώπους ποὺ ζοῦν ἀδιόρθωτοι μέσα στὴν κακία, ἀπαλλάσσοντας αὐτοὺς ἀπὸ τοὺς κόπους καὶ μὴ ἀφήνοντας νὰ προχωρήσει παρὰ πέρα ἡ ἐξάπλωση τῆς κακίας, οὔτε νὰ γίνει τὸ φορτίο τῶν ἁμαρτημάτων βαρύτερο ἀπὸ αὐτὸ ποὺ ἦταν. Διότι τίποτε δὲν εἶναι τόσο βαρὺ καὶ δυσβάσταχτο, ὅσο ἡ φύση τῆς ἁμαρτίας· τίποτε δὲν μᾶς παρέχει τόσο κάματο καὶ κόπο, ὅσο τὸ εἶδος τῆς κακίας καὶ τὰ πλημμελήματα. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε γιὰ ἐκείνους ποὺ ζοῦν μέσα στὶς ἁμαρτίες· «Ἐλᾶτε ὅλοι οἱ κουρασμένοι καὶ φορτωμένοι ἀπὸ τὶς ἁμαρτίες καὶ ἐγὼ θὰ σᾶς ἀναπαύσω». Γι' αὐτὸ καὶ ὁ Λάμεχ ὀνόμασε τὸν κατακλυσμὸ ἀνάπαυση, διότι ἦρθε καὶ σταμάτησε τὴν κακία.

Ἤθελα νὰ παρατείνω περισσότερο αὐτὸ τὸ λόγο, καθόσον πολλὰ ἔχουν ὑπολειφθεῖ ἀπὸ τὸ ὄνομα τοῦ Νῶε, ἀλλ', ἀφοῦ τώρα ἐναποθέσαμε αὐτὰ στὴ σκέψη σας, γιὰ νὰ τὰ πεῖτε καὶ πρὸς τοὺς ἀδελφούς μας ποὺ ἀπουσιάζουν, ὥστε νὰ μὴ ἀναγκαζόμαστε πάλι νὰ κάμνουμε μακρότερους τοὺς προλόγους τῶν ὁμιλιῶν, ἐπαναλαμβάνοντας στὴ συνέχεια τὰ ὅσα ἔχουν λεχθεῖ, ἂς τελειώσουμε τὸ λόγο μὲ εὐχές, εὐχαριστώντας τὸ Θεὸ ποὺ μᾶς ἔδωσε τὴ δύναμη νὰ σᾶς ποῦμε αὐτά, διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΥΠΟΜΝΗΜΑ
ΣΤΟΝ ΠΡΟΦΗΤΗ ΗΣΑΪΑ
(Κεφάλαια Α΄—Η΄)

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΗΣΑΪΑΝ.

Τοῦ προφήτου τούτου τὸ ἐξαίρετον μάλιστα μὲν καὶ αὐτόθεν ἐστὶν ἰδεῖν, δείκνυσι δὲ αὐτὸ ἐντελέστερον ὁ πάντων ἀκριβέστερον τὰς ἀρετὰς αὐτοῦ εἰδὼς Παῦλος, ἅτε Πνεύματι τοσούτῳ φθεγγόμενος. Τὴν γὰρ ἐλευθεροστομίαν αὐτοῦ, καὶ τὸ φρόνημα τὸ ἀδούλωτον, καὶ τὴν ὑψηλὴν γνώμην, καὶ τὴν πολλὴν ἐν τῇ περὶ τοῦ Χριστοῦ προφητείᾳ σαφήνειαν ἐνδεικνύμενος, ἅπαντα ταῦτα ἑνὶ ρήματι παρέστησεν εἰπών· «Ἠσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι». Πολὺ δὲ αὐτοῦ καὶ τὸ συμπαθές. Οὐ γὰρ δὴ μόνον κατεξανίστατο τῆς τοῦ δήμου μανίας, οὐδὲ ἐλευθέρᾳ γλώττῃ καὶ ὑψηλοτέρᾳ γνώμῃ τὰ μέλλοντα αὐτοὺς καταλήψεσθαι λυπηρὰ μετὰ πολλῆς ἀπήγγειλε τῆς παρρησίας, ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς τῶν πραγμάτων περιστάσεσιν αὐτῶν οὐκ ἔλαττον τῶν ἐμπιπτόντων ἀλγεῖ καὶ δάκνεται, καὶ πικρότερον τῶν ἁλόντων ὀδύρεται. Καὶ πάντων δέ, ὡς εἰπεῖν, τῶν προφητῶν καὶ τῶν ἁγίων τοιοῦτον τὸ ἔθος· πατέρων φιλοστοργίαν τῇ περὶ τοὺς ἀρχομένους ἀπέκρυψαν διαθέσει, καὶ τὴν τῆς φύσεως τυραννίδα ἐκ πολλοῦ τοῦ περιόντος ὑπερηκόντισαν.

---

1. Ρωμ. 10, 20. 2. Ἠσ. 65, 1.

ΕΡΜΗΝΕΙΑ

ΣΤΟΝ ΠΡΟΦΗΤΗ ΗΣΑ·Ι·Α.

Τὴ μεγάλη σπουδαιότητα αὐτοῦ τοῦ προφήτη εἶναι δυνατὸ νὰ τὴ διαπιστώσουμε πρὸ πάντων μὲν ἀπὸ τὰ ἴδια τὰ γραφόμενά του, δείχνει ὅμως αὐτὴν κατὰ τρόπο πληρέστερο ἐκεῖνος ποὺ γνωρίζει καλύτερα ἀπὸ ὅλους τοὺς ἀνθρώπους τὶς ἀρετὲς αὐτοῦ, δηλαδὴ ὁ Παῦλος, καθόσον ὁμιλεῖ ἔχοντας τόσο πλούσια τὴ χάρη τοῦ Πνεύματος. Διότι αὐτός, γιὰ νὰ δείξει τὴν ἐλευθεροστομία αὐτοῦ, τὸ ἀδούλωτο φρόνημά του, τὴν ὑψηλὴ σκέψη του καὶ τὴν μεγάλη σαφήνειά του στὶς προφητεῖες περὶ τοῦ Χριστοῦ, ὅλα αὐτὰ τὰ παρουσίασε μὲ ἕνα λόγο, λέγοντας· «Ὁ Ἠσαΐας δὲ μὲ μεγάλη τόλμη λέγει[1]· βρέθηκα ἀπὸ ἐκείνους ποὺ δὲν μὲ ζητοῦσαν καὶ φανερώθηκα σ' ἐκείνους ποὺ δὲν ἐρωτοῦν γιὰ μένα»[2]. Μεγάλη δὲ ἦταν καὶ ἡ στοργικότητά του πρὸς τοὺς ἀνθρώπους. Διότι δὲν ἐξεγειρόταν μόνο ἐναντίον τῆς μανίας τοῦ λαοῦ, οὔτε μὲ ἐλεύθερη γλώσσα καὶ ὑψηλότερη πνευματικότητα προανάγγελλε μὲ μεγάλη παρρησία τὰ λυπηρὰ γεγονότα ποὺ ἐπρόκειτο νὰ τοὺς βροῦν, ἀλλὰ καὶ κατὰ τὴ διάρκεια αὐτῶν τῶν ἴδιων τῶν γεγονότων δὲν πονᾶ καὶ ὑποφέρει λιγότερο ἀπὸ ἐκείνους ποὺ περιπίπτουν σ' αὐτὲς τὶς συμφορὲς καὶ θρηνεῖ πιὸ πικρὰ ἀπὸ ἐκείνους ποὺ κυριεύθηκαν ἀπὸ αὐτές. Καὶ ὅλων δέ, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε, τῶν προφητῶν καὶ τῶν ἁγίων αὐτὴ εἶναι ἡ συνήθεια· μὲ τὴν ὅλη συμπεριφορά τους ἀπέναντι στοὺς ἀρχομένους ἀπέκρυψαν τὴ φιλοστοργία τῶν πατέρων καὶ ὑπερέβαλαν σὲ πολὺ πιὸ μεγαλύτερο βαθμὸ τὴ φυσικὴ τυραννία.

Οὐδεὶς γάρ, οὐδείς ποτε φιλόπαις οὕτω τῶν ἐκγόνων περιεκαίετο, ὡς οὗτοι τῶν ἀρχομένων ὑπεραπέθνησκον, ὀδυρόμενοι, θρηνοῦντες, κακῶς πασχόντων αὐτῶν τὸν Θεὸν παρακαλοῦντες, συναπαγόμενοι, κοινωνοῦντες τῶν δεινῶν, πάντα καὶ ποιοῦντες καὶ πάσχοντες, ὥστε αὐτοὺς ἐξελέσθαι καὶ τῆς ἄνωθεν ὀργῆς, καὶ τῆς τῶν πραγμάτων ἐπιδρομῆς. Καὶ γὰρ οὐδὲν οὕτως ἐπιτήδειον εἰς ἀρχῆς αἵρεσιν, ὡς ψυχὴ φιλόσοφος καὶ συναλγεῖν ἐπισταμένη. Διὰ τοῦτο καὶ Μωϋσέα τὸν μέγαν ἐπὶ τὸν θρόνον τῆς δημαγωγίας ἀνεβίβασεν ὁ Θεός, ἐπειδὴ προλαβὼν διὰ τῶν ἔργων ἐπεδείξατο τὴν ὑπὲρ τοῦ δήμου φιλοστοργίαν, καὶ μετὰ ταῦτα ἔλεγεν, «Εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· ἐπεὶ κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας».

Καὶ αὐτὸς οὗτος ὁρῶν ἀπολλυμένους αὐτούς, ἔλεγεν· «Ἄφετέ με, πικρῶς κλαύσομαι. Μὴ κατισχύσητε παρακαλεῖν με ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου». Ὁ δὲ Ἱερεμίας καὶ θρήνους μακροὺς συνέθηκε, τῆς πόλεως κατενεχθείσης. Ἰεζεκιὴλ δὲ καὶ συναπῆλθε, καὶ τὴν ἀλλοτρίαν τῆς οἰκείας κουφοτέραν εἶναι ἐνόμιζε, μέγιστον εἰς παραμυθίαν τῆς συμφορᾶς ἔχων τὸ παρεῖναι τοῖς κάμνουσι, καὶ διορθοῦν τὰ ἑτέρων πράγματα. Καὶ ὁ Δανιὴλ δὲ ὑπὲρ τῆς ἀνόδου τῆς τούτων εἴκοσι καὶ πλείους ἡμέρας διέμενεν ἄσιτος, καὶ πᾶσαν σπουδὴν ἐπεδείξατο, τὸν Θεὸν ἱκετεύων ἀφεθῆναι τῆς πικρᾶς δουλείας αὐτούς. Καὶ τῶν ἁγίων δὲ ἕκαστος ἐντεῦθεν φαίνεται λάμπων. Οὕτω καὶ ὁ Δαυὶδ ὁρῶν τὴν θεήλατον ὀργὴν ἐπὶ τὸν δῆμον φερομένην, ἐφ' ἑαυτὸν ἐκάλει τὴν πληγήν, λέγων· «Ἐγὼ ὁ ποιμὴν ἥμαρτον, καὶ ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι, τὸ ποίμνιον, τί ἐποίησαν;

---

3. Ἐξ. 32, 32. 4. Ἡσ. 22, 4.

Πράγματι, κανένας, κανένας ποτὲ φιλόστοργος πατέρας δὲν ἔνιωθε μέσα του τόση φλόγα γιὰ τὰ τέκνα του, ὅση θυσία ἔδειχναν αὐτοὶ γιὰ τοὺς ἀρχομένους, μὲ τὸ νὰ ὀδύρονται, μὲ τὸ νὰ θρηνοῦν, μὲ τὸ νὰ παρακαλοῦν τὸ Θεὸ ὅταν ὑπέφεραν αὐτοί, μὲ τὸ νὰ ὁδηγοῦνται καὶ μαζὶ μὲ αὐτοὺς στὴν αἰχμαλωσία, νὰ συμμετέχουν στὶς συμφορές τους, ὅλα νὰ τὰ κάμνουν καὶ νὰ τὰ ὑποφέρουν, ὥστε ν' ἀπαλλάξουν αὐτοὺς καὶ ἀπὸ τὴν οὐράνια ὀργὴ καὶ ἀπὸ τὴν ἐπιδρομὴ τῶν δυσάρεστων γεγονότων ποὺ τοὺς ἔβρισκαν. Καθόσον τίποτε δὲν εἶναι τόσο κατάλληλος τρόπος γιὰ τὴν ἀνάληψη τῆς ἐξουσίας, ὅσο ἡ ψυχὴ ἐκείνη ποὺ εἶναι γεμάτη ἀπὸ εὐσέβεια καὶ γνωρίζει νὰ ὑποφέρει μαζὶ μὲ ἐκείνους ποὺ ὑποφέρουν. Γι' αὐτὸ καὶ τὸν μέγα Μωυσῆ ἀνέβασε ὁ Θεὸς στὸ θρόνο τῆς καθοδηγήσεως τοῦ λαοῦ, ἐπειδὴ προηγουμένως ἔδειξε ἔμπρακτα τὴ φιλοστοργία του πρὸς τὸ λαό, καὶ στὴ συνέχεια δὲ ἔλεγε· «Ἐὰν μὲν συγχωρήσεις τὴν ἁμαρτία αὐτῶν, συγχώρησέ την· διαφορετικὰ ξέγραψε καὶ ἐμένα ἀπὸ τὸ βιβλίο στὸ ὁποῖο μὲ ἔγραψες»[3].

Καὶ αὐτὸς ὁ ἴδιος, βλέποντας αὐτοὺς νὰ καταστρέφονται, ἔλεγε· «Ἀφῆστε με νὰ κλάψω πικρά. Μὴ προσπαθεῖτε νὰ μὲ παρηγορήσετε γιὰ τὴν καταστροφὴ τῆς Ἰερουσαλὴμ τῆς θυγατέρας τοῦ γένους μου»[4]. Ὁ δὲ Ἰερεμίας σύνταξε καὶ μικροὺς θρήνους ὅταν καταστράφηκε ἡ πόλη. Ὁ Ἰεζεκιὴλ πάλι καὶ ὁδηγήθηκε μαζὶ μὲ τὸ λαό του στὴν αἰχμαλωσία καὶ τὴν ξένη χώρα τὴν θεωροῦσε ἐλαφρότερη ἀπὸ τὴ δική του, ἔχοντας μέγιστη παρηγοριὰ τῆς συμφορᾶς τὸ νὰ βρίσκεται κοντὰ σ' ἐκείνους ποὺ ὑπέφεραν καὶ νὰ τακτοποιεῖ τὶς ὑποθέσεις τῶν ἄλλων. Καὶ ὁ Δανιὴλ δὲ ἔμεινε εἴκοσι καὶ περισσότερες ἡμέρες ἄσιτος πρὸς χάρη τῆς ἐπιστροφῆς αὐτῶν ἀπὸ τὴν αἰχμαλωσία, καὶ κάθε φροντίδα ἔδειξε, παρακαλώντας τὸ Θεὸ νὰ τοὺς ἀπαλλάξει ἀπὸ τὴν πικρὴ δουλεία. Καὶ ἀπὸ τοὺς ἁγίους δὲ καθένας ἀπὸ αὐτὸ φαίνεται νὰ διαλάμπει. Ἔτσι καὶ ὁ Δαυίδ, βλέποντας τὴ θεόσταλτη ἐκείνη ὀργὴ νὰ κατευθύνεται ἐναντίον τοῦ λαοῦ, ζητοῦσε τὴν πληγὴ νὰ στραφεῖ ἐναντίον του, λέγοντας· «Ἐγὼ ὁ ποιμένας ἁμάρτησα καὶ ἐγὼ ὁ ποιμένας διέπραξα τὰ κακά· αὐ-

Γενέσθω ἡ χείρ σου ἐπ' ἐμοί, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου». Καὶ 'Αβραὰμ ὁ πατριάρχης πόρρω τῶν κακῶν ἑστηκώς, καὶ οὐδὲν ἔχων κοινὸν πρὸς τὰ καταληψόμενα τοὺς ἐν Σοδόμοις κακά, ὡς ἐν αὐτοῖς μέσοις τοῖς δεινοῖς ἐμβεβηκώς, οὕτω παρεκάλει καὶ ἐδέετο τοῦ Θεοῦ, καὶ οὐδ' ἂν ἀπέστη πάντα ποιῶν καὶ λέγων, ὥστε λῦσαι τὸν χαλεπὸν ἐμπρησμὸν ἐκεῖνον, εἰ μὴ ὁ Θεὸς αὐτὸν ἀφεὶς ἀπῆλθεν.

Οἱ δὲ ἐν τῇ Καινῇ καὶ μείζονα ἀπεδείξαντο ταύτης τὴν ἀρετήν, ἅτε καὶ πλείονος ἀπολελαυκότες χάριτος, καὶ πρὸς μακρότερα κληθέντες σκάμματα. Διὰ τοῦτο καὶ Πέτρος ἀκούων τοῦ Χριστοῦ λέγοντος, ὅτι τοῖς πλουτοῦσι δυσκολωτάτη ἡ πρὸς τὸν οὐρανὸν εἴσοδος, ἠγωνία καὶ ἔτρεμε, καὶ πεῦσιν προσῆγε λέγων, «Τίς ἄρα δύναται σωθῆναι;», καίτοι γε ὑπὲρ τῶν καθ' ἑαυτὸν θαρρῶν πραγμάτων. Οὐ γὰρ τὸ ἑαυτῶν ἐσκόπουν, ἀλλὰ τῆς οἰκουμένης ἐφρόντιζον. Καὶ Παῦλος δὲ δι' ὅλων τοῦτο ἡμῖν ἐνδείκνυται τῶν ἐπιστολῶν, ὅς οὐδὲ τὸν Χριστὸν ἰδεῖν ἠνέσχετο πρὸ τῆς τῶν ἀνθρώπων σωτηρίας, οὕτω λέγων· «Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, κρεῖσσον, τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς». Τοιοῦτον καὶ οὗτος ἡμῖν διατηρεῖ τὸν χαρακτῆρα ὁ προφήτης, καὶ λέγων τὰς ἀποφάσεις τοῦ Θεοῦ μετὰ πολλῆς τῆς παρρησίας, καὶ ἐπιτιμῶν τοῖς ἁμαρτάνουσι, καὶ παρακαλῶν αὐτὸν συνεχῶς καὶ διὰ μακρῶν τῶν λόγων παροξυνόμενον κατ' αὐτῶν· καὶ τοῦτο μάλιστα πρὸς τῷ τέλει τῆς προφητείας ἐστὶν ἰδεῖν, τέως δὲ αὐτῶν ἀναγκαῖον ἄρξασθαι τῶν προοιμίων.

---

5. Β' Βασ. 24, 17. 7. Φιλιπ. 1, 23-24. 6. Λουκᾶ 18, 26.

τοὶ δέ, δηλαδὴ τὸ ποίμνιο, τί ἔκαναν; Ἄς πέσει τὸ χέρι σου ἐπάνω μου καὶ στὸν οἶκο τοῦ πατέρα μου»[5]. Καὶ ὁ πατριάρχης Ἀβραὰμ βρισκόμενος μακριὰ ἀπὸ τὰ κακὰ καὶ μὴ ἔχοντας τίποτε τὸ κοινὸ μὲ τὰ κακὰ ποὺ θὰ καταλάμβαναν τοὺς κατοίκους τῶν Σοδόμων, σὰν νὰ βρισκόταν μέσα στὶς ἴδιες τὶς συμφορὲς αὐτές, ἔτσι παρακαλοῦσε καὶ ἱκέτευε τὸ Θεό, καὶ δὲν θὰ σταματοῦσε νὰ κάμνει καὶ νὰ λέγει τὰ πάντα, ὥστε νὰ θέσει τέρμα στὸ φοβερὸ ἐκεῖνο ἐμπρησμό, ἐὰν δὲν τὸν ἄφηνε ὁ Θεὸς καὶ ἀπερχόταν.

Οἱ ἅγιοι ὅμως τῆς Καινῆς Διαθήκης ἔδειξαν μεγαλύτερη ἀρετὴ ἀπὸ αὐτήν, καθόσον καὶ περισσότερη χάρη εἶχαν ἀπολαύσει καὶ κλήθηκαν πρὸς μεγαλύτερα ἀγωνίσματα. Γι' αὐτὸ καὶ ὁ Πέτρος ἀκούοντας τὸν Χριστὸ νὰ λέγει, ὅτι εἶναι πάρα πολὺ δύσκολη ἡ εἴσοδος στὸν οὐρανὸ γιὰ τοὺς πλουσίους, ἀγωνιοῦσε καὶ ἔτρεμε καὶ ἐρώτηση ὑπέβαλε, λέγοντας, «Ποιὸς ἄραγε μπορεῖ νὰ σωθεῖ;»[6], ἂν καὶ βέβαια ἦταν αἰσιόδοξος γιὰ τὴ δική του σωτηρία. Διότι δὲν εἶχαν στραμμένη τὴν προσοχή τους στὸν ἑαυτό τους, ἀλλὰ φρόντιζαν γιὰ τὴν οἰκουμένη. Καὶ ὁ Παῦλος δὲ μὲ ὅλες τὶς ἐπιστολές του αὐτὸ μᾶς φανερώνει, αὐτὸς ποὺ γιὰ χάρη τῆς σωτηρίας τῶν ἀνθρώπων δὲν προτιμοῦσε οὔτε τὸ Χριστὸ νὰ δεῖ, λέγοντας τὰ ἑξῆς· «Τὸ νὰ φύγω ἀπὸ τὴ ζωὴ αὐτὴ καὶ νὰ εἶμαι μαζὶ μὲ τὸ Χριστὸ εἶναι προτιμότερο, τὸ νὰ παραμείνω ὅμως στὴ ζωὴ σωματικὰ εἶναι ἀναγκαιότερο γιὰ σᾶς»[7]. Παρόμοιο χαρακτήρα μᾶς παρουσιάζει καὶ ὁ προφήτης αὐτός, καὶ διακηρύσσοντας μὲ μεγάλη παρρησία τὶς ἀποφάσεις τοῦ Θεοῦ, καὶ ἐπιτιμώντας τοὺς ἁμαρτάνοντας καὶ παρακαλώντας αὐτὸν συνέχεια καὶ μὲ πικροὺς λόγους ὅταν παροργιζόταν ἐναντίον αὐτῶν· καὶ αὐτὸ πρὸ πάντων μποροῦμε νὰ τὸ δοῦμε πρὸς τὸ τέλος τῆς προφητείας, τώρα ὅμως εἶναι ἀνάγκη νὰ ἀρχίσουμε ἀπὸ τὸ προοίμιο αὐτῆς.

ΚΕΦΑΛΑΙΟΝ Α'.

«Ὅρασις, ἣν εἶδεν Ἡσαΐας».

1. Ὅρασιν καλεῖ τὴν προφητείαν, ἢ διὰ τὸ πολλὰ τῶν ἐκβησομένων ἐπ' αὐτῆς ὁρᾷν τῆς ὄψεως, ὡς ὁ Μιχαίας εἶδε τὸν λαὸν ἐσπαρμένον, καὶ ὁ Ἰεζεκιὴλ τὴν αἰχμαλωσίαν καὶ τὴν παρανομίαν τῶν τὸν ἥλιον προσκυνούντων καὶ τὸν Θαμούζην, ἢ διὰ τὸ τὴν ἀκοὴν τῶν προφητῶν τὴν ἐκ τοῦ Θεοῦ γενομένην αὐτοῖς μηδὲν ἔλαττον ἔχειν τῆς ὄψεως, ἀλλ' ὁμοίως πληροφορεῖν, ὅπερ ἐν τοῖς βιωτικοῖς οὐκ ἔνι. Ὅτι γὰρ ἑτέρως ἤκουον παρὰ τοὺς λοιποὺς τῶν ἀνθρώπων, φησί· «Προσέθηκέ μοι ὠτίον ἀκούειν». Ποιεῖ δὲ καὶ τὸν λόγον ἀξιόπιστον, ὅρασιν εἰπών, καὶ ἀνίστησι τὸν ἀκροατήν, καὶ παραπέμπει πρὸς τὸν τὰ πράγματα δείξαντα. Ἔθος γὰρ αὐτοῖς ἅπασι τοῖς παρὰ τοῦ Θεοῦ διαπορθμεύουσι τὰ λεγόμενα, τοῦτο πρὸ τῶν ἄλλων κατασκευάζειν, ὡς οὐδὲν οἴκοθεν φθέγγονται, ἀλλ' ὅτι θεῖοι χρησμοί τινές εἰσι τὰ λεγόμενα, καὶ γράμματα ἐκ τῶν οὐρανῶν καταβάντα. Οὕτω καὶ ὁ Δαυίδ· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου». Μὴ τοίνυν τοῦ καλάμου νόμιζε εἶναι τὰ γράμματα, ἀλλὰ τῆς κατεχούσης αὐτὸν δεξιᾶς, τουτέστι, μὴ τῆς γλώττης τοῦ Δαυίδ, ἀλλὰ τῆς κινούσης αὐτὸν χάριτος. Καὶ ἕτερος δὲ προφήτης τοῦτο αὐτὸ ἐνδεικνύμενος ἔλεγεν, ὅτι «Αἰπόλος ἤμην», φησί, «συκάμινα κνίζων», ἵνα μὴ ἀνθρωπίνῃ σοφίᾳ

---

1. Γ' Βασ. 22, 17.
2. Ἰεζ. 8, 14· 16.
3. Ἡσ. 50, 4.
4. Ψαλ. 44, 2.
5. Ἀμ. 7, 14.

ΚΕΦΑΛΑΙΟ Α′

«Ὅραση τὴν ὁποία εἶδε ὁ Ἠσαΐας»

1. Ὅραση ὀνομάζει τὴν προφητεία ἢ ἐπειδὴ μὲ τὸν τρόπο αὐτὸ βλέπει πολλὰ ἀπὸ ἐκεῖνα ποὺ θὰ συμβοῦν στὸ μέλλον, ὅπως ὁ Μιχαίας εἶδε τὸ λαὸ διασκορπισμένο[1] καὶ ὁ Ἰεζεκιὴλ τὴν αἰχμαλωσία καὶ τὴν παρανομία ἐκείνων ποὺ προσκυνοῦσαν τὸν ἥλιο καὶ τὸν Θαμούζη[2], ἢ ἐπειδὴ αὐτὸ ποὺ ἀκοῦν οἱ προφῆτες ἀπὸ τὸ Θεὸ δὲν εἶναι καθόλου κατώτερο ἀπὸ αὐτὸ ποὺ βλέπει κανεὶς μὲ τὰ μάτια, ἀλλὰ μὲ ὅμοιο τρόπο λαμβάνουν γνώση τῶν γεγονότων, πράγμα ποὺ δὲν εἶναι δυνατὸ νὰ συμβεῖ στὰ ἀνθρώπινα. Διότι τὸ ὅτι οἱ προφῆτες ἄκουαν διαφορετικὰ ἀπὸ τοὺς ὑπόλοιπους ἀνθρώπους, λέγει· «Μοῦ πρόσθεσε αὐτὶ γιὰ ν' ἀκούω»[3]. Κάμνει δὲ καὶ τὸ λόγο ἀξιόπιστο, λέγοντας ὅραση, καὶ ἀνορθώνει τὸν ἀκροατὴ καὶ τὸν στέλνει πρὸς ἐκεῖνον ποὺ ἔδειξε τὰ πράγματα αὐτά. Διότι συνηθίζουν ὅλοι αὐτοὶ ποὺ διαβιβάζουν στοὺς ἀνθρώπους τὰ λεγόμενα ὑπὸ τοῦ Θεοῦ, αὐτὸ πρὶν ἀπὸ ὅλα νὰ κάμνουν, ὅτι δηλαδὴ τίποτε δὲν λέγουν ἀπὸ μόνοι τους, ἀλλ' ὅτι τὰ λεγόμενα εἶναι κάποιοι θεῖοι χρησμοὶ καὶ γράμματα ποὺ κατέβηκαν ἀπὸ τὸν οὐρανό. Τὸ ἴδιο λέγει καὶ ὁ Δαυίδ· «Ἡ γλώσσα μου εἶναι πέννα ταχυγράφου γραμματέα»[4]. Μὴ λοιπὸν νομίζεις ὅτι τὰ γράμματα εἶναι τῆς πέννας, ἀλλὰ τῆς δεξιᾶς ποὺ τὴν κρατᾶ, δηλαδὴ ὄχι τῆς γλώσσας τοῦ Δαυίδ, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ ποὺ κινεῖ αὐτόν. Καὶ ἄλλος δὲ προφήτης γιὰ νὰ δείξει αὐτὸ ἀκριβῶς, ἔλεγε, «Ἐγὼ ἤμουν γιδοβοσκός», λέγει, «καὶ χάραζα συκομοριές»[5], γιὰ νὰ μὴ θεωρήσει κανεὶς τὰ λεγόμενά του ἀποτέλεσμα

τὰ λεγόμενά τις λογίσηται. Καὶ οὐδὲ τούτῳ ἠρκέσθη μόνον, ἀλλὰ καὶ ἕτερόν τι προστέθεικεν εἰπών· «Ἀλλὰ μὴν ἐγὼ ἐνεπλήσθην ἰσχύος ἐν Πνεύματι Κυρίου, καὶ κρίματος, καὶ δυναστείας».

Οὐ γὰρ δὴ μόνον σοφοὺς αὐτοὺς ἡ χάρις, ἀλλὰ καὶ ἰσχυροὺς εἰργάζετο, οὐ τῇ τοῦ σώματος κατασκευῇ, ἀλλὰ τῇ γνώμῃ. Ἐπειδὴ γὰρ πρὸς δῆμον εἶχον ἰταμὸν καὶ ἀναίσχυντον, αἱμάτων διψῶντα προφητικῶν, καὶ σφαγαῖς ἁγίων ἐμμελετῶντα, εἰκότως πολλῆς ἐδέοντο τῆς δυνάμεως, ὥστε μὴ καταπλαγῆναι τὴν ἄφατον αὐτῶν ῥύμην. Διὰ δὴ τοῦτο τῷ μὲν Ἰερεμίᾳ φησί, «Τέθεικά σε ὡς στῦλον σιδηροῦν, καὶ ὡς τεῖχος χαλκοῦν», τῷ δὲ Ἰεζεκιήλ, «Ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς, μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, μηδὲ πτοηθῇς». Καὶ Μωϋσῆς δέ, ἡνίκα ἀπεστέλλετο, οὐχὶ τὸν Φαραὼ δεδοικώς, ἀναδύεσθαί μοι δοκεῖ μόνον, ἀλλ' αὐτὸν μάλιστα τὸν δῆμον τῶν Ἰουδαίων. Τῷ γοῦν Θεῷ διαλεγόμενος, καὶ τὸν βάρβαρον ἀφείς, μετὰ πολλῆς τῆς σπουδῆς μαθεῖν ἐζήτει, τί δεῖ πρὸς αὐτοὺς εἰπεῖν ἀπιστοῦντας, ὅτι δὴ παρὰ Θεοῦ ἀφιγμένος εἴη· καὶ τὰ σημεῖα τῆς ἐκείνων ἕνεκεν ἐλάμβανε γνώμης, καὶ μάλα εἰκότως. Εἰ γὰρ εἰς αὐτὸν οὕτως ἐφόβησε, καὶ ταῦτα εὐεργετηθείς, τί εἰκὸς ἦν αὐτὸν παθεῖν ἐννοοῦντα τὸν ἄτακτον δῆμον ἐκεῖνον;

Διὰ δὴ τοῦτο οὐχὶ σοφίας μόνον, ἀλλὰ καὶ δυνάμεως ἐλάμβανε πνεῦμα, καὶ ἔλεγεν· «Ἐνεπλήσθην ἰσχύος ἐν Πνεύματι Κυρίου, καὶ κρίματος, καὶ δυναστείας». Καὶ ἕτερος δὲ πάλιν· «Ῥῆμα Θεοῦ ἐγένετο πρὸς Ἰερεμίαν τὸν τοῦ Χελκίου». Καὶ ἕτερος δὲ πάλιν· «Λῆμμα Νινευί. Βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ἐλκεσαίου». Καὶ αὐτὸς γὰρ οὗτος ἑτέρῳ ῥήματι τὸ αὐτὸ προτέροις ἐνδείκνυται, τοῦ Πνεύματος τὴν κατοχὴν λῆμμα καλέσας. Ἐπειδὴ γὰρ λαμβανόμενοι ὑπὸ τοῦ

6. Μιχ. 3, 8.
7. Ἰερ. 1, 18.
8. Ἰεζ. 2, 6.
9. Ἐξ. 4, 10.
10. Ἐξ. 4, 1 ἑ
11. Ἐξ. 2, 11-15.
12. Μιχ. 3, 8.
13. Ἰερ. 1, 1.
14. Ναούμ 1, 1.

τῆς ἀνθρώπινης σοφίας. Καὶ οὔτε σ' αὐτὸ μόνο ἀρκέσθηκε, ἀλλὰ καὶ κάτι ἄλλο πρόσθεσε, λέγοντας· «'Αλλ' ὅμως ἐγὼ γέμισα μὲ τὴ βοήθεια τοῦ Πνεύματος τοῦ Θεοῦ μὲ δύναμη, δικαιοσύνη καὶ ἐξουσία»[6].

Πράγματι λοιπὸν ἡ χάρη τοῦ Θεοῦ δὲν τοὺς ἔκαμνε μόνο σοφούς, ἀλλὰ καὶ ἰσχυρούς, ὄχι ὡς πρὸς τὴ σωματικὴ κατασκευή, ἀλλὰ ὡς πρὸς τὴ γνώμη. Διότι, ἐπειδὴ ἀπευθύνονταν πρὸς λαὸ γεμάτο ἀπὸ αὐθάδεια καὶ ἀδιαντροπιά, ποὺ διψοῦσε γιὰ αἵματα προφητικὰ καὶ σχεδίαζε σφαγὲς ἁγίων, πολὺ φυσικὸ ἦταν νὰ εἶχαν ἀνάγκη ἀπὸ πολλὴ δύναμη, ὥστε νὰ μὴ καταπτοηθοῦν ἀπὸ τὴν ἀπερίγραπτη ὁρμὴ αὐτῶν. Γι' αὐτὸ λοιπὸν στὸν μὲν 'Ιερεμία λέγει, «Σὲ τοποθέτησα σὰν στύλο σιδερένιο καὶ σὰν τεῖχος χάλκινο»[7], στὸν δὲ 'Ιεζεκιήλ, «Σὺ κατοικεῖς ἀνάμεσα σὲ σκορπιούς· μὴ φοβηθεῖς αὐτοὺς οὔτε νὰ δειλιάσεις»[8]. Καὶ ὁ Μωϋσῆς δὲ ὅταν στελλόταν πρὸς τὸν Φαραὼ νομίζω ὅτι πρόβαλε τὴν ἄρνηση ὄχι ἐπειδὴ φοβόταν μόνο αὐτόν[9], ἀλλὰ πρὸ πάντων ἐπειδὴ φοβόταν τὸν ἰουδαϊκὸ λαό. 'Ενῶ δηλαδὴ συνομιλοῦσε μὲ τὸ Θεό, ἀφοῦ ἄφησε τὸν βάρβαρο, ζητοῦσε μὲ πολὺ μεγάλη προθυμία καὶ ἐνδιαφέρον νὰ μάθει, τί πρέπει νὰ πεῖ πρὸς αὐτοὺς ποὺ ἀπιστοῦσαν, διότι ἦταν ἀπεσταλμένος ἀπὸ τὸ Θεό[10]· καὶ ἐξ αἰτίας τῆς διαθέσεως ἐκείνων ἐλάμβανε τὴ δύναμη νὰ θαυματουργεῖ, καὶ πολὺ εὔλογα. Διότι, ἐὰν ἕνας τόσο πολὺ τὸν φόβησε[11], καὶ ὅλα αὐτὰ ἂν καὶ εὐεργετήθηκε, τί ἦταν φυσικὸ νὰ πάθει σκεπτόμενος τὸν ἀπείθαρχο ἐκεῖνο λαό;

Γι' αὐτὸ λοιπὸν ἐλάμβανε ὄχι μόνο πνεῦμα σοφίας, ἀλλὰ καὶ δυνάμεως, καὶ ἔλεγε· «'Εγὼ γέμισα μὲ τὴ βοήθεια τοῦ Πνεύματος τοῦ Κυρίου μὲ δύναμη, δικαιοσύνη καὶ ἐξουσία»[12]. Καὶ ἄλλος δὲ πάλι λέγει· «Λόγος τοῦ Θεοῦ ποὺ ἀπευθύνθηκε πρὸς τὸν 'Ιερεμία τὸν υἱὸ τοῦ Χελκία»[13]. Καὶ ἄλλος δὲ πάλι λέγει· «Προφητεία γιὰ τὴ Νινευί. Βιβλίο ὁράσεως τοῦ Ναοὺμ τοῦ 'Ελκεσαίου»[14], καὶ αὐτὸς δὲ ὁ ἴδιος μὲ ἄλλο λόγο παρουσιάζει τὸ ἴδιο μὲ τὰ προηγούμενα, ὀνομάζοντας λῆμμα τὴν ἔμπνευσή του ὑπὸ τοῦ Πνεύματος. 'Επειδὴ δηλαδὴ μιλοῦσαν κα-

Πνεύματος οὕτως ἔλεγον, τὴν ἐνέργειαν τῆς χάριτος οὕτως ὠνόμασε. Διὰ τοῦτο καὶ Παῦλος πανταχοῦ προτίθησι τῶν Ἐπιστολῶν τὸ τῆς ἀποστολῆς ὄνομα, ὅπερ οἱ προφῆται ἐποίουν διὰ τοῦ λέγειν, ὅρασις, καὶ λόγος, καὶ λῆμμα, καὶ ρῆμα, τοῦτο διὰ τοῦ τῆς ἀποστολῆς κατασκευάζων ὀνόματος. Ὥσπερ γὰρ ὁ λέγων 'ὅρασιν' καὶ 'ρῆμα Θεοῦ', οὐ τὰ οἰκεῖα φθέγγεται, οὕτω καὶ ὁ ἀπόστολον ἑαυτὸν καλῶν, οὐ τὰ παρ' ἑαυτοῦ διδάσκει, ἀλλ' ἅπερ ὁ ἀποστέλλων ἐκέλευσεν. Ἀποστόλου γὰρ ἀξίωμα, μηδὲν οἴκοθεν ἐπεισάγειν. Διὸ καὶ ὁ Χριστὸς ἔλεγε, «Μὴ καλέσετε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γὰρ ὑμῶν ἐστιν ὁ διδάσκαλος ὁ ἐν τοῖς οὐρανοῖς», δεικνύς, ὅτι πᾶσα τῶν παρ' ἡμῖν δογμάτων ἡ ἀρχὴ τὴν ρίζαν ἄνωθεν ἔλαβεν ἐκ τοῦ τῶν οὐρανῶν Δεσπότου, κἂν ἄνθρωποι ὦσι πρὸς τὰ λεγόμενα διακονούμενοι.

«Ἣν εἶδεν Ἠσαΐας». Τὸ πῶς ὁρῶσιν οἱ προφῆται ταῦτα, ἅπερ ὁρῶσιν, οὐχ ἡμέτερον εἰπεῖν· οὐ γὰρ δυνατὸν ἑρμηνευθῆναι λόγῳ τὸν τρόπον τῆς ὄψεως, ἀλλ' ἐκεῖνος μόνος οἶδε σαφῶς, ὁ τῇ πείρᾳ μαθών. Εἰ γὰρ φύσεως ἔργα καὶ πάθη πολλάκις οὐδεὶς ἂν παραστήσειε λόγῳ, πολλῷ μᾶλλον τὸν τρόπον τῆς τοῦ Πνεύματος ἐνεργείας. Εἰ δὲ ἀμυδραῖς εἰκόσιν ἀποχρησάμενον δεῖ κατατολμῆσαι, οὐχ ὥστε τὸ σαφὲς παραστῆσαι, ἀλλ' ὥστε αἰνίγματι παρασχεῖν, ἐμοὶ δοκεῖ ταὐτὸ καὶ ἐπὶ τῶν προφητῶν γίνεσθαι, οἷον ἂν εἰ ἡ καθαρῶν ὑδάτων φύσις ἡλιακὰς ἀκτῖνας δεξαμένη καταυγασθείη, οὕτω καὶ τῶν προφητῶν τὰς ψυχάς, καθαιρομένας οἰκείᾳ ἀρετῇ πρῶτον, ὑποδέχεσθαι τὴν τοῦ Πνεύματος δωρεάν, καὶ πρὸς τὴν λαμπηδόνα ποιουμένας ἐκείνην, οὕτω δέχεσθαι τῶν μελλόντων τὴν γνῶσιν. «Υἱὸς Ἀμμῶς». Τίνος ἕνεκεν

---

15. Πρβλ. Ματθ. 23, 8-9. 16. Ἠσ. 1, 1.

ταλαμβανόμενοι ὑπὸ τοῦ Πνεύματος, ὀνόμασε ἔτσι τὴν ἐνέργεια τῆς χάριτος. Γι' αὐτὸ καὶ ὁ Παῦλος στὴν ἀρχὴ ὅλων τῶν ἐπιστολῶν του θέτει τὸ ὄνομα τῆς ἀποστολῆς καὶ ἐκεῖνο ποὺ οἱ προφῆτες διατύπωναν μὲ τὶς λέξεις, ὅραση, λόγος, λῆμμα καὶ ρῆμα, αὐτὸ ἐκφράζει μὲ τὸ ὄνομα τῆς ἀποστολῆς. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ λέγει 'ὅραση' καὶ 'ρῆμα τοῦ Θεοῦ', δὲν εἶναι δικά του αὐτὰ ποὺ λέγει, ἔτσι καὶ ἐκεῖνος ποὺ ὀνομάζει τὸν ἑαυτό του ἀπόστολο, δὲν διδάσκει δικά του πράγματα, ἀλλ' ἐκεῖνα ποὺ πρόσταξε ἐκεῖνος ποὺ τὸν ἔστειλε. Διότι τὸ ἀξίωμα τοῦ ἀποστόλου δὲν εἰσάγει τίποτε προερχόμενο ἀπὸ τὴν κρίση τοῦ κατόχου του. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε· «Μὴ ὀνομάσετε κανένα διδάσκαλο ἐπάνω στὴ γῆ· διότι ἕνας εἶναι ὁ διδάσκαλός σας, ποὺ βρίσκεται στοὺς οὐρανούς»[15], γιὰ νὰ δείξει, ὅτι ὅλα τὰ δόγματά μας ἔχουν τὴν ἀρχὴ καὶ τὴ ρίζα τους στὸν οὐρανό, στὸν κύριο τῶν οὐρανῶν, ἔστω καὶ ἂν εἶναι ἄνθρωποι ἐκεῖνοι ποὺ ὑπηρετοῦν τὸ λόγο τοῦ Θεοῦ.

«Τὴν ὁποία εἶδε ὁ Ἠσαΐας»[16]. Τὸ πῶς οἱ προφῆτες βλέπουν αὐτὰ ποὺ βλέπουν, δὲν μποροῦμε νὰ τὸ ποῦμε· διότι δὲν εἶναι δυνατὸ νὰ ἑρμηνευθεῖ μὲ τὸ λόγο ὁ τρόπος τῆς ὁράσεως, ἀλλὰ μόνο ἐκεῖνος τὸν γνωρίζει μὲ σαφήνεια ποὺ τὸν ἔμαθε ἀπὸ τὴν ἴδια τὴν πείρα. Διότι, ἐὰν πολλὲς φορὲς κανένας λόγος δὲν θὰ μποροῦσε νὰ παραστήσει τὰ φυσικὰ ἔργα καὶ πάθη, πολὺ περισσότερο δὲν εἶναι δυνατὸ νὰ παρουσιάσει τὸν τρόπο ἐνεργείας τοῦ Πνεύματος. Ἐὰν ὅμως πρέπει, χρησιμοποιώντας ἀμυδρὲς εἰκόνες, νὰ τολμήσω νὰ τὸ κάνω αὐτό, ὄχι γιὰ νὰ παραστήσω αὐτὸν μὲ σαφήνεια, ἀλλὰ γιὰ νὰ δώσω μιὰ αἰνιγματικὴ εἰκόνα, ἐγὼ νομίζω ὅτι αὐτὸ συμβαίνει καὶ μὲ τοὺς προφῆτες· ὅπως δηλαδὴ θὰ συνέβαινε, ἐὰν καταφωτισθεῖ μὲ τὶς ἡλιακὲς ἀκτίνες ἡ καθαρὴ φύση τῶν ὑδάτων, ἔτσι συμβαίνει καὶ μὲ τὶς ψυχὲς τῶν προφητῶν, ἀφοῦ πρῶτα καθαρισθοῦν μὲ τὴ δική τους ἀρετή, λαμβάνουν στὴ συνέχεια τὴ δωρεὰ τοῦ Πνεύματος, καὶ ἀφοῦ ἀποκτήσουν ἐκείνη τὴν ἀκτινοβολία, ἔτσι πιὰ δέχονται τὴ γνώση τῶν μελλοντικῶν πραγμάτων. «Υἱὸς τοῦ Ἀμμῶς». Γιὰ ποιὸ λόγο ἀναφέρει τὸ ὄνομα τοῦ πατέρα του; Ἢ

τοῦ πατρὸς μέμνηται; Ἢ διὰ τὰς ὁμωνυμίας, ἢ ὥστε μαθεῖν ὅτι οὐδὲν εὐτέλεια πατρὸς ἐπισκιάζει παιδὸς ἀρετήν· οὐδὲ εὐγένεια τοῦτο τὸ ἐκ μεγάλων φῦναι, ἀλλὰ τὸ μεγάλους αὐτοὺς γενέσθαι. Οὗτός τε ἀσήμου πατρὸς ὤν, πάντων φαιδρότερος γέγονε, τῇ τῆς οἰκείας ἀρετῆς λάμψας ὑπερβολῇ.

2. «Ἣν εἶδε κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἰερουσαλήμ». Τίνος ἕνεκεν διῃρημένως ἑκατέρων ἐμνημόνευσε τῶν χωρίων; Ἐπειδὴ καὶ αἱ τιμωρίαι διῃρημένως γεγόνασι, καὶ ἐν διαφόροις καιροῖς, τοῦ Θεοῦ καὶ τοῦτο σοφῶς οἰκονομήσαντος, τὸ μὴ πάντας ἀθρόον ἀπολέσαι, ἀλλ' ἠρέμα καὶ καταμικρόν, ὥστε τῇ τῶν ἀπαχθέντων τιμωρίᾳ τοὺς λειπομένους γενέσθαι σωφρονεστέρους. Εἰ δὲ οὐκ ἐχρήσαντο εἰς δέον τῷ φαρμάκῳ, οὐχὶ τοῦ ἰατροῦ, ἀλλὰ τῶν καμνόντων τὸ ἔγκλημα. Ποιεῖ δὲ αὐτὸ διὰ παντός, καὶ καθ' ἑκάστην γενεάν, οὐ πάντας ὁμοῦ τοὺς τὰ αὐτὰ ἁμαρτάνοντας ὁμοῦ καὶ κολάζων· ἢ γὰρ ἂν ἅπαν ἡμῶν πάλαι προανηρπάσθη τὸ γένος· ἀλλὰ τοὺς μὲν ἐνταῦθα ἀπαιτεῖ δίκην, αὐτοῖς τε ἐκείνοις κουφοτέραν τὴν ἐκεῖ κατασκευάζων κόλασιν, καὶ τοῖς συνακμάζουσιν αὐτοῖς μεγίστην τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς προαποτιθέμενος ὑπόθεσιν, τοὺς δὲ μήτε οἴκοθεν, μήτε ἐκ τῆς τοιαύτης οἰκονομίας βουλομένους τι κερδαίνειν, ἀπαραιτήτῳ καὶ φοβερᾷ τῆς κρίσεως ταμιευόμενος ἡμέρᾳ.

«Ἐν βασιλείᾳ Ὀζίου καὶ Ἰωάθαν, καὶ Ἄχαζ καὶ Ἐζεκίου, οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας». Καὶ τὸν καιρὸν ἀναγκαίως προτίθησι, τὸν φιλόπονον ἀκροατὴν παραπέμπων εἰς τὴν ἱστορίαν τῶν γεγενημένων. Οὕτω γὰρ εὐμαθεστέρα τε ἔσται καὶ σαφεστέρα ἡ προφητεία, εἰ μάθοιμεν, πῶς τῶν

ἐπειδὴ καὶ ἄλλοι ἔχουν τὸ ἴδιο ὄνομα, ἢ γιὰ νὰ μάθουμε ὅτι ὡς πρὸς τίποτε δὲν ἐπισκιάζει τὴν ἀρετὴ τοῦ παιδιοῦ ἡ εὐτέλεια τοῦ πατέρα, καὶ οὔτε ἀποτελεῖ εὐγένεια γι' αὐτὸ τὸ νὰ ἔχει γεννηθεῖ ἀπὸ σπουδαίους γονεῖς, ἀλλὰ τὸ νὰ γίνουν τὰ ἴδια τὰ παιδιὰ σπουδαῖα. Καὶ αὐτός, ἂν καὶ καταγόταν ἀπὸ ἄσημο πατέρα, ὑπῆρξε λαμπρότερος ἀπὸ ὅλους, ἀφοῦ διέλαμψε μὲ τὴν ὑπερβολικὴ ἀρετή του.

2. «Τὴν ὁποία εἶδε ἐναντίον τῇ 'Ιουδαίας καὶ τῆς 'Ιερουσαλὴμ». Γιὰ ποιὸ λόγο ἀνέφερε ξεχωριστὰ τὸν καθένα ἀπὸ τοὺς δύο αὐτοὺς τόπους; 'Επειδὴ καὶ οἱ τιμωρίες συνέβηκαν ξεχωριστὰ καὶ σὲ διαφορετικὲς ἐποχές, ρυθμίζοντας καὶ αὐτὸ ὁ Θεὸς μὲ σοφία, τὸ νὰ μὴ καταστρέψει δηλαδὴ ὅλους μαζὶ σὲ μιὰ στιγμή, ἀλλὰ ἀργὰ καὶ σιγά-σιγά, ὥστε, μὲ τὴν τιμωρία ἐκείνων ποὺ ὁδηγήθηκαν στὴν αἰχμαλωσία, νὰ γίνουν πιὸ σώφρονες οἱ ὑπόλοιποι. 'Εὰν ὅμως δὲν χρησιμοποίησαν ὅπως ἔπρεπε τὸ φάρμακο, ἄξιος κατηγορίας εἶναι ὄχι ὁ ἰατρός, ἀλλ' οἱ ἀσθενεῖς. Αὐτὸ δὲ τὸ κάμνει συνέχεια καὶ σὲ κάθε μιὰ γενεά, μὴ τιμωρώντας ὅλους μαζὶ ἐκείνους ποὺ διαπράττουν τὰ ἴδια ἁμαρτήματα· διότι ἂν τοὺς τιμωροῦσε ὅλους θὰ ἐξαφανιζόταν πρὶν ἀπὸ πολὺ χρόνο ὁλόκληρο τὸ ἀνθρώπινο γένος· ἀλλ' ἄλλους μὲν τοὺς τιμωρεῖ ἐδῶ, καθιστώντας ἔτσι γι' αὐτοὺς ἐλαφρότερη τὴν ἐκεῖ τιμωρία, καὶ παρέχει πάρα πολὺ μεγάλη ἀφορμὴ γιὰ μεταβολὴ πρὸς τὸ καλύτερο σ' ἐκείνους ποὺ ζοῦν καὶ δροῦν μαζὶ μ' αὐτούς, τοὺς δὲ ἄλλους ποὺ δὲν θέλουν νὰ κερδίσουν κάτι οὔτε ἀπὸ μόνοι τους οὔτε ἀπὸ τὴν οἰκονομία αὐτοῦ τοῦ εἴδους τοῦ Θεοῦ, τοὺς ἐπιφυλάσσει τὴν τιμωρία γιὰ τὴν ἀπαραίτητη καὶ φοβερὴ ἐκείνη ἡμέρα τῆς κρίσεως.

«Κατὰ τὴν ἐποχὴ τῆς βασιλείας τοῦ 'Οζία καὶ 'Ιωνάθαν καὶ Ἄχαζ καὶ 'Εζεκία, ποὺ βασίλευσαν στὴν 'Ιουδαία». Καὶ τὴν ἐποχὴ ποὺ ἔζησε ἀναφέρει κατ' ἀνάγκη, παραπέμποντας τὸν φιλόπονο ἀκροατὴ στὴν ἱστορία τῶν γεγονότων. Διότι ἔτσι θὰ γίνει πιὸ κατανοητὴ καὶ πιὸ σαφὴς ἡ προφητεία, ἐὰν μάθουμε πῶς, ἐνῶ τὰ πράγματα παρουσίαζαν αὐτὴ τὴν κατάσταση

πραγμάτων διακειμένων, καὶ πῶς τῶν τραυμάτων ἐχόντων τῶν Ἰουδαϊκῶν, οὗτοι τὰ φάρμακα κατεσκεύασαν.

«Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησε». Πολλοῦ γέμει τοῦ θυμοῦ τὸ προοίμιον. Εἰ γὰρ μὴ σφοδρά τις ἦν καὶ ἄφατος ἡ ὀργή, οὐκ ἂν τοὺς ἀνθρώπους ἀφείς, πρὸς τὰ στοιχεῖα τὸν λόγον ἔστρεψε. Ποιεῖ δὲ αὐτό, οὐχ ὥστε τὴν ὀργὴν ἐνδείξασθαι μόνον, ἀλλ' ὥστε καὶ αὐτοὺς τοὺς ἀκούειν μέλλοντας μετὰ πολλῆς ἐντρέψαι τῆς ὑπερβολῆς, δεικνὺς ὅτι τῶν ἀναισθήτων φύσει στοιχείων χεῖρον οἱ λόγῳ τετιμημένοι διάκεινται. Τοῦτο δὲ καὶ ἑτέροις ἔθος προφήταις ποιεῖν. Διά τοι τοῦτο καὶ ὁ πρὸς τὸν Ἱεροβοὰμ ἀποσταλείς, ἀφεὶς τὸν βασιλέα πρὸς ὃν ἀπεστέλλετο, τῷ θυσιαστηρίῳ διαλέγεται. Καὶ Ἱερεμίας τὴν γῆν ἐκάλει λέγων· «Γῆ, γῆ, γῆ· γράψον τὸν ἄνδρα τοῦτον, ἄνδρα ἐκκήρυττον». Καὶ ἕτερος πάλιν ἔλεγεν· «Ἀκούσατε, φάραγγες, θεμέλια τῆς γῆς».

«Υἱοὺς ἐγέννησα». Οὐ τὴν κοινὴν πρὸς πάντας ἀνθρώπους τίθησιν εἰς αὐτοὺς εὐεργεσίαν, ὅπερ ἦν τὸ γενέσθαι. Πανταχοῦ γὰρ ἄρχει τῶν εὐεργεσιῶν ὁ Θεός· καὶ ὥσπερ τὸν ἄνθρωπον πλάττων, οὐδέπω γενόμενον ἐτίμησε τῇ ἀρχῇ, εἰπών, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»· ἐπὶ δὲ τῆς Καινῆς καὶ μειζόνως· οὐ γὰρ δὴ μόνον μηδὲν εἰργασμένους, ἀλλὰ καὶ μυρία κακὰ εἰργασμένους ἐτίμησε διὰ τῆς τοῦ λουτροῦ παλλιγγενεσίας· οὕτω καὶ ἐνταῦθά ἐστιν ἰδεῖν, ὅτι τῇ υἱοθεσίᾳ οὐχὶ μόνον οὐδὲν κατωρθωκότας, ἀλλὰ καὶ ἐπταικότας ἐτίμησεν. Οὐ μὴν ἐπειδή τι-

17. Γ' Βασ. 13, 1 ἑ.
18. Ἱερ. 22, 29-30.
19. Μιχ. 6, 2.
20. Γεν. 1, 26.

καὶ οἱ Ἰουδαῖοι ἦταν γεμάτοι ἀπὸ τραύματα, αὐτοὶ κατασκεύασαν τὰ φάρμακα.

«Ἄκουε, οὐρανέ, καὶ σύ, γῆ, ἀκροάσου μὲ προσοχή, διότι ὁ Κύριος μίλησε». Τὸ προοίμιο εἶναι γεμάτο ἀπὸ πολὺ θυμό. Διότι, ἐὰν ἡ ὀργή του δὲν ἦταν ὑπερβολικὰ μεγάλη καὶ ἀπερίγραπτη, δὲν θὰ ἦταν δυνατὸ ν' ἀφήσει τοὺς ἀνθρώπους καὶ νὰ στρέψει τὸ λόγο πρὸς τὰ φυσικὰ στοιχεῖα. Τὸ κάμνει δὲ αὐτὸ ὄχι γιὰ νὰ δείξει μόνο τὴν ὀργή του, ἀλλὰ γιὰ νὰ ἐπιπλήξει σὲ ὑπερβολικὸ βαθμὸ ἐκείνους ποὺ πρόκειται νὰ τὸν ἀκούσουν, δείχνοντας ὅτι συμπεριφέρονται χειρότερα ἀπὸ τὰ ἀναίσθητα φυσικὰ στοιχεῖα ἐκεῖνοι ποὺ τιμήθηκαν μὲ τὸ λόγο. Αὐτὸ δὲ συνηθίζουν νὰ τὸ κάμνουν καὶ ἄλλοι προφῆτες. Γι' αὐτὸ λοιπὸν καὶ ὁ προφήτης ἐκεῖνος ποὺ στάλθηκε πρὸς τὸν Ἱεροβοάμ, ἀφήνοντας τὸ βασιλιὰ πρὸς τὸν ὁποῖο εἶχε σταλεῖ, συνομιλεῖ μὲ τὸ θυσιαστήριο»[17]. Καὶ ὁ Ἰερεμίας προσκαλοῦσε τὴ γῆ, λέγοντας· «Γῆ, γῆ, γῆ· γράψε ὅτι ὁ ἄνθρωπος αὐτὸς εἶναι ἀποκηρυγμένος»[18]. Καὶ ἄλλος πάλι ἔλεγε· «Ἀκοῦστε, φαράγγια, θεμέλια τῆς γῆς»[19].

«Υἱοὺς γέννησα». Δὲν ἀναφέρει σ' αὐτοὺς τὴν κοινὴ εὐεργεσία πρὸς ὅλους τοὺς ἀνθρώπους, ποὺ εἶναι ἡ γέννηση, ἀλλὰ τὴν ἐντελῶς ξεχωριστή, ποὺ εἶναι τὸ ὅτι γέννησε σ' αὐτοὺς υἱούς. Διότι παντοῦ ὁ Θεὸς ἀρχίζει μὲ εὐεργεσίες· καὶ ὅπως ἀκριβῶς πλάθοντας τὸν ἄνθρωπο, πρὶν ἀκόμα πλασθεῖ, τὸν τίμησε μὲ ξεχωριστὴ τιμὴ λέγοντας, «Ἂς δημιουργήσουμε ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα καὶ ἱκανὸ νὰ μᾶς ὁμοιάσει»[20]· στὴν ἐποχὴ ὅμως τῆς Καινῆς Διαθήκης τοὺς τίμησε κατὰ πολὺ περισσότερο· διότι τοὺς τίμησε μὲ τὸ λουτρὸ τῆς ἀναγεννήσεως ὄχι μόνο ἂν καὶ δὲν διέπραξαν τίποτε τὸ σπουδαῖο, ἀλλ' ἀντίθετα καὶ διέπραξαν ἄπειρα κακά· ἔτσι λοιπὸν μποροῦμε καὶ ἐδῶ νὰ δοῦμε, ὅτι τοὺς τίμησε μὲ τὴν υἱοθεσία, ὄχι μόνο ἂν καὶ δὲν ἐπέτυχαν κανένα κατόρθωμα, ἀλλὰ καὶ διέπραξαν πολλὰ πταίσματα. Διότι πράγματι δὲν ἀποστερεῖ τὶς τιμὲς ἀπὸ τοὺς ἀνθρώπους μετὰ τοὺς κόπους, ἐπειδὴ τοὺς τιμᾶ

μᾷ πρὸ τῶν πόνων, ἀποστερεῖ μετὰ τοὺς πόνους, ἀλλὰ καὶ τότε μείζονα δίδωσι τὰ ἔπαθλα.

«Καὶ ὕψωσα». Τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐρήμῳ, τὰ ἐν Παλαιστίνῃ ἑνὶ ρήματι παρέδραμεν. Ἔθος γὰρ τῷ Θεῷ τοῦτο, διὰ τὴν περιουσίαν τῶν εὐεργεσιῶν μὴ καταμικρὸν ἐνδιατρίβειν τῇ διηγήσει τῶν γεγενημένων.

«Αὐτοὶ δέ με ἠθέτησαν». Παρέβησάν μου, φησί, τὸν νόμον, τὰ προστάγματα κατέλιπον.

«Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ». Αἱ συγκρίσεις αὔξησιν τῆς κατηγορίας ποιοῦσι, καὶ μάλιστα ὅταν ἐξ ἀνίσων ὦσι· καθὼς καὶ ὁ Χριστός φησι· «Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν»· καὶ πάλιν· «Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει, καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος». Καὶ Ἰερεμίας δὲ πάλιν φησί· «Πορεύθητε εἰς νήσους Χετιίμ, καὶ ἴδετε εἰς Κεδάρ. Ἀποστείλατε καὶ γνῶτε, εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν· ὁ δὲ λαός μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσεται». Τὸ ἀνεπαχθὲς τῆς νομοθεσίας δείκνυσι, καὶ ὅσον ἀπαιτεῖ παρὰ τῶν ἀνθρώπων μέτρον, ὃ καὶ ἀλόγοις εὔκολον κατορθῶσαι, καὶ ἀλόγων τοῖς ἀνοητοτέροις. Ἀλλ' ἐρεῖ τις, ὅτι ἐκεῖνα ἐν τῇ φύσει ἔχει τὸ γνωρίζειν. Ἀλλὰ δυνατὸν τὰ φύσει κατορθούμενα ἐκείνοις ἐκ προαιρέσεως ὑφ' ἡμῶν γίνεσθαι.

3. «Ἔγνω βοῦς τὸν κτησάμενον». Οὐ τῷ ἐξαιρέτῳ τῆς δωρεᾶς τιθεὶς αὐτούς, ἀλλὰ καὶ τῇ ὑπερβολῇ τῆς κακίας αὐτῶν αὔξει τὴν κατηγορίαν. Ὥσπερ γὰρ εἰς ἐντροπὴν αὐτῶν τὰ στοιχεῖα καλεῖ, οὕτω πάλιν οὐκ ἀνθρώποις, ἀλλὰ ἀλόγοις αὐτοῖς συγκρίνει, καὶ τούτων τοῖς ἀνοητοτάτοις, καὶ

21. Λουκᾶ 11, 32. 22. Λουκᾶ 11, 31. 23. Ἰερ. 2, 10-11.

πρὶν ἀπὸ τοὺς κόπους, ἀλλὰ καὶ τότε τοὺς παρέχει πολὺ πιὸ μεγαλύτερα ἔπαθλα.

«Καὶ τοὺς δόξασα». Τὰ συμβάντα στὴν Αἴγυπτο, τὰ συμβάντα στὴν ἔρημο, τὰ συμβάντα στὴν Παλαιστίνη, τὰ προσπέρασε μὲ ἕνα λόγο. Διότι αὐτὸ συνηθίζει νὰ κάμνει ὁ Θεός, ἐξ αἰτίας δηλαδὴ τῆς ὑπεραφθονίας τῶν εὐεργεσιῶν νὰ μὴ ἀσχολεῖται καὶ πολὺ μὲ τὴν περιγραφὴ τῶν γεγονότων.

«Αὐτοὶ ὅμως μὲ ἀρνήθηκαν». Παρέβηκαν, λέγει, τὸ νόμο μου, ἐγκατέλειψαν τὰ προστάγματά μου.

«Τὸ βόδι γνωρίζει τὸν ἰδιοκτήτη του καὶ ὁ ὄνος τὴ φάτνη ποὺ τοῦ ἔκαμε ὁ κύριός του». Οἱ συγκρίσεις αὐξάνουν τὴν κατηγορία, καὶ μάλιστα ὅταν γίνονται γιὰ ἄνισα πράγματα, καθὼς καὶ ὁ Χριστὸς λέγει· «Ἄνδρες Νινευῖτες θ' ἀναστηθοῦν κατὰ τὴ μέλλουσα κρίση μαζὶ μ' αὐτὴ τὴ γενεὰ καὶ θὰ τὴν καταδικάσουν»[21]· καὶ πάλι· «Ἡ βασίλισσα τοῦ νότου θ' ἀναστηθεῖ κατὰ τὴν ἡμέρα τῆς κρίσεως καὶ θὰ κρίνει καὶ θὰ καταδικάσει τὴ γενεὰ αὐτή, διότι ἦρθε ἀπὸ τὰ πέρατα τῆς γῆς ν' ἀκούσει τὴ σοφία τοῦ Σολομῶντα»[22]. Καὶ ὁ Ἰερεμίας δὲ πάλι λέγει· «Πηγαίνετε στὰ νησιὰ Χετὶμ καὶ ἐξετάστε τὴν Κηδάρ. Στεῖλτε ἀνθρώπους καὶ μάθετε ἐὰν ἄλλαξαν τὰ εἰδωλολατικὰ ἔθνη τοὺς θεούς τους· ὁ λαός μου ὅμως ἄλλαξε τὴ δόξα του μὲ ἄλλους θεοὺς ἀπὸ τοὺς ὁποίους δὲν θὰ ὠφεληθεῖ»[23]. Δείχνει τὸ ἐλαφρὺ τῆς νομοθεσίας καὶ πόσο εἶναι τὸ μέτρο ποὺ ζητεῖ ἀπὸ τοὺς ἀνθρώπους, τὸ ὁποῖο εἶναι εὔκολο νὰ τὸ κατορθώσουν καὶ τὰ ἄλλα ζῶα καὶ μάλιστα τὰ πιὸ ἀνόητα ἀπὸ τὰ ἄλογα. Ἀλλὰ θὰ πεῖ κάποιος, ὅτι τὰ ἄλογα ζῶα ἔχουν στὴ φύση τους τὴ γνώση. Ὅμως εἶναι δυνατὸ ἐκεῖνα ποὺ κατορθώνουν αὐτὰ ἐκ φύσεως νὰ τὰ πράττουμε ἐμεῖς μὲ τὴ θέλησή μας.

3. «Τὸ βόδι γνωρίζει τὸν ἰδιοκτήτη του». Δὲν ἀναφέρει αὐτοὺς μὲ τὴν ἐντελῶς ξεχωριστὴ δωρεά, ἀλλὰ καὶ μὲ τὴν ὑπερβολικὴ κακία αὐτῶν αὐξάνει τὴν κατηγορία. Διότι, ὅπως ἀκριβῶς καλεῖ τὰ φυσικὰ στοιχεῖα γιὰ νὰ τοὺς κάνει νὰ νιώσουν ντροπή, ἔτσι πάλι συγκρίνει αὐτοὺς ὄχι μὲ ἀνθρώπους, ἀλλὰ μὲ τὰ ἄλογα ζῶα, καὶ μάλιστα μὲ τὰ πιὸ ἀνόητα ἀπὸ αὐτά, καὶ

δείκνυσι χείρους κἀκείνων. Οὕτω καὶ Ἱερεμίας ποιεῖ, τρυγόνα καὶ χελιδόνα παράγων εἰς μέσον, καὶ ὁ Σολομῶν δὲ νῦν πρὸς τὴν μύρμηκα, νῦν δὲ πρὸς τὴν μέλιτταν πέμπων τὸν ἀργὸν βίον ζῶντα.

«Ἰσραὴλ δέ με οὐκ ἔγνω». Ἐπίτασις κακίας, ὅταν καὶ οἱ ᾠκειωμένοι, καὶ μετὰ τοσαύτας τιμάς, καὶ πάντες ἀθρόον πρὸς τὴν κακίαν ὦσιν ηὐτομοληκότες. Οὐκ εἶπεν, 'Ἰακώβ', ἀλλ' «Ἰσραήλ», ὥστε τῇ ἀρετῇ τοῦ προγόνου τῶν ἐκγόνων μείζονα δεῖξαι τὴν ἀγνωμοσύνην. Ὁ μὲν γὰρ τῇ τῆς ψυχῆς ἀρετῇ τὴν εὐλογίαν ἐπεσπάσατο τὴν τῆς προσηγορίας, οἱ δὲ διὰ τῆς παρανομίας αὐτὴν προύδωκαν.

«Καὶ ὁ λαός μου ἐμὲ οὐ συνῆκεν». Ἐμέ, φησί, τὸν τοῦ ἡλίου φανερώτερον.

«Οὐαὶ ἔθνος ἁμαρτωλόν». Καὶ τοῦτο τοῖς προφήταις ἔθος, τοὺς τὰ ἀνίατα νοσοῦντας θρηνεῖν. Οὕτω καὶ Ἱερεμίας πολλαχοῦ· οὕτω καὶ Χριστὸς λέγων· «Οὐαί σοι Χωραζί, οὐαί σοι Βηθσαϊδά». Ἐπεὶ καὶ τοῦτο διδασκαλίας εἶδος. Ὃν γὰρ οὐκ ἐνεκτήσατο λόγος, τοῦτον πολλάκις διώρθωσε θρῆνος.

«Λαὸς πλήρης ἁμαρτιῶν». Ἄλλη προσθήκη κατηγορίας, τὸ καὶ πάντας, καὶ μετ' ἐπιτάσεως.

«Σπέρμα πονηρόν». Οὐ τὴν γένεσιν αὐτῶν διαβάλλει, ἀλλὰ δείκνυσιν ἐκ πρώτης ἡλικίας ὄντας κακούς. Ὥσπερ γὰρ ὁ Ἰωάννης λέγων, «Ὄφεις, γεννήματα ἐχιδνῶν», οὐ τὴν φύσιν ἀτιμάζει· οὐ γὰρ ἂν εἶπε, «Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας», εἰ φύσει καὶ ἀπὸ γεννήσεως ἦσαν τοιοῦτοι· οὕτω καὶ ἐνταῦθα λέγων, «Σπέρμα πονηρόν», οὐ τὴν γέννησιν αὐτῶν διαβάλλει.

«Υἱοὶ ἄνομοι». Οὐκ εἶπε, 'παράνομοι', ἀλλ' «Ἄνομοι»,

---

24. Πρβλ. Ἱερ. 8, 7.
25. Ἡσ. 6, 6.
26. Ματθ. 11, 21.
27. Ματθ. 3, 7.
28. Ματθ. 3, 8.

δείχνει ὅτι εἶναι χειρότεροι καὶ ἀπὸ ἐκεῖνα. Τὸ ἴδιο κάνει καὶ ὁ Ἰερεμίας, ἀναφέροντας τὸ τρυγόνι καὶ τὸ χελιδόνι[24], καὶ ὁ Σολομῶν δὲ ἄλλοτε μὲν στέλνει τὸν ὀκνηρὸ πρὸς τὸ μυρμήγκι, ἄλλοτε δὲ πρὸς τὴ μέλισσα.

«Ὁ Ἰσραηλιτικὸς ὅμως λαὸς δὲν μὲ ἀναγνωρίζει γιὰ Κύριό του». Αὐτὸ φανερώνει τὴν ὑπερβολικὴ αὔξηση τῆς κακίας, ὅταν καὶ οἱ πάρα πολὺ δικοί του, καὶ μάλιστα μετὰ ἀπὸ τόσες τιμὲς ποὺ ἔλαβαν, ὅλοι μαζὶ ἔχουν αὐτομολήσει πρὸς τὴν κακία. Δὲν εἶπε, 'ὁ Ἰακώβ', ἀλλὰ «Ὁ Ἰσραήλ», ὥστε μὲ τὴν ἀρετὴ τοῦ προγόνου τους νὰ δείξει μεγαλύτερη τὴν ἀχαριστία τῶν ἀπογόνων. Διότι ἐκεῖνος μὲν μὲ τὴν ἀρετὴ τῆς ψυχῆς του ἀπέκτησε τὴν εὐλογία τῆς ὀνομασίας, ἐνῶ αὐτοὶ τὴν πρόδωσαν μὲ τὴν παρανομία τους.

«Καὶ ὁ λαός μου δὲν μὲ κατανοεῖ». Ἐμένα, λέγει, ποὺ εἶμαι πιὸ φανερὸς καὶ ἀπὸ τὸν ἥλιο.

«Ἀλλοίμονό σου, ἔθνος ἁμαρτωλό». Καὶ αὐτὸ ἀποτελεῖ συνήθεια στοὺς προφῆτες, τὸ νὰ θρηνοῦν ἐκείνους ποὺ νοσοῦν ἀθεράπευτα. Τὸ ἴδιο κάμνει καὶ ὁ Ἰερεμίας σὲ πολλὲς περιπτώσεις· τὸ ἴδιο λέγει καὶ ὁ Χριστός· «Ἀλλοίμονό σου Χωραζί, ἀλλοίμονό σου Βηθσαϊδά»[26]. Καθόσον καὶ αὐτὸ ἀποτελεῖ εἶδος διδασκαλίας. Διότι ἐκεῖνον ποὺ δὲν τὸν ἐπανέφερε στὸν ὀρθὸ δρόμο ὁ λόγος, αὐτὸν πολλὲς φορὲς τὸν διόρθωσε ὁ θρῆνος.

«Λαέ, ποὺ εἶσαι γεμάτος ἀπὸ ἁμαρτίες». Αὐτὸ εἶναι ἄλλη προσθήκη κατηγορίας, τὸ ὅτι ὅλοι εἶναι ἁμαρτωλοὶ καὶ μάλιστα σὲ ὑπερβολικὸ βαθμό.

«Σπέρμα πονηρό». Δὲν κατηγορεῖ τὴ γέννησή τους, ἀλλὰ δείχνει ὅτι ἀπὸ τὴν πρώτη ἡλικία τους εἶναι κακοί. Ὅπως ἀκριβῶς δηλαδὴ καὶ ὁ Ἰωάννης λέγοντας «φίδια, παιδιὰ τῶν ἐχιδνῶν»[27], δὲν ἀτιμάζει τὴ φύση· διότι δὲν θὰ ἔλεγε, «Κάμετε καρποὺς ἄξιους τῆς μετάνοιας»[28], ἐὰν ἦταν τέτοιοι ἐκ φύσεως καὶ ἐκ γεννήσεως· ἔτσι καὶ ἐδῶ λέγοντας, «Σπέρμα πονηρό», δὲν κατηγορεῖ τὴ γέννηση αὐτῶν.

«Υἱοὶ ἄνομοι». Δὲν εἶπε, 'παράνομοι', ἀλλὰ «Ἄνομοι», ἀ-

τῶν οὐδαμῶς εἰληφότων νόμον οὐδὲν ἄμεινον διακείμενοι. Ἀλλὰ τῆς προαιρέσεως τὴν διαφορὰν δηλοῖ.

«Ἐγκατελίπετε τὸν Κύριον, καὶ παρωργίσατε». Ἐμφαντικῶς τοῦτο εἴρηκε. Καὶ γὰρ ἤρκει τὸ ὄνομα τοῦ Θεοῦ εἰς κατηγορίαν· ὅπερ Ἱερεμίας ἐγκαλεῖ λέγων, «Ὅτι καὶ αὐτοῦ ἀπέστησαν, καὶ δαίμοσι προσηλώθησαν.

«Τὸν ἅγιον τοῦ Ἰσραήλ». Καὶ τοῦτο κατηγορίας ἐπίστασις, ὅτι κοινὸς ὢν ἁπάντων Δεσπότης, αὐτοῖς ἐγνωρίζετο τότε. Ἀπηλλοτριώθησαν εἰς τὰ ὀπίσω.

«Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίας;». Μεγίστη κατάγνωσις, ὅταν μηδὲ ταῖς τιμωρίαις γίνωνται βελτίους. Καὶ τοῦτο δὲ εἶδος εὐεργεσίας, τὸ κολάζειν. Οὐδὲ γὰρ ἂν ἔχοιεν εἰπεῖν, ὅτι ἐτίμησε καὶ εὐηργέτησε μόνον, ἁμαρτάνοντας δὲ ἠφίει· ἀλλὰ καὶ τιμαῖς ἐφείλκετο, καὶ φόβῳ τῶν κολάσεων ἐσωφρόνισε, καὶ ἐν ἑκατέροις ἔμειναν ἀνίατα νοσοῦντες. Πᾶν εἶδος ἰατρίας ἀπεδείξατο, τέμνων, καίων, τὰ δὲ τῆς νόσου οὐδὲ οὕτως εἶξε, ὃ μάλιστα τοῦ νοσεῖν ἀνίατα σημεῖόν ἐστι, τὸ μηδὲ δύνασθαι δέξασθαι θεραπείαν.

«Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην. Ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία, οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα». Εἶτα λέγει τὰς κολάσεις καὶ τὰς τιμωρίας· οὐκ ἔλαττον γὰρ τοῦτο εἶδος εὐεργεσίας ἐστὶ καὶ τῆς τιμῆς τῆς εἰς αὐτοὺς γεγενημένης. Πάντας γάρ, φησίν, ἐκάκωσα, καὶ εἰς λύπην αὐτοὺς ἐνέβαλον. Εἰ πᾶσα κεφαλὴ εἰς πόνον, πῶς οὐκ ἔστιν οὔτε τραῦμα, οὔτε μώλωψ; Τὸ τραῦμα, τοῦ λοιποῦ σώματος

---

29. Πρβλ. Βαρ. 4, 7.
30. Ἡ φράση αὐτὴ λείπει ἀπὸ τὸ κείμενο τῶν Ο'.

φοῦ ἡ συμπεριφορά τους δὲν εἶναι καθόλου καλύτερη ἀπὸ ἐκείνους ποὺ δὲν ἔλαβαν νόμο. Ἀλλὰ δείχνει τὴ διαφορὰ τῆς προαιρέσεως.

«Ἐγκαταλείψατε τὸν Κύριο καὶ τὸν παροργίσατε». Αὐτὸ τὸ εἶπε γιὰ νὰ κάνει πιὸ ἔντονη τὴν κατηγορία. Καθόσον ἦταν ἀρκετὸ τὸ ὄνομα τοῦ Θεοῦ γιὰ κατηγορία· καὶ αὐτὸ ἀκριβῶς κατηγορεῖ ὁ Ἱερεμίας, λέγοντας, «Ὅτι καὶ ἀπὸ αὐτὸν ἀπομακρύνθηκαν καὶ στοὺς δαίμονες προσηλώθηκαν»[29].

«Τὸν ἅγιο τοῦ Ἰσραήλ». Καὶ αὐτὸ λέγεται γιὰ ν' αὐξήσει τὴν κατηγορία, διότι ἂν καὶ εἶναι κοινὸς Κύριος ὅλων, αὐτοὶ μόνο τὸν γνώριζαν τότε. «Ἀποξενώθηκαν ἀπ' αὐτὸν μὲ τὴν ἀπομάκρυνσή τους ἀπὸ κοντά του»[30].

«Γιατί ἀκόμα πληγώνετε τὸν ἑαυτό σας προσθέτοντας ἀνομίες;». Εἶναι ἄξιοι τῆς πιὸ μεγαλύτερης καταδίκης, ὅταν δὲν γίνονται καλύτεροι οὔτε μὲ τὶς τιμωρίες. Καὶ αὐτὸ ἀποτελεῖ εἶδος εὐεργεσίας, τὸ νὰ τοὺς τιμωρεῖ δηλαδή. Διότι δὲν θὰ ἦταν δυνατὸ νὰ πεῖ, ὅτι τοὺς τίμησε καὶ τοὺς εὐεργέτησε μόνο, ἂν τοὺς ἐγκατέλειπε ὅταν ἁμάρταναν· ἀλλὰ καὶ μὲ τιμὲς τοὺς προσήλκυε καὶ μὲ τὸ φόβο τῶν τιμωριῶν τοὺς σωφρόνιζε, καὶ ὅμως καὶ στὴ μιὰ καὶ στὴν ἄλλη περίπτωση ἐξακολούθησαν νὰ νοσοῦν ἀθεράπευτα. Κάθε εἶδος θεραπείας μεταχειρίσθηκε, ἀποκόπτοντας καὶ καίοντας τὰ μέλη ποὺ ἔπασχαν, ὅμως οὔτε καὶ ἔτσι ὑποχώρησαν τὰ αἴτια τῆς νόσου, πράγμα ποὺ κατ' ἐξοχὴ δείχνει ὅτι ἔπασχαν ἀθεράπευτα, τὸ νὰ μὴ μποροῦν δηλαδὴ νὰ δεχθοῦν θεραπεία.

«Ὅλο τὸ κεφάλι σας πονεῖ καὶ ὅλη ἡ καρδιά σας εἶναι πλημμυρισμένη ἀπὸ λύπη. Ἀπὸ τὰ πόδια μέχρι τὸ κεφάλι δὲν ὑπάρχει τίποτε τὸ ὑγιές· δὲν ὑπάρχει μόνο ἕνα τραῦμα, ἕνας μώλωπας καὶ μιὰ μόνο πληγὴ μολυσμένη». Στὴ συνέχεια ἀναφέρει τὶς τιμωρίες· διότι δὲν εἶναι αὐτὸ μικρότερο εἶδος εὐεργεσίας καὶ ἀπὸ τὴν τιμὴ μὲ τὴν ὁποία τοὺς τίμησε. Διότι, λέγει, ὅλους τοὺς κακοποίησα, καὶ τοὺς ἔρριξα μέσα στὴ λύπη. Ἐὰν ὁλόκληρο τὸ κεφάλι πονεῖ, πῶς δὲν ὑπάρχει οὔτε τραῦμα, οὔτε μώλωπας; Τὸ τραῦμα, τότε φαίνεται ὅτι εἶναι τραῦμα, ὅταν τὸ

ὑγιαίνοντος, τότε φαίνεται τραῦμα ὄν· εἰ δὲ ὅλον ἡλκωμένον τύχοι, οὐκέτι ἂν φανείη τὸ ἕλκος. Τοῦτο οὖν ἐνδείξασθαι βούλεται, ὅτι ὅλον τὸ σῶμα ἥλκωτο, καὶ οὐχὶ τὸ μὲν ὑγίαινε, τὸ δὲ ἐξῳδηκὸς ἦν, ἀλλ' ἅπαν φλεγμονεῖ, ἅπαν μώλωψ εἷς.

«Οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι». Τοῦτο τοῦ προτέρου βαρύτερον. Οὐ γὰρ τὸ νοσεῖν οὕτω χαλεπόν, ὡς τὸ νοσοῦντα μηδὲ θεραπεύεσθαι δύνασθαι, καὶ μάλιστα ὅταν ὁ ἰατρὸς τοιοῦτος ᾖ.

«Οὔτε ἔλαιον, οὔτε καταδεσμούς». Ὥστε ποιῆσαι τὸν λόγον ἐμφατικόν, ἐπέμεινε τῇ μεταφορᾷ· τοῦτο γὰρ αὐτῆς τὸ ἐξαίρετον.

«Ἡ γῆ ὑμῶν ἔρημος». Ταῦτα οὐχ ὡς γεγενημένα ἀπαγγέλλει, ἀλλ' ὡς ἐσόμενα προαναφωνεῖ. Κέχρηνται δὲ τῷ ἔθει οἱ προφῆται τούτῳ, ὁμοῦ τε φοβοῦντες τὸν ἀκροατήν, καὶ τῆς οἰκείας ἀληθείας τὴν δύναμιν ἐνδεικνύμενοι. Ὡς γὰρ τὰ παρελθόντα οὐκ ἔνι μὴ γεγενῆσθαι, οὕτω τὰ μέλλοντα ὑπὸ τῶν προφητῶν λέγεσθαι, οὐκ ἔνι μὴ συμβῆναι, πλὴν εἰ μή ποτε μετανοήσαιεν οἱ κολάζεσθαι μέλλοντες.

«Αἱ πόλεις ὑμῶν πυρίκαυστοι». Οὐ γὰρ ἠφάνισεν αὐτὰς παντελῶς, ἀλλ' ἀφῆκεν ἑστάναι τὰ λείψανα τοῦ ἐμπρησμοῦ τοῦ βαρβαρικοῦ, μᾶλλον δυνάμενα καθικέσθαι τῆς τῶν ὁρώντων ὄψεως.

«Τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων». Ἐπίτασις συμφορᾶς, ὅταν καὶ θεαταὶ τῶν οἰκείων γίνωνται συμφορῶν, καὶ μηδὲ ἐξ ἀκοῆς αὐτὰ μανθάνωσι μόνον.

4. «Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιών, ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ». Μέγα τι

ὑπόλοιπο σῶμα εἶναι ὑγιές· ἐφόσον ὅμως συμβαίνει νὰ εἶναι ὁλόκληρο γεμάτο ἀπὸ πληγές, δὲν θὰ ἦταν δυνατὸ νὰ φανεῖ ἡ πληγή. Αὐτὸ λοιπὸν θέλει νὰ δείξει, ὅτι δηλαδὴ ὅλο τὸ σῶμα ἦταν γεμάτο ἀπὸ πληγές, καὶ δὲν ἦταν τὸ μὲν ἕνα μέλος ὑγιές, το δὲ ἄλλο γεμάτο πληγές, ἀλλ' ὁλόκληρο τὸ σῶμα πάσχει, ὁλόκληρο εἶναι ἕνας μώλωπας.

«Δὲν ὑπάρχει ἔμπλαστρο νὰ τοποθετηθεῖ ἐπάνω στὶς πληγές». Αὐτὸ εἶναι βαρύτερο ἀπὸ τὸ προηγούμενο. Διότι δὲν εἶναι τόσο φοβερὸ τὸ νὰ εἶναι κανεὶς ἀσθενής, ὅσο τὸ νὰ μὴ μπορεῖ νὰ θεραπευθεῖ ἐνῶ εἶναι ἀσθενής, καὶ μάλιστα ὅταν ὁ ἰατρὸς εἶναι τέτοιος.

«Οὔτε λάδι, οὔτε ἐπίδεσμοι». Γιὰ νὰ δώσει μεγαλύτερη ἔμφαση στὸ λόγο, ἐπέμεινε στὴ μεταφορά· διότι αὐτὸ εἶναι τὸ ξεχωριστὸ γνώρισμα αὐτῆς.

«Ἡ γῆ σας ἔμεινε ἔρημη». Αὐτὰ τὰ λέγει ὄχι σὰν κάτι ποὺ ἔχει γίνει, ἀλλὰ τὰ προλέγει σὰν κάτι ποὺ πρόκειται νὰ συμβεῖ στὸ μέλλον. Συνηθίζουν νὰ τὸ κάμνουν αὐτὸ οἱ προφῆτες, συγχρόνως καὶ φοβίζοντας τὸν ἀκροατή, καὶ φανερώνοντας τὴ δύναμη τῆς ἀλήθειας αὐτῶν ποὺ λέγουν. Διότι ὅπως δὲν εἶναι δυνατὸ νὰ μὴ συμβοῦν τὰ γεγονότα τοῦ παρελθόντος, ἔτσι δὲν εἶναι δυνατὸ νὰ μὴ συμβοῦν αὐτὰ ποὺ προλέγουν οἱ προφῆτες, ἐκτὸς ἐὰν κάποτε συμβεῖ νὰ μετανοήσουν ἐκεῖνοι ποὺ πρόκειται νὰ τιμωρηθοῦν.

«Οἱ πόλεις σας εἶναι παραδομένες στὴ φωτιά». Διότι δὲν τὶς ἐξαφάνισε ἐντελῶς, ἀλλ' ἄφησε νὰ ὑπάρχουν τὰ λείψανα τοῦ βαρβαρικοῦ ἐμπρησμοῦ, ποὺ ἔχουν πολὺ πιὸ μεγαλύτερη δύναμη νὰ ἀποσπάσουν τὴν προσοχὴ ἐκείνων ποὺ τὰ βλέπουν καὶ νὰ τοὺς συνετίσουν.

«Τὴ χώρα σας τὴν κατατρώγουν μπροστά σας ξένοι καὶ ἔχει ἐρημωθεῖ καὶ καταστραφεῖ ἀπὸ ξένους λαούς». Μὲ τὰ λόγια αὐτὰ αὐξάνει τὴ συμφορά, ὅταν γίνονται καὶ θεατὲς τῶν συμφορῶν τους καὶ δὲν τὰ μαθαίνουν αὐτὰ μόνο ἐξ ἀκοῆς.

4. «Θὰ ἐγκαταλειφθεῖ ἡ θυγατέρα μου Σιών, σὰν σκηνὴ στὸν ἀμπελώνα καὶ σὰν ὀπωροφυλάκιο μέσα σὲ χωράφι μὲ

ἔχουσι καὶ αἱ εἰκόνες, καὶ μάλιστα αἱ ἐν τῇ Γραφῇ, εἰς παράτασιν τῶν λεγομένων. Τὴν Ἱερουσαλὴμ δὲ καλεῖ θυγατέρα Σιών, διὰ τὸ ὑποκεῖσθαι τῷ ὄρει. «Ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ». Τοῦ καρποῦ γὰρ ἀνῃρημένου, καὶ τῶν γεωργῶν ἀπενεχθέντων, περιττὴ λοιπὸν ἡ τῆς πόλεως οἰκοδομή.

«Ὡς πόλις πολιορκουμένη». Τοῦτο τῆς ἀσθενείας αὐτῶν καὶ τῆς ἐγκαταλείψεως αἴνιγμα. Ὅταν γὰρ μηδεὶς ὁ βοηθῶν ᾖ, τότε ἀνάγκη συγκεκλεῖσθαι, τὴν ἀπὸ τῶν τειχῶν ἀσφάλειαν μόνην ἐκδεχομένους.

«Καὶ εἰ μὴ Κύριος Σαββαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν». Ἔθος ἀεὶ τοῖς προφήταις μὴ μόνον ἐκεῖνα προλέγειν, ἃ μέλλουσι πάσχειν οἱ πλημμελοῦντες δεινά, ἀλλὰ καὶ ἃ παθεῖν ἦσαν ἄξιοι, ἵνα καὶ ἐν αὐτῷ τῷ καιρῷ τῆς τιμωρίας πολλὰς ἴδωσι τῷ Θεῷ χάριτας, οὐ τὴν ἀξίαν τῶν πλημμελημάτων, ἀλλὰ ἐλάττονα πολλῷ τὴν δίκην τίνοντες. Τοῦτο γοῦν καὶ ἐνταῦθά φησιν, ὅτι τὰ μὲν ἁμαρτήματα αὐτῶν οὐ ταῦτα τὰ εἰρημένα, ἀλλὰ πανωλεθρίαν ἀπῄτει, καὶ ὁλοκλήρου τοῦ γένους ἀφανισμὸν παντελῆ, ἃ δὴ καὶ ἐπὶ Σοδόμων συνέβη, ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία οὐκ ἀφῆκε τοῦτο γενέσθαι, πολλῷ τῆς ἁμαρτίας ἐλάττονα τὴν τιμωρίαν ἐπάγουσα. Ἐπειδὴ δὲ πολλὴ τῆς Παλαιᾶς πρὸς τὴν Καινήν ἐστι συγγένεια, εἰκότως τούτῳ καὶ ὁ Παῦλος ἀπεχρήσατο· καὶ ἐπιτηδειότερον εἶπεν ἢ ὁ προφήτης. Ὥσπερ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ, εἰ μὴ πολὺς ὁ τοῦ Θεοῦ γέγονεν ἔλεος, πάντες ἂν ἀνηρπάσθησαν, οὕτω καὶ ἐν τῷ καιρῷ τῆς τοῦ Χριστοῦ πα-

καρπούζια». Μεγάλη δύναμη έχουν καὶ οἱ εἰκόνες ν' αὐξήσουν τὴ δύναμη αὐτῶν ποὺ λέγονται καὶ μάλιστα οἱ εἰκόνες τῆς Γραφῆς. Τὴν Ἱερουσαλὴμ δὲ ὀνομάζει θυγατέρα τῆς Σιών, ἐπειδὴ βρίσκεται στοὺς πρόποδες τοῦ ὄρους. «Σὰν σκηνὴ στὸν ἀμπελώνα καὶ σὰν ὀπωροφυλάκιο μέσα σὲ χωράφι μὲ καρπούζια». Διότι, ἀφοῦ ἔχει περισυλλεγεῖ ὁ καρπὸς καὶ ἐπέστρεψαν οἱ γεωργοί, εἶναι περιττὴ πλέον ἡ οἰκοδομὴ τῆς πόλεως.

«Σὰν πόλη πολιορκημένη». Αὐτὸ ὑπονοεῖ τὴν ἀδυναμία αὐτῶν καὶ τὴν ἐγκατάλειψή τους ἐκ μέρους τοῦ Θεοῦ. Διότι, ὅταν δὲν ὑπάρχει κανένας νὰ τὴ βοηθήσει, τότε εἶναι ἀνάγκη νὰ κλεισθοῦν μέσα σ' αὐτὴν καὶ νὰ περιμένουν τὴν ἀσφάλειά τους μόνο ἀπὸ τὰ τείχη της.

«Καὶ ἐὰν ὁ Κύριος τῶν δυνάμεων δὲν ἄφηνε ἀνάμεσά μας ἀφοσιωμένους του ἀνθρώπους, θὰ γινόμασταν σὰν τὰ Σόδομα καὶ θὰ εἴχαμε ἐξομοιωθεῖ μὲ τὰ Γόμορρα». Πάντοτε συνηθίζουν οἱ προφῆτες νὰ μὴ προλέγουν μόνο ἐκεῖνες τὶς συμφορές, ποὺ πρόκειται νὰ πάθουν ἐκεῖνοι ποὺ παρανόμησαν, ἀλλὰ καὶ αὐτὰ ποὺ ἦταν ἄξιοι νὰ πάθουν, ὥστε καὶ κατὰ τὴ διάρκεια ἀκόμη τῆς τιμωρίας τους νὰ δείξουν μεγάλη εὐγνωμοσύνη πρὸς τὸ Θεό, ἐφόσον δὲν τιμωροῦνται ἰσάξια μὲ τὰ παραπτώματά τους, ἀλλὰ κατὰ πολὺ πιὸ λιγότερο. Αὐτὸ λοιπὸν ἐννοεῖ καὶ ἐδῶ, ὅτι δηλαδὴ τὰ μὲν ἁμαρτήματα αὐτῶν δὲν ἦταν ἀνάλογα μὲ τὶς τιμωρίες αὐτὲς ποὺ ἀναφέρθηκαν, ἀλλ' ἀπαιτοῦσαν πανωλεθρία καὶ ὁλοκληρωτικὸ ἀφανισμὸ ὁλόκληρου τοῦ γένους τους, πράγμα βέβαια ποὺ συνέβηκε καὶ στὴν περίπτωση τῶν Σοδόμων, ἡ φιλανθρωπία ὅμως τοῦ Θεοῦ δὲν ἄφησε νὰ γίνει αὐτό, στέλνοντας τιμωρία πολὺ πιὸ μικρότερη ἀπὸ τὴν ἁμαρτία. Ἐπειδὴ δὲ εἶναι μεγάλη ἡ συγγένεια τῆς Παλαιᾶς Διαθήκης πρὸς τὴν Καινή, πολὺ ὀρθὰ καὶ ὁ Παῦλος χρησιμοποίησε αὐτὸ τὸ συλλογισμὸ καὶ τὸν διατύπωσε πολὺ πιὸ κατάλληλα ἀπὸ ὅ,τι ὁ προφήτης. Διότι, ὅπως ἀκριβῶς κατὰ τὴν ἐποχὴ ἐκείνη ἂν δὲν ἐκδηλωνόταν σὲ μεγάλο βαθμὸ ἡ εὐσπλαγχνία τοῦ Θεοῦ, ὅλοι θὰ ὁδηγοῦνταν βίαια στὴν αἰχμαλωσία, ἔτσι καὶ κατὰ τὴν ἐποχὴ τῆς παρουσίας τοῦ Χριστοῦ ἂν δὲν δίνονταν τὰ δῶρα τῆς

ρουσίας, εἰ μὴ τὰ τῆς χάριτος ἐφάνη, χαλεπώτερα τούτων πάντες ἂν ἔπαθον. «Ἐγκατέλιπε δὲ ἡμῖν σπέρμα»· τοὺς σωθέντας ἀπὸ τῆς αἰχμαλωσίας λέγει.

«Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων, προσέχετε νόμῳ Θεοῦ ἡμῶν, λαὸς Γομόρρας». Ἐπειδὴ εἶπεν, ὅτι τὰ Σοδόμων ἦσαν ἄξιοι παθεῖν, δείκνυσιν ὅτι καὶ τὰ Σοδόμων ἐτόλμων. Διὸ καὶ ἀπὸ τῆς κοινῆς αὐτοὺς ὀνομάζει προσηγορίας. Ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐδὲ καιρὸν εἶχεν ὁ λόγος. Ὅτι γὰρ οὐ πρὸς Σοδομηνοὺς ἀποτείνεται νῦν, ἀλλὰ πρὸς Ἰουδαίους, καλῶν αὐτοὺς τῇ τῆς προσηγορίας κοινωνίᾳ, δείκνυσι τὰ μετὰ ταῦτα λεγόμενα. Θυσιῶν γὰρ μέμνηται καὶ προσφορῶν καὶ τῆς ἄλλης τῆς νομικῆς λατρείας, ἧς οὐδὲ ἴχνος ἦν παρὰ Σοδομίταις. «Νόμῳ Θεοῦ ἡμῶν», τῷ ἐλέγχῳ φησί.

5. «Τί μοι πλῆθος», φησί, «τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος. Πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι». Ὁ ψαλμὸς ὁ τεσσαρακοστὸς ἔνατος ἅπας τῷ χωρίῳ τούτῳ προσέοικε, δι' ἑτέρων μὲν ρημάτων, διὰ τῶν αὐτῶν δὲ ὑφαινόμενος νοημάτων. Τῷ γὰρ ἐν τῷ ψαλμῷ, «Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ», ἴσον ἐστὶ τὸ «Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησε»· καὶ τὰ ἑξῆς δὲ τοιαῦτα. Ὥσπερ γὰρ ὁ Δαυίδ φησιν, «Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστι δια παντός», οὕτω καὶ ὁ Ἠσαΐας φησί, «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος». Καὶ πάλιν ὁ μὲν Δαυίδ φησιν, «Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου τράγους», ὁ δὲ Ἠσαΐας, «Ὁλοκαυτώματα κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι». Ἐπειδὴ γὰρ ἐγκαλούμενοι συνεχῶς ἐπὶ τῷ τῆς ἄλλης ἀρετῆς εἶναι ἔρημοι, ἀντὶ μεγίστης ἀ-

31. Ψαλμ. 49, 4. 32. Ἠσ. 1, 2. 33. Ψαλμ. 49, 8.

χάριτος, θὰ πάθαιναν ὅλοι πολὺ πιὸ φοβερότερα ἀπὸ αὐτά. «Ἐὰν δὲν ἄφηνε ἀνάμεσά μας μερικούς»· ἐννοεῖ ἐκείνους ποὺ σώθηκαν ἀπὸ τὴν αἰχμαλωσία.

«Ἀκούσατε λόγο Κυρίου, ἄρχοντες τῶν Σοδόμων, προσέχετε τὸ νόμο τοῦ Θεοῦ μας, λαὲ τῆς Γομόρρας». Ἐπειδὴ εἶπε, ὅτι ἦταν ἄξιοι νὰ πάθουν ἐκεῖνα ποὺ ἔπαθαν τὰ Σόδομα, δείχνει ὅτι καὶ ἔπρατταν τὰ ἔργα τῶν Σοδόμων. Γι' αὐτὸ καὶ ὀνομάζει αὐτοὺς ἀπὸ τὴν κοινὴ ὀνομασία. Διότι, ἐὰν δὲν ἐννοοῦσε αὐτό, δὲν θὰ εἶχε νόημα ὁ λόγος αὐτός. Τὸ ὅτι λοιπὸν δὲν ἀπευθύνεται τώρα πρὸς Σοδομίτες, ἀλλὰ πρὸς Ἰουδαίους, προσφωνώντας αὐτοὺς μὲ τὴν κοινὴ ὀνομασία, τὸ δείχνουν τὰ ὅσα λέγονται στὴ συνέχεια. Διότι ὁμιλεῖ γιὰ θυσίες καὶ προσφορὲς καὶ γιὰ τὴν ὑπόλοιπη νομικὴ λατρεία, τῆς ὁποίας οὔτε ἴχνος ὑπῆρχε στοὺς Σοδομίτες. «Νόμο τοῦ Θεοῦ μας» ἐννοεῖ τὸν ἔλεγχο.

5. «Ὁ Κύριος λέγει· τί ἀνάγκει ἔχω», λέγει, «ἀπὸ τὸ πλῆθος τῶν θυσιῶν σας; Εἶμαι χορτασμένος ἀπὸ ὁλοκαυτώματα κριαριῶν, καὶ δὲν ἐπιθυμῶ τὸ λίπος ἀρνιῶν καὶ τὸ αἷμα ταύρων καὶ τράγων». Ὁλόκληρος ὁ τεσσαρακοστὸς ἔνατος ψαλμὸς ἔχει παρόμοιο νόημα μὲ αὐτὸ τὸ χωρίο, πλεκόμενος μὲ ἄλλα μὲν λόγια, ἀλλὰ μὲ τὰ ἴδια νοήματα. Διότι τὸ λεγόμενο στὸν ψαλμὸ αὐτό, «Θὰ προσκαλέσει τὸν οὐρανὸ ἀπὸ ἐπάνω καὶ τὴ γῆ ἀπὸ κάτω γιὰ νὰ δικάσει τὸ λαό του»[31], ἰσοδυναμεῖ μὲ τὸ «Ἄκουε, οὐρανέ, καὶ τέντωσε τὰ αὐτιά σου, γῆ, διότι ὁ Κύριος μίλησε»[32]· καὶ τὰ λεγόμενα δὲ στὴ συνέχεια τὸ ἴδιο νόημα ἔχουν. Διότι, ὅπως ἀκριβῶς ὁ Δαυὶδ λέγει, «Δὲν θὰ σὲ κρίνω ἀπὸ τὶς θυσίες σου, τὰ δὲ ὁλοκαυτώματά σου βρίσκονται πάντοτε ἐνώπιόν μου»[33], ἔτσι καὶ ὁ Ἠσαΐας λέγει, «Ὁ Κύριος λέγει· τί ἀνάγκη ἔχω ἀπὸ τὸ πλῆθος τῶν θυσιῶν σας;». Καὶ πάλι ὁ μὲν Δαυὶδ λέγει, «Δὲν θὰ δεχθῶ ἀπὸ τὸν οἶκο σου μόσχους, οὔτε ἀπὸ τὰ ποίμνιά σου τράγους»[34], ὁ δὲ Ἠσαΐας λέγει· «Δὲν ἐπιθυμῶ ὁλοκαυτώματα κριαριῶν, λίπος ἀρνιῶν, καὶ αἷμα ταύρων καὶ τράγων». Ἐπειδὴ δηλαδή, κατηγορούμενοι συνέχεια ὅτι ἦταν γυμνοὶ ἀπὸ τὰ ἔργα τῆς ἄλλης ἀρετῆς, πρόβαλλαν σὰν τὴν πιὸ μεγαλύτερη ἀπολογία τὶς θυσίες, τὶς ὁποῖες πρόσφερναν

34. Ψαλμ. 49, 9.

πολογίας τὰς θυσίας προεβάλλοντο, ὡς συνεχῶς αὐτὰς ἐπιτελοῦντες, εἰκότως ἑκάτερος ὁ προφήτης, μᾶλλον δὲ καὶ οἱ ἄλλοι πάντες, ταύτης ἐκβάλλουσιν αὐτοὺς τῆς ἀπολογίας. Ὅθεν δῆλον, ὅτι οὐ προηγουμένως αὐταὶ ἐδόθησαν, ἀλλ' ὥστε παιδαγωγίαν γενέσθαι τῆς ἄλλης ἐντεῦθεν αὐτοῖς πολιτείας. Ἐπεὶ δὲ τῶν ἀναγκαίων κατεπειγόντων ἀμελοῦντες, ἐν τούτοις ἠσχόληντο, οὐδὲ ταύτας λοιπὸν προσίεσθαί φησιν ὁ Θεός.

«Οὐδὲ ἂν ἔρχησθε ὀφθῆναί μοι». Ἐὰν παραγένησθε, φησίν, εἰς τὸν ναόν. «Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;». Καὶ μὴν ὁλόκληρον σύγκειται βιβλίον τὸ Λευιτικὸν λεγόμενον, περὶ τῆς τῶν θυσιῶν ἀκριβείας νομοθετοῦν. Καὶ ἐν τῷ Δευτερονομίῳ δὲ καὶ ἐν ἑτέροις πλείοσι πολλοὶ περὶ τούτων εἰσὶ διεσπαρμένοι νόμοι. Πῶς οὖν φησι, «Τίς ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;». Ἵνα μάθῃς, ὅτι οὐ προηγούμενον ἦν Θεοῦ θέλημα, τὸ τὰ τοιαῦτα νομοθετεῖν, ἀλλ' ἀπὸ τῆς αὐτῶν ἀσθενείας τὴν ἀρχὴν ἔλαβεν ἡ περὶ τούτων νομοθεσία. Ὥσπερ γὰρ οὐκ ἐβούλετο γυναῖκα ἐκβαλέσθαι τὴν ἅπαξ ἀνδρὶ συναφθεῖσαν, μειζόνων δὲ ἐκκόπτων κακῶν, τὸ μὴ κωλυομένους ἐκβαλεῖν, ἀναγκάζεσθαι σφάττειν ἔνδον οὔσας καὶ μισουμένας, τὸ ἔλαττον συνεχώρησεν, οὕτω δὴ καὶ ἐνταῦθα, κωλύων τὸ δαίμοσι θύειν, κατεδέξατο ὅπερ οὐκ ἐβούλετο, ἵν' ὅπερ ἐβούλετο κατορθώσῃ. Τοῦτο γοῦν αὐτὸ πάλιν Ἀμὼς ὁ προφήτης ἐνδεικνύμενος, ἔλεγε· «Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα; λέγει Κύριος». Καὶ ὁ Ἰερεμίας δέ φησιν· «Οὐ ταῦτά ἐστιν, ἃ ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν».

Ἐπειδὴ γὰρ καὶ δαίμονες τοῦτον ἐθεραπεύθησαν τὸν τρόπον, καὶ αὐτὸς οὗτος, ἵνα μηδεμία τοῖς ἀσθενετέροις ἐντεῦθεν ἀπωλείας γένηται πρόφασις, συνεχῶς διὰ πάντων ταῦτά φησι τῶν προφητῶν. Ἐκεῖνοι μὲν γὰρ καὶ μὴ διδομέ-

35. Ἀμὼς 5, 25. 36. Πρβλ. Ἰερ. 7, 22.

συνέχεια, πολὺ σωστὰ καὶ ὁ ἕνας καὶ ὁ ἄλλος προφήτης, μᾶλλον δὲ καὶ ὅλοι οἱ ἄλλοι τοὺς ἀφαιροῦν αὐτὴ τὴν ἀπολογία. Ἄρα γίνεται φανερό, ὅτι αὐτὲς δὲν δόθηκαν προηγουμένως γιὰ κανένα ἄλλο σκοπό, ἀλλὰ γιὰ νὰ γίνουν γι' αὐτοὺς παιδαγωγία τοῦ ἄλλου τρόπου ζωῆς ποὺ σὰν βάση εἶχε αὐτὴ τὴ ζωή. Ἐπειδὴ ὅμως ἔδειχναν ἀδιαφορία γιὰ ἐκεῖνα ποὺ ἦταν ἀπολύτως ἀναγκαῖα καὶ ἀσχολοῦνταν μὲ αὐτά, οὔτε αὐτὲς πλέον, λέγει ὁ Θεός, τὶς ἀποδέχομαι.

«Οὔτε θέλω νὰ ἔρχεσθε καὶ νὰ παρουσιάζεσθε μπροστά μου». Ὅταν, λέγει, ἔρχεσθε στὸ ναό. «Διότι ποιὸς τὰ ζήτησε αὐτὰ ἀπὸ τὰ χέρια σας;». Καὶ ὅμως ὁλόκληρο βιβλίο ὑπάρχει, ποὺ ὀνομάζεται Λευιτικό, ποὺ περιέχει νομοθεσίες γιὰ τὴ λεπτομερὴ ἐκτέλεση τῶν θυσιῶν. Καὶ στὸ Δευτερονόμιο δὲ καὶ σὲ πολλὰ ἄλλα ὑπάρχουν πολλὲς διατάξεις ποὺ ἀναφέρονται σ' αὐτές. Πῶς λοιπὸν λέγει, «Ποιὸς τὰ ζήτησε αὐτὰ ἀπὸ τὰ χέρια σας;». Γιὰ νὰ μάθετε, ὅτι ἀρχικὰ δὲν ἦταν αὐτὸ τὸ θέλημα τοῦ Θεοῦ, τὸ νὰ νομοθετεῖ δηλαδὴ παρόμοια πράγματα, ἀλλ' ἡ νομοθεσία γι' αὐτὲς τὶς θυσίες ἔλαβε τὴν ἀρχή της ἀπὸ τὴν πνευματικὴ ἀδυναμία αὐτῶν. Διότι, ὅπως ἀκριβῶς δὲν ἤθελε νὰ χωρίζεται ἡ γυναίκα ποῦ συνῆψε γάμο μὲ ἄνδρα, ἐπέτρεψε ὅμως τὸ μικρότερο κακό, ἐμποδίζοντάς τους ἀπὸ μεγαλύτερα κακά, τὸ νὰ μὴ δηλαδὴ ἀναγκάζονται, ἐπειδὴ θὰ ἐμποδίζονται νὰ τὶς χωρίσουν καὶ θὰ τὶς ἔχουν μέσα στὴν οἰκία τους καὶ θὰ τὶς μισοῦν, νὰ τὶς σφάζουν, ἔτσι λοιπὸν καὶ ἐδῶ, ἐμποδίζοντας αὐτοὺς ἀπὸ τὸ νὰ θυσιάζουν στοὺς δαίμονες, δέχθηκε αὐτὸ ποὺ δὲν ἤθελε, γιὰ νὰ ἐπιτύχει αὐτὸ ἀκριβῶς ποὺ ἤθελε. Αὐτὸ ἀκριβῶς λοιπὸν γιὰ νὰ δείξει ἐπίσης καὶ ὁ προφήτης Ἀμώς, ἔλεγε· «Ὁ Κύριος λέγει· Μήπως ἐπὶ σαράντα χρόνια μοῦ προσφέρατε σφάγια καὶ θυσίες;»[35]. Καὶ ὁ Ἱερεμίας δὲ λέγει· «Δὲν εἶναι αὐτὰ ἐκεῖνα ποὺ ἔδωσα ἐντολὴ στοὺς πατέρες σας νὰ ἐκτελοῦν»[36].

Ἐπειδὴ δηλαδὴ καὶ δαίμονες λατρεύθηκαν μὲ αὐτὸν τὸν τρόπο καὶ ὁ ἴδιος ὁ Θεός, γιὰ νὰ μὴ προκύψει ἀπὸ αὐτὸ καμιὰ ἀφορμὴ ἀπώλειας γιὰ τοὺς πνευματικὰ πιὸ ἀδύνατους, συνέχεια μὲ ὅρους τοὺς προφῆτες αὐτὰ λέγει. Διότι ἐκεῖνοι μὲν ἀγα-

νων ἠγανάκτουν, καὶ συνεχῶς ἐπέκειντο τὴν κνίσσαν καὶ τὸν καπνὸν ἀπατοῦντες καὶ λέγοντες· «Τὸ γὰρ λάχομεν γέρας ἡμεῖς», αὐτὸς δὲ οὔτε ἐξ ἀρχῆς ᾔτησε, καὶ ἡνίκα ἐκέλευσεν, ἔδειξεν, ὅτι οὐχὶ βουλόμενος τοῦτο ἐπέστρεψεν· οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ καταλῦσαι ταχέως αὐτάς, καὶ ἡνίκα ἐπετελοῦντο, μὴ προσίεσθαι· καὶ διὰ πάντων ἀπαξαπλῶς ἐδήλου ὅτι πολλῷ τῆς μεγαλωσύνης αὐτοῦ τῆς λατρείας οὗτος ὁ τρόπος ἀνάξιος. Τοῦτο οὖν φησι νῦν, ὅτι δι' ὑμᾶς τοῦτο ἠνειχόμην, οὐκ αὐτὸς τούτων ἐδεόμην.

«Πατεῖν μου τὴν αὐλὴν οὐ προσθήσετε». Ἢ τὴν αἰχμαλωσίαν προλέγει, ἢ ἀπαγορεύει τοῦτο αὐτοῖς, ἐπειδὴ οὐ μετ' ὀρθῆς εἰσῄεσαν γνώμης.

«Ἐὰν φέρητέ μοι σεμιδαλιν, μάταιον». Τῶν γὰρ ἐπιταγμάτων τὰ μὲν δι' ἑαυτά, τὰ δὲ δι' ἕτερα γίνεσθαι ἐκελεύετο· οἷον τὸ τὸν Θεὸν εἰδέναι, τὸ μὴ φονεύειν, μὴ μοιχεύειν, καὶ ὅσα τοιαῦτα, διὰ τὴν ἐξ αὐτῆς ὠφέλειαν ἐνομοθετεῖτο, τὸ μέντοι θῦσαι, καὶ θυμίαμα προσενεγκεῖν, καὶ τηρῆσαι σάββατον, καὶ ὅσα τοιαῦτα πάλιν, οὐχ ἵνα αὐτὰ ταῦτα γίνηται ἁπλῶς, ἀλλ' ἵνα ἐκ τῆς τούτων μελέτης τῆς τῶν δαιμόνων ἀπάγωνται θεραπείας. Ἐπεὶ οὖν οὗτοι ταῦτα μὲν ἐπετέλουν, τὸ δὲ ἐξ αὐτῶν οὐκ ἐκαρποῦντο κέρδος, ἀλλ' ἔτι τοῖς δαίμοσιν ἦσαν προσηλωμένοι, εἰκότως καὶ ταῦτα ἐκβάλλεται. Ἐπεὶ καὶ δένδρον εἰκότως τις ἐκτέμνοι, φύλλα μὲν ἔχον καὶ κλάδους, καρπῶν δὲ ἔρημον ὄν. Καὶ γὰρ τῷ γηπόνῳ πᾶσα περὶ τὸ φυτὸν ἡ ἐπιμέλεια, οὐ διὰ τὸν φλοιὸν καὶ τὸ στέλεχος, ἀλλ' ἵνα τῶν καρπῶν ἀπολαύῃ.

«Θυμίαμα βδέλυγμά μοί ἐστιν». Ὁρᾷς ὅτι οὐ τῇ φύσει τῶν προσφερομένων ἔχαιρεν, ἀλλὰ τὴν γνώμην τῶν προσα-

---

37. Ὁμήρου Ἰλιὰς Δ, 49.

νακτοῦσαν ὅταν δὲν τοὺς προσφέρονταν θυσίες καὶ συνέχεια ἐξαρτώνταν ἀπὸ τὴν κνίσσα καὶ τὸν καπνό, ἀπαιτώντας αὐτὰ καὶ λέγοντας, «Διότι αὐτὸ τὸ τιμητικὸ δῶρο ἐμεῖς τὸ λάβαμε μὲ κλῆρο»[37], ὁ Θεὸς ὅμως δὲν τὸ ζήτησε ἀπὸ τὴν ἀρχή, καὶ ὅταν ἔδωσε αὐτὴ τὴν ἐντολὴ ἔδειξε, ὅτι τὸ ἐπέτρεψε αὐτὸ χωρὶς νὰ τὸ ἐπιθυμεῖ· καὶ ὄχι μόνο μὲ αὐτὸ ἔδειξε ὅτι δὲν τὶς ἐπιθυμεῖ, ἀλλὰ καὶ μὲ τὸ ὅτι κατήργησε αὐτὲς ἀμέσως, ἀλλὰ καὶ ὅταν προσφέρονταν, δὲν ἔνιωθε εὐχαρίστηση γι' αὐτές· καὶ μὲ ὅλα γενικὰ φανέρωνε ὅτι ὁ τρόπος αὐτὸς τῆς λατρείας του εἶναι πολὺ ἀνάξιος τῆς μεγαλωσύνης του. Αὐτὸ λοιπὸν λέγει τώρα, ὅτι δηλαδὴ αὐτὸ τὸ ἀνεχόμουν ἐξ αἰτίας σας, δὲν εἶχα ἐγὼ ὁ ἴδιος ἀνάγκη ἀπὸ αὐτές.

«Δὲν θὰ σᾶς ἐπιτρέψω νὰ πατᾶτε τὴν αὐλή μου». Ἢ προλέγει τὴν αἰχμαλωσία, ἢ ἀπαγορεύει αὐτὸ σ' αὐτούς, ἐπειδὴ δὲν εἰσέρχονταν μὲ ὀρθὴ σκέψη.

«Μάταιο εἶναι ἐὰν μοῦ φέρετε σημιγδάλι». Ἀπὸ τὶς ἐντολὲς δηλαδὴ ἄλλες μὲν δίνονταν γιὰ νὰ ἐκτελοῦνται γιὰ τὸ σκοπὸ ποὺ δίνονταν, ἄλλες δὲ διατάσσονταν νὰ τὶς ἐκτελοῦν γιὰ ἄλλο σκοπό· γιὰ παράδειγμα, τὸ νὰ γνωρίζουν τὸ Θεό, τὸ νὰ μὴ φονεύουν, τὸ νὰ μὴ μοιχεύουν καὶ ὅλα τὰ παρόμοια, νομοθετοῦνταν γιὰ τὴν ὠφέλεια ποὺ προέρχεται ἀπὸ αὐτές, τὸ νὰ θυσιάζουν ὅμως, τὸ νὰ προσφέρουν θυμίαμα, τὸ νὰ τηροῦν τὸ σάββατο καὶ ὅλα τὰ παρόμοια πάλι, νομοθετοῦνταν ὄχι ἁπλῶς γιὰ νὰ τελοῦνται αὐτά, ἀλλὰ μὲ τὴν ἐκτέλεση αὐτῶν νὰ ἀπομακρύνονται ἀπὸ τὸ νὰ λατρεύουν τοὺς δαίμονες. Ἐπειδὴ λοιπὸν αὐτοί, αὐτὰ μὲν τὰ ἔκαμναν, δὲν καρποῦνταν ὅμως τὸ κέρδος ἀπ' αὐτά, ἀλλ' ἐξακολουθοῦσαν νὰ εἶναι προσηλωμένοι στοὺς δαίμονες, πολὺ ὀρθὰ τὰ καταργεῖ καὶ αὐτά. Διότι καὶ κάποιο δένδρο πολὺ ὀρθὰ θὰ τὸ ἔκοβε κάποιος, ποὺ ἔχει μὲν κλαδιὰ καὶ φύλλα, ἀλλ' εἶναι γυμνὸ ἀπὸ καρπούς. Καθόσον καὶ ὅλη ἡ φροντίδα τοῦ γεωργοῦ γιὰ τὸ φυτὸ καταβάλλεται ὄχι γιὰ τὸ φλοιὸ καὶ τὸν κορμό, ἀλλὰ γιὰ νὰ ἀπολαμβάνει τοὺς καρπούς.

«Καὶ τὸ θυμίαμα τὸ σιχαίνομαι». Βλέπεις ὅτι δὲν εὐχαριστιοῦνταν μὲ τὴ φύση τῶν προσφερομένων, ἀλλ' ἐξήταζε τὴ

γόντων ἐξήταζε; Διὰ δὴ τοῦτο τὸν μὲν καπνὸν καὶ τὴν κνίσσαν τὴν ἀπὸ τῆς θυσίας τοῦ Νῶε ὀσμὴν εὐωδίας ἐκάλεσε, τὸ δὲ θυμίαμα βδέλυγμα. Ὅπερ γὰρ ἔφην, οὐ τὴν οὐσίαν τῶν δώρων, ἀλλὰ τὴν διάθεσιν τῶν προσφερόντων ἐπιζητεῖ.

«Τὰς νεομηνίας ὑμῶν, καὶ τὰ σάββατα». Παρατηρητέον ὡς οὐδὲν τῶν ἀναγκαίων ἐκβάλλει, ἀλλὰ ταῦτα ἃ καὶ παραγενόμενος ὁ Χριστὸς κατέλυσε. Διὸ καὶ ὁ Παῦλος εὐτονώτερον τῷ λόγῳ κεχρημένος, ἡνίκα πρὸς Ἰουδαίους ἐμάχετο, οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἕτερα πλείονα τούτων θείς, τοὺς οὐδὲν οἴκοθεν ἐπιδεικνυμένους οὐδὲν ἐκεῖθεν κερδαίνειν ἔφησεν, οὕτω λέγων· «Εἰ δὲ σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν Θεῷ, καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου». Καὶ πάλιν· «Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονε». Καὶ οὐδὲ ἀπὸ τοῦ πιστευθῆναι αὐτοὺς τὸν νόμον ἔφησέ τι τοὺς πιστευθέντας καρπώσασθαι, ἐπειδὴ ἠπίστησαν· ὅπερ οὖν καὶ ὁ Δαυὶδ ἑτέρως αἰνιττόμενος ἔλεγε· «Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου;». Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τῇ ἀκροάσει τοῦ νόμου μέγα ἐφρόνουν, τῆς πράξεως ὄντες ἔρημοι, καὶ ὁ Παῦλος αὐτοὺς ἐξέβαλλε τοῦ καυχήματος εἰπών· «Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; καὶ ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις;». Καὶ ὁ Δαυὶδ ὁμοίως λέγων· «Εἰ ἐθώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθης».

«Καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι». Τὴν Πεντηκοστὴν λέγει, τὴν Σκηνοπηγίαν, τὸ Πάσχα, καὶ τὰς λοιπὰς ἑορτάς.

---

38. Γεν. 8, 20 ἑ.
39. Ρωμ. 2, 17-18.
40. Ρωμ. 2, 25.
41. Ψαλμ. 49, 16.
42. Ρωμ. 2, 21.
43. Ψαλμ. 49, 18.

διάθεση ἐκείνων ποὺ τὰ πρόσφερναν; Γι' αὐτὸ λοιπὸν τὸν μὲν καπνὸ καὶ τὴν κνίσσα, ποὺ προέρχονταν ἀπὸ τὴ θυσία τοῦ Νῶε, τὰ ὀνόμασε ὀσμὴ εὐωδίας[38], τὸ δὲ θυμίαμα βδέλυγμα. Ὅπως δηλαδὴ εἶπα, δὲν ἐπιζητεῖ τὴν οὐσία τῶν δώρων, ἀλλὰ τὴ διάθεση αὐτῶν ποὺ τὰ προσφέρουν.

«Τὶς νεομηνίες σας καὶ τὰ σάββατα». Πρέπει νὰ προσέξουμε, ὅτι τίποτε ἀπὸ τὰ ἀναγκαῖα δὲν ἀπορρίπτει, ἀλλ' αὐτὰ τὰ ὁποῖα κατάργησε καὶ ὁ Χριστός, ἐρχόμενος στὸν κόσμο. Γι' αὐτὸ καὶ ὁ Παῦλος χρησιμοποιώντας αὐστηρότερα λόγια, ὅταν πολεμοῦσε τοὺς Ἰουδαίους, ὄχι μόνο αὐτά, ἀλλ', ἀφοῦ ἀνέφερε καὶ ἄλλα πολὺ περισσότερα ἀπ' αὐτά, εἶπε ὅτι τίποτε δὲν κερδίζουν ἀπ' αὐτὰ ἐκεῖνοι ποὺ δὲν παρουσιάζουν τίποτε μέσα ἀπὸ τὴν καρδιά τους, λέγοντας τὰ ἑξῆς· «Ἐὰν δὲ σὺ ὑπερηφανεύεσαι ποὺ ὀνομάζεσαι Ἰουδαῖος καὶ ἐπαναπαύεσαι μὲ τὴ σκέψη ὅτι ἔχεις τὸ νόμο, καὶ καυχιέσαι στὸ ὄνομα τοῦ Θεοῦ, καὶ γνωρίζεις τὸ θέλημά του, καὶ διακρίνεις αὐτὰ ποὺ διαφέρουν, διδασκόμενος ἀπὸ τὸ νόμο»[39]. Καὶ πάλι λέγει· «Διότι ἡ περιτομὴ ὠφελεῖ, ἐὰν πράττεις τὰ προστάγματα τοῦ νόμου, ἐὰν ὅμως εἶσαι παραβάτης αὐτῶν, ἡ περιτομή σου ἔγινε ἀκροβυστία»[40]. Καὶ οὔτε εἶπε, ἐπειδὴ ἐμπιστεύθηκε σ' αὐτοὺς τὸ νόμο, ὅτι θὰ ἔχουν κάποια ὠφέλεια ἐκεῖνοι στοὺς ὁποίους ἐμπιστεύθηκε αὐτόν, ἔστω καὶ ἂν ἔδειξαν ἀπιστία, πράγμα ποὺ καὶ ὁ Δαυὶδ ὑπονοώντας ἔλεγε μὲ ἄλλο τρόπο· «Στὸν δὲ ἁμαρτωλὸ εἶπε ὁ Θεός· Γιατί σὺ διδάσκεις τὶς ἐντολές μου;»[41]. Ἐπειδὴ δηλαδὴ συνέχεια ὑπερηφανεύονταν γιὰ τὸ ὅτι ἄκουαν τὸ νόμο, ἐνῶ ἦταν γυμνοὶ ἀπὸ ἔργα, καὶ ὁ Παῦλος τοὺς στέρησε τὸ καύχημα αὐτό, λέγοντας· «Σὺ λοιπὸν ποὺ διδάσκεις ἄλλον, τὸν ἑαυτό σου δὲν τὸν διδάσκεις; καὶ σὺ ποὺ κηρύττεις νὰ μὴ κλέβει κανείς, σὺ ὁ ἴδιος κλέβεις;»[42]. Καὶ ὁ Δαυὶδ λέγει τὸ ἴδιο· «Ὅταν ἔβλεπες κλέφτη, ἔτρεχες μαζὶ μ' αὐτόν, καὶ μὲ τοὺς μοιχοὺς εἶχες τὴ μερίδα σου στὴν ἀκολασία»[43].

«Καὶ δὲν ἀνέχομαι τὴ μεγάλη ἑορτή». Ἐννοεῖ τὴν Πεντηκοστή, τὴ Σκηνοπηγία, τὸ Πάσχα καὶ τὶς ὑπόλοιπες ἑορτές.

«Νηστείαν καὶ ἀργίαν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου». Ἀνθρωπινώτερον πρὸς αὐτοὺς διαλέγεται.

«Ἐγενήθητέ μοι εἰς πλησμονήν»· εἰς κόρον, εἰς μῖσος. Τοῦτο γὰρ αὐτοῦ δείκνυσι τὴν ἄφατον μακροθυμίαν, καὶ τὸ πολλάκις ἁμαρτόντας ἐνεγκεῖν, καὶ μὴ πρότερον ἐπεξελθεῖν, ἕως αὐτὸν αὐτοὶ οἱ πεπλημμεληκότες τῇ ὑπερβολῇ τῆς πονηρίας ἐξεκαλέσαντο.

«Οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν». Οὐκέτι μακροθυμήσω. Ταυτόν ἐστι τὸ ὑπὸ τοῦ Δαυὶδ εἰρημένον· «Ταῦτα ἐποίησας, καὶ ἐσίγησα».

«Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι». Ὅθεν δῆλον, ὅτι εὐχῆς ὄφελος οὐδέν, καὶ μακρᾶς γινομένης, ὅταν ἐπιμείνῃ τοῖς ἁμαρτήμασιν ὁ εὐχόμενος. Οὐδὲν γὰρ ἀρετῆς ἴσον, καὶ τῆς ἀπὸ τῶν ἔργων φωνῆς.

«Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις»· τουτέστι, φονικαί· ἀλλ' οὐκ εἶπε φονικαί, ἀλλά, «Πλήρεις αἵματος», δεικνὺς ὅτι μελέτην ἐποιοῦντο τὴν ἁμαρτίαν, καὶ πανταχοῦ μετ' ἐπιτάσεως. Καὶ τοῦτο δὲ τῆς ἡμερότητος αὐτοῦ, τὸ ἀπειλοῦντα ἀπολογεῖσθαι. Τίθησι γὰρ τὰς αἰτίας, δι' ἃς οὐ προσίεται τὴν εὐχήν.

6. «Λούσασθε, καθαροὶ γίνεσθε». Πῶς, εἰπών, «Οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν», συμβουλεύει, καὶ δείξας ἀνίατα νοσοῦντας, διόρθωσιν εἰσάγει; Ἔθος τῷ Θεῷ, καὶ ἡνίκα ἂν ἀπειλῇ, ἀπαγορεύειν τὴν σωτηρίαν, ὥστε αὐξῆσαι τὸν φόβον, καὶ μὴ ἐνταῦθα καταλύειν τὸν λόγον, ὥστε χρηστὰς ὑποτεῖναι τὰς ἐλπίδας, καὶ ταύτῃ πάλιν εἰς μετάνοιαν ἐπανάγειν. Καὶ τοῦτο πανταχοῦ γινόμενον ἴδοι τις ἄν. Ἐπὶ μέντοι τῶν Νινευιτῶν οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων

44. Ψαλμ. 49, 21.

«Τὴ νηστεία καὶ τὴν ἀργία καὶ τὶς ἑορτές σας τὰ μισεῖ ἡ ψυχή μου». Ἀνθρωπινότερα ὁμιλεῖ πρὸς αὐτούς.

«Σᾶς ἔχω χορτάσει πιά»· νιώθω ἀηδία γιὰ σᾶς καὶ μῖσος. Αὐτὸ δείχνει τὴν ἀπερίγραπτη μακροθυμία του, καὶ διότι τοὺς ἀνέχεται ἂν καὶ πολλὲς φορὲς ἁμάρτησαν, καὶ διότι δὲν τοὺς ἐπιβάλλει τὴν τιμωρία του προηγουμένως, μέχρις ὅτου αὐτοὶ οἱ ἴδιοι οἱ ἁμαρτήσαντες τὸν προσκάλεσαν μὲ τὸ ὑπερβολικὸ μέγεθος τῆς κακίας τους.

«Δὲν θὰ δεχθῶ πλέον τὶς ἁμαρτίες σας». Δὲν θὰ δείξω πλέον μακροθυμία. Τὸ ἴδιο σημαίνει ἐκεῖνο ποὺ λέγει ὁ Δαυίδ· «Αὐτὰ ἔκανες καὶ ἐγὼ δὲν μίλησα, δείχνοντας μακροθυμία».

«Ὅταν θ' ἁπλώνετε τὰ χέρια σας πρὸς ἐμένα, ἐγὼ θὰ στρέφω ἀλλοῦ τὰ μάτια μου ἀπὸ σᾶς· καὶ ἂν αὐξήσετε τὴν προσευχή σας, δὲν θὰ σᾶς ἀκούσω». Ἄρα γίνεται φανερό, ὅτι ἀπὸ τὴν προσευχὴ δὲν ὑπάρχει καμιὰ ὠφέλεια, καὶ ἂν ἀκόμα αὐτὴ εἶναι μεγάλης διάρκειας, ὅταν ὁ προσευχόμενος ἐπιμένει στὰ ἁμαρτήματά του. Διότι τίποτε δὲν μπορεῖ νὰ ἐξισωθεῖ μὲ τὴν ἀρετὴ καὶ τὴ φωνὴ ποὺ βγαίνει ἀπὸ τὰ ἔργα.

«Διότι τὰ χέρια σας εἶναι γεμάτα ἀπὸ αἷμα»· δηλαδὴ εἶναι φονικά· ὅμως δὲν εἶπε φονικά, ἀλλά, «Γεμάτα ἀπὸ αἷμα», γιὰ νὰ δείξει ὅτι προσχεδίαζαν τὴν ἁμαρτία καὶ παντοῦ ἔπρατταν αὐτὴν μὲ ὅλο τὸ πάθος τους. Καὶ αὐτὸ δὲ εἶναι δεῖγμα τῆς ἡμερότητας αὐτοῦ, τὸ ν' ἀπολογεῖται δηλαδὴ ἀπειλώντας. Διότι ἀναφέρει τὶς αἰτίες, γιὰ τὶς ὁποῖες δὲν δέχεται τὴν προσευχή τους.

6. «Λουσθεῖτε ψυχικὰ καὶ καθαρισθεῖτε ἐσωτερικά». Πῶς, ἀφοῦ εἶπε, «Δὲν θὰ ἀνεχθῶ πλέον τὶς ἁμαρτίες σας», τοὺς συμβουλεύει τώρα, καὶ ἀφοῦ ἔδειξε ὅτι πάσχουν ἀθεράπευτα, ὁμιλεῖ τώρα γιὰ διόρθωση; Συνηθίζει ὁ Θεός, καὶ ὅταν ἀκόμα ἀπειλεῖ, νὰ ἀποκλείει τὴ σωτηρία, ὥστε ν' αὐξήσει τὸ φόβο, καὶ νὰ μὴ τερματίζει ἐδῶ τὸ λόγο, ὥστε νὰ δημιουργήσει ἀγαθὲς ἐλπίδες καὶ νὰ ὁδηγήσει μὲ τὸν τρόπο αὐτὸ τοὺς ἁμαρτωλοὺς σὲ μετάνοια. Καὶ αὐτὸ θὰ μποροῦσε κανένας νὰ τὸ δεῖ παντοῦ. Στὴν περίπτωση βέβαια τῶν Νινευιτῶν τὸ ἔκανε αὐτὸ ὄχι μὲ λό-

αὐτὸ πεποίηκεν. Ἐν γὰρ τοῖς λόγοις οὐδὲν χρηστὸν ὑποσχόμενος, ἀλλὰ γυμνὴν ἐπὶ τῆς ἀπειλῆς κεῖσθαι τὴν τιμωρίαν ἀφείς, ἐπειδὴ τὰ παρ' ἑαυτῶν ἐπεδείξαντο πάντες οἱ βάρβαροι, ταχέως ἔλυσε τὴν ὀργήν. Οὕτω καὶ ἐν τῷ ψαλμῷ πάλιν ὁ Δαυίδ· ἔφθην γὰρ εἰπών, ὅτι ὅλως δι' ὅλου τῷ προοιμίῳ τοῦτο προσέοικε· καὶ ὥσπερ οὗτός φησι, «Λούσασθε, καθαροὶ γίνεσθε», μετὰ τὰς ἀπειλάς, οὕτω καὶ ἐκεῖνος μετὰ τὸ εἰπεῖν, «Ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου», ἐπήγαγε· «Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδός, ᾗ δείξω αὐτοῖς τὸ σωτήριον τοῦ Θεοῦ», αἴνεσιν λέγων τὴν διὰ τῶν ἔργων δοξολογίαν, καὶ τὴν ἐπίγνωσιν τὴν εἰς αὐτόν. Ἵνα δέ, «Λούσασθε, καθαροὶ γίνεσθε», ἀκούσαντες, μὴ τοὺς εἰωθότας νομίσωσι καθαρμούς, ἐπήγαγεν· «Ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου, παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν». Τὸ τῆς ἀρετῆς εὔκολον ἔδειξε, καὶ τὴν τῆς ἐξουσίας ἐλευθερίαν, ὅτι ἐν αὐτοῖς ἦν τὸ μεταβαλέσθαι.

«Μάθετε καλὸν ποιεῖν». Οὕτως ὑπὸ τῆς πολλῆς πονηρίας καὶ τὴν ἐπιστήμην τῆς ἀρετῆς ἦσαν ἐκβεβληκότες. Οὕτω καὶ ὁ προφήτης Δαυίδ φησι· «Δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς». Πασῶν γὰρ ἐπιστημῶν αὕτη ἀνωτέρα, καὶ πλείονος δεομένη σπουδῆς, ὅσῳ καὶ πλείονα ἔχει τὰ διακωλύοντα, φύσεως τυραννίδα, καὶ προαιρέσεως ῥᾳθυμίαν, καὶ δαιμόνων ἐπιβουλάς, καὶ πραγμάτων ὄχλον. Οὕτω δὴ καὶ Βαρούχ· «Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης».

«Ἐκζητήσατε κρίσιν». Τουτέστι, τὸ ἐκδικεῖν τοὺς ἀδικουμένους, ὅπερ πολλοῦ πόνου δεῖται καὶ νηφούσης ψυχῆς. Διὸ καὶ «Ἐκζητήσατε» εἶπε. Πολλὰ γάρ ἐστι τὰ συσκιάζον-

45. Ψαλμ. 49, 21.
46. Ψαλμ. 49, 23.
47. Ψαλμ. 33, 12.
48. Βαροὺχ 3, 36-37.

για, ἀλλὰ μὲ ἔργα. Διότι μὲ τὰ λόγια δὲν τοὺς ὑποσχέθηκε τίποτε τὸ ἀγαθό, ἀλλ' ἄφησε τὴν τιμωρία νὰ φαίνεται καθαρὰ στὴν ἀπειλή, ἐπειδὴ ὅμως ὅλοι οἱ βάρβαροι ἔκαναν ὅ,τι ἐξαρτῶνταν ἀπ' αὐτούς, ἀμέσως διέκοψε τὴν ὀργή του. Τὸ ἴδιο πάλι κάμνει καὶ ὁ Δαυὶδ στὸν ψαλμό του· διότι, ὅπως προανέφερα, ὁλόκληρος ὁ ψαλμὸς μοιάζει ἐξ ὁλοκλήρου μὲ τὸ προοίμιο αὐτό· καὶ ὅπως ἀκριβῶς αὐτὸς λέγει, «Λουσθεῖτε ψυχικὰ καὶ καθαρισθεῖτε ἐσωτερικά», μετὰ τὶς ἀπειλές, ἔτσι καὶ ἐκεῖνος, ἀφοῦ εἶπε, «Θὰ σὲ ἐλέγξω καὶ θὰ παρουσιάσω ἐνώπιόν σου τὶς ἀνομίες σου»[45], πρόσθεσε· «Θυσία αἰνέσεως θὰ μὲ δοξάσει, καὶ σ' αὐτὴ τὴ θυσία ὑπάρχει ἡ ὁδός, ποὺ θὰ δείξω τὴ σωτηρία μου σ' ὅποιον τὴ βαδίζει»[46], αἴνεση ὀνομάζοντας τὴν δοξολογία μὲ τὰ ἔργα καὶ τὴν ἀκριβὴ γνώση αὐτοῦ. Ὅμως, ἐπειδὴ ἄκουσαν, «Λουσθεῖτε καὶ καθαρισθεῖτε», γιὰ νὰ μὴ νομίσουν ὅτι πρόκειται γιὰ τοὺς συνηθισμένους καθαρμούς, πρόσθεσε· «Ἀφαιρέσατε τὶς κακίες ἀπὸ τὶς ψυχές σας ἐνώπιον τῶν ὀφθαλμῶν μου, σταματῆστε καὶ ἀπομακρυνθεῖτε ἀπὸ τὶς κακίες σας». Μὲ τὰ λόγια αὐτὰ ἔδειξε τὸ εὔκολο τῆς ἀρετῆς καὶ τὴν ἐλευθερία τῆς ἐξουσίας, διότι ἀπὸ αὐτοὺς ἐξαρτῶνταν ἡ μεταβολὴ πρὸς τὸ καλό.

«Μάθετε νὰ κάμνετε τὸ καλό». Τόσο πολὺ εἶχαν ἀπομακρυνθεῖ ἀπὸ τὴν ἄσκηση τῆς ἀρετῆς ἐξ αἰτίας τῆς μεγάλης κακίας τους. Τὸ ἴδιο καὶ ὁ προφήτης Δαυὶδ λέγει· «Ἐλᾶτε, τέκνα μου, καὶ ἀκοῦστε με· θὰ σᾶς διδάξω φόβο Κυρίου»[47]. Διότι ἀπὸ ὅλες τὶς ἐπιστῆμες αὐτὴ εἶναι ἀνώτερη καὶ χρειάζεται τόσο μεγαλύτερη προσπάθεια, ὅσο περισσότερα εἶναι τὰ ἐμπόδια ποὺ ἔχει, τὴν τυραννίδα δηλαδὴ τῆς φύσεως, τὴν ἀδιαφορία τῆς προαιρέσεως, τὶς ἐπιβουλὲς τῶν δαιμόνων καὶ τὸ πλῆθος τῶν ἀπασχολήσεων. Τὸ ἴδιο λέγει καὶ ὁ Βαρούχ· «Αὐτὸς εἶναι ὁ Θεός μας· δὲν μπορεῖ νὰ συγκριθεῖ ἄλλος πρὸς αὐτόν. Αὐτὸς βρῆκε ὅλη τὴν ὁδὸ τῆς γνώσεως»[48].

«Ἐπιδιώξατε δίκαια κρίση». Δηλαδή, τὸ νὰ ὑπερασπίζεσθε τοὺς ἀδικούμενους, πράγμα ποὺ χρειάζεται πολὺ κόπο καὶ νηφάλια ψυχή. Γι' αὐτὸ καὶ εἶπε, «Ἀναζητῆστε». Διότι πολλὰ

τα τὸ δίκαιον, καὶ δωροδοκία, καὶ ἄγνοια, καὶ δυναστεία, καὶ αἰδώς, καὶ φόβος, καὶ θεραπεία προσώπων· καὶ δεῖ πολλῆς τῆς ἀγρυπνίας.

«Ρύσασθαι ἀδικούμενον». Τοῦτο πλέον τοῦ προτέρου· οὐ γὰρ ἀπαιτεῖ τὸ ψηφίζεσθαι τὰ δίκαια, ἀλλὰ καὶ τὸ εἰς πέρας ἄγειν.

«Κρίνατε ὀρφανὸν καὶ δικαιώσατε χήραν». Πολὺς τῷ Θεῷ λόγος τοῦ μηδένα πάσχειν κακῶς, πλείων δέ, ὅταν μετὰ τοῦ πάσχειν κακῶς καὶ ἑτέρᾳ τινὲς ὦσιν ἐνδεδυμένοι συμφορᾷ. Ἡ γὰρ χηρανεία καὶ ὀρφανία καὶ καθ' ἑαυτὸ ἀφόρητον, ὅταν δὲ καὶ παρ' ἑτέρων ἐπηρεάζωνται, διπλοῦν τὸ ναυάγιον.

«Καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος». Παρατηρητέον ὅτι πανταχοῦ τῶν προφητῶν οὐδὲν οὕτως ὁ Θεὸς ἐπιζητεῖ, ὡς τὸ τοῖς ἀδικουμένοις ἐπαμύνειν. Οὕτω γοῦν καὶ ἀλλαχοῦ, ὡς ἐν τῷ Μιχαίᾳ λεγόντων τῶν Ἰουδαίων, «Εἰ δώσω πρωτότοκά μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου», ἐπήγαγε λέγων· «Ἀπαγγελῶ σοι, ἄνθρωπε, τί καλόν, καὶ τί Κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾶν ἔλεον, καὶ ἕτοιμον εἶναι τοῦ πορευεσθαί σε ὀπίσω Κυρίου τοῦ Θεοῦ σου». Καὶ πάλιν ὁ προφήτης Δαυῒδ ἔλεγεν· «Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε». «Καὶ δεῦτε» δή. Πρότερον τοῖς δικαιώμασι ὁπλίσας, τότε ἐπὶ τὸ δικαστήριον ἕλκει, καὶ διδάξας ὅπως ἂν ἀποδύσαιντο τὰ ἐγκλήματα, τότε ἀπαιτεῖ τὰς εὐθύνας, ἵνα μὴ γυμνοὺς αὐτοὺς τῆς ἀπολογίας λαβὼν κατακρίνῃ. «Καὶ διελεγχθῶμεν». Δικασώμεθα, φησίν. Ὁ δικαζόμενος συνήγορος γίνεται καὶ ἰατρός.

Εἶτα δεικνύς, ὅτι ἂν μεγάλα ἐργασώμεθα, ἔτι τῆς αὐτοῦ δεόμεθα φιλανθρωπίας εἰς τὸ τῶν ἁμαρτημάτων ἀπαλλαγῆ-

---

49. Μιχ. 6, 7. 50. Μιχ. 6, 8. 51. Ψαλμ. 100, 1.

εἶναι ἐκεῖνα ποὺ συσκοτίζουν τὸ δίκαιο, καὶ ἡ δωροδοκία καὶ ἡ ἄγνοια καὶ ἡ ἐξουσία καὶ ἡ ντροπὴ καὶ ὁ φόβος καὶ ἡ ἐξυπηρέτηση προσώπων· καὶ χρειάζεται μεγάλη ἐπαγρύπνηση.

«Σῶστε τὸν ἀδικούμενο». Αὐτὸ εἶναι σπουδαιότερο ἀπὸ τὸ προηγούμενο· διότι δὲν ἀπαιτεῖ νὰ παίρνουμε δίκαιες ἀποφάσεις, ἀλλὰ καὶ τὸ νὰ πραγματοποιοῦμε αὐτές.

«Ἀποδώσατε τὸ δίκιο στὸ ὀρφανὸ καὶ δικαιοσύνη στὴ χήρα». Πολὺς λόγος γίνεται ἀπὸ τὸ Θεὸ περὶ τοῦ νὰ μὴ κακοποιεῖται κανείς, πολὺ περισσότερο δὲ ὅταν μερικοὶ μετὰ ἀπὸ κάποιο κακοπάθημα περιβάλλονται καὶ ἀπὸ κάποια ἄλλη συμφορά. Διότι ἡ χηρεία καὶ ἡ ὀρφάνια εἶναι αὐτὰ καθ' ἑαυτὰ ἀνυπόφορα, ὅταν ὅμως βλάπτονται καὶ ἀπὸ ἄλλους, τότε εἶναι διπλὸ τὸ ναυάγιο.

«Καὶ ἐλᾶτε νὰ συζητήσουμε, λέγει ὁ Κύριος». Εἶναι ἄξιο προσοχῆς τὸ ὅτι ὁ Θεὸς τίποτε ἄλλο δὲν ζητεῖ τόσο ἀπὸ τοὺς προφῆτες ὅσο τὸ νὰ ὑπερασπίζονται τοὺς ἀδικουμένους. Τὸ ἴδιο λοιπὸν συμβαίνει καὶ ἀλλοῦ, ὅπως στὸν Μιχαία· ἀφοῦ εἶπαν οἱ Ἰουδαῖοι, «Ἐὰν προσφέρω τὰ πρωτότοκά μου γιὰ τὴν εὐσέβειά μου, τὸν καρπὸ τῆς κοιλιᾶς μου γιὰ τὶς ἁμαρτίες τῆς ψυχῆς μου»[49], πρόσθεσε τὰ ἑξῆς λόγια· «Θὰ σοῦ πῶ, ἄνθρωπε, τί εἶναι καλὸ καὶ τί ζητᾶ ὁ Κύριος ἀπὸ σένα, ποὺ δὲν εἶναι τίποτε ἄλλο, παρὰ τὸ ν' ἀποδίδεις δικαιοσύνη, νὰ εἶσαι εὐσπλαχνικὸς καὶ ἕτοιμος ν' ἀκολουθεῖς τὴν ὁδὸ τοῦ Κυρίου τοῦ Θεοῦ σου»[50]. Καὶ πάλι ὁ προφήτης Δαυὶδ ἔλεγε· «Τὴν εὐσπλαχνία καὶ τὴ δικαιοσύνη σου θὰ ἐξυμνήσω, Κύριε»[51]. «Καὶ ἐλᾶτε», τώρα. Ἀφοῦ προηγουμένως τοὺς ὅπλισε μὲ δικαιώματα, τότε τοὺς ὁδηγεῖ στὸ δικαστήριο, καὶ ἀφοῦ τοὺς δίδαξε πῶς θὰ μποροῦσαν ν' ἀπαλλαγοῦν ἀπὸ τὶς κατηγορίες, τότε τοὺς ζητεῖ τὶς εὐθύνες, γιὰ νὰ μὴ τοὺς καταδικάσει συλλαμβάνοντάς τους χωρὶς δικαιολογίες. «Καὶ νὰ συζητήσουμε». Ἂς δικάσουμε, λέγει, μὲ δικαιοσύνη. Ὁ δικαζόμενος γίνεται συνήγορος καὶ ἰατρός.

Ἔπειτα γιὰ νὰ δείξει ὅτι καὶ ἂν ἀκόμα ἐπιτελέσουμε μεγάλα ἔργα, χρειαζόμαστε καὶ πάλι τὴ φιλανθρωπία του γιὰ ν' ἀ-

ναι, φησίν, «Ἐὰν ὦσιν ὑμῶν αἱ ἁμαρτίαι ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ», τὰς ἐκ διαμέτρου ποιότητας ἐναντίας λαβών, καὶ ὑποσχόμενος πρὸς τὸ ἐναντίον μεταστήσειν αὐτό. «Ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ». Πολλὴ τῆς τῶν χηρῶν προστασίας ἡ δύναμις, εἴ γε τὴν οὕτω καταρρυπωθεῖσαν ψυχήν, ὡς καὶ αὐτὸ βαφὴν δέξασθαι πονηρίας, μὴ μόνον ἀπαλλάττει τῆς κακίας, ἀλλὰ καὶ λαμπρὰν οὕτως ἐργάζοιτο.

«Καὶ ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. Ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα». Ἐπειδὴ τοῖς παχυτέροις οὐχ οὕτως ἁμαρτημάτων ἀπαλλαγὴ ποθεινὸν καὶ εὐσύνοπτον, ὡς τῶν ἐν τῷ παρόντι βίῳ δοκούντων εἶναι καλῶν ἡ ἀπόλαυσις, μετ' ἐκείνων καὶ ταῦτα ἐπαγγέλλεται· καὶ γὰρ καὶ τοῦτο ἐξ ἐκείνου. Εἶτα δεικνὺς ὅτι εὔκολον ἡ ἀρετή, ἐν τῷ θέλειν αὐτὴν τίθησιν μόνον. Ὥστε δὲ μὴ τοῖς χρηστοῖς ἐκλῦσαι, πάλιν εἰς τὰ φοβερὰ κατακλείσας τὸν λόγον, ἀξιόπιστον ποεῖ τῇ δυνάμει τοῦ ταῦτα ἀποφηναμένου.

7. «Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών;». Καὶ τῆς ὀδύνης τοῦ λέγοντος, καὶ τῆς πολλῆς τῶν Ἰουδαίων ἀναισθησίας ἡ διαπόρησις, καὶ τοῦ παρ' ἐλπίδα γενέσθαι τὸ γεγενημένον. Τοιαῦτα καὶ Παῦλος ἐπὶ Γαλατῶν διαπορεῖ λέγων, «Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε», ὅπερ ἐν ἐγκλημάτων τάξει καὶ προτροπῆς εἶδός ἐστι, πρὸς ἀρετὴν ἀνακαλουμένου. Εἰ γὰρ καὶ θαυμαστὸν τὸ λεγόμενον, καὶ ἐγκωμίων ἀναμέμικται, τῇ κατηγορίᾳ τὴν κατηγορίαν χαλεπωτέραν ποιοῦν. Οὐ γὰρ οὕτω κακίζομεν τοὺς οὐδὲν ὄντας, καὶ φαῦλον μετιόντας βίον, ὡς σπουδαίους μὲν εἶναι δόξαν-

---

52. Γαλ. 1, 6.

παλλαγοῦμε ἀπὸ τὰ ἁμαρτήματά μας, λέγει· «Ἂν οἱ ἁμαρτίες σας ἔκαναν ἐρυθρὲς τὶς ψυχές σας, ἐγὼ θὰ τὶς κάνω λευκὲς σὰν τὸ χιόνι», παίρνοντας δυὸ ἐντελῶς ἀντίθετες ποιότητες καὶ ὑποσχόμενος ὅτι θὰ καταστήσει τὴ μία ἀπ' αὐτὲς στὴν ἐντελῶς ἀντίθετή της. «Ἐὰν δὲ τὶς ἔκαναν κόκκινες, ἐγὼ θὰ τὶς κάνω σὰν τὸ λευκὸ μαλλί». Εἶναι μεγάλη ἡ δύναμη τῆς προστασίας τῶν χηρῶν, ἐφόσον τὴν ψυχὴ ποὺ ἔχει καταλερωθεῖ τόσο πολύ, ὥστε νὰ ἔχει δεχθεῖ τὴν ἴδια τὴ βαφὴ τῆς κακίας, ὄχι μόνο τὴν ἀπαλλάσσει ἀπὸ τὴν κακία, ἀλλὰ καὶ μπορεῖ τόσο πολὺ λαμπρὴ νὰ τὴν κάνει.

«Καὶ ἂν θελήσετε καὶ μὲ ἀκούσετε, θὰ φᾶτε τὰ ἀγαθὰ τῆς γῆς, ἐὰν ὅμως δὲν θελήσετε καὶ δὲν μὲ ἀκούσετε, θὰ σᾶς καταφάγει ἡ μάχαιρα. Διότι αὐτὰ τὰ λόγια τὰ εἶπε τὸ στόμα τοῦ Κυρίου». Ἐπειδὴ δηλαδὴ στοὺς πνευματικὰ ἀναισθητότερους δὲν εἶναι τόσο πολὺ ἐπιθυμητὴ καὶ εὐκολονόητη ἡ ἀπαλλαγὴ ἀπὸ τὰ ἁμαρτήματα, ὅσο εἶναι ἡ ἀπόλαυση τῶν φαινομενικῶν ἀγαθῶν τῆς παρούσας ζωῆς, μαζὶ μὲ ἐκεῖνα ὑπόσχεται καὶ αὐτά, καθόσον καὶ αὐτὸ ἐξαρτᾶται ἀπὸ ἐκεῖνο. Ἔπειτα γιὰ νὰ δειξει ὅτι εἶναι εὔκολη ἡ ἀρετή, τὴν τοποθετεῖ μόνο στὴ θέληση τοῦ ἀνθρώπου. Γιὰ νὰ μὴ ἀπογοητέψει δὲ τοὺς ἐνάρετους, ἐφόσον τερμάτισε τὸ λόγο μὲ φοβερὰ πράγματα, τὸν καθιστᾶ ἀξιόπιστο μὲ τὴ δύναμη ἐκείνου ποὺ λέγει αὐτά.

7. «Πῶς κατάντησε πόρνη ἡ ἄλλοτε πιστὴ πόλη τῆς Σιών;». Ἡ ἀπορία φανερώνει καὶ τὸν πόνο αὐτοῦ ποὺ λέγει αὐτὰ καὶ τὴ μεγάλη ἀναισθησία τῶν Ἰουδαίων καὶ τὸ γεγονὸς αὐτὸ συνέβηκε χωρὶς νὰ τὸ ἐλπίζει κανείς. Παρόμοια ἀπορία διατυπώνει καὶ ὁ Παῦλος γιὰ τοὺς Γαλάτες, λέγοντας, «Νιώθω ἔκπληξη, διότι τόσο γρήγορα ἀπομακρύνεσθε ἀπὸ τὸ Θεό»[52], πράγμα ποὺ εἶναι εἶδος κατηγορίας καὶ προτροπῆς γιὰ ἐπιστροφὴ στὴν ἀρετή. Ἂν καὶ βέβαια εἶναι ἄξιο θαυμασμοῦ τὸ λεγόμενο καὶ εἶναι ἀναμιγμένο μὲ ἐγκώμια, καθιστώντας ἔτσι φοβερότερη τὴν κατηγορία μὲ τὴν κατηγορία. Διότι δὲν κατηγοροῦμε τόσο πολὺ τοὺς ἀσήμαντους ἀνθρώπους καὶ ποὺ ζοῦν ἀνήθικη ζωή, ὅσο ἐκείνους ποὺ φάνηκαν μὲν προηγουμένως ὅτι

τας ἔμπροσθεν, τὰ δὲ τῶν πονηρῶν ὕστερον ἐπιδεικνυμένους. Πόρνην δὲ ἐνταῦθα καλεῖ, οὐ σωματικὴν ἀσέλγειαν αἰνιττόμενος, ἀλλὰ τὴν περὶ Θεὸν ἀγνωμοσύνην, ὃ πορνείας ἐκείνης ἐστὶ χαλεπώτερον. Ἐκεῖ μὲν γὰρ ἄνθρωπος ὑβριζόμενος, ἐνταῦθα δὲ Θεὸς ὁ ἀθετούμενος. Ποιεῖ δὲ καὶ αὐτὸ οὗτος καὶ οἱ ἄλλοι πάντες προφῆται· ἐπειδὴ καὶ ὁ Θεὸς κατηξίωσεν ἐν ἀνδρὸς τάξει τῇ πόλει γενέσθαι, τὴν ἄφατον ἀγάπην τὴν περὶ αὐτοὺς ἐνδεικνύμενος· καὶ ὡς περὶ ἀνδρὸς καὶ γυναικὸς πολλαχοῦ διαλέγονται, οὐχ ἵνα εἰς ἀνθρωπίνην παχύτητα κατενέγκωσι τὸν λόγον, ἀλλ' ἵνα διὰ τῶν συντρόφων αὐτοῖς πραγμάτων ἐπὶ τὴν γνῶσιν τῆς τοῦ Θεοῦ χειραγωγήσωσιν αὐτοὺς φιλοστοργίας· ὁμοῦ δὲ καὶ τῷ αἰσχρῷ τῆς προσηγορίας καθάψασθαι βούλονται.

«Πιστή»· τουτέστιν, ἡ εὐσεβὴς καὶ πάσης ἀρετῆς γέμουσα· ὥστε κἀντεῦθεν δῆλον, ὅτι πορνείαν οὐ τὴν τῶν σωμάτων λέγει· ἐπεὶ εἶπεν ἄν, πόλις ἡ σώφρων· οὕτω γὰρ ἦν τὸ ἀντιδιαστελλόμενον τῇ πόρνῃ· νῦν δὲ δεικνύς, ὅτι τὴν ἀσέβειαν αἰνίττεται διὰ τῆς πορνείας, τὸ ἀντικείμενον αὐτῇ τέθεικε, τὴν πίστιν. «Πλήρης κρίσεως»· τουτέστι, πλήρης δικαιοσύνης. Πάλιν μέγιστον ἔγκλημα, οὐχ ὅτι πρὸς ὁλόκληρον τὴν κακίαν ηὐτομόλησαν, ἀλλ' ὅτι καὶ ὁλόκληρον προέδωκαν τὴν ἀρετήν, καὶ τὸν πλοῦτον ἅπαντα τῶν ἀγαθῶν ἀθρόον ἀπὸ τῶν χειρῶν ῥίψαντες, καὶ πρὸς ἐσχάτην τῶν κακῶν κατενεχθέντες πενίαν.

«Ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ». Ηὐλίσθη, φησί, κατεσκήνωσε, τουτέστι, πεφύτευται, ἐρρίζωτο, μετὰ προθυμίας ὑπὸ πάντων κατωρθοῦτο τῶν πολιτῶν. Ἐνδιατρίβει τοῖς ἐγκωμίοις τοῖς προτέροις, ὁμοῦ μὲν αὔξων τὴν κατηγορίαν τὴν ἐκ τῆς μεταβολῆς, ὁμοῦ δὲ χρηστὰς ὑποτείνων τὰς ἐλπίδας, καὶ δεικνύς, ὅτι ῥᾴδιον αὐτοὺς ἀνακτήσασθαι πάλιν. «Νῦν δὲ φονευταί». Ἀνδροφόνοι, φησί.

εἶναι ἐνάρετοι, στὴ συνέχεια ὅμως παρουσιάζουν τὰ ἔργα τῶν κακῶν ἀνθρώπων. Πόρνη δὲ ἐδῶ καλώντας αὐτήν, δὲν ὑπονοεῖ τὴ σωματικὴ ἀσέλγεια, ἀλλὰ τὴν ἀγνωμοσύνη πρὸς τὸ Θεό, πράγμα ποὺ εἶναι χειρότερο ἀπὸ τὴν πορνεία ἐκείνη. Διότι ἐκεῖ μὲν εἶναι ἄνθρωπος ἐκεῖνος ποὺ δέχεται τὴν προσβολή, ἐνῶ ἐδῶ περιφρονεῖται ὁ Θεός. Τὸ κάμνει δὲ αὐτὸ καὶ αὐτὸς καὶ ὅλοι οἱ ἄλλοι προφῆτες, ἐπειδὴ ὁ Θεὸς τίμησε αὐτὴν μὲ τὸ νὰ γίνει ἄνδρας αὐτῆς, δείχνοντας τὴν ἀπερίγραπτη ἀγάπη του πρὸς αὐτούς· καὶ σὲ πολλὲς περιπτώσεις ὁμιλοῦν σὰν νὰ πρόκειται γιὰ ἄνδρα καὶ γυναίκα, ὄχι γιὰ νὰ κατεβάσουν τὸ λόγο σὲ ἀνθρώπινη μικρότητα, ἀλλὰ γιὰ νὰ τοὺς ὁδηγήσουν μὲ τὶς εἰκόνες τῶν συνηθισμένων αὐτῶν πραγμάτων στὸ νὰ γνωρίσουν τὴ φιλοστοργία τοῦ Θεοῦ· συγχρόνως δὲ θέλουν μὲ τὴν αἰσχρὴ αὐτὴ ὀνομασία νὰ τοὺς κατηγορήσουν.

«Πιστή»· δηλαδὴ αὐτὴ ποὺ ἦταν εὐσεβὴς καὶ γεμάτη ἀπὸ κάθε ἀρετή· ὥστε καὶ ἀπὸ ἐδῶ γίνεται φανερό, ὅτι λέγοντας πορνεία δὲν ἐννοεῖ τὴν πορνεία τῶν σωμάτων· διότι θὰ μποροῦσε νὰ πεῖ, ἡ πόλη μὲ τὴ σωφροσύνη· διότι αὐτὸ εἶναι τὸ ἀντίθετο μὲ τὴ λέξη πόρνη· τώρα ὅμως γιὰ νὰ δείξει, ὅτι ὑπονοεῖ μὲ τὴ λέξη τῆς πορνείας τὴν ἀσέβεια, ἀνέφερε τὸ ἀντίθετο αὐτῆς, τὴν πίστη. «Γεμάτη ἀπὸ κρίση»· δηλαδὴ γεμάτη ἀπὸ δικαιοσύνη. Πάλι τοὺς ἀποδίδει τὴν πιὸ μεγαλύτερη κατηγορία, ὄχι διότι κατέφυγαν καὶ διέπραξαν ὁλόκληρη τὴν κακία, ἀλλὰ διότι πρόδωσαν ὁλόκληρη τὴν ἀρετή, καί, ἀφοῦ ἔρριξαν μέσα ἀπὸ τὰ χέρια τους σὲ μιὰ στιγμὴ ὁλόκληρο τὸν πλοῦτο τῶν ἀγαθῶν, κατάντησαν στὴ χειρότερη μορφὴ τῆς φτώχειας τῶν κακῶν.

«Στὴν ὁποία ἐπικρατοῦσε δικαιοσύνη». Στὴν ὁποία, λέγει, διέμεινε, κατασκήνωσε, δηλαδὴ ἦταν φυτευμένη καὶ ριζωμένη καὶ κατορθωνόταν μὲ προθυμία ἀπὸ ὅλους τοὺς πολίτες της. Ἐπιμένει νὰ ἀναφέρει τὰ ἐγκώμια γιὰ τὰ προηγούμενα κατορθώματά της, συγχρόνως καὶ αὐξάνοντας μέσα τους ἀγαθὲς ἐλπίδες, καὶ γιὰ νὰ δείξει, ὅτι εὔκολα θὰ κάνει καὶ πάλι αὐτοὺς δικούς του. «Ἐνῶ τώρα εἶναι φονιάδες». Ἀνθρωποκτόνοι, λέγει.

«Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον». Τουτέστι, παράσημον, νόθον, κίβδηλον. «Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι». Ἐπειδὴ προοιμιαζόμενος οὐ κατ' εἶδος εἶπεν αὐτῶν τὴν κακίαν, ἀλλ' ὅτι «ἠθέτησαν», καὶ ὅτι «σπέρμα πονηρὸν» ἦσαν, καὶ «υἱοὶ ἄνομοι», ὃ λοιδορίας ἐδόκει μᾶλλον, ἢ κατηγορίας εἶναι, ἐνταῦθα καὶ αὐτὰ τίθησι κατ' εἶδος τὰ ἐγκλήματα, καὶ πρῶτον, ὃ πρῶτόν ἐστι καὶ μέσον καὶ τελευταῖον τῶν κακῶν, τὴν φιλαργυρίαν, καὶ τὴν περὶ τὰ συμβόλαια καπηλείαν. Ἀλλά τινες οὐ συνιέντες τὴν ἄφατον τοῦ Θεοῦ σοφίαν, κατ' ἀναγωγὴν τὸ εἰρημένον ἐξέλαβον. Οὐ γὰρ ἄν, φησίν, ὁ μέγας καὶ ὑψηλὸς Ἠσαΐας ὑπὲρ τραπεζιτῶν κακουργίας, καὶ καπήλων διαφθορᾶς διελέχθη, ἀλλὰ ἀργύριον ἐνταῦθα τὰ λόγιά φησι τοῦ Θεοῦ, καὶ οἶνον τὴν διδασκαλίαν, ἣν ἐθόλουν ἐπεισάγοντες αὐτῶν τὰ διδάγματα. Ἐγὼ δὲ οὔτε ταύτην ἀτιμάζω τὴν ἐξήγησιν καὶ τὴν ἑτέραν ἀληθεστέραν εἶναί φημι. Οὐ γὰρ μόνον οὐκ ἀνάξιον τοῦ προφήτου τὸ περὶ τούτων διαλέγεσθαι, ἀλλὰ καὶ σφόδρα ἄξιον καὶ αὐτοῦ καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν;

Ὅτε γοῦν τὰ ὑψηλὰ διδάγματα φέρων ἦλθεν ὁ μονογενὴς τοῦ Θεοῦ Παῖς, καὶ τὴν τῶν ἀγγέλων καταφυτεύειν ἔμελλε πολιτείαν, οὐκ ὀλίγα περὶ μέτρων καὶ αὐτὸς διείλεκται, καὶ τῶν τούτων εὐτελεστέρων εἶναι δοκούντων, ἀσπασμῶν, καὶ μεσασμῶν, καὶ πρωτοκλισιῶν. Τὰ γὰρ μικρὰ ταῦτα εἶναι δοκοῦντα παραμελούμενα μεγάλα ἁμαρτημάτων ὑπεκκαύματα γίνεται. Εἰ δὲ ἐπὶ τῆς Καινῆς ταῦτα διορθοῦσθαι ἔδει, πολλῷ μᾶλλον ἐπὶ τῆς Παλαιᾶς, ὅτε καὶ παχύτεροι οἱ ἀκροαταί, καὶ πᾶς αὐτῶν ὁ βίος ἐντεῦθεν ὠρθοῦτο, τοῦ δήμου οὕτω πλέον ἐν τουτοισὶ παιδευομένου, πόρρω πάσης ἀδικίας γίνεσθαι, καὶ ἐν μηδενὶ τῶν πλησίον πλεονε-

---

53. Ἠσ. 1, 2. 54. Ἠσ. 1, 4. 55. Ματθ. 23, 6-7.

«Τὰ νομίσματά σου εἶναι ἀδόκιμα». Δηλαδὴ κάπηλα, νόθα, κίβδηλα. «Οἱ οἰνοπῶλες σου ἀνακατεύουν τὸ κρασὶ μὲ τὸ νερό». Ἐπειδὴ στὴν ἀρχὴ δὲν ἀνέφερε τὰ ἐπὶ μέρους εἴδη τῆς κακίας τους, ἀλλ' ἁπλῶς εἶπε ὅτι τὸν «ἀρνήθηκαν»[53], καὶ ὅτι ἦταν «σπέρμα πονηρὸ» καὶ «υἱοὶ ἄνομοι»[54], πράγμα ποὺ φαινόταν ὅτι ἦταν μᾶλλον χλευασμός, παρὰ κατηγορία, ἐδῶ ἀναφέρει τὶς κατηγορίες καὶ κατ' εἶδος, καὶ πρῶτο ἀναφέρει ἐκεῖνο ποὺ εἶναι καὶ πρῶτο καὶ μέσο καὶ τελευταῖο ἀπὸ τὰ κακά, τὴν φιλαργυρία δηλαδὴ καὶ τὴν καπηλεία στὰ συμβόλαια. Ἀλλ' ὅμως μερικοί, μὴ ἀντιληφθέντες καὶ τὴν ἀπερίγραπτη σοφία τοῦ Θεοῦ, ἐξέλαβαν τὰ λόγια αὐτὰ μεταφορικά. Διότι, λέγει, δὲν θὰ ἦταν δυνατὸ ὁ μέγας καὶ ὑψηλὸς Ἠσαΐας νὰ μιλήσει γιὰ κακουργίες τραπεζιτῶν καὶ γιὰ διαφθορὲς καπήλων, ἀλλ' ἐδῶ, λέγοντας ἀργύριο, ἐννοεῖ τὰ λόγια τοῦ Θεοῦ, καὶ οἶνο τὴ διδασκαλία, τὴν ὁποία θόλωναν, εἰσάγοντας τὰ δικά τους διδάγματα. Ἐγὼ ὅμως οὔτε καὶ αὐτὴ τὴν ἐξήγηση περιφρονῶ, ἀλλὰ θεωρῶ ὅτι εἶναι πιὸ σωστὴ ἡ ἄλλη. Διότι ὄχι μόνο δὲν εἶναι ἀνάξιο γιὰ τὸν προφήτη τὸ νὰ ὁμιλεῖ γι' αὐτά, ἀλλὰ καὶ πάρα πολὺ ἄξιο καὶ αὐτοῦ καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Καὶ γιατί πρέπει νὰ πολυλογῶ;

Πράγματι, ὅταν ἦρθε ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, φέροντας τὰ ὑψηλὰ διδάγματα, καὶ ἐπρόκειτο νὰ καταφυτέψει τὸν ἀγγελικὸ τρόπο ζωῆς, δὲν εἶναι λίγα αὐτὰ ποὺ εἶπε καὶ αὐτὸς γιὰ μέτρα καὶ γιὰ ἐκεῖνα ποὺ θεωροῦνται σὰν τὰ πιὸ εὐτελῆ, γιὰ ἀσπασμοὺς δηλαδή, πρωτοκαθεδρίες καὶ τὶς πρῶτες θέσεις στὰ δεῖπνα[55]. Διότι αὐτά, ποὺ θεωροῦνται ὅτι εἶναι ἀσήμαντα, γίνονται, ὅταν παραμεληθοῦν, μεγάλες αἰτίες ἁμαρτημάτων. Ἐὰν δὲ ἔπρεπε αὐτὰ νὰ διορθώνονται κατὰ τὴν ἐποχὴ τῆς Καινῆς Διαθήκης, πολὺ περισσότερο ἔπρεπε αὐτὸ νὰ γίνει στὴν ἐποχὴ τῆς Παλαιᾶς, ὅταν οἱ ἀκροατὲς καὶ πνευματικὰ πιὸ ἀνώριμοι ἦταν καὶ ὁλόκληρη ἡ ζωή τους ἀπὸ αὐτὰ συνίστατο, καθόσον ὁ λαὸς διδασκόταν κατ' ἐξοχὴ μὲ αὐτὰ τὰ διδάγματα, τὸ ν' ἀπέχει δηλαδὴ ἀπὸ ὁποιαδήποτε ἀδικία, νὰ μὴ ἁρπάζει τίποτε ἀπὸ τὰ ὑπάρχοντα τοῦ πλησίον του, οὔτε νὰ χειροτερεύει

κετεῖν, μηδὲ τὰς τῶν καταδεεστέρων ἐπιτρίβειν πενίας τῇ κακουργίᾳ τῆς καπηλείας. Τούτων γοῦν ἀμελουμένων καὶ πόλεις πολλάκις ἀνετράπησαν, καὶ ἀπὸ θρόνων ἄρχοντες κατηνέχθησαν, καὶ πόλεμος ἄσπονδος γέγονεν· ὥσπερ κατορθουμένων εἰρήνη πολλὴ καὶ εὐνομία καὶ ἀσφάλεια πρὸς ἀρετὴν χειραγωγοῦσα.

«Οἱ ἄρχοντές σου ἀπειθοῦσι». Μεγίστης νόσου καὶ διαστροφῆς σημεῖον, ὅταν οἱ ἰατροὶ τὰς νόσους ἐπιτρίβωσιν. Ἀρχόντων γὰρ τοῦ δήμου τὰς ἀταξίας καταστέλλειν, καὶ πρὸς τὸ δέον ρυθμίζειν, καὶ τῷ νόμῳ ποιεῖν καταπειθεῖς, ὅταν δὲ αὐτοὶ πρῶτοι τοὺς νόμους παραβαίνωσι, πῶς ἂν ἑτέροις γένοιντο διδάσκαλοι; Τὸ γάρ, «Ἀπειθοῦσι, τουτέστιν, οὐ πείθονται τῷ νόμῳ, οὐκ ἀνέχονται τῶν ἐντολῶν, ὃ καὶ Παῦλος ἐγκαλεῖ λέγων· «Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;». Ὅταν οὖν ἡ ρίζα διεφθαρμένη ᾖ, τί χρηστόν ἐστι περὶ τῶν κλάδων ὑποπτεύειν; «Κοινωνοὶ κλεπτῶν». Προσθήκη κατηγορίας, ὅτι οὐ μόνον οὐ καταστέλλουσι τὰ δεινά, ἀλλὰ καὶ ἀντιτείνουσιν· οὐ μόνον οὐ πολεμοῦσι τοῖς κλέπταις, ἀλλὰ καὶ συμπράττουσιν, ἐκ διαμέτρου τῆς προσηκούσης ἀρετῆς ἄρχοντι τὴν κακίαν μετιόντες.

«Ἀγαπῶντες δῶρα». Ἕτερον φιλοχρυσίας εἶδος χαλεπόν, εὐπρόσωπον μὲν ὑπόθεσιν ἔχον, ἐν προσχήματι δὲ φιλοφροσύνης τὴν ἐσχάτην πλεονεξίαν ἐπιδεικνύμενον. «Διώκοντες ἀνταπόδομα». Μνησικακοῦντες τοῖς ἐχθροῖς, ἀνταποδοῦναι σπουδάζοντες τοῖς λελυπηκόσιν, ὅπερ μέγιστον κακίας εἶδος. Δι' ὃ οὐκ ἐν τῇ Καινῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ Παλαιᾷ μετὰ πολλῆς εἴργεται τῆς σπουδῆς. «Κακίαν γὰρ ἕκαστος», φησί, «τοῦ πλησίον αὐτοῦ μὴ μνησικακεῖτε ἐν

---

56. Ρωμ. 2, 21. 57. Ζαχ. 7, 10.

τὴν ἀνέχεια τῶν φτωχότερων μὲ τὴν κακουργία τῆς καπηλείας. Ἐπειδὴ λοιπὸν παραμελοῦνταν αὐτὰ καὶ πόλεις πολλὲς φορὲς καταστράφηκαν, καὶ ἄρχοντες ἀπὸ θρόνους κατεβάσθηκαν, καὶ ἄσπονδος πόλεμος συνέβηκε, ἐνῶ ὅταν αὐτὰ κατορθώνονται ὑπέρχει διαρκὴς εἰρήνη, εὐταξία καὶ ἀσφάλεια ποὺ ὁδηγεῖ πρὸς τὴν ἀρετή.

«Οἱ ἄρχοντές σου δείχνουν ἀπείθεια πρὸς τὸ Θεό». Εἶναι σημάδι πάρα πολὺ μεγάλης ἀσθένειας καὶ διαστροφῆς, ὅταν οἱ ἰατροὶ χειροτερεύουν τὶς ἀσθένειες. Διότι ἔργο τῶν ἀρχόντων εἶναι νὰ καθησυχάζουν τὶς ἀταξίες τοῦ λαοῦ, νὰ τοὺς καθοδηγοῦν πρὸς τὰ πρέποντα πράγματα καὶ νὰ τοὺς κάμνουν νὰ εἶναι ὑπάκουοι στὸ νόμο, ὅταν ὅμως αὐτοὶ πρῶτοι παραβαίνουν τοὺς νόμους, πῶς θὰ μποροῦσαν νὰ γίνουν δάσκαλοι στοὺς ἄλλους; Διότι τὸ «ἀπειθοῦν», σημαίνει, δὲν ὑπακούουν στὸ νόμο, δὲν ἀνέχονται τὶς ἐντολές, πράγμα ποὺ καὶ ὁ Παῦλος κατηγορεῖ, λέγοντας· «Σὺ λοιπὸν ποὺ διδάσκεις ἄλλον, δὲν διδάσκεις τὸν ἑαυτό σου;»[56]. Ὅταν δηλαδὴ ἡ ρίζα εἶναι καταστραμμένη, τί καλό μπορεῖ νὰ περιμένει κανεὶς ἀπὸ τὰ κλαδιά; «Παίρνουν μέρος στὶς κλοπές». Αὐτὸ ἀποτελεῖ αὔξηση τῆς κατηγορίας, διότι ὄχι μόνο δὲν καταπραΰνουν τὶς συμφορές, ἀλλὰ καὶ τὶς αὐξάνουν· ὄχι μόνο δὲν πολεμοῦν τοὺς κλέφτες, ἀλλὰ καὶ συμπράττουν μὲ αὐτούς, ἀσκώντας τὴν κακία ἐντελῶς ἀντίθετα πρὸς τὴν ἀρετὴ ποὺ ἁρμόζει στὸν ἄρχοντα.

«Ἀγαποῦν τὰ δῶρα». Ἄλλο φοβερὸ εἶδος φιλοχρηματίας, ποὺ ἔχει μὲν δικαιολογημένη ἀφορμή, ἀλλ' ὅμως μὲ τὸ προσχημα τῆς φιλοφροσύνης παρουσιάζει τὴν πιὸ χειρότερη μορφὴ πλεονεξίας. «Ἐπιδιώκουν τὶς δωροδοκίες». Τρέφουν δηλαδὴ κακία πρὸς τοὺς ἐχθρούς τους καὶ φροντίζουν ν' ἀνταποδώσουν τὸ κακὸ πρὸς ἐκείνους ποὺ τοὺς ἔχουν λυπήσει, πράγμα ποὺ εἶναι πάρα πολὺ μεγάλο εἶδος κακίας. Γι' αὐτὸ ὄχι μόνο στὴν Καινὴ Διαθήκη, ἀλλὰ καὶ στὴν Παλαιὰ ἐμποδίζεται ἡ διάπραξή του μὲ μεγάλη φροντίδα. Διότι, λέγει, «Μὴ φέρνετε ὁ καθένας στὴ σκέψη καὶ τὴν καρδιά σας τὸ κακὸ ποὺ σᾶς ἔκανε ὁ πλησίον σας»[57]. Διότι πρέπει βέβαια καὶ ὁ λαὸς νὰ

ταῖς καρδίαις ὑμῶν». Μάλιστα μὲν γὰρ καὶ τὸ δημοτικόν, πολλῷ δὲ μᾶλλον τὸν ἄρχοντα ταύτης δεῖ καθαρεύειν τῆς κακίας, καὶ τοῦ πρὸς ἀπέχθειαν ψηφίζεσθαι τοῖς κρινομένοις ἀπηλλάχθαι, ἵνα μὴ ὁ λιμὴν σκόπελος γένηται.

«Ὀρφανοῖς οὐ κρίνοντες». Τουτέστιν, οὐ προϊστάμενοι, ὡς καὶ τῶν δικαίων τυχεῖν. «Καὶ κρίσει χηρῶν οὐ προσέχοντες». Παρατηρητέον ὅτι οὐ τὸ κακοποιεῖν, ἀλλ' ὅτι καὶ τὸ ἀγαθὸν μὴ ἐργάζεσθαι ἐν τάξει κεῖται πονηρίας, καθάπερ οὖν καὶ ἐν τῇ Καινῇ. Οἱ γὰρ πεινῶντα μὴ θρέψαντες, οὐχ ὅτι τὰ ἀλλότρια ἥρπασαν, ἀλλ' ὅτι τὰ αὐτῶν οὐ προήκαντο τοῖς δεομένοις, εἰς τὸ τῆς γεέννης πέμπονται πῦρ· ὥσπερ οὖν καὶ οὗτοι νῦν ἐγκαλοῦνται, οὐχ ὅτι πλεονεκτοῦν, οὐδ' ὅτι καταδυναστεύουσιν, ἀλλ' ὅτι καὶ τοῖς δεομένοις τῆς αὐτῶν βοηθείας οὐκ ὀρέγουσι χεῖρα.

«Διὰ τοῦτο τάδε λέγει ὁ Δεσπότης Κύριος Σαββαώθ, ὁ δυνάστης τοῦ Ἰσραήλ», τουτέστι, τοῦ λαοῦ. Οὐχ ἁπλῶς δὲ τέθεικεν, «Ὁ δυνάστης», ἀλλὰ ἀναμιμνήσκων αὐτοὺς καὶ τῶν παρ' ἐλπίδας εὐεργεσιῶν, καὶ τῶν χαλεπῶν κολάσεων ἃς ὑπέμειναν. Ἐπειδὴ γὰρ πολλὰ καὶ πολλάκις ἁμαρτάνοντες, καὶ πολλῆς ἀπολαύοντες τῆς μακροθυμίας, εἰς ρᾳθυμίαν ἔπιπτον, τοῦτο ἐνδείξασθαι βούλεται, ὅτι δυνατὸν ὅτε βούλεται ἐπεξελθεῖν, καὶ οὐ δεῖται καιρῶν, οὐδὲ χρόνων, ἀλλ' ἕτοιμα αὐτῷ πάντα καὶ παρεσκευασμένα.

«Οὐαὶ τοῖς ἰσχύουσιν ἐν Ἰσραήλ· οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις μου». Τί γὰρ ἀθλιώτερον τῶν τὸν Θεὸν πολέμιον ἐχόντων; «Οὐ παύσεται» δὲ ἔλεγεν, οὐχ ἵνα εἰς ἀπόγνωσιν ἐμβάλλῃ, ἀλλ' ἵνα αὐξήσας τὸν φόβον εἰς μετάνοιαν καλέσῃ. Τοῦ γάρ, «Οὐ παύσεται ὁ θυμός», φοβε-

προσπαθεῖ νὰ εἶναι καθαρὸς ἀπὸ αὐτὴ τὴν κακία, πολὺ περισσότερο ὅμως πρέπει νὰ προσπαθεῖ ὁ ἄρχοντας καὶ νὰ εἶναι ἀπαλλαγένος ἀπὸ τὸ ν' ἀποφασίζει μὲ μίσος γιὰ ἐκείνους ποὺ δικάζει, γιὰ νὰ μὴ γίνει τὸ λιμάνι σκόπελος.

«Δὲν κρίνουν μὲ δικαιοσύνη τὰ ὀρφανά». Δηλαδὴ δὲν τὰ βοηθοῦν, ὥστε νὰ βροῦν τὸ δίκιο τους. «Οὔτε ἐνδιαφέρονται νὰ ἀποδοθεῖ τὸ δίκιο στὶς χῆρες». Εἶναι ἄξιο προσοχῆς ὅτι ἀποτελεῖ κακία ὄχι μόνο τὸ νὰ πράττει κανεὶς τὸ κακό, ἀλλὰ καὶ τὸ νὰ μὴ κάμνει τὸ καλό, ὅπως ἀκριβῶς καὶ στὴν Καινὴ Διαθήκη. Διότι ἐκεῖνοι ποὺ δὲν πρόσφεραν τροφὴ στὸν πεινασμένο, στέλλονται στὴ φωτιὰ τῆς γέεννας, ὄχι ἐπειδὴ ἅρπαξαν τὰ ξένα πράγματα, ἀλλ' ἐπειδὴ δὲν πρόσφεραν τὰ δικά τους σ' ἐκείνους ποὺ τὰ εἶχαν ἀνάγκη. Κατὰ τὸν ἴδιο τρόπο λοιπὸν καὶ αὐτοὶ τώρα κατηγοροῦνται, ὄχι διότι ἁρπάζουν τὰ ξένα, οὔτε διότι καταπιέζουν αὐτοὺς ποὺ ἐξουσιάζουν, ἀλλ' ἐπειδὴ δὲν ἀπλώνουν τὸ χέρι τους νὰ βοηθήσουν ἐκείνους ποὺ ἔχουν ἀνάγκη ἀπὸ τὴ βοήθειά τους.

«Γι' αὐτὸ λέγει ὁ Κύριος παντοκράτορας ὁ Σαβαώθ, ὁ ἐξουσιαστὴς τοῦ Ἰσραήλ», δηλαδή, τοῦ λαοῦ. Δὲν ἀνέφερε χωρὶς αἰτία τὸ «ὁ ἐξουσιαστής», ἀλλὰ γιὰ νὰ ὑπενθυμίσει σ' αὐτοὺς καὶ τὶς ἀπροσδόκιτες εὐεργεσίες καὶ τὶς φοβερὲς τιμωρίες ποὺ ὑπέμειναν. Ἐπειδὴ δηλαδή, ἂν καὶ διέπραξαν πολλὲς φορὲς πολλὰ ἁμαρτήματα, ὅμως ἀπολάμβαναν πολλὴ μακροθυμία καὶ ἐξ αἰτίας αὐτοῦ περιέπιπταν σὲ ἀδιαφορία, αὐτὸ θέλει νὰ καταστήσει φανερό, ὅτι μπορεῖ, ὅταν θέλει, νὰ τοὺς τιμωρήσει καὶ δὲν χρειάζεται κατάλληλους καιροὺς οὔτε χρόνους, ἀλλ' ὅλα εἶναι σ' αὐτὸν ἕτοιμα καὶ προετοιμασμένα.

«Ἀλλοίμονο στοὺς ἄρχοντες τοῦ Ἰσραήλ· διότι δὲν θὰ καταπαύσει ὁ θυμός μου ἐναντίον τῶν ἀντιπάλων μου». Πράγματι τί ὑπάρχει ἀθλιότερο ἀπὸ ἐκείνους ποὺ ἔχουν ἐχθρὸ τὸ Θεό; «Δὲν θὰ καταπαύσει δὲ ὁ θυμός μου» εἶπε, ὄχι γιὰ νὰ τοὺς ὁδηγήσει σὲ ἀπογνωση, ἀλλά, ἀφοῦ αὐξήσει τὸ φόβο τους, νὰ τοὺς καλέσει σὲ μετάνοια. Διότι ἀπὸ τὸ «Δὲν θὰ καταπαύσει ὁ θυμός μου», φοβερότερο εἶναι τό, «Ἐναντίον τῶν ἀντιπάλων

ρώτερον τό, «Ἐν τοῖς ὑπεναντίοις μου». Οὐδὲν γὰρ οὕτω τὸν Θεὸν παροξύνειν εἴωθεν, ὡς ἡ κατὰ τῶν πενήτων ἀδικία κατ' αὐτοὺς γινομένη. «Οὐαὶ δὲ τοῖς ἰσχύουσι» ἔλεγεν, οὐχ ἁπλῶς τὴν δύναμιν διαβάλλων, ἀλλὰ τὴν ἐπὶ κακῷ δύναμιν. «Ἰσχὺν» δὲ ἐνταῦθα οὐ τὴν τοῦ σώματός φησιν, ἀλλὰ τὴν ἀπὸ τῆς τῶν πραγμάτων περιβολῆς δυναστείαν.

«Καὶ κρίσιν ποιήσω ἐκ τῶν ἐχθρῶν μου». Κολάσω τοὺς ἐχθρούς μου, ἐχθροὺς αὐτοῦ λέγων τοὺς τῶν πενήτων ἐχθροὺς διὰ τὸ ἐπηρεάζειν ὄντας· τοῦτο δὲ ἔλεγεν, ἵνα μάθῃς τῆς ἀδικίας τὸ μέγεθος.

«Καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σέ, καὶ πυρώσω σε εἰς καθαρόν». Ἵνα μάθῃς, ὅτι οἵα ἂν ᾖ ἡ ὀργὴ τοῦ Θεοῦ καὶ ἡ τιμωρία, οὐκ ἐπὶ κακῷ καὶ τὸ δοῦναι δίκην γίνεται μόνον, ἀλλ' ἐπὶ τῷ βελτίους γενέσθαι καὶ αὐτοὺς τοὺς κολαζομένους. «Καὶ πυρώσω σε», φησίν, «εἰς καθαρόν». Οὐ τοίνυν ὅταν κολαζώμεθα, ἀλλ' ὅταν ἁμαρτάνωμεν, τότε ἀλγεῖν δίκαιον· τὸ μὲν γὰρ ρύπον, τὸ δὲ καθαρμὸν ἐργάζεται. Τί δέ ἐστιν, «Εἰς καθαρόν;». Ὡς μηδὲ ἴχνος εἶναι παρὰ σοὶ κηλῖδος. Ὅπερ γάρ ἐστι τῷ χρυσίῳ τὸ πῦρ, τοῦτο τοῖς ρᾳθύμοις ἡ τιμωρία.

«Τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ, καὶ πάντας ὑπερηφάνους ταπεινώσω». Οἱ γὰρ ἀνίατα νοσοῦντες, φησί, καὶ οὐδὲ τιμωρίαις εἴκοντες, ἀπολοῦνται. Τί γὰρ ὄφελος τῆς τούτων ζωῆς, ὅταν καὶ ἑαυτοῖς καὶ ἑτέροις ἐπιβουλεύωσιν ἐν τῷ ζῆν; Οἱ δὲ ἐκ τῆς ἐκείνων τιμωρίας δυνάμενοι βελτίους γενέσθαι, μενοῦσι. Δοκεῖ δέ μοι ἐνταῦθα καὶ τὴν αἰχμαλωσίαν αἰνίττεσθαι.

μου». Καθόσον τίποτε συνήθως δὲν παροργίζει τόσο πολὺ τὸ Θεό, ὅσο ἡ ἀδικία ποὺ γίνεται ἀπ' αὐτοὺς πρὸς τοὺς φτωχούς. «'Αλλοίμονο δὲ στοὺς ἄρχοντες», εἶπε, ὄχι γιὰ νὰ κτηγορήσει ἁπλῶς τὴ δύναμή τους, ἀλλὰ τὴ δύναμή τους ἐκείνη ποὺ τὴν χρησιμοποιοῦν γιὰ νὰ διαπράξουν τὸ κακό. «Δύναμη» δὲ ἐδῶ ὀνομάζει ὄχι τὴ σωματική, ἀλλὰ τὴν ἐξουσία ποὺ προέρχεται ἀπὸ τὴν περιφρούρηση τῶν πραγμάτων τοῦ λαοῦ.

«Καὶ θὰ δικάσω καὶ θὰ ἐπιβάλω δίκαιες κυρώσεις ἐναντίον τῶν ἐχθρῶν μου». Θὰ τιμωρήσω τοὺς ἐχθρούς μου, ὀνομάζοντας ἐχθρούς του τοὺς ἐχθροὺς τῶν φτωχῶν, ἐπειδὴ ἔβλαπταν αὐτούς· αὐτὸ δὲ τὸ εἶπε, γιὰ νὰ μάθεις τὸ μέγεθος τῆς ἀδικίας τους.

«Καὶ θὰ ἐκτείνω τὸ χέρι μου ἐναντίον σου καὶ θὰ σὲ περάσω μέσα ἀπὸ τὴ φωτιὰ γιὰ νὰ σὲ καθαρίσω». Γιὰ νὰ μάθεις, ὅτι ὅποια καὶ ἂν εἶναι ἡ ὀργὴ τοῦ Θεοῦ καὶ ἡ τιμωρία, δὲν ἐπιβάλλεται μὲ σκοπὸ τὴν κακοποίησή τους καὶ ἁπλῶς καὶ μόνο γιὰ νὰ τοὺς τιμωρήσει, ἀλλὰ γιὰ νὰ γίνουν καλύτεροι καὶ αὐτοὶ ποὺ τιμωροῦνται. «Καὶ θὰ σὲ περάσω», λέγει, «ἀπὸ τὴ φωτιὰ γιὰ νὰ σὲ καθαρίσω». Δὲν εἶναι δηλαδὴ σωστὸ νὰ δυσανασχετοῦμε ὅταν τιμωρούμαστε, ἀλλ' ὅταν ἁμαρτάνομε· διότι τὸ μὲν ἕνα παρέχει ἀκαθαρσία, τὸ δὲ ἄλλο καθαρισμό. Τί σημαίνει δὲ «Εἰς καθαρόν»; Ὥστε νὰ μὴ ἀπομείνει σὲ σένα οὔτε ἴχνος κηλίδας. Διότι, ἐκεῖνο ἀκριβῶς ποὺ εἶναι ἡ φωτιὰ γιὰ τὸ χρυσό, αὐτὸ εἶναι ἡ τιμωρία γιὰ τοὺς ἀδιάφορους.

«Θὰ ἐξολοθρεύσω δὲ ἐκείνους ποὺ δείχνουν ἀπείθεια καὶ θὰ ἐξαφανίσω ἀπὸ ἀνάμεσά σου ὅλους ἐκείνους ποὺ παραβαίνουν τὸ νόμο μου καὶ θὰ ταπεινώσω ὅλους τοὺς ὑπερήφανους». Θὰ ἐξολοθρευθοῦν, λέγει, ἐκεῖνοι ποὺ πάσχουν ἀπὸ ἀθεράπευτη ἀσθένεια καὶ δὲν συνετίζονταν οὔτε μὲ τὶς τιμωρίες. Διότι ποιὰ εἶναι ἡ ὠφέλεια ἀπὸ τὴ ζωὴ αὐτῶν, ὅταν ἐνόσο ζοῦν προξενοῦν βλάβη καὶ στοὺς ἑαυτούς τους καὶ στοὺς ἄλλους; Θὰ παραμείνουν ὅμως ἐκεῖνοι ποὺ εἶναι δυνατὸ νὰ γίνουν καλύτεροι ἀπὸ τὴν τιμωρία ἐκείνων. Νομίζω δὲ ἐδῶ ὅτι ὑπονοεῖ καὶ τὴν αἰχμαλωσία.

8. «Καὶ ἐπιστήσω τοὺς κριτάς σου, ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου, ὡς τὸ ἀπ' ἀρχῆς. Ἐνταῦθα τὴν ἐπάνοδόν φησι. Τῶν τε γὰρ ἀνίατα νοσούντων ἀναιρεθέντων, τῶν τε ἐπιμέλειαν ἐνδείξασθαι δυναμένων διορθωθέντων, εὐκαίρως καὶ τὸ λοιπὸν τῆς θεραπείας εἶδος προστίθεται, δοκίμων ἀρχόντων ἐπιστασία, καὶ συμβούλων ἀγαθῶν φορά, ἵνα καὶ τοῦ σώματος εἴκοντος τοῖς φαρμάκοις, καὶ τῶν ἰατρῶν ἀρίστων ὄντων, πανταχόθεν πρὸς ὑγίειαν ἐπανίῃ τὰ τῆς πόλεως μέρη. Οὐ γὰρ μικρὸν εὐεργεσίας εἶδος, ἀρχόντων ἐπιτυγχάνειν ἀγαθῶν.

«Καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης, μητρόπολις Σιὼν πιστή». Καίτοι γε οὐδαμοῦ τοῦτο εὑρίσκομεν τὸ ὄνομα τῇ πόλει τῶν Ἱεροσολύμων ἐπιτεθέν. Τί οὖν ἂν εἴποιμεν; Ὅτι τὴν ἀπὸ τῶν πραγμάτων προσηγορίαν ἐνταῦθά φησι. Τοῦτο δὲ ἡμῖν οὐ μικρὸν συμβαλεῖται, ὅταν ἀπαιτῶσιν ἡμᾶς Ἰουδαῖοι τοῦ Ἐμμανουὴλ τὴν ἑρμηνείαν. Ἐπειδὴ γὰρ Ἡσαΐας ἔφησε τὸν Χριστὸν οὕτως ὀνομασθήσεσθαι, οὐδαμοῦ δὲ ὠνόμασται, εἴποιμεν ἂν πρὸς αὐτούς, ὅτι τὴν ἀπὸ τῶν πραγμάτων σημασίαν ἔφησεν ὄνομα εἶναι· ὥσπερ οὖν καὶ ἐνταῦθα.

«Μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς, καὶ μετὰ ἐλεημοσύνης». «Μετὰ κρίματος», τουτέστι, μετὰ δίκης καὶ κολάσεως καὶ τιμωρίας τῶν πολεμίων. «Μετὰ ἐλεημοσύνης», τουτέστι, πολλῆς τῆς φιλανθρωπίας. Δύο ἐνταῦθα ἐπαγγέλλεται μέγιστα αὐτοῖς δῶρα, τό τε δίκην δοῦναι τοὺς ἐπαγαγόντας, τό τε αὐτοὺς πολλῆς ἀπολαῦσαι τῆς εὐημερίας, ὧν ἕκαστον καὶ καθ' ἑαυτὸ μεγίστην ἱκανὸν πα-

8. «Καὶ θ' ἀποκαταστήσω τοὺς δικαστές σου ὅπως ἦταν προηγουμένως, καὶ τοὺς συμβούλους τέτοιους ποὺ ἦταν στὴν ἀρχή». Ἐδῶ ἐννοεῖ τὴν ἐπάνοδο ἀπὸ τὴν αἰχμαλωσία. Διότι, ἀφοῦ ἐξολοθρεύτηκαν ἐκεῖνοι ποὺ ἔπασχαν ἀπὸ ἀθεράπευτη ἀσθένεια, καὶ ἀφοῦ διορθώθηκαν ἐκεῖνοι ποὺ μπόρεσαν νὰ δείξουν τὸν ἀπαραίτηο ζῆλο καὶ προσπάθεια, προστίθεται στὴν κατάλληλη στιγμὴ καὶ τὸ ὑπόλοιπο εἶδος τῆς θεραπείας, ἡ ἐπιστασία δηλαδὴ ἀξίων ἀρχόντων, καὶ πλῆθος ἀγαθῶν συμβούλων, ὥστε μὲ τὸ νὰ ὑποχωρεῖ ἡ ἀσθένεια τοῦ σώματος μὲ τὴ χρήση τῶν φαρμάκων καὶ νὰ ὑπάρχουν ἄριστοι ἰατροί, νὰ ἐπανακτοῦν τὰ μέλη τῆς πόλεως τὴν ὑγεία τους μὲ κάθε τρόπο. Διότι δὲν εἶναι μικρὸ εἶδος εὐεργεσίας τὸ νὰ ἔχουν ἀγαθοὺς ἄρχοντες.

«Καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ θὰ ὀνομασθεῖς πόλη τῆς δικαιοσύνης, πιστὴ μητρόπολη τῆς Σιών». Ἂν καὶ βέβαια πουθενὰ δὲν βρίσκομε τὸ ὄνομα αὐτὸ ν' ἀποδίδεται στὴν πόλη τῶν Ἱεροσολύμων. Τί λοιπὸν θὰ μπορούσαμε νὰ ποῦμε; Ὅτι δηλαδὴ ἐδῶ ἐννοεῖ τὴν ὀνομασία ποὺ πηγάζει ἀπὸ τὰ ἴδια τὰ γεγονότα. Αὐτὸ δὲ θὰ μᾶς βοηθήσει πάρα πολύ, ὅταν οἱ Ἰουδαῖοι ζητοῦν ἀπὸ ἐμᾶς τὴν ἑρμηνεία τοῦ ὀνόματος Ἐμμανουήλ. Ἐπειδὴ δηλαδὴ ὁ Ἡσαΐας εἶπε ὅτι ὁ Χριστὸς θὰ ὀνομασθεῖ ἔτσι, δὲν ἀναφέρεται ὅμως πουθενὰ μὲ τὸ ὄνομα αὐτό, θὰ μπορούσαμε νὰ ποῦμε πρὸς αὐτούς, ὅτι εἶπε ἐκεῖνος ὅτι τὸ ὄνομα αὐτὸ θὰ ἐκφράζει αὐτὰ τὰ ἴδια τὰ σχετικὰ μὲ αὐτὸν γεγονότα, ὅπως ἀκριβῶς λοιπὸν καὶ ἐδῶ.

«Διότι μὲ δίκαια τιμωρία θὰ σωθοῦν ὅσοι βρίσκονται στὴν αἰχμαλωσία καὶ χάρη στὴν εὐσπλαχνία τοῦ Κυρίου». Μετὰ κρίματος», δηλαδὴ μὲ δίκη καὶ κόλαση καὶ τιμωρία τῶν ἐχθρῶν. «Μετὰ ἐλεημοσύνης», δηλαδή, μὲ πολλὴ φιλανθρωπία. Ἐδῶ τοὺς ὑπόσχεται δύο τὰ πιὸ μεγαλύτερα δῶρα, καὶ ὅτι θὰ τιμωρηθοῦν ἐκεῖνοι ποὺ τοὺς ὁδήγησαν στὴν αἰχμαλωσία, καὶ ὅτι θ' ἀπολαύσουν αὐτοὶ μεγάλη εὐημερία, τὸ καθένα ἀπὸ τὰ ὁποῖα αὐτὸ καθ' ἑαυτὸ εἶναι ἱκανὸ νὰ τοὺς χαρίσει πάρα πολὺ μεγάλη εὐχαρίστηση, ὅταν δὲ συμβεῖ νὰ ὑπάρχουν καὶ τὰ δύο

ρασχεῖν ἡδονήν· ὅταν δὲ καὶ ἀμφότερα συνδράμῃ, ἄφατος γένοιτ' ἂν ἡ εὐφροσύνη. Ἄλλως τε καὶ δεῖξαι βουλόμενος, ὅτι καὶ μετὰ τὴν μακρὰν αἰχμαλωσίαν, οὐ διὰ τὸ δοῦναι δίκην ἀξίαν, καὶ τὸ ἁμαρτήματα ἀποκείρασθαι, ἀλλὰ διὰ τὴν φιλανθρωπίαν τὴν αὐτοῦ πρὸς τὴν οἰκείαν ἐπανάγονται, καὶ ἐλέου μᾶλλόν ἐστι ἡ σωτηρία, ἢ ἀντιδόσεως καὶ ἀμοιβῆς, ἐπήγαγε, «Καὶ μετ' ἐλεημοσύνης».

«Καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα». Τρίτον καὶ τοῦτο εὐεργεσίας εἶδος, τὸ μηδένα εἶναι τὸν παρασύροντα καὶ πρὸς ἀπάτην ἕλκοντα, ἀλλ' ἐκποδὼν γίνεσθαι τοὺς τῆς πονηρίας διδασκάλους.

«Καὶ οἱ ἐγκαταλείποντες τὸν Κύριον συντελεσθήσονται». Οἱ δὲ ἀσεβεῖς, φησίν, ἀπολοῦνται.

«Διότι νῦν αἰσχυνθήσονται ἐν τοῖς εἰδώλοις αὐτῶν, ἐφ' οἷς αὐτοὶ ἐβούλοντο». Τινὲς μὲν καὶ κατὰ τὸν παρόντα καιρὸν τὰ εἰρημένα ἁρμόζειν ἐπιχειροῦσιν· ἀλλ' ἡμεῖς οὔτε ἐκείνους αἰτιασόμεθα, καὶ τῇ ἀκολουθίᾳ ἑψόμεθα. Ταῦτα γάρ ἐστιν, ἃ συμβήσεσθαί φησιν ἐπὶ τῆς τῶν πολεμίων ἐφόδου. Ὅταν γὰρ τοῦ βαρβάρου τὴν χώραν κατατρέχοντος, καὶ τὴν πόλιν περικαθημένου, καὶ πάντας ὡς ἐν δικτύοις μέσους ἔχοντος, μηδεὶς ὁ ἀμύνων ᾖ καὶ τὸ νέφος ἐκεῖνο διακρουόμενος διὰ τὴν ἐγκατάλειψιν τοῦ Θεοῦ, εἰκότως καὶ ἐξ αὐτῆς τῶν πραγμάτων τῆς πείρας πολλὴ κατασκεδασθήσεται τῶν τὰ εἴδωλα θεραπευόντων ἡ αἰσχύνη. Ἐφ' οἷς ἐβούλοντο, περὶ ἃ ἐσπουδάκεισαν, φησί.

«Καὶ αἰσχυνθήσονται ἐπὶ τοῖς γλυπτοῖς αὐτῶν, ἐφ' οἷς ἐποίησαν». Ἐν τάξει διηγήσεως κατηγορίαν τίθησιν. Ἤρκει γὰρ καὶ πρὸ τῆς τῶν τραυμάτων ἐκβάσεως, καὶ αὐτὸς τῆς τοιαύτης εἰδωλοποιίας ὁ τρόπος αὐτοὺς καταισχῦναι. Τί γὰρ αἰσχρότερον τοῦ θεόν τινα ἑαυτῷ ποιεῖν;

μαζί, θὰ μποροῦσε νὰ γίνει ἡ εὐφροσύνη ἀπερίγραπτη. Ἐξ ἄλλου δὲ θέλοντας καὶ νὰ δείξει, ὅτι, καὶ μετὰ τὴν μακροχρόνια αἰχμαλωσία, ἐπιστρέφουν στὴν πατρίδα τους ὄχι ἐπειδὴ τιμωρήθηκαν ἀντάξια καὶ καθαρίσθηκαν ἀπὸ τὰ ἁμαρτήματά τους, ἀλλ' ἐξ αἰτίας τῆς φιλανθρωπίας αὐτοῦ, καὶ ἡ σωτηρία τους εἶναι ἀποτέλεσμα μᾶλλον τῆς εὐσπλαχνίας τοῦ Θεοῦ, παρὰ ἀνταποδόσεως καὶ ἀμοιβῆς, πρόσθεσε «Καὶ μετ' ἐλεημοσύνης».

«Καὶ θὰ συντριβοῦν αὐτοὶ ποὺ παραβαίνουν τὸ νόμο μου καὶ οἱ ἁμαρτωλοὶ μαζὶ μ' αὐτούς». Καὶ αὐτὸ εἶναι τρίτο εἶδος εὐεργεσίας, τὸ νὰ μὴ ὑπάρχει δηλαδὴ κανένας ποὺ νὰ παρασύρει καὶ νὰ προσελκύει τοὺς ἄλλους στὴν ἀπάτη, ἀλλὰ νὰ ἐξαφανίζονται μέσα ἀπ' αὐτὴν οἱ δάσκαλοι τῆς κακίας.

«Καὶ ἐκεῖνοι ποὺ ἐγκαταλείπουν τὸν Κύριο θὰ ἐξολοθρευθοῦν». Οἱ δὲ ἀσεβεῖς, λέγει, θὰ ἐξολοθρευθοῦν.

«Διότι τώρα θὰ νιώσουν ντροπὴ γιὰ τὰ εἴδωλά τους ποὺ προτιμοῦσαν». Μερικοὶ μὲν ἐπιχειροῦν νὰ προσαρμόσουν τὰ λόγια αὐτὰ καὶ στὰ γεγονότα τῆς παρούσας ζωῆς, ἐμεῖς ὅμως οὔτε ἐκείνους θὰ κατηγορήσομε, καὶ θὰ ἀκολουθήσομε τὰ ὅσα λέγει στὴ συνέχεια. Διότι, λέγει, αὐτὰ εἶναι ἐκεῖνα ποὺ θὰ συμβοῦν κατὰ τὴν ἔφοδο τῶν ἐχθρῶν. Ὅταν δηλαδὴ ὁ βάρβαρος θὰ καταστρέφει τὴν χώρα καὶ θὰ πολιορκεῖ τὴν πόλη καὶ ὅλους θὰ τοὺς ἔχει σὰν μέσα σὲ δίχτυα, χωρὶς νὰ ὑπάρχει κανένας νὰ τοὺς ὑπερασπισθεῖ καὶ νὰ ἀποκρούσει τὸ μεγάλο ἐκεῖνο πλῆθος τῶν ἐχθρῶν ἐξ αἰτίας τῆς ἐγκαταλείψεώς τους ὑπὸ τοῦ Θεοῦ, πολὺ εὔλογα ἀπὸ τὴν πεῖρα τῶν ἴδιων τῶν γεγονότων θὰ κυριευθοῦν ἀπὸ μεγάλη ντροπὴ ἐκεῖνοι ποὺ λατρεύουν τὰ εἴδωλα. Τὰ ὁποῖα, λέγει, προτίμησαν ἀντὶ τοῦ Θεοῦ, καὶ γιὰ τὰ ὁποῖα ἔδειξαν ὅλη τὴ φροντίδα καὶ τὸ ζῆλο τους.

«Καὶ θὰ νιώσουν ντροπὴ γιὰ τὰ γλυπτὰ ποὺ κατασκεύασαν». Μὲ μορφὴ διηγήσεως παρουσιάζει τὴν κατηγορία. Διότι καὶ πρὶν ἀκόμα δεχθοῦν τὰ πλήγματα ἦταν ἀρκετὸς καὶ ὁ ἴδιος ὁ τρόπος τῆς κατασκευῆς καὶ λατρείας εἰδώλων νὰ τοὺς κάνει νὰ νιώσουν ντροπή. Διότι τί ὑπάρχει πιὸ ἰσχυρὸ ἀπὸ τὸ νὰ κατασκευάζει κάποιος θεὸ γιὰ τὸν ἑαυτό του;

«Καὶ αἰσχυνθήσονται ἐπὶ τοῖς κήποις αὐτῶν, ἐφ' οἷς ἐπεθύμησαν». Οὐ γὰρ δὴ ξόανα προσεκύνουν μόνον, ἀλλὰ καὶ δένδρα ἐν κήποις ἐθεράπευον.

Ἔσονται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα αὐτῆς τὰ φύλλα». Ἤτοι τὰ εἴδωλα, ἢ αὐτοὶ οἱ τὴν πόλιν οἰκοῦντες. Τὴν δὲ εἰκόνα τοῦ δένδρου τούτου παρήγαγε, διά τε τὸ ἐγχώριον εἶναι μάλιστα τὸ φυτὸν καὶ πολὺ παρ' αὐτοῖς, καὶ διὰ τὸ σφόδρα ἀνθεῖν καὶ τεθηλέναι, ἡνίκα ἂν ἀκμάζῃ, καὶ ἐσχάτην ἀμορφίαν ἐνδείκνυσθαι, ἐπειδὰν ἀποβάλλῃ τὰ φύλλα.

«Καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων». Καὶ ἡ δευτέρα εἰκὼν τῆς προτέρας σαφεστέρα, καὶ πιστουμένη τῶν ἐπὶ τῇ προτέρᾳ λόγων εἰρημένων. Οὔτε γὰρ παραδείσου θάλλοντος τερπνότερον, οὔτε ἐρημωθέντος ἀτερπέστερον, ἅπερ ἀμφότερα γέγονεν ἐπὶ τῆς μητροπόλεως ἐκείνης. Πάντοτε γὰρ ἦν ἀμείνων καὶ λαμπροτέρα, μυρίοις καλλωπιζομένη κόσμοις, καὶ πάντων εὐτελεστέρα γέγονε καὶ αἰσχροτέρα, τοσοῦτον ἀθρόον εὐκοσμίας ἀποβαλοῦσα πλοῦτον.

«Καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στυππίου». Αἱ πρότεραι μὲν εἰκόνες εἰς τὸ ἀτερπὲς παρελήφθησαν, αὕτη δὲ εἰς τὸ ἀσθενές· πᾶσαι δὲ σφόδρα ἐναργεῖς, καὶ πολὺ τὸ σαφὲς καὶ ἐμφαντικὸν ἔχουσαι. «Ὡς καλάμη στυππίου», τουτέστιν, ἀσθενεῖς.

«Καὶ αἱ ἐργασίαι αὐτῶν ὡς σπινθὴρ πυρός». Ἐνταῦθα δείκνυσιν ὅτι οἴκοθεν τὰ κακά, καὶ αὐτοὶ τὴν αἰχμαλωσίαν ἔτεκον, καὶ τὴν κάμινον ἀνῆψαν. Ὥσπερ γὰρ σπινθῆρες ἐμπίπτοντες πῦρ ἀνεγείρουσιν, οὕτω τὰ ἁμαρτήματα τούτων συναχθέντα τοῦ Θεοῦ τὴν ὀργὴν ἀνῆψε.

«Καὶ θὰ νιώσουν ντροπὴ γιὰ τὰ εἰδωλολατρικά τους ἄλση, στὰ ὁποῖα ἔβρισκαν εὐχαρίστηση». Διότι βέβαια δὲν προσκυνοῦσαν μόνο κατασκευασμένα ὁμοιώματα θεῶν, ἀλλὰ λάτρευαν καὶ δένδρα καὶ κήπους.

«Θὰ γίνουν δὲ σὰν τὸ δένδρο τῆς τερέβινθου, τῆς ὁποίας ἔπεσαν τὰ φύλλα». Αὐτὸ θὰ τὸ πάθουν ἢ τὰ εἴδωλα, ἢ αὐτοὶ ποὺ κατοικοῦν τὴν πόλη. Ἀνέφερε δὲ τὴν εἰκόνα αὐτοῦ τοῦ δένδρου καὶ ἐπειδὴ αὐτὸ εἶναι κατ' ἐξοχὴ δένδρο τοῦ τόπου ἐκείνου καὶ καλλιεργοῦνταν πολὺ ἀπ' αὐτούς, καὶ ἐπειδὴ φέρει πολλὰ φύλλα καὶ ἄνθη, ὅταν βρίσκεται στὴν ἐποχὴ τῆς βλαστήσεως καὶ ἀνθοφορίας του, καὶ παρουσιάζει τὴν πιὸ μεγάλη ἀσχήμια, ὅταν ρίξει τὰ φύλλα του.

«Καὶ σὰν κῆπος ποὺ δὲν ἔχει νερό». Καὶ ἡ δεύτερη εἰκόνα εἶναι σαφέστερη ἀπὸ τὴν προηγούμενη καὶ ἐπιβεβαιώνει τὰ λόγια ποὺ ἔχουν λεχθεῖ στὴν προηγούμενη εἰκόνα. Διότι οὔτε ὑπάρχει πιὸ εὐχάριστο ἀπὸ κῆπο ἀνθισμένο, οὔτε πιὸ ἄχαρο ὅταν αὐτὸς ἐρημωθεῖ, πράγματα ποὺ συνέβηκαν καὶ τὰ δύο στὴ μητρόπολη ἐκείνη. Διότι πάντοτε ἦταν ἡ καλύτερη καὶ ἡ λαμπρότερη, στολισμένη μὲ ἀμέτρητα στολίδια, καὶ κατάντησε ἡ πιὸ ἀσήμαντη καὶ ἡ πιὸ ἄσχημη, ἀφοῦ ἔχασε μέσα σὲ μιὰ στιγμὴ τόσο μεγάλο πλοῦτο ὡραιότητας.

«Καὶ θὰ καταντήσει ἡ ὅλη δύναμή τους σὰν καλαμιὰ λιναριοῦ». Οἱ μὲν προηγούμενες εἰκόνες ἀναφέρθηκαν γιὰ νὰ δείξουν τὴν ἀσχήμια αὐτῆς, ἐνῶ αὐτὴ γιὰ νὰ δείξει τὴν ἀδυναμία της, ὅλες δὲ εἶναι πάρα πολὺ καθαρὲς καὶ παρουσιάζουν μεγάλη σαφήνεια καὶ ἐκφραστικότητα. «Σὰν καλαμιὰ λιναριοῦ», δηλαδὴ ἀδύναμοι.

«Τὰ δὲ ἔργα τους σὰν σπινθῆρες τῆς φωτιᾶς». Ἐδῶ δείχνει ὅτι τὰ κακὰ προέρχονται ἀπὸ τοὺς ἴδιους καὶ αὐτοὶ ἔγιναν αἴτιοι τῆς αἰχμαλωσίας τους καὶ οἱ ἴδιοι ἄναψαν τὸ καμίνι. Διότι, ὅπως ἀκριβῶς ὅταν πέφτουν κάπου οἱ σπινθῆρες ἀνάβουν φωτιά, ἔτσι τὰ ἁμαρτήματα αὐτῶν ἀφοῦ συγκεντρώθηκαν ἄναψαν τὴν ὀργὴ τοῦ Θεοῦ.

«Καὶ κατακαυθήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων». Πάλιν ἀπαγορεύει τὴν σωτηρίαν διὰ τὴν αὐτὴν πάλιν αἰτίαν, οὐχ ἵνα ἀπογνῶσιν, ἀλλ' ἵνα ταύτῃ γοῦν ἀκμάζοντα τὸν φόβον δεξάμενοι, τὴν πολλὴν ἀποτινάξωνται ῥᾳθυμίαν. Καὶ ἕτερον δέ τι ἐνταῦθα αἰνίττεται, τὸ ἄμαχον αὐτοῦ τῆς δυνάμεως, καὶ ὅτι κολάζοντος αὐτοῦ, καὶ τιμωρουμένου, οὐδεὶς ἀντιστῆναι καὶ καταλῦσαι δυνήσεται τὰ δεινά.

«Καὶ θὰ κατακαοῦν οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ μαζὶ καὶ δὲν θὰ ὑπάρχει κανένας νὰ σβήσει τὴ φωτιά». Πάλι ἀποκλείει τὴ σωτηρία γιὰ τὴν ἴδια πάλι αἰτία, ὄχι γιὰ νὰ ἀπελπισθοῦν, ἀλλὰ μὲ τὸν τρόπο αὐτό, ἀφοῦ φθάσει ὁ φόβος τους στὸ ἀποκορύφωμά του, ν' ἀποτινάξουν τὴ μεγάλη ὀκνηρία τους. Καὶ κάτι ἄλλο δὲ ὑπαινίσσεται ἐδῶ, τὴν ἀκαταμάχητη δύναμη αὐτοῦ, καὶ ὅτι, ὅταν αὐτὸς κολάζει καὶ τιμωρεῖ, κανένας δὲν θὰ μπορέσει νὰ ἀντισταθεῖ καὶ νὰ ἀπομακρύνει τὶς συμφορές.

ΚΕΦΑΛΑΙΟΝ Β'.

«Ὁ λόγος ὁ γενόμενος πρὸς Ἠσαΐαν υἱὸν Ἀμμώς».

1. Ἐντεῦθεν δῆλον ὡς οὐ πάσας ὑφ' ἓν τὰς προφητείας εἰρήκασιν, ἀλλὰ κατὰ διαφόρους ἐμπνεόμενοι καιρούς, περικοπάς τινας ἀπήγγελλον, αἳ συντεθεῖσαι ὕστερον ὑφ' ἕν, ὁλόκληρον βιβλίον ἐποίησαν. Διὸ καὶ οὕτως ἄρχεται. Οὐκ ἐντεῦθεν δὲ μόνον τοῦτο δῆλον ἔσται καὶ σαφὲς ἡμῖν, ἀλλ' ἐξ ὧν προϊὼν καὶ τοὺς καιροὺς ἐπισημαίνεται, νῦν μὲν λέγων, «Τοῦ ἐνιαυτοῦ, οὗ εἰσῆλθε Νάθαν εἰς Ἄζωτον», νῦν δὲ λέγων, «Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου». Οὐ γὰρ ὥσπερ αἱ Ἐπιστολαὶ αἱ Παύλου καὶ τὰ Εὐαγγέλια ὑφ' ἓν συνετέθησαν, οὕτω δὴ καὶ προφητεῖαι, ἀλλ', ὅπερ ἔφθην εἰπών, ἐν διαφόροι καιροῖς. Ὅθεν καὶ ἀπ' ἀρχῆς ἑτέρας ἄρχεται τοῦ παρόντος λόγου.

Καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τὸ τὴν ὑπόθεσιν, περὶ ἧς μέλλει διαλέγεσθαι, σφόδρα ἀπηρτῆσθαι τῶν προειρημένων, καὶ ὑψηλοτέραν εἶναι. Περὶ γὰρ τῆς τῶν ἐθνῶν κλήσεως, καὶ τῆς τοῦ κηρύγματος περιφανείας, καὶ τῆς πανταχοῦ τῆς οἰκουμένης ἐκταθείσης γνώσεως, καὶ τῆς καταληψομένης τὴν γῆν εἰρήνης ἡμῖν διαλέγεται. Εἰ δέ, μέλλων τοιούτων ἅπτεσθαι δογμάτων, Ἰουδαίας μέμνηται καὶ Ἱερουσαλήμ, ξένον οὐδέν. Προφητεία γὰρ ἦν τὸ λεγόμενον,

---

1. Ἡσ. 20, 1. 2. Ἡσ. 6, 1.

ΚΕΦΑΛΑΙΟ Β'.

«'Ο λόγος ποὺ ἀποκαλύφθηκε ἀπὸ τὸν Κύριο πρὸς τὸν 'Ησαΐα, τὸν υἱὸ τοῦ 'Αμώς».

1. 'Από ἐδῶ γίνεται φανερὸ ὅτι δὲν εἶχαν πεῖ οἱ προφῆτες ὅλες τὶς προφητεῖες σὲ μιὰ φορά, ἀλλ', ἐμπνεόμενοι κατὰ διαφόρους καιρούς, ἀπήγγελλαν μερικὲς περικοπές, οἱ ὁποῖες ἀργότερα συνενώθηκαν σ' ἕνα σῶμα καὶ ἀποτέλεσαν ὁλόκληρο βιβλίο. Γι' αὐτὸ καὶ ἀρχίζει ἔτσι. Δὲν γίνεται δὲ αὐτὸ σ' ἐμᾶς φανερὸ καὶ σαφὲς μόνο ἀπὸ ἐδῶ, ἀλλὰ καὶ ἀπὸ ἐκεῖνα ποὺ στὴ συνέχεια ἀναφέρει μὲ τὰ ὁποῖα καθορίζει τοὺς καιρούς, ἄλλοτε μὲν λέγοντας, «Τὸν χρόνο κατὰ τὸν ὁποῖο εἰσῆλθε στὴν Ἄζωτο ὁ Νάθαν»[1], ἄλλοτε δὲ λέγοντας, «Καὶ συνέβηκε, κατὰ τὸν χρόνο ποὺ πέθανε ὁ βασιλιὰς 'Οζίας, εἶδα τὸν Κύριο νὰ κάθεται ἐπάνω σὲ θρόνο ὑψηλὸ καὶ φανταστικό»[2]. Διότι, ὅπως ἀκριβῶς οἱ ἐπιστολὲς τοῦ Παύλου καὶ τὰ εὐαγγέλια δὲν γράφθηκαν σὲ μιὰ φορά, ἔτσι λοιπὸν καὶ οἱ προφητεῖες, ὅπως προανέφερα, συντάχθηκαν σὲ διαφόρους καιρούς. Γι' αὐτὸ καὶ εἶναι διαφορετικὴ ἡ ἀρχὴ τοῦ λόγου αὐτοῦ.

Καὶ ὄχι γι' αὐτὸ μόνο, ἀλλὰ καὶ γιὰ τὸ ὅτι ἡ ὑπόθεση, γιὰ τὴν ὁποία πρόκειται νὰ μιλήσει, διαφέρει πάρα πολὺ ἀπὸ τὰ προαναφερθέντα καὶ εἶναι ὑψηλότερη. Διότι μᾶς ὁμιλεῖ γιὰ τὴν κλήση τῶν ἐθνῶν, γιὰ τὸν ἐξέχοντα χαρακτήρα τοῦ κηρύγματος, γιὰ τὴν ἐξάπλωση τῆς γνώσεως τοῦ Θεοῦ σ' ὅλη τὴν οἰκουμένη, καὶ γιὰ τὴν εἰρήνη ποὺ θὰ ἐπικρατήσει στὴ γῆ. 'Εὰν δέ, ἐνῶ πρόκειται νὰ μιλήσει γιὰ τέτοιες ἀλήθειες, ἀναφέρει τὴν 'Ιουδαία καὶ τὴν 'Ιερουσαλήμ, αὐτὸ δὲν εἶναι καθόλου παράξενο. Διότι αὐτὸ ποὺ λέγει ἦταν προφητεία, ποὺ ἦταν ἐπισκιασμέ-

συνεσκιασμένη τέως ταῖς τῶν ὀνομάτων προσηγορίαις. Ἐπεὶ καὶ τὸν ψαλμὸν τὸν ἑβδομηκοστὸν πρῶτον ὁ Δαυὶδ συντιθέναι μέλλων, ἐπέγραψεν αὐτὸν τῷ Σολομῶντι, καὶ προϊὼν πολλῷ μείζονα τῆς Σολομῶντος ἀξίας, μᾶλλον δὲ καὶ τῆς ἁπάντων ἀνθρώπων φύσεως ἴδεν. Τὸ γάρ, «Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ», καί, «Πρὸ τῆς σελήνης ὁ θρόνος αὐτοῦ», καὶ ὅσα τοιαῦτα, οὐδεὶς ἂν οὐδὲ τῶν σφόδρα ἀνοήτων περὶ ἀνθρωπίνης εἴποι λέγεσθαι φύσεως.

Καὶ ὁ Ἰακὼβ δέ, ἡνίκα ταῦτα, ἃ μέλλει νῦν ὁ Ἠσαΐας λέγειν, καὶ πλείονα τούτων προανεφώνει· μετὰ γὰρ τῆς τῶν ἐθνῶν κλήσεως καὶ τὸν θάνατον εἶπε καὶ τὴν ἀνάστασιν, καὶ τὸν καιρὸν καθ' ὃν ἔμελλε παρέσεσθαι· οὐδὲ ἐκεῖνος ἀπογυμνώσας αὐτὰ τέθεικεν, ἀλλά, τῷ προσωπείῳ τῆς προσηγορίας τοῦ Υἱοῦ κρύψας ἃ ἔμελλεν ἐρεῖν, οὕτως αὐτὰ προανεφώνησε, τῷ μὲν δοκεῖν τὰ συμβησόμενα τῷ Ἰούδᾳ λέγων, καθὼς δὲ τὸ τῶν πραγμάτων μαρτυρεῖ τέλος, ἅπερ ἔμελλε κατορθοῦν ὁ Χριστὸς προαναφωνῶν. Οὔτε γὰρ προσδοκία ἐθνῶν Ἰούδας γέγονεν, οὔτε τότε ἔλαμψεν ἡ φυλή, ὅτε ἐξέλιπεν αὐτῶν ἡ πολιτεία, ἀλλὰ ταῦτα πάντα, ὅτε ὁ Χριστὸς παρεγένετο, γέγονεν. Εἰ δὲ ἀναισχυντοῖεν Ἰουδαῖοι τοῦτον παρακρουόμενοι τῆς προφητείας τὸν νόμον, μάλιστα μὲν οὖν καὶ ἐξ αὐτῶν τῶν εἰρημένων ῥᾳδίως διελεγχθεῖεν, εἴ τις, μετὰ ἀκριβείας τὰς προφητείας ἐξαπλώσας, καὶ πᾶσαν ῥῆσιν μετὰ τῆς προσηκούσης ἐξετάζων προσοχῆς, ἁρμόζοι τὰ εἰρημένα τοῖς γεγενημένοις. Ὥστε δὲ καὶ ἐκ περιουσίας αὐτῶν ἀπορράψαι τὰ στόματα, οὐκ ἀπὸ τῶν εἰς τὸν Χριστὸν εἰρημένων, ἀλλ' ἀπὸ τῶν εἰς τοὺς αὐτῶν πατριάρχας προφητευθέντων, τοῦτο πειράσομαι ποιῆσαι φανερόν, δεικνὺς ὅτι αἱ πολλαὶ τῶν προφητειῶν εἴρηνται μὲν εἰς τοὺς φυλάρ-

3. Ψαλμ. 71, 17. 4. Ψαλμ. 71, 5. 5. Γεν. 49, 8 ἑ.

νη στὴν ἀρχὴ μὲ τὶς προσφωνήσεις αὐτῶν τῶν ὀνομάτων. Καθόσον καὶ ὁ Δαυὶδ ὅταν ἐπρόκειτο νὰ γράψει τὸν ἑβδομηκοστὸ πρῶτο ψαλμό, ἀφιέρωσε αὐτὸν στὸ Σολομώντα, προχωρώντας ὅμως εἶδε πολὺ περισσότερα ἀπὸ τὴν ἀξία τοῦ Σολομώντα, μᾶλλον δὲ ὁλόκληρης τῆς ἀνθρώπινης φύσεως. Διότι τό, «Θὰ παραμένει τὸ ὄνομα αὐτοῦ λαμπρὸ περισσότερο ἀπὸ τὸν ἥλιο»[3], καί, «Πιὸ πάνω ἀπὸ τὴ σελήνη θὰ βρίσκεται ὁ θρόνος αὐτοῦ»[4], καὶ ὅσα ἄλλα παρόμοια ἀναφέρει, κανένας οὔτε καὶ ἀπὸ τοὺς πάρα πολὺ ἀνόητους θὰ μποροῦσε νὰ πεῖ ὅτι λέγονται γιὰ τὴν ἀνθρώπινη φύση.

Καὶ ὁ Ἰακὼβ δέ, ὅταν ἐπρόκειτο νὰ πεῖ αὐτά, ποὺ τώρα πρόκειται νὰ πεῖ ὁ Ἠσαΐας, προφήτευε πολὺ περισσότερα ἀπὸ αὐτά· διότι μαζὶ μὲ τὴν κλήση τῶν ἐθνῶν προφήτεψε καὶ τὸ θάνατο καὶ τὴν ἀνάσταση τοῦ Κυρίου καὶ τὸν χρόνο κατὰ τὸν ὁποῖο ἐπρόκειτο νὰ ἔρθει αὐτός[5]. Οὔτε ἐκεῖνος ἀνέφερε αὐτὸ ὁλοκάθαρα, ἀλλ', ἀφοῦ ἀπέκρυψε αὐτά, ποὺ ἐπρόκειτο νὰ πεῖ, μὲ τὸ προσωπεῖο τῆς ὀνομασίας τοῦ Υἱοῦ, ἔτσι προφήτεψε αὐτά, ποὺ φαίνονται μὲν ὅτι αὐτὰ ποὺ λέγει θὰ συμβοῦν στὸν Ἰούδα, ὅμως, ὅπως μαρτυρεῖ τὸ τέλος τῶν γεγονότων αὐτῶν, προφήτεψε ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ κατορθώσει ὁ Χριστός. Διότι ὁ Ἰούδας οὔτε ὑπῆρξε ἐκεῖνος ποὺ περίμεναν τὰ ἔθνη, οὔτε τότε ἔλαμψε ἡ φυλή του, ὅταν ἐξαφανίθηκε ἡ πολιτεία αὐτῶν, ἀλλ' ὅλα αὐτὰ πραγματοποιήθηκαν ὅταν ἦρθε ὁ Χριστός. Ἂν δὲ δύμβαίνει οἱ Ἰουδαῖοι μὲ ἀδιαντροπιὰ ν' ἀπορρίπτουν τελείως ἐσφαλμένα τὸ νόμο αὐτὸ τῆς προφητείας, θὰ μποροῦσε ἀσφαλῶς ν' ἀποδειχθεῖ πολὺ εὔκολα ὅτι σφάλλουν καὶ ἀπὸ αὐτὰ ποὺ ἔχουν λεχθεῖ, ἐὰν κάποιος, ἑρμηνεύοντας μὲ λεπτομέρεια τὶς προφητεῖες καὶ ἐξετάζοντας μὲ τὴν πρέπουσα προσοχὴ κάθε λόγο αὐτῶν, συνέδεε τὰ ὅσα ἔχουν λεχθεῖ μὲ τὰ ὅσα ἔχουν συμβεῖ. Γιὰ νὰ κλείσω λοιπὸν τὰ στόματά τους κατὰ τρόπο συντριπτικό, θὰ προσπαθήσω νὰ κάνω αὐτὸ φανερὸ ὄχι ἀπὸ τὰ ὅσα ἔχουν λεχθεῖ γιὰ τὸ Χριστό, ἀλλ' ἀπὸ τὰ ὅσα προφητεύθηκαν γιὰ τοὺς πατριάρχες, γιὰ νὰ δείξω ὅτι οἱ πιὸ πολλὲς ἀπὸ τὶς προφητεῖες λέχθηκαν μὲν γιὰ τοὺς ἀρχηγοὺς τῶν φυλῶν, βρῆ-

χους, ἐξέβησαν δὲ εἰς τοὺς ἐξ ἐκείνων. Καὶ παραδείγματος ἕνεκεν μίαν ἢ καὶ δευτέραν εἰπὼν ἱστορίαν, ἅψομαι τῶν προκειμένων.

Καὶ γὰρ ὅτε τὸν Συμεὼν καὶ τὸν Λευὶ καλέσας ὁ Ἰακώβ, προαναφωνεῖ τὰ συμβησόμενα αὐτοῖς, οὕτως ἔλεγε· «Συμεὼν καὶ Λευὶ ἀδελφοί», καὶ κατηγορήσας αὐτῶν τῆς παρανομίας, καὶ τῆς ἀδίκου σφαγῆς τῆς εἰς τοὺς Σικημίτας γεγενημένης, προϊὼν φησι· «Διαμεριῶ αὐτοὺς ἐν Ἰακώβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ». Τοῦτο δὲ ἐπὶ τοῦ Λευὶ καὶ τοῦ Συμεὼν οὐδεὶς ἂν ἴδοι γεγενημένον, ἀλλ' ἐπὶ τῶν φυλῶν τῶν ἐξ αὐτῶν. Καὶ γὰρ ἡ τοῦ Λευὶ φυλὴ διεσπάρη, τὸ δέκατον μέρος αὐτῆς ἑκάστης φυλῆς ἐχούσης· ἥ τε τοῦ Συμεών, ἥτις τὸ αὐτὸ σχεδὸν ἔπαθε, πάσαις αὐταῖς παρεκταθεῖσα κατὰ τὸν κλῆρον, καὶ οὐχ, ὡς ἑκάστη τῶν ἄλλων, συνημμένην ἔλαβε τὴν κληρουχίαν, καὶ πρὸς ἑαυτὴν συγκεκροτημένην.

Καὶ ὁ Ἰακὼβ δεξάμενος εὐλογίας παρὰ τοῦ πατρός, οὐδεμιᾶς αὐτῶν ἀπήλαυσεν αὐτός. Ὁ μὲν γὰρ πατὴρ αὐτοῦ προύλεγεν εὐετηρίαν πολλήν, καὶ διηνεκῆ δεσποτείαν τοῦ Ἡσαῦ, οὗτος δὲ καὶ τῶν ἀναγκαίων ἠπόρει, καὶ θητεύων ἐτρέφετο, καὶ τοσοῦτον ἀπέσχε κρατῆσαι τἀδελφοῦ, ὅτι δὴ καὶ περὶ αὐτῶν ἐκινδύνευε τῶν ἐσχάτων, καὶ ἅπαξ αὐτῷ συντυχὼν μόνον μετὰ πολλοῦ τοῦ δέους, ἠγάπησε τὸ δυνηθῆναι διαφυγὼν αὐτὸν καὶ σωθῆναι. Τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; ὅτι ψεῦδος ἡ προφητεία; Ἄπαγε, ἀλλ' ὅτι τοιοῦτον αὐτῆς πολλαχοῦ τὸ ἔθος, τὰ ἐφ' ἑτέρων ἐκβησόμενα ἑτέρων ὑποκειμένων προσώπων λέγειν, καὶ ἀποκεχρῆσθαι ὀνόμα-

---

6. Γεν. 49, 5· 7.
7. Βλ. Ἰησ. Ναυῆ 19, 1 ἑ.
8. Γεν. 27. 27 ἑ.
9. Γεν. 27. 41 ἑ.
10. Γεν. 32, 3 ἑ.

καν ὅμως ἐκπλήρωση στοὺς ἀπογόνους ἐκείνων. Καὶ γιὰ παράδειγμα, ἀφοῦ ἀναφέρω μιὰ ἢ δυὸ ἱστορίες, θὰ ἐπιχειρήσω νὰ ἀναπτύξω τὰ ὑπὸ ἐξέταση θέματα.

Πράγματι, ὅταν ὁ Ἰακὼβ κάλεσε τὸν Συμεὼν καὶ τὸν Λευί, προλέγει τὰ ὅσα θὰ συμβοῦν σ' αὐτούς, λέγοντας τὰ ἑξῆς· «Τὰ δυὸ ἀδέλφια ὁ Συμεὼν καὶ ὁ Λευί», καὶ ἀφοῦ κατηγόρησε τὴν παρανομία αὐτῶν καὶ τὴν ἄδικη σφαγὴ ποὺ εἶχε γίνει ἀπ' αὐτοὺς στοὺς Σικημίτες, προχωρώντας λέγει· «Θὰ διασκορπίσω αὐτοὺς μεταξὺ τῶν ἀπογόνων τῶν ἄλλων υἱῶν τοῦ Ἰακὼβ καὶ θὰ τοὺς διασπείρω ἀνάμεσα στὸν ἰσραηλιτικὸ λαό»[6]. Αὐτὸ δὲ κανένας δὲν θὰ μποροῦσε νὰ πεῖ ὅτι πραγματοποιήθηκε στὸν Λευὶ καὶ στὸν Συμεών, ἀλλὰ στὶς φυλὲς ποὺ προῆλθαν ἀπ' αὐτούς, καθόσον ἡ φυλὴ τοῦ Λευὶ διασκορπίσθηκε, ἀφοῦ ἡ κάθε μιὰ φυλὴ ἔλαβε τὸ ἕνα δέκατο αὐτῆς· καὶ ἡ φυλὴ τοῦ Συμεών, ποὺ καὶ αὐτὴ σχεδὸν ἔπαθε τὸ ἴδιο, διασκορπίσθηκε σύμφωνα μὲ κλῆρο ἀνάμεσα σ' ὅλες τὶς φυλές, καὶ δὲν ἔλαβε τὴν κληρονομία, ὅπως κάθε μιὰ ἀπὸ τὶς ἄλλες φυλές, συγκεντρωμένη σ' ἕνα μέρος καὶ μὲ δική της ἐξ ὁλοκλήρου ὀργάνωση καὶ διακυβέρνηση[7].

Καὶ ὁ Ἰακώβ, ἀφοῦ πῆρε τὶς εὐλογίες ἀπὸ τὸν πατέρα του, καμιὰ ἀπ' αὐτὲς δὲν ἀπόλαυσε αὐτὸς ὁ ἴδιος. Διότι ὁ μὲν πατέρας του πρόλεγε μεγάλη εὐημερία γι' αὐτὸν καὶ συνεχὴ κυριαρχία ἐπὶ τοῦ Ἡσαῦ[8], ἐνῶ αὐτὸς στεροῦνταν καὶ τὰ ἀναγκαῖα ἀκόμα, καὶ ἐξασφάλιζε τὴν τροφή του ἐργαζόμενος μὲ μισθὸ σὰν δοῦλος, καὶ τόσο μακριὰ βρέθηκε ἀπὸ τὸ νὰ ἀσκήσει κυριαρχία ἐπὶ τοῦ ἀδελφοῦ του, μέχρι σημείου ποὺ κινδύνευε νὰ χάσει καὶ τὴ ζωή του[9], καὶ μιὰ φορὰ ποὺ συνέβηκε νὰ τὸν συναντήσει μὲ πολὺ φόβο, προτίμησε νὰ φύγει μακριὰ ἀπ' αὐτὸν γιὰ νὰ σωθεῖ[10]. Τί λοιπὸν θὰ μπορούσαμε νὰ ποῦμε γιὰ ὅλα αὐτά; ὅτι εἶναι ψεῦδος ἡ προφητεία; Μακριὰ μιὰ τέτοια σκέψη, ἀλλ' ὅτι σὲ πολλὲς περιπτώσεις ἡ προφητεία παίρνει αὐτὴ τὴ μορφή, ὥστε νὰ παρουσιάζει, ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν σὲ ἄλλους κάτω ἀπὸ ὀνόματα ἄλλων προσώπων, καὶ νὰ χρησιμοποιεῖ ἄλλα ὀνόματα ἀντὶ ἄλλων, πράγμα ποὺ συνέβηκε καὶ

σιν ἄλλοις ἀνθ' ἑτέρων· ὃ καὶ ἐπὶ τοῦ Χαναὰν γέγονεν. Οὐδὲ γὰρ ὁρῶμεν ἐκεῖνον δουλεύσαντα τοῖς ἀδελφοῖς, οὐ μὴν οὐδὲ τὴν ἀρὰν διαπεσοῦσαν, ἀλλ' ἐπὶ τῶν Γαβαιονιτῶν λαβοῦσαν τὸ τέλος τῶν ἐκ τοῦ Χαναὰν γεγονότων. Καὶ γὰρ ἐν τάξει ἀρᾶς προφητεία τὸ λεγόμενον ἦν.

2. Τοσούτων τοίνυν ὄντων παραδειγμάτων τῶν ἀποδεικνύντων ἡμῖν, ὅτι πολλὰ τῶν εἰρημένων λέγεται μὲν ἐφ' ἑτέρων, ἐκβαίνει δὲ ἐπ' ἄλλων, καὶ ὀνόμασιν ἀποκέχρηνται οἱ προφῆται, τί θαυμαστὸν εἰ καὶ νῦν, τὸ τῆς Ἰουδαίας καὶ τῆς Ἰερουσαλὴμ προθεὶς ὄνομα ὁ προφήτης, περὶ τῆς Ἐκκλησίας προαναφωνεῖ; Καὶ γάρ, ἐπειδὴ πρὸς ἀγνώμονας ὁ λόγος ἦν αὐτῷ, προφήτας ἀναιροῦντας, τὰ βιβλία καίοντας, τὰ θυσιαστήρια κατασκάπτοντας, εἰκότως τὸ κάλυμμα ἔκειτο ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης, κατὰ τὸν μακάριον Παῦλον. Ἢ γὰρ ἂν καὶ ἠφάνισαν τὰ βιβλία, εἰ συνῆκαν τῆς προφητείας τὴν δύναμιν τῆς περὶ τοῦ Χριστοῦ. Ὅπου γὰρ παρόντα αὐτόν, καὶ θαυματουργοῦντα καὶ ἐντελῆ τῆς οἰκείας δυνάμεως καὶ τῆς πρὸς τὸν Πατέρα συμφωνίας τε καὶ ὁμονοίας παρεχόμενον τὴν ἀπόδειξιν οὐκ ᾐδέσθησαν, οὐδὲ ἀπέστησαν ἕως ἐσταύρωσαν, σχολῇ γε ἂν τῶν περὶ αὐτοῦ λεγόντων ἐφείσαντο, οὓς καὶ χωρὶς τούτου κατέλευον συνεχῶς. Διὰ τοῦτο τοῖς οἰκείοις καὶ γνωρίμοις αὐτοῖς ἐμφιλοχωροῦντες ὀνόμασι, τὰς προφητείας τούτῳ συσκιάζουσι τῷ προσώπῳ. Ὅτι γὰρ οὐ περὶ τῆς Ἰουδαίας καὶ Ἰερουσαλὴμ ὁ λόγος, ἑκάστην παράγοντες λέξιν εἰς μέσον μετὰ ἀκριβείας εἰσόμεθα τὰ εἰρημένα.

«Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου». Ὅρα ἀκρίβειαν προφήτου, οὐ τὰ πράγματα λέγοντος μόνον, ἀλλὰ καὶ τὸν χρόνον ἐπισημαινομένου. Ὅπερ γάρ φησιν ὁ Παῦλος, «Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν», καὶ ἑτέρωθι πάλιν, «Εἰς οἰκονομίαν τοῦ πληρώματος

11. Β' Κορ. 3, 14. 12. Γαλ. 4, 4.

στὴν περίπτωση τοῦ Χαναάν. Διότι οὔτε ἐκεῖνον βλέπομε νὰ ὑπῆρξε δοῦλος τῶν ἀδελφῶν του, οὔτε βέβαια καὶ τὴν κατάρα νὰ διαψεύδεται, ἀλλ' ἐκεῖνα ποὺ λέχθηκαν γιὰ τὸν Χαναὰν ἐκπληρώθηκαν στοὺς Γαβαιονίτες. Καθόσον τὸ λεγόμενο ἐκεῖνο εἶχε τὴ μορφὴ τῆς κατάρας.

2. 'Εφόσον λοιπὸν ὑπάρχουν τόσα πολλὰ καὶ τέτοιου εἴδους παραδείγματα ποὺ μᾶς ἀποδεικνύουν, ὅτι πολλὰ ἀπὸ ἐκεῖνα ποὺ ἔχουν λεχθεῖ ἀπὸ τοὺς προφῆτες, λέγονται μὲν γιὰ ἄλλα πρόσωπα, πραγματοποιοῦνται ὅμως σὲ ἄλλα, καὶ ἁπλῶς οἱ προφῆτες χρησιμοποιοῦν τὰ ὀνόματα αὐτά, τί τὸ ἀξιοθαύμαστο ἐὰν καὶ τώρα προλέγει ὁ προφήτης τὰ ὅσα θὰ συμβοῦν στὴν 'Εκκλησία, ἀναφέροντας τὸ ὄνομα τῆς 'Ιουδαίας καὶ τῆς 'Ιερουσαλήμ; Καθόσον, ἐπειδὴ ὁ λόγος του ἀπευθυνόταν πρὸς ἀχάριστους ἀνθρώπους, ποὺ φόνευαν προφῆτες, ποὺ ἔκαιαν τὰ βιβλία καὶ ποὺ κατέσκαβαν τὰ θυσιαστήρια, πολὺ σωστά, κατὰ τὸν μακάριο Παῦλο, ὑπῆρχε τὸ κάλυμμα στὴν ἀνάγνωση τῆς Παλαιᾶς Διαθήκης[11]. Πράγματι ὁπωσδήποτε θὰ ἐξαφάνιζαν τὰ βιβλία, ἐὰν γνώριζαν τὴ δύναμη τῆς προφητείας ποὺ ἀναφερόταν στὸ Χριστό. Διότι τὴ στιγμὴ ποὺ δὲν τὸν σεβάσθηκαν ἐνῶ ἦταν παρὼν καὶ θαυματουργοῦσε καὶ παρεῖχε πλήρη τὴν ἀπόδειξη γιὰ τὴ δυναμή του καὶ γιὰ τὴ συμφωνία καὶ ὁμόνοιά του μὲ τὸν Πατέρα του, πολὺ περισσότερο βέβαια δὲν θὰ λιποῦνταν νὰ ἐξολοθρεύσουν ἐκείνους ποὺ μιλοῦσαν γι' αὐτόν, τοὺς ὁποίους καὶ συνέχεια θανάτωναν χωρὶς νὰ τὸ κάμνουν αὐτό. Γι' αὐτό, χρησιμοποιώντας τὰ γνωστὰ καὶ γνώριμα σ' αὐτοὺς ὀνόματα, συσκιάζουν τὶς προφητεῖες μὲ αὐτὸν τὸν τρόπο. Διότι τὸ ὅτι ὁ λόγος δὲν γίνεται γιὰ τὴν 'Ιουδαία καὶ τὴν 'Ιερουσαλήμ, ἐξετάζοντας τὴν κάθε μιὰ λέξη ξεχωριστά, θὰ γνωρίσουμε μὲ ἀκρίβεια τὰ ὅσα ἔχουν λεχθεῖ.

«Κατὰ τὶς τελευταῖες ἡμέρες θὰ γίνει ἔνδοξο τὸ ὄρος τοῦ Κυρίου». Πρόσεχε ἀκρίβεια προφήτου, δὲν περιγράφει μόνο τὰ γεγονότα, ἀλλὰ καὶ τὸν χρόνο προσδιορίζει. Διότι ἐκεῖνο ἀκριβῶς ποὺ λέγει ὁ Παῦλος, «Ὅταν ἦρθε τὸ πλήρωμα τῶν καιρῶν»[12], καὶ σ' ἄλλο μέρος πάλι, «Πρὸς ἐκπλήρωση τῶν και-

τῶν καιρῶν», τοῦτο ὁ προφήτης φησίν, «Ἐν ταῖς ἐσχάταις ἡμέραις». «Ὄρος» δὲ τὴν Ἐκκλησίαν καὶ τὸ τῶν δογμάτων ἀκαταγώνιστον καλεῖ. Καθάπερ γὰρ ὄρεσι κἂν μυρία προσβάλλῃ στρατόπεδα, τόξα τείνοντα, καὶ δόρατα ἀφιέντα, μηχανήματα προσάγοντα, ἐκεῖνα μὲν οὐδὲ παραβλάψαι δυνήσονται, τὴν δὲ οἰκείαν καταλύσαντα ἰσχὺν ἀπελεύσονται, οὕτω δὴ καὶ οἱ τῇ Ἐκκλησίᾳ πολεμήσαντες ἅπαντες, ταύτην μὲν οὐκ ἔσεισαν, τὴν δὲ οἰκείαν ἀπολέσαντες δύναμιν κατῃσχύνθησαν, ἐν τῷ παίειν διαλυόμενοι, καὶ ἐν τῷ βάλλειν ἀσθενοῦντες, καὶ ἐν τῷ ποιεῖν ὑπὸ τῶν πασχόντων νικώμενοι, ὅπερ καὶ παράδοξος νίκης τρόπος ἐστί, καὶ οὐκ ἀνθρώποις, ἀλλὰ Θεῷ μόνον δυνατός.

Τὸ γὰρ θαυμαστὸν τῆς Ἐκκλησίας, οὐχ ὅτι ἐνίκησεν, ἀλλ' ὅτι καὶ οὕτως ἐνίκησεν. Ἐλαυνομένη γάρ, διωκομένη, μυρίοις κατακοπτομένη τρόποις, οὐ μόνον οὐκ ἠλαττονοῦτο, ἀλλὰ καὶ μείζων ἐγίνετο, καὶ τοὺς ταῦτα ποιεῖν ἐπιχειροῦντας αὐτὸ τὸ πάσχειν μόνον κατέλυεν· ὅπερ ἀδάμας ποιεῖ περὶ τὸν σίδηρον, τῷ παίεσθαι μόνον διαλύων τοῦ παίοντος τὴν ἰσχύν, καὶ κέντρα πρὸς τοὺς λακτίζοντας, αὐτὰ μὲν οὐδὲν ἀμβλύτερα ἐντεῦθεν γινόμενα, τοὺς δὲ λακτίζοντας αἱμάσσοντα πόδας. Διὰ δὴ τοῦτο ὄρος ἐκάλεσεν. Εἰ δὲ οὐκ ἀνέχεται τῆς μεταφορᾶς ὁ Ἰουδαῖος, οἴκοθεν πάλιν δεχέσθω τὸν ἔλεγχον. Αὐτὸς γὰρ οὗτος ὁ προφήτης λύκους καὶ ἄρνας ἔφησε τῆς αὐτῆς νομῆς κοινωνήσειν, καὶ μυίαις τὸν Θεὸν συριεῖν καὶ ταῖς μελίσσαις καὶ ποταμὸν ἀνάγειν ραγδαῖον ἐπὶ τοὺς Ἰουδαίους, διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς ἔχειν τὸ ὕδωρ τοῦ Σιλωάμ. Ἅπερ εἴ τις ἐπὶ τῶν λέξεων ἐκλά-

13. Ἐφ. 1, 10.
14. Ἠσ. 11, 6 καὶ 65, 25.
15. Ἠσ. 7, 18.
16. Ἠσ. 8, 6-7.

ρῶν τοῦ σχεδίου τῆς οἰκονομίας τοῦ Θεοῦ»[13], αὐτὸ λέγει καὶ ὁ προφήτης, «Κατὰ τὶς τελευταῖες ἡμέρες». «Ὄρος» δὲ ὀνομάζει τὴν Ἐκκλησία καὶ τὸ ἀκαταμάχητο τῶν δογμάτων. Διότι ὅπως ἀκριβῶς συμβαίνει μὲ τὰ ὄρη, καὶ ἂν ἀκόμα τὰ προσβάλλει κανεὶς μὲ ἀμέτρητα στρατεύματα, ποὺ τεντώνουν τὰ τόξα τους, ποὺ ρίχνουν δόρατα καὶ συγκεντρώνουν πολιορκητικὰ μηχανήματα, ἐκεῖνα μὲν δὲν θὰ μπορέσουν νὰ τὰ βλάψουν καθόλου, τὰ ἴδια δέ, ἀφοῦ καταστρέψουν τὴ δύναμή τους, θ' ἀπομακρυνθοῦν, ἔτσι λοιπὸν καὶ ὅλοι ἐκεῖνοι ποὺ πολέμησαν τὴν Ἐκκλησία, αὐτὴν μὲν δὲν τὴν διασάλευσαν, οἱ ἴδιοι ὅμως, ἀφοῦ ἔχασαν τὴ δύναμή τους, καταντροπιάσθηκαν, διαλυόμενοι οἱ ἴδιοι, ἐνῶ αὐτοὶ χτυποῦσαν, ἐξασθενώντας οἱ ἴδιοι, ἐνῶ αὐτοὶ τοὺς ἐπιτίθονταν, καὶ νικώμενοι ἀπὸ ἐκείνους ποὺ ὑπέφεραν, ἐνῶ αὐτοὶ τοὺς μάχονταν, πράγμα ποὺ εἶναι καὶ παράξενος τρόπος νίκης, καὶ δυνατὸς ὄχι στοὺς ἀνθρώπους, ἀλλὰ μόνο στὸ Θεό.

Πράγματι τὸ ἀξιοθαύμαστο τῆς Ἐκκλησίας εἶναι ὄχι τὸ ὅτι νίκησε, ἀλλὰ τὸ ὅτι νίκησε κατ' αὐτὸ τὸν τρόπο. Καθόσον ἂν καὶ δεχόταν πλήγματα, διωκόταν καὶ καταβασανιζόταν μὲ ἀμέτρητους τρόπους, ὄχι μόνο δὲν ἐλαττωνόταν, ἀλλὰ καὶ γινόταν μεγαλύτερη, καὶ ἐκείνους, ποὺ ἐπιχειροῦσαν νὰ κάμνουν αὐτά, τοὺς κατέστρεφαν μόνο τὰ κακοπαθήματα αὐτῶν. Αὐτὸ ἀκριβῶς δηλαδὴ ποὺ κάμνει τὸ διαμάντι στὸ σίδερο, διαλύοντας τὴ δύναμη ἐκείνου ποὺ τὸ χτυπᾶ μόνο μὲ τὰ χτυπήματα ποὺ δέχεται, καὶ τὰ καρφιὰ πρὸς ἐκείνους ποὺ τὰ κλωτσοῦν, ποὺ τὰ ἴδια μὲν καθόλου δὲν χάνουν τὴν ὀξύτητά τους ἀπ' αὐτὴ τὴν ἐνέργεια, ἐκείνους ὅμως ποὺ τὰ κλωτσοῦν τοὺς καταματώνουν. Γι' αὐτὸ λοιπὸν ὄρος τὴν ὀνόμασε. Ἂν δὲ ὁ Ἰουδαῖος δὲν δέχεται τὴ μεταφορικὴ σημασία, ἂς ἐλεγχθεῖ πάλι ἀπὸ τὴν ἴδια τὴν προφητεία. Διότι ὁ ἴδιος αὐτὸς ὁ προφήτης εἶπε ὅτι θὰ βοσκήσουν μαζὶ οἱ λύκοι καὶ τὰ ἀρνιά[14], καὶ ὅτι θὰ συγκεντρώσει μὲ σφύριγμα ὁ Θεὸς τὶς μύγες καὶ τὶς μέλισσες[15], καὶ θὰ ὁδηγήσει ἐναντίον τῶν Ἰουδαίων ὁρμητικὸ ποταμό, ἐπειδὴ δὲν θέλουν νὰ ἔχουν το νερὸ τοῦ Σιλωάμ[16]. Αὐτὰ ἂν κάποιος τὰ δε-

βοι, πολὺ τὸ ἀπερινόητον ἔχει· ἀλλὰ δεῖ τὰ ἐκ τούτων σημαινόμενα δεχομένους οὕτω ποικίλλειν τῶν νοημάτων τὴν ἀκολουθίαν.

Τί οὖν ἐστι τὰ ἐκ τούτων σημαινόμενα; Διὰ μὲν τῶν λύκων καὶ τῶν ἀρνῶν, οἱ τῶν ἀνθρώπων τρόποι οἱ θηριώδεις καὶ ἥμεροι, διὰ δὲ τῶν μυιῶν, τὸ ἀναίσχυντον τῶν Αἰγυπτίων, διὰ δὲ τοῦ ποταμοῦ, τὸ σφοδρὸν τῆς στρατείας τοῦ βαρβάρου, διὰ δὲ τοῦ Σιλωάμ, τὸ πρᾶον καὶ ἐπιεικὲς τοῦ τότε ἄρχοντος, τοῦ τῶν Ἰουδαίων βασιλέως. Καὶ οὐδεὶς οὐδὲ τῶν σφόδρα ἀνοήτων πρὸς ταῦτα ἡμῖν ἀντερεῖ. Ὥσπερ γὰρ οὖν ἐκεῖνα ἑτέροις ὀνόμασι παρεδηλώθη, οὕτω καὶ τῆς Ἐκκλησίας τὸ στερρόν, τὸ ἀκίνητον, τὸ ὑψηλόν, τὸ ἀχείρωτον διὰ τῆς τοῦ ὄρους ᾐνίξατο προσηγορίας. Καὶ γὰρ ἕτερος προφήτης τοὺς πεποιθότας ἐπὶ τὸν Θεὸν ὄρει παραβάλλει, τὸ ἀκαταγώνιστον αὐτῶν ἐνδεικνύμενος.

«Ἐμφανές». Τοῦτο οὐδὲ τῆς ἀπὸ τοῦ λόγου λοιπὸν ἑρμηνείας δεῖται. Οὕτως αὐτὴ τῶν πραγμάτων ἡ φύσις σάλπιγγος λαμπροτέραν φωνὴν ἀφίησι, τὸ περιφανὲς ἐνδεικνυμένη τῆς Ἐκκλησίας. Οὐ γὰρ οὕτως ἥλιος φανός, οὐδὲ τὸ ἐκ τούτου φῶς, ὡς τῆς Ἐκκλησίας τὰ πράγματα.

3. «Καὶ γὰρ ὁ οἶκος τοῦ Θεοῦ ἐπ᾽ ἄκρων τῶν ὀρέων». Πῶς ἂν τοῦτο ἑρμηνεύσειεν ὁ Ἰουδαῖος; Οὐδαμοῦ γὰρ ἐπ᾽ ἄκρων τῶν ὀρέων ὁ ναός ἐστιν· ἡ μέντοι τῆς Ἐκκλησίας δύναμις αὐτῶν ἥψατο τῶν οὐρανῶν. Καὶ ὡσανεὶ οἶκος ὑπὲρ κορυφῆς ὀρῶν κείμενος πᾶσίν ἐστι κατάδηλος, οὕτω καὶ πολλῷ πλέον αὐτὴ περιφανὴς πᾶσιν ἀνθρώποις γέγονε.

«Καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν». Τὸ αὐτὸ τοῦτο πάλιν ἡρμήνευσεν, ὅπερ ἐπὶ τοῦ ναοῦ οὐδέποτε συνέβη, οὐδὲ ἡνίκα ἄριστα πράττειν ἐδόκει. Πῶς γάρ, ὅπου γε καὶ ὑπ᾽ αὐτῶν τῶν Ἰουδαίων πολλάκις ἠτιμάζετο, καὶ ὑπὸ βαρβαρικῶν ἠφανίζετο χειρῶν; Ἡ δὲ τῆς Ἐκκλησίας ἰσχὺς ἐ-

χθεῖ κατὰ λέξη, εἶναι πολὺ ἀκατανόητα, γι' αὐτὸ πρέπει νὰ δεχόμαστε τὰ ὅσα ὑποδηλώνονται ἀπὸ αὐτά, ποικίλλοντας κατ' αὐτὸ τὸν τρόπο τὸν εἱρμὸ τῶν νοημάτων.

Τί λοιπὸν σημαίνουν τὰ ὅσα ὑποδηλώνονται μὲ αὐτά; Μὲ τοὺς μὲν λύκους καὶ τὰ ἀρνιὰ ὑποδηλώνονται οἱ θηριώδεις καὶ οἱ ἥμεροι τρόποι τῶν ἀνθρώπων, μὲ τὶς μύγες ἡ ἀναισχυντία τῶν Αἰγυπτίων, μὲ τὸν ποταμὸ ἡ ὁρμητικότητα τῆς βαρβαρικῆς ἐπιθέσεως, μὲ τὸν δὲ Σιλωὰμ ἡ πραότητα καὶ ἡ ἐπιείκεια τοῦ τότε ἄρχοντα, τοῦ βασιλιᾶ τῶν 'Ιουδαίων. Καὶ κανένας οὔτε καὶ ἀπὸ τοὺς πάρα πολὺ ἀνόητους θὰ μᾶς προβάλει ἀντίρρηση γι' αὐτά. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνα ὑποδηλώθηκαν μὲ ἄλλα ὀνόματα, ἔτσι καὶ τὸ σταθερό, τὸ ἀκίνητο, τὸ ὑψηλὸ καὶ τὸ ἀκατανίκητο τῆς 'Εκκλησίας ὑποδηλώθηκε μὲ τὴν ὀνομασία τοῦ ὄρους. Καθόσον καὶ ἄλλος προφήτης παραβάλλει μὲ ὄρος ἐκείνους ποὺ πιστεύουν στὸ Θεό, γιὰ νὰ δείξει τὸ ἀκαταμάχητο αὐτῶν.

«'Εμφανές». Αὐτὸ δὲν χρειάζεται πλέον οὔτε κἂν ἑρμηνεία μὲ λόγια. Αὐτὴ ἡ ἴδια ἡ φύση τῶν πραγμάτων ἀφήνει φωνὴ τόσο πολὺ λαμπρότερη ἀπὸ σάλπιγγα, δείχνοντας τὸν ἔνδοξο χαρακτήρα τῆς 'Εκκλησίας. Διότι δὲν εἶναι ὁ ἥλιος τόσο φωτεινός, οὔτε τὸ φῶς ποὺ ἐκπέμπεται ἀπ' αὐτόν, ὅσο τὰ πράγματα τῆς 'Εκκλησίας.

3. Διότι «'Ο οἶκος τοῦ Θεοῦ ποὺ εἶναι κτισμένος στὶς κορυφὲς τῶν ὀρέων». Πῶς θὰ μποροῦσε ὁ 'Ιουδαῖος νὰ ἑρμηνεύσει αὐτό; Διότι ὁ ναὸς τοῦ Θεοῦ σὲ καμιὰ κορυφὴ τῶν ὀρέων δὲν βρίσκεται, ἐνῶ ἡ δύναμη τῆς 'Εκκλησίας ἄγγισε τὸν ἴδιο τὸν οὐρανό. Καὶ ὅπως ἀκριβῶς ἡ οἰκία ποὺ εἶναι χτισμένη στὴν κορυφὴ τῶν ὀρέων εἶναι ὁρατὴ σ' ὅλους, ἔτσι καὶ πολὺ περισσότερο ἡ 'Εκκλησία ἔγινε φανερὴ σ' ὅλους τοὺς ἀνθρώπους.

«Καὶ θὰ ὑψωθεῖ ἐπάνω ἀπὸ τὰ βουνά». Τὸ ἴδιο πάλι ἑρμήνευσε, πράγμα ποὺ δὲν συνέβηκε ποτὲ μὲ τὸ ναό, οὔτε ὅταν φαινόταν ὅτι βρισκόταν στὴ μεγάλη δόξα του. Διότι πῶς ἦταν δυνατὸ αὐτό, τὴ στιγμὴ ποὺ καὶ ἀπὸ αὐτοὺς τοὺς ἴδιους τοὺς 'Ιουδαίους περιφρονιοῦνταν καὶ καταστρεφόταν ἀπὸ τὰ βαρ-

πολεμήθη μὲν ἐκείνου χαλεπώτερον καὶ πλέον, εἶξε δὲ οὐδέποτε ταῖς τῶν πωλεμούντων χερσίν, ἀλλ' ὑψηλοτέρα καὶ περιφανεστέρα μάλιστα ὑπὸ τῶν πολεμίων ἐγίνετο. Τότε γοῦν τῶν μαρτύρων οἱ δῆμοι, τότε τῶν ὁμολογητῶν τὰ πλήθη, καὶ τῶν ἀστέρων αὐτῶν ἀκριβέστερον ἔλαμπον, τῶν μὲν σωμάτων αὐτοῖς κατακοπτομένων, τῆς γνώμης δὲ οὐ νικωμένης, ἀλλὰ κρατούσης καὶ στεφανουμένης. Τίς εἶδε, τίς ἤκουσε φόνον στέφανον φέροντα, καὶ σφαγὴν νίκην ἐργαζομένην, καὶ τότε τὸ στρατόπεδον λαμπρότερον γινόμενον, ὅτε πλείους οἱ σφαττόμενοι παρὰ τῶν πολεμίων ἐφαίνοντο;

«Καὶ ἥξουσιν ἐπ' αὐτῷ πάντα τὰ ἔθνη». Προϊὼν σαφέστερος ὁ προφήτης γίνεται, καὶ μᾶλλον ἀνακαλύπτει τὸν λόγον, καὶ τρανότερον δείκνυσι τὴν προφητείαν, καὶ ἀκριβέστερον ἀπορράπτει τῶν Ἰουδαίων τὰ στόματα. Τοῦτο γάρ, καὶ εἰ σφόδρα ἀναισχυντοῖεν, οὐ δυνήσονται τῷ αὐτῶν ναῷ ἁρμόσαι. Καὶ γὰρ καὶ ἀπηγόρευτο, καὶ μεθ' ὑπερβολῆς κεκώλυτο ἔθνη εἰς τὸν ναὸν εἰσιέναι. Καὶ τί λέγω εἰς τὸν ναὸν εἰσιέναι, ὅπου γε καὶ αὐτοῖς μετὰ πολλῆς τῆς ἀπειλῆς ὁ νόμος ἀπηγόρευε τὰς τῶν ἐθνῶν ἐπιμιξίας, καὶ τὴν ἔσχατον ὑπὲρ τούτων ἀπήτει δίκην; Ὁ γοῦν προφήτης Ἀγγαῖος ἅπασαν εἰς τοῦτο κατηνάλωσε τὴν προφητείαν, ἐγκαλῶν, ἀπειλῶν, εὐθύνας ἀπαιτῶν τῆς οὐ προσηκούσης ἐπιγαμβρίας. Ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλά, μετὰ ἀδείας ἁπάσης ἀναπετάσασα τοὺς κόλπους ἡ Ἐκκλησία, χερσὶν ὑπτίαις ἅπαντα τὰ τῆς οἰκουμένης καθ' ἑκάστην ἡμέραν ὑποδέχεται ἔθνη. Τοῦτο γὰρ καὶ οἱ πρῶτοι τῶν δογμάτων διδάσκαλοι παρὰ τοῦ Μονογενοῦς ἐκελεύσθησαν, ταύτην εὐθέως ἀκούσαντες τὴν φωνήν· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη».

---

17. Ματθ. 29, 19.

βαρικὰ χέρια; Ἐνῶ ἀντίθετα ἡ δύναμη τῆς Ἐκκλησίας πολεμήθηκε μὲν φοβερότερα καὶ πολὺ περισσότερο ἀπὸ τὸ ναό, οὐδέποτε ὅμως ὑπέκυψε στὰ χέρια τῶν ἐχθρῶν, ἀλλ' ἔγινε ὑψηλότερη καὶ πολὺ περισσότερο λαμπρότερη ἂν καὶ πολεμοῦνταν ἀπὸ τοὺς ἐχθρούς. Τότε λοιπὸν δημιουργήθηκαν τὰ πλήθη τῶν μαρτύρων, τότε τὰ πλήθη τῶν ὁμολογητῶν, τότε οἱ ψυχὲς ἀποδεικνύονταν πιὸ στερεὲς καὶ ἀπὸ τὸ σίδερο καὶ ἔλαμπαν περισσότερο καὶ ἀπὸ τὰ ἴδια τὰ ἄστρα, ποὺ τὰ μὲν σώματα αὐτῶν κατατεμαχίζονταν, χωρὶς ὅμως νὰ νικιέται τὸ φρόνημα αὐτῶν, ἀλλ' ὑπερίσχυε καὶ στεφανωνόταν. Ποιὸς εἶδε, ποιὸς ἄκουσε φόνο νὰ φέρνει στέφανο καὶ σφαγὴ νὰ χωρίζει νίκη καὶ τότε τὸ στράτευμα νὰ γίνεται λαμπρότερο, ὅταν αὐτοὶ ποὺ σφάζονταν ἀπὸ τοὺς ἐχθροὺς γίνονταν περισσότεροι;

«Καὶ θὰ προστρέξουν πρὸς τὸ ὄρος αὐτὸ ὅλα τὰ ἔθνη». Προχωρώντας ὁ προφήτης γίνεται σαφέστερος καὶ περισσότερο ἀποκαλύπτει τὸ λόγο καὶ παρουσιάζει λαμπρότερη τὴν προφητεία καὶ πολὺ πιὸ καλύτερα κλείνει τὰ στόματα τῶν Ἰουδαίων. Διότι αὐτό, καὶ ἂν ἀκόμα δείξουν ὑπερβολικὴ ἀδιαντροπιά, δὲν θὰ μπορέσουν νὰ τὸ ἀποδώσουν στὸ ναό τους. Καθόσον καὶ ἀπαγορευόταν καὶ ἐμποδιζόταν πολὺ αὐστηρὰ οἱ ἐθνικοὶ νὰ εἰσέρχονται στὸ ναό. Καὶ γιατί λέγω νὰ εἰσέρχονται στὸ ναό, τὴ στιγμὴ βέβαια ποὺ καὶ σ' αὐτοὺς ἀπαγόρευε ὁ νόμος μὲ μεγάλη ἀπειλὴ τὴ σύναψη γάμων μὲ τοὺς ἐθνικοὺς καὶ τοὺς τιμωροῦσε γι' αὐτοὺς τοὺς γάμους μὲ τὴν ποινὴ θανάτου; Ὁ προφήτης λοιπὸν Ἀγγαῖος ὅλη τὴν προφητεία σ' αὐτὸ τὴν ἀφιέρωσε, κατηγορώντας, ἀπειλώντας, ἀπαιτώντας εὐθύνες γιὰ τὴν παράνομη σύναψη γάμων. Ὅμως τὰ δικά μας δὲν εἶναι τέτοια, ἀλλ', ἀφοῦ ἡ Ἐκκλησία ἄνοιξε μὲ χωρὶς κανένα φόβο τὴν ἀγκαλιά της, μὲ ἀνοιχτὰ τὰ χέρια ὑποδέχεται καθημερινὰ ὅλα τὰ ἔθνη τῆς οἰκουμένης. Αὐτὴ τὴν ἐντολὴ πῆραν καὶ οἱ πρῶτοι δάσκαλοι τῶν δογμάτων ἀπὸ τὸν Μονογενὴ Υἱό, ἀφοῦ ἄκουσαν αὐτὰ τὰ λόγια· «Πηγαίνετε καὶ κάνετε μαθητὲς ὅλα τὰ ἔθνη»[17].

Σκόπει δέ μοι πῶς οὐ τὴν κλῆσιν τῶν ἐθνῶν ᾐνίξατο μόνον ὁ προφήτης, ἀλλὰ καὶ τὴν μετὰ προθυμίας αὐτῶν ὑπακοήν. Οὐ γὰρ εἶπεν, 'ἀχθήσονται', ἀλλά, «Ἥξουσιν», ὅπερ ἕτερος προφήτης σαφέστερον ἐνδεικνύμενος ἔλεγε· «Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν». Ἐπὶ μὲν γὰρ τῶν Ἰουδαίων καὶ ἡ κτίσις ἀνεστοιχειοῦτο, καὶ ἀπειλαὶ συνεχεῖς, καὶ κολάσεις διηνεκεῖς, καὶ θαύματα ἐπάλληλα, καὶ προφητῶν δρόμοι, καὶ νομοθέτου φόβος, καὶ πολέμων ἀπειλαί, καὶ βαρβάρων ἔφοδοι, καὶ ὀργαὶ θεήλατοι, καὶ κολάσεις ἐκ τῶν οὐρανῶν πεμπόμεναι, καὶ ἔμενον, σκληροτράχηλοι καὶ ἀπερίτμητοι ὄντες, καθὼς ὁ Στέφανος ἔλεγεν, ἀτενεῖς καὶ δυσένδοτοι, ἐπὶ δὲ τῶν ἐθνῶν ἤρκεσε ῥῆμα ψιλὸν καὶ ἀκοὴ μόνη, καὶ πάντες εὐθέως προσέδραμον.

Ὅπερ οὖν καὶ ὁ Δαυὶδ αἰνιττόμενος ἔλεγε· «Λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι»· καί, τὸν τρόπον τῆς ὑπακοῆς θαυμάζων, προσετίθει· «Εἰς ἀκοὴν ὠτίου ἐπήκουσέ μου». Τοῦτο αὐτὸ καὶ ὁ Ἰακὼβ αἰνιγματωδέστερον ἐμφαίνων ἔλεγε· «Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ». Καίτοι τίς εἶδεν ἕλικι πῶλον δεσμούμενον, καὶ παρεστῶτα ἀμπέλῳ, καὶ μὴ λυμαινόμενον τὸν καρπόν; Ἐπὶ μὲν γὰρ τῶν ἀλόγων οὐδείς, ἐπὶ δὲ τῶν ἀνθρώπων μετὰ πολλῆς τοῦτο γέγονε τῆς ἀκριβείας. Οἱ μὲν γὰρ Ἰουδαῖοι μυρίοις δεθέντες δεσμοῖς, «Συνέτριψαν τὸν ζυγόν, διέρρηξαν τὸν δεσμόν», καθὼς ὁ προφήτης φησί, τὰ δὲ ἔθνη οὐδεμιᾷ τοιαύτῃ δεθέντα ἀνάγκῃ, ἑτοίμως ὑπήκουσαν, ὡς ἂν ἕλικι πῶλος δεσμούμενος, καὶ οὐδὲν ἐλυμήναντο τῶν ἐπιταγμάτων, ἀλλὰ παρειστήκεισαν πολλὴν ἐνδεικνύμενοι τὴν ὑπακοήν.

---

18. Ἰεζ. 28, 34.
19. Πράξ. 7, 51.
20. Ψαλμ. 17, 44.
21. Ψαλμ. 17, 45.
22. Γεν. 49, 11.

Ἀλλὰ πρόσεχε σὲ παρακαλῶ πῶς ὁ προφήτης δὲν ὑπαινίχθηκε μόνο τὴν κλήση τῶν ἐθνῶν, ἀλλὰ καὶ τὴν μετὰ προθυμίας ὑπακοὴ αὐτῶν. Διότι δὲν εἶπε, 'θὰ ὁδηγηθοῦν', ἀλλά, «θὰ προστρέξουν», πράγμα ποὺ ἄλλος προφήτης γιὰ νὰ δείξει, ἔλεγε· «Καὶ δὲν θὰ διδάξει ὁ καθένας τὸν συμπολίτη του καὶ ὁ ἀδελφὸς τὸν ἀδελφό του, λέγοντας, γνώρισε τὸν Κύριο, διότι ὅλοι θὰ μὲ γνωρίσουν, ἀπὸ τὸν μικρὸ μέχρι τὸν μεγάλο»[18]. Διότι στὴν περίπτωση μὲν τῶν Ἰουδαίων καὶ ἡ κτίση μεταβαλλόταν, καὶ οἱ ἀπειλὲς ἦταν συνεχεῖς, καὶ οἱ τιμωρίες συνεχεῖς, καὶ θαύματα γίνονταν τὸ ἕνα μετὰ τὸ ἄλλο, καὶ προφῆτες ἐμφανίζονταν, καὶ ὁ φόβος τοῦ νομοθέτη ὑπῆρχε, καὶ ἀπειλὲς τῶν ἐχθρῶν, καὶ ἔφοδοι τῶν βαρβάρων, καὶ ὀργὲς θεόσταλτες, καὶ τιμωρίες σταλμένες ἀπὸ τὸν οὐρανό, καὶ ὅμως, καθὼς ἦταν σκληροτράχηλοι καὶ ἀναίσθητοι, ὅπως ὁ Στέφανος ἔλεγε[19], παρέμεναν ἄκαμπτοι καὶ ἀνένδοτοι, στὴν περίπτωση δὲ τῶν ἐθνικῶν ὑπῆρξε ἀρκετὸς ἁπλὸς καὶ μόνον λόγος καὶ ἄκουσμα αὐτοῦ καὶ ὅλοι ἀμέσως προσέτρεξαν.

Αὐτὸ ἀκριβῶς λοιπὸν ὑπονοώντας καὶ ὁ Δαυίδ, ἔλεγε· «Λαός, ποὺ δὲν τὸν γνώρισα ποτέ, μοῦ πρόσφερε τὶς ὑπηρεσίες του»[20]· καί, θαυμάζοντας τὸν τρόπο τῆς ὑπακοῆς, πρόσθεσε· «Μόλις ἄκουσε γιὰ μένα, ἀμέσως ὑπάκουσε»[21]. Αὐτὸ ἀκριβῶς γιὰ νὰ δείξει καὶ ὁ Ἰακὼβ μὲ τρόπο πιὸ αἰνιγματικὸ ἔλεγε· «Θὰ δένει τὸν ὄνο του στὴν ἄμπελο καὶ τὸ πωλάρι τῆς ὄνου του στὴν ἕλικα τῆς ἀμπέλου»[22]. Ἂν καὶ βέβαια ποιὸς εἶδε ὄνο δεμένο στὴν ἕλικα τῆς ἀμπέλου, νὰ βρίσκεται μέσα στὴν ἄμπελο καὶ νὰ μὴ καταστρέφει τὸν καρπό; Στὴν περίπτωση μὲν τῶν ἀλόγων ζώων κανένας βέβαια δὲν εἶδε, στὴν περίπτωση ὅμως τῶν ἀνθρώπων συνέβηκε αὐτὸ μὲ μεγάλη ἀκρίβεια. Διότι οἱ μὲν Ἰουδαῖοι, ἂν καὶ δέθηκαν μὲ ἀμέτρητους δεσμούς, «Συνέτριψαν τὸ ζυγό, διέσπασαν τὸ δεσμό», καθὼς ὁ προφήτης λέγει[22], οἱ ἐθνικοὶ ὅμως, ἂν καὶ δὲν δέθηκαν μὲ κανένα τέτοιο δεσμευτικὸ μέσο, μὲ προθυμία ὑπάκουσαν, σὰν τὸν ὄνο ποὺ εἶναι δεμένος στὴν ἕλικα τῆς ἀμπέλου, καὶ καμιὰ ἀπὸ τὶς ἐντολὲς δὲν παραβίασαν, ἀλλ' ὑποτάχθηκαν, δείχνοντας μεγάλη ὑπακοή.

«Καὶ πορεύσονται λαοὶ πολλοί, καὶ ἐροῦσι· δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ». Ὅρα χορεύοντας καὶ πανηγυρίζοντας, καὶ ἀλλήλοις ἐγκελευομένους, καὶ πάντας διδασκάλους γινομένους, καὶ οὐχ ἕν, καὶ δεύτερον, καὶ τρίτον, ἀλλὰ καὶ πολλὰ ἔνθη συντρέχοντα. «Ἥξουσι» γάρ, φησί, «λαοὶ πολλοί», καὶ ἐκ διαφόρων χωρῶν, ὅπερ ἐπὶ τῶν Ἰουδαίων οὐδέποτε γέγονεν, ἀλλ' εἰ καί τινες προσῆλθον, ὀλίγοι ποτὲ προσήλυτοι, μετὰ πολλῆς καὶ αὐτοὶ τῆς πραγματείας, καὶ οὐδέποτε ἔθνη ἐκλήθησαν, ἀλλὰ προσήλυτοι. «Προσήλυτοι γὰρ ἐπὶ σὲ διελεύσονται, καί σοι ἔσονται δοῦλοι», φησίν. Εἰ δὲ ἐπιμένει τῇ μεταφορᾷ ὁ προφήτης, ὄρος καλῶν καὶ οἶκον τοῦ Θεοῦ Ἰακώβ, μὴ θαυμάσῃς. Ὅπερ γὰρ ἔφθην εἰπών, νῦν μὲν παρανοίγει, νῦν δὲ συσκιάζει τὴν προφητείαν, τὸ μέν, ἵνα τοῖς συνετωτέροις ἀφορμὰς παράσχοι τοῦ συνιδεῖν τὰ λεγόμενα, τὸ δέ, ἵνα τῶν ἀγνωμόνων κατάσχοι τὴν ἄτακτον ῥύμην, καὶ πανταχόθεν ποικίλλει τὸν λόγον.

4. Εἰ δὲ «Θεοῦ Ἰακὼβ» εἶπε, μὴ θορυβηθῇς, ἀγαπητέ· καὶ γὰρ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ Θεὸς Ἰακὼβ ἦν. Αὐτὸς γὰρ καὶ τὸν νόμον ἔδωκε, καὶ τὰ κατ' αὐτοὺς ἐθαυματούργησεν ἅπαντα· καὶ τοῦτο ἐκ τῆς Παλαιᾶς αὐτῆς μάλιστά ἐστιν ἰδεῖν, ἐπειδὴ τῆς Καινῆς οὐδὲ εἷς Ἰουδαίοις λόγος. Ὁ οὖν Ἰερεμίας φησί· «Διαθήσομαι ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν», δεικνὺς ὅτι ἑκατέρων τῶν νόμων αὐτὸς ὁ νομοθέτης ἦν. Ὅτι δὲ καὶ τῆς Αἰγύπτου αὐτὸς ἀπήλλαξεν, ἐπήγαγεν· «Ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς Αἰγύπτου». Εἰ δὲ αὐτὸς ἐξήγαγε, καὶ πάντας ἐκεῖνα τὰ ἐν τῇ Αἰγύπτῳ καὶ τὰ ἐν τῇ ἐρήμῳ αὐτὸς ἐποίησε θαύματα.

---

23. Ἱερ. 5,5.
24. Ἡσ. 54, 15.
25. Ἱερ. 38, 31-32.
26. Ἱερ. 38, 32.

«Καὶ θὰ προστρέξουν πολλοὶ λαοὶ καὶ θὰ λέγουν· ἐλᾶτε ν' ἀνεβοῦμε στὸ ὄρος τοῦ Κυρίου καὶ στὸν οἶκο τοῦ Θεοῦ τοῦ Ἰακώβ». Πρόσεχε ποὺ χορεύουν καὶ πανηγυρίζουν καὶ προτρέπουν ὁ ἕνας τὸν ἄλλο, καὶ ὅλοι γίνονται δάσκαλοι, καὶ προστρέχουν ὄχι ἕνα, καὶ δύο καὶ τρία, ἀλλὰ πολλὰ ἔθνη. Διότι, λέγει, «θὰ προστρέξουν πολλοὶ λαοί», καὶ ἀπὸ διάφορες χῶρες, πράγμα ποὺ μὲ τοὺς Ἰουδαίους ποτὲ δὲν συνέβηκε, ἀλλά, καὶ ἂν ἀκόμα προσῆλθαν μερικοί, λίγοι δηλαδὴ προσήλυτοι, μὲ πολλὰ ὅμως καὶ αὐτοὶ προβλήματα, καὶ ποτὲ δὲν ὀνομάσθηκαν ἔθνη, ἀλλὰ προσήλυτοι. Διότι λέγει, «Προσήλυτοι θὰ προσέλθουν σὲ σένα καὶ θὰ γίνουν δοῦλοι σου»[24]. Ἐὰν δὲ ἐπιμένει ὁ προφήτης στὴ μεταφορά, ὀνομάζοντάς την ὄρος καὶ οἶκο τοῦ Θεοῦ τοῦ Ἰακώβ, μὴ θαυμάσεις. Διότι, ὅπως προανέφερα, ἄλλοτε μὲν φανερώνει τὴν προφητεία, ἄλλοτε δὲ συσκιάζει αὐτήν, τὸ μὲν πρῶτο γιὰ νὰ δώσει ἀφορμὲς στοὺς συνετότερους ν' ἀντιληφθοῦν τὰ λεγόμενα, τὸ δὲ δεύτερο γιὰ νὰ συγκρατήσει τὴν ἄτακτη ὁρμὴ τῶν ἀχάριστων, καὶ ἀπὸ παντοῦ ποικίλλει τὸ λόγο.

4. Ἂν ὅμως εἶπε, «τοῦ Θεοῦ τοῦ Ἰακώβ», μὴ θορυβεῖς, ἀγαπητέ· καθόσον ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἦταν Θεὸς τοῦ Ἰακώβ. Διότι αὐτὸς καὶ τὸ νόμο ἔδωσε καὶ ἐπιτέλεσε ὅλα τὰ θαύματα σ' αὐτούς· καὶ αὐτὸ μπορεῖ κανεὶς νὰ τὸ δεῖ ἀπὸ τὴν ἴδια τὴν Παλαιὰ Διαθήκη, ἐπειδὴ ἡ Καινὴ Διαθήκη δὲν ἀναφέρει κανένα λόγο γιὰ τοὺς Ἰουδαίους. Ὁ Ἰερεμίας λοιπὸν λέγει· «Καὶ θὰ συνάψω μαζί σας καινούρια διαθήκη, ὄχι σὰν τὴ διαθήκη ποὺ εἶχα συνάψει μὲ τοὺς πατέρες σας»[25], γιὰ νὰ δείξει ὅτι καὶ τῶν δυὸ νόμων αὐτὸς ἦταν ὁ νομοθέτης. Τὸ ὅτι δὲ αὐτὸς τοὺς ἀπάλλαξε καὶ ἀπὸ τὴν Αἴγυπτο, πρόσθεσε· «Κατὰ τὴν ἐποχὴ ἐκείνη ποὺ τοὺς πῆρα ἀπὸ τὰ χέρια τους γιὰ νὰ τοὺς βγάλω ἔξω ἀπὸ τὴν Αἴγυπτο»[26]. Ἂν δὲ αὐτὸς τοὺς ἔβγαλε, καὶ ὅλα τὰ θαύματα ἐκεῖνα, ποὺ ἔγιναν στὴν Αἴγυπτο καὶ στὴν ἔρημο, αὐτὸς τὰ ἔκανε.

«Καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ». Ὁρᾷς ἕτερόν τινα ἐπιζητοῦντας νόμον; Ὁδὸν γὰρ ἡ Γραφὴ τὰς ἐντολὰς τοῦ Θεοῦ εἴωθε λέγειν· εἰ δὲ ἐπὶ τῆς προτέρας ἔλεγε Διαθήκης, οὐκ ἂν εἶπεν, «Ἀναγγελεῖ ἡμῖν»· δήλη γὰρ ἦν καὶ σαφὴς καὶ γνώριμος ἅπασι. Καὶ ὅτι οὐ σοφιζόμενοι ταῦτά φαμεν, τὰ μὲν εἰρημένα καὶ τοὺς σφόδρα ἀναισχυντοῦντας ἱκανὰ πεῖσαι. Ἐπειδὴ γὰρ ὁδοῦ μόνον ἐμνήσθη, λέγει καὶ ποίας ὁδοῦ, καὶ πολλὰ τίθησιν αὐτῆς τὰ παράσημα. Ἐπήγαγε γοῦν λέγων· «Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ». Πρὸς ταῦτα καὶ σφόδρα ἀναισχυντοῦντες Ἰουδαίων παῖδες οὐδὲ διᾶραι τὸ στόμα δυνήσονται. Ὅτι γὰρ περὶ τῆς Καινῆς ταῦτα εἴρηται Διαθήκης, καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τοῦ χρόνου, καὶ ἀπὸ τῶν δεξαμένων τὸν νόμον, καὶ ἀπὸ τοῦ πράγματος τοῦ μετὰ νόμον, καὶ πάντοθεν ἁπλῶς ἔστι συνιδεῖν.

Καὶ πρῶτον ἀπὸ τοῦ τόπου, τοῦ Σιὼν ὄρους. Ὁ γὰρ διὰ Μωσέως νόμος ἐν τῷ Σιναίῳ ὄρε τοῖς προγόνοις αὐτῶν ἐδόθη. Πῶς οὖν ἐνταῦθα «Ἐκ Σιών» φησι; Καὶ οὐκ ἠρκέσθη τούτῳ μόνον, ἀλλὰ καὶ τὸν χρόνον προστέθεικεν. Οὐ γὰρ εἶπεν, 'ἐξῆλθε νόμος', ἀλλ', «Ἐξελεύσεται νόμος», ὅπερ ἐπὶ μέλλοντος χρόνου, καὶ πράγματος οὐδέπω γεγενημένου. Ὅτε δὲ ὁ προφήτης ταῦτα ἔλεγε, πρὸ πολλῶν ἐτῶν ἦν δεδομένος ὁ νόμος, ὁ δὲ τῆς Καινῆς ἔμελλε μετὰ ἔτη πλείονα δίδοσθαι. Διὰ τοῦτο οὐκ εἶπεν, 'ἐξῆλθεν', ἀλλ', «Ἐξελεύσεται», τουτέστι, μετὰ ταῦτα. Καὶ πάλιν ἐπὶ τὸν τόπον αὐτὸν καταφεύγει λέγων· «Καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ». Μετὰ ἀκριβείας ἡμῖν τὸ παράσημον τῆς καινῆς Διαθήκης ἐνταῦθα τίθησι. Καὶ γὰρ νῦν μὲν ἐν τῷ ὄρει καθήμενος, τὰ ὑψηλὰ καὶ τῶν οὐρανῶν ἄξια προστάγματα ἐνομοθέτει, νῦν δὲ ἐν Ἱερουσαλὴμ διατρίβων. Εἰπὼν τοίνυν καὶ τὸν τόπον καὶ τὸν χρόνον, προστίθησι καὶ τοὺς ὑποδέχε-

«Καὶ θὰ μᾶς γνωστοποιήσει τὴν ὁδό του, τὴν ὁποία πρέπει νὰ βαδίσομε». Βλέπεις ποὺ ζητοῦν νὰ βροῦν κάποιο ἄλλο νόμο; Διότι ἡ Γραφὴ ὁδὸ συνηθίζει νὰ ὀνομάζει τὶς ἐντολὲς τοῦ Θεοῦ· ἐὰν δὲ ἐννοοῦσε τὴν προηγούμενη Διαθήκη, δὲν θὰ ἔλεγε, «Θὰ μᾶς γνωρίσει»· διότι ἦταν φανερὴ καὶ σαφὴς καὶ γνωστὴ σ' ὅλους. Καὶ τὸ ὅτι δὲν τὰ λέμε αὐτὰ σοφιζόμενοι εἶναι ἱκανὰ τὰ ὅσα ἔχουν λεχθεῖ ἀπὸ τὸν προφήτη νὰ πείσουν καὶ τοὺς ὑπερβολικὰ ἀδιάντροπους. Ἐπειδὴ δηλαδὴ ἀνέφερε μόνο ὁδό, λέγει καὶ ποιὰ ὁδό, καὶ ἀναφέρει πολλὰ ἰδιαίτερα γνωρίσματα αὐτῆς. Πρόσθεσε λοιπὸν καὶ εἶπε. «Διότι ἀπὸ τὴ Σιὼν θὰ ἐξέλθει νόμος καὶ λόγος Κυρίου ἀπὸ τὴν Ἱερουσαλήμ». Πρὸς αὐτὰ τὰ λόγια δείχνοντας ἀκόμα καὶ ὑπερβολικὴ ἀδιαντροπιὰ οἱ Ἰουδαῖοι δὲν θὰ μπορέσουν οὔτε κἂν τὸ στόμα τους ν' ἀνοίξουν. Διότι τὸ ὅτι αὐτὰ ἔχουν λεχθεῖ γιὰ τὴν Καινὴ Διαθήκη εἶναι δυνατὸ νὰ τὸ διαπιστώσει κανεὶς καὶ ἀπὸ τὸν τόπο, καὶ ἀπὸ τὸ χρόνο, καὶ ἀπὸ ἐκείνους ποὺ δέχθηκαν τὸ νόμο, καὶ ἀπὸ τὰ ὅσα συνέβηκαν μετὰ τὸ νόμο, καὶ γενικὰ ἀπὸ παντοῦ.

Καὶ πρῶτα ἀπὸ τὸν τόπο, δηλαδὴ τὸ ὄρος τῆς Σιών. Διότι ὁ νόμος μέσω τοῦ Μωϋσῆ δόθηκε στοὺς προγόνους αὐτῶν στὸ ὄρος τοῦ Σινᾶ. Καὶ δὲν ἀρκέσθηκε σ' αὐτὸ μόνο, ἀλλὰ πρόσθεσε καὶ τὸ χρόνο. Διότι δὲν εἶπε, 'ἐξῆλθε νόμος', ἀλλά, «Θὰ ἐξέλθει νόμος», πράγμα βέβαια ποὺ ἀναφερόταν στὸν μελλοντικὸ χρόνο καὶ ἦταν πράγμα ποὺ δὲν εἶχε συμβεῖ ἀκόμα. Ὅταν δὲ τὰ ἔλεγε αὐτὰ ὁ προφήτης ὁ νόμος ἦταν δοσμένος πρὶν ἀπὸ πολλὰ χρόνια, ἐνῷ ὁ νόμος τῆς Καινῆς Διαθήκης ἐπρόκειτο νὰ δοθεῖ μετὰ ἀπὸ πάρα πολλὰ χρόνια. Γι' αὐτὸ δὲν εἶπε, 'ἐξῆλθε', ἀλλά, «Θὰ ἐξέλθει», δηλαδὴ μετὰ ἀπὸ αὐτά. Καὶ πάλι καταφεύγει στὸν τόπο αὐτό, λέγοντας· «Καὶ λόγος Κυρίου ἀπὸ τὴν Ἱερουσαλήμ». Μὲ ἀκρίβεια ἐδῶ μᾶς ἀναφέρει τὸ διακριτικὸ σύμβολο τῆς Καινῆς Διαθήκης. Καθόσον ἄλλοτε μὲν καθισμένος στὸ ὄρος τῆς Σιὼν νομοθετοῦσε τὰ ὑψηλὰ καὶ ἄξια τῶν οὐρανῶν προστάγματα, ἄλοτε δὲ περνοῦσε τὸ χρόνο του στὴν Ἱερουσαλὴμ κηρύττοντας αὐτά. Ἀφοῦ λοιπὸν εἶπε τὸν τόπο καὶ τὸ χρόνο, προσθέτει καὶ ἐκείνους ποὺ ἐπρόκειτο νὰ δεχθοῦν

σθαι αὐτὸν μέλλοντας, πανταχόθεν ἀπορράπτων τῶν ἀντιλεγόντων τὰ στόματα.

Τίνες οὖν οἱ μέλλοντες αὐτὸν ὑποδέχεσθαι; ἆρα τῶν Ἑβραίων ὁ δῆμος καὶ Ἰουδαίων παῖδες; Οὐδαμῶς, ἀλλ' οἱ ἐξ ἐθνῶν. Διὸ καὶ ἐπήγαγε· «Καὶ κρινεῖ ἀνὰ μέσον ἐθνῶν». Τοῦτο γὰρ μάλιστα νόμου, τὸ δικάζειν τοῖς μαχομένοις αὐτόν. Ὅτι δὲ οὐ περὶ τῆς Παλαιᾶς ὁ λόγος, δῆλον ἀπὸ τῶν πραγμάτων αὐτῶν. Οὔτε γὰρ σαββατίζομεν, οὐ περιτομὴν ἐδεξάμεθα, οὐ τὰς ἑορτὰς ἐκείνων, οὐκ ἄλλο τῶν παλαιῶν οὐδέν. Ἠκούσαμεν γὰρ Παύλου λέγοντος, ὅτι «Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει»· καί, «Ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς! Φοβοῦμαι μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς». Ὅθεν δῆλον ὅτι περὶ τῆς Καινῆς ὁ λόγος, ὅτι ἀνὰ μέσον ἐθνῶν ἔκρινε, καθὼς καὶ ὁ Παῦλός φησιν· «Ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων». Πῶς κρινεῖ; εἰπέ μοι· κατὰ τὴν παλαιὰν Διαθήκην; Οὐδαμῶς, ἀλλὰ «Κατὰ τὸ εὐαγγέλιόν μου». Εἶδες διάφορα μὲν τὰ ῥήματα, συμφωνοῦντα δὲ τὰ νοήματα; Ἠσαΐας φησί, «Κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν», Παῦλός φησι· «Κρινεῖ κατὰ τὸ εὐαγγέλιόν μου».

«Καὶ ἐλέγξει λαὸν πολύν»· τοὺς μαχομένους καὶ παραβαίνοντας. Καὶ τοῦτο δηλῶν ὁ Χριστὸς ἔλεγεν· «Οὐκ ἐγὼ κρινῶ ὑμᾶς, ἀλλ' ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ ὑμᾶς».

«Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα. Καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν». Οὐκ ἠρκέσθη σημείοις τοῖς προτέροις ὁ προφήτης. Πολλὴ γὰρ τῆς ἀληθείας ἡ περιουσία. Διὰ τοῦτο καὶ ἕτερον τίθησι γνώρισμα

---

27. Γαλ. 5, 2.
28. Γαλ. 4, 10-11.
29. Ρωμ. 2, 16.
30. Ἰω. 12, 47-48.

αὐτόν, κλείνοντας ἀπὸ παντοῦ τὰ στόματα αὐτῶν ποὺ διαφωνοῦν.

Ποιοὶ λοιπὸν εἶναι ἐκεῖνοι ποὺ πρόκειται νὰ δεχθοῦν αὐτόν; μήπως τὸ πλῆθος τῶν Ἑβραίων καὶ τὰ παιδιὰ τῶν Ἰουδαίων; Καθόλου, ἀλλ' οἱ ἐθνικοί. Γι' αὐτὸ καὶ πρόσθεσε· «Καὶ θὰ κρίνει ἀνάμεσα στοὺς ἐθνικούς». Διότι αὐτὸ εἶναι πρὸ πάντων τὸ γνώρισμα τοῦ νόμου, τὸ νὰ δικάζει αὐτοὺς ποὺ πολεμοῦν αὐτόν. Τὸ ὅτι δὲ τὰ λόγια αὐτὰ δὲν ἀναφέρονται στὴν Παλαιὰ Διαθήκη, γίνεται φανερὸ ἀπὸ τὰ ἴδια τὰ γεγονότα. Καθόσον οὔτε ἑορτάζομε τὰ Σάββατα, οὔτε περιτομὴ δεχθήκαμε, οὔτε τὶς ἑορτὲς ἐκείνων, οὔτε κανένα ἄλλο ἀπὸ τὰ παλιά. Διότι ἀκούσαμε τὸν Παῦλο ποὺ λέγει, ὅτι «Ἐὰν περιτέμνεσθε ὁ Χριστὸς καθόλου δὲν θὰ σᾶς ὠφελήσει»[27]· καί, «Διότι φυλάσσετε ὁρισμένες ἡμέρες καὶ μῆνες καὶ ἐποχὲς καὶ χρόνους! Φοβᾶμαι μήπως ἄδικα ἔχω κοπιάσει γιὰ σᾶς»[28]. Ἑπομένως γίνεται φανερὸ ὅτι τὰ λόγια αὐτὰ τοῦ προφήτη ἀναφέρονται γιὰ τὴν Καινὴ Διαθήκη, ὅτι δηλαδὴ ἔκρινε ἀνάμεσα στοὺς ἐθνικούς, καθὼς καὶ ὁ Παῦλος λέγει· «Τὴν ἡμέρα ἐκείνη κατὰ τὴν ὁποία θὰ κρίνει ὁ Θεὸς τὰ κρυφὰ ἔργα τῶν ἀνθρώπων»[29]. Πές μου, πῶς θὰ τὰ κρίνει; Σύμφωνα μὲ τὴν Παλαιὰ Διαθήκη; Καθόλου, ἀλλὰ «Σύμφωνα μὲ τὸ Εὐαγγέλιό μου»[29]. Εἶδες ὅτι διαφέρουν μὲν τὰ λόγια, ἀλλ' ὅτι συμφωνοῦν τὰ νοήματα; Ὁ Ἠσαΐας λέγει, «Θὰ κρίνει ἀνάμεσα στὰ ἔθνη», ὁ δὲ Παῦλος λέγει· «Θὰ κρίνει σύμφωνα μὲ τὸ Εὐαγγέλιό μου».

«Καὶ θὰ ἐλέγξει πολὺ λαό»· δηλαδὴ ἐκείνους ποὺ τὸν πολεμοῦν καὶ τὸν παραβαίνουν. Καὶ αὐτὸ γιὰ νὰ δηλώσει ὁ Χριστὸς ἔλεγε· «Δὲν θὰ σᾶς κρίνω ἐγώ, ἀλλ' ὁ λόγος, ποὺ σᾶς κήρυξα, ἐκεῖνος θὰ σᾶς κρίνει»[30].

«Καὶ θὰ μετατρέψουν τότε τὰ μαχαίρια τους σὲ ἄροτρα καὶ τὰ δόρατά τους σὲ δρεπάνια. Καὶ δὲν θὰ σηκώσει ἔθνος τὴ μάχαιρά του ἐναντίον ἄλλου ἔθνους καὶ δὲν θὰ μαθαίνουν πλέον οἱ ἄνθρωποι νὰ πολεμοῦν». Δὲν ἀρκέσθηκε ὁ προφήτης στὰ προηγούμενα διακριτικὰ γνωρίσματα. Διότι εἶναι μεγάλος ὁ πλοῦτος τῆς ἀλήθειας. Γι' αὐτὸ ἀναφέρει καὶ ἄλλο γνώρισμα

τῆς Καινῆς Διαθήκης κατὰ τὴν οἰκουμένην λάμπον ἅπασαν. Τί δὲ τοῦτό ἐστιν; Εἰρήνη καὶ πολέμων ἀναίρεσις. Ὅταν γὰρ ταῦτα γένηται, φησί, τοσαύτη λήψεται εὐνομία τὴν οἰκουμένην, ὡς καὶ αὐτὰ τὰ ὅπλα τὰ πολεμικὰ εἰς γεωργικὰ χαλκεύεσθαι ὄργανα, ὅπερ ἐπὶ τῶν καιρῶν τῶν Ἰουδαίων οὐκ ἄν τις ἴδοι γεγενημένον, ἀλλὰ τοὐναντίον ἅπαν. Οὐ γὰρ διέλειπον ἅπαντα τῆς πολιτείας αὐτῶν τὸν καιρὸν πολεμοῦντες καὶ πολεμούμενοι, καὶ διὰ μακροῦ καὶ δι' ὀλίγου τῶν πολεμίων αὐτοῖς ἐπιόντων. Καὶ γὰρ οἱ ἐν αὐτῇ τῇ Παλαιστίνῃ χαλεπὰ πράγματα παρέσχον αὐτοῖς πολλάκις, καὶ περὶ τῶν ἐσχάτων ἐπεκρέμασαν κίνδυνον. Καὶ ταῦτα δηλοῖ μὲν ἡ τῶν Βασιλειῶν ἱστορία σαφῶς, ὅλη δι' ὅλης ἐκ πολέμων ὑφαινομένη, δηλοῦσι δὲ οἱ προφῆται πάντες, τὰ γενόμενα ἀπαγγέλλοντες ταῦτα, καὶ πρὶν ἢ γενέσθαι προαναφωνοῦντες, καὶ ἐξ αὐτῆς, ὡς εἰπεῖν, τῆς ἡμέρας, ἧς ἀπηλλάγησαν τῆς Αἰγυπτίων τυραννίδος, ἐν πολέμοις τὸν ἅπαντα χρόνον ἐβίωσαν.

5. Ἀλλ' οὐχὶ νῦν οὕτως, ἀλλὰ πολλὴ κατὰ τὴν οἰκουμένην εἰρήνη. Εἰ δέ τινες γίνονται πόλεμοι, ἀλλ' οὐχ ὁμοίως ὡς πρότερον. Τότε μὲν γὰρ καὶ πόλεις πόλεσι, καὶ χῶραι χώραις, καὶ δῆμοι συνερρήγνυντο δήμοις, καὶ ἔθος ἓν εἰς πολλὰ διετέμνετο μέρη. Καὶ τοῦ Ἰησοῦ τὸ βιβλίον τις ἀναγνοὺς καὶ τῶν Κριτῶν, εἴσεται πόσους ἡ Παλαιστίνη ἐν βραχεῖ πολέμους τότε ἐδέξατο καιρῷ. Καὶ οὐ τοῦτο μόνον ἦν τὸ χαλεπόν, ἀλλ' ὅτι πάντας ὅπλα τίθεσθαι ὁ νόμος ἐκέλευσε, καὶ οὐδεὶς ἀτελὴς ταύτης τῆς λειτουργίας ἦν. Καὶ οὐ παρὰ Ἰουδαίοις μόνον οὗτος ὁ νόμος ἐκράτει, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης· ὅπου γε καὶ ῥήτορες καὶ φιλόσοφοι ἐξωμίδος πλέον οὐδὲν ἔχοντες, πολέμου καλοῦντος, καὶ ἀσπίδα μετεχειρίζοντο, καὶ ἐπὶ παρατάξεως ἵσταντο. Ὁ

τῆς Καινῆς Διαθήκης ποὺ λάμπει σ' ὁλόκληρη τὴν οἰκουμένη. Ποιὸ δὲ εἶναι αὐτό; Ἡ εἰρήνη καὶ ἡ κατάργηση τῶν πολέμων. Διότι, λέγει, ὅταν θὰ συμβοῦν αὐτά, τόση μεγάλη τάξη θὰ ἐπικρατήσει στὴν οἰκουμένη, ὥστε καὶ αὐτὰ τὰ πολεμικὰ ὅπλα θὰ μετατρέπονται σὲ γεωργικὰ ἐργαλεῖα, πράγμα ποὺ δὲν εἶδε κανεὶς νὰ ἔχει συμβεῖ στοὺς χρόνους τῶν Ἰουδαίων, ἀλλ' ἐντελῶς τὸ ἀντίθετο. Διότι δὲν σταμάτησαν σ' ὅλη τὴ διάρκεια τῆς ζωῆς τους νὰ πολεμοῦν καὶ νὰ πολεμοῦνται, καὶ νὰ κάνουν ἐπιθέσεις ἐναντίον τους οἱ ἐχθροί, ποὺ ἔρχονταν ἀπὸ μακριὰ ἢ κατοικοῦσαν κοντά τους. Καθόσον καὶ αὐτοὶ ποὺ κατοικοῦσαν στὴν ἴδια τὴν Παλαιστίνη πολλὲς φορὲς τοὺς προξένησαν φοβερὲς συμφορὲς καὶ τοὺς ἀπείλησαν καὶ μὲ τὸν κίνδυνο ἐξαφανισμοῦ τους. Καὶ αὐτὰ μὲν τὰ περιγράφει μὲ σαφήνεια ἡ ἱστορία τῶν Βασιλειῶν, ποὺ ὁλόκληρη ἀπαρτίζεται ἀπὸ πολέμους, τὸ φανερώνουν δὲ καὶ ὅλοι οἱ προφῆτες, ποὺ περιγράφουν τὰ γεγονότα αὐτὰ καὶ ποὺ τὰ προλέγουν προτοῦ ἀκόμα πραγματοποιηθοῦν, καὶ θὰ μπορούσαμε νὰ ποῦμε, πὼς ἀπὸ τὴν ἡμέρα ἐκείνη, ποὺ ἀπαλλάχθηκαν ἀπὸ τὴν τυραννικὴ ἐξουσία τῶν Αἰγυπτίων, ἔζησαν σ' ὅλο τὸ χρόνο τῆς ζωῆς τους μὲ πολέμους.

5. Ὅμως δὲν συμβαίνει τώρα ἔτσι, ἀλλ' ἐπικρατεῖ μεγάλη εἰρήνη στὴν οἰκουμένη. Ἂν δὲ γίνονται μερικοὶ πόλεμοι, ὅμως δὲν εἶναι ὅμοιοι μὲ τοὺς προηγουμένους. Διότι τότε μὲν συγκρούονταν καὶ πόλεις μὲ πόλεις, καὶ χῶρες μὲ χῶρες, καὶ λαοὶ μὲ λαούς, καὶ ἕνα ἔθνος διαχωριζόταν σὲ πολλὰ μέρη. Καί, ἂν διαβάσει κανεὶς τὸ βιβλίο τοῦ Ἰησοῦ τοῦ Ναυῆ καὶ τῶν Κριτῶν, θὰ γνωρίσει πόσους πολέμους δέχθηκε τότε ἡ Παλαιστίνη μέσα σὲ σύντομο χρόνο. Καὶ δὲν ἦταν μόνο αὐτὸ τὸ φοβερό, ἀλλ' ὅτι ὁ νόμος πρόσταζε ὅλοι νὰ φέρουν ὅπλα καὶ κανένας δὲν ἦταν ἀπαλλαγμένος ἀπὸ αὐτὴν τὴν ὑπηρεσία. Καὶ ὅτι δὲν ἴσχυε ὁ νόμος αὐτὸς μόνο στοὺς Ἰουδαίους, ἀλλὰ καὶ σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης. Μάλιστα δὲ καὶ οἱ ρήτορες καὶ οἱ φιλόσοφοι ποὺ ποὺ δὲν εἶχαν τίποτε περισσότερο ἀπὸ ἕνα ἔξωμο χιτώνα, ὅταν τοὺς καλοῦσε ὁ πόλεμος καὶ ἀσπίδα μεταχειρίζονταν καὶ ἔπαιρναν μέρος στὴν πολεμικὴ παράταξη. Ὁ Σωκράτης λοι-

γοῦν παρ' Ἀθηναίοις μάλιστα λάμψας ἀπραγμοσύνης ἕνεκεν καὶ φιλοσοφίας Σωκράτης ὁ Σωφρονίσκου καὶ ἅπαξ καὶ δὶς ἐπὶ παρατάξεως ἔστη. Καὶ τῶν ρητόρων τῶν παρ' αὐτοῖς τὸ κεφάλαιον Δημοσθένης ἀπὸ τοῦ βήματος ἐπὶ τὸν πόλεμον ἐξῄει πολλάκις. Εἰ δὲ ρήτορας καὶ φιλοσόφους οὐδεὶς ἐξῄρητο νόμος τοῦ πολεμεῖν, σχολῇ γε ἕτερός τις τοῦ δήμου ταύτης ἀπήλαυσε τῆς ἀτελείας.

Ἀλλ' οὐχὶ τούτων οὐδὲν νῦν γινόμενον ἴδοι τις ἄν. Ἐπειδὴ γὰρ ὁ τῆς δικαιοσύνης ἔλαμψεν ἥλιος, καὶ πόλεις καὶ δῆμοι καὶ ἔθνη πάντα τοσοῦτον ἀπέχουσι τοῦ ζῆν ἐν κινδύνοις τοιούτοις, ὅτι οὐδὲ μεταχειρίζεσθαί τι τῶν πολεμικῶν ἴσασιν, ἀλλ' εἴσω πόλεων καὶ τειχῶν καθήμενοι, πόρρω τὰ τῶν πολέμων μανθάνουσι πράγματα, καὶ δῆμος ἅπας ἐν ἐλευθερίᾳ ζῇ, καὶ ἀτελείᾳ τῆς πικροτάτης ταύτης λειτουργίας. Εἰ δέ που καὶ νῦν γίγνονται πόλεμοι, πόρρω που καὶ πρὸς τὰ ἔσχατα τῆς Ρωμαίων ἀρχῆς, οὐ κατὰ πόλιν καὶ χώρας, ὡς ἔμπροσθεν. Τότε μὲν γάρ, ὡς ἔφθην εἰπών, καὶ ἐν ἑνὶ ἔθνει μυρίαι συνεχῶς ἐπαναστάσεις ἐγίγνοντο, καὶ πολυπρόσωποι πόλεμοι, νυνὶ δὲ ὅσην ἥλιος ἐφορᾷ γῆν ἀπὸ τοῦ Τίγρητος ἐπὶ τὰς Βρεττανικὰς νήσους, αὐτὴ πᾶσα, καὶ μετὰ ταύτης Λιβύη, καὶ Αἴγυπτος καὶ Παλαιστινῶν ἔθνος, μᾶλλον δὲ ἅπαν τὸ ὑπὸ τὴν Ρωμαίων ἀρχὴν κείμενον· ἴστε δὲ ὡς αὗται αἱ πόλεις ἀδείας ἀπολαύουσι πάσης, ἀκοῇ τοὺς πολέμους μανθάνουσαι μόνον. Ἠδύνατο μὲ γὰρ καὶ τὰ λείψανα καθελεῖν ὁ Χριστός, ἀλλ' ἀφῆκε σωφρονισμοῦ τινος ὑπόθεσιν τοῖς ρᾳθυμοῦσι, καὶ ὑπὸ τῆς εἰρήνης χαυνοτέροις γινομένοις, τῶν βαρβάρων εἶναι τὰς ἐπιδρομάς. Καὶ ὁ προφήτης δὲ τοῖς δυναμένοις ἀκριβῶς συνιδεῖν αὐτὸ τοῦτο ᾐνί-

πόν, ὁ υἱὸς τοῦ Σωφρονίσκου, ποὺ διέπρεψε ἐντελῶς ξεχωριστὰ μεταξὺ τῶν Ἀθηναίων ἐξ αἰτίας τῆς ἀμεριμνησίας του γιὰ τὰ κοσμικὰ πράγματα καὶ τῆς φιλοσοφίας του, πῆρε μέρος στοὺς πολέμους μία καὶ δυὸ φορές. Καὶ ἀπὸ τοὺς ρήτορες αὐτῶν, ὁ Δημοσθένης, ὁ κορυφαῖος ὅλων, πολλὲς φορὲς ἀπὸ τὸ ρητορικὸ βῆμα μετέβηκε στὸν πόλεμο. Ἐὰν δὲ κανένας νόμος δὲν ἐξαιροῦσε ἀπὸ τὸν πόλεμο τοὺς ρήτορες καὶ τοὺς φιλοσόφους, πολὺ λιγότερο βέβαια κάποιος ἄλλος ἀπὸ τὸ λαὸ θ' ἀπόλαυσε αὐτὴ τὴν ἀπαλλαγή.

Ἀλλ' ὅμως κανένα ἀπὸ αὐτὰ δὲν θὰ μποροῦσε νὰ δεῖ κανεὶς νὰ συμβαίνει σήμερα. Διότι ἀπὸ τότε ποὺ ἔλαμψε ὁ ἥλιος τῆς δικαιοσύνης, καὶ πόλεις καὶ λαοὶ καὶ ὅλα τὰ ἔθνη τόσο πολὺ μακριὰ βρίσκονται ἀπὸ τέτοιους κινδύνους, ὥστε νὰ μὴ γνωρίζουν οὔτε καὶ νὰ χρησιμοποιοῦν κάποιο ἀπὸ τὰ πολεμικὰ ὅπλα, ἀλλὰ διαμένοντας μέσα στὶς πόλεις καὶ τὰ τείχη, μαθαίνουν ἀπὸ μακριὰ τὰ πολεμικὰ γεγονότα, καὶ ὅλος ὁ λαὸς ζεῖ μὲ ἐλευθερία καὶ εἶναι ἀπαλλαγμένος ἀπὸ τὴν πάρα πολὺ δυσάρεστη αὐτὴ ὑπηρεσία. Ἂν δὲ καὶ σήμερα γίνονται κάπου πόλεμοι, αὐτοὶ γίνονται κάπου μακριὰ καὶ πρὸς τὰ σύνορα τοῦ Ρωμαϊκοῦ κράτους, καὶ ὄχι ὅπως προηγουμένως ἐναντίον κάποιας πόλεως καὶ χώρας. Διότι τότε μέν, ὅπως προανέφερα, καὶ μέσα σ' ἕνα ἔθνος γίνονταν συνέχεια ἀμέτρητες ἐπαναστάσεις καὶ πολυπρόσωποι πόλεμοι, ἐνῶ τώρα, ὅση γῆ φωτίζει ὁ ἥλιος ἀπὸ τὸν Τίγρη καὶ μέχρι τὰ Βρεττανικὰ νησιά, ὅλη αὐτὴ καὶ μαζὶ μ' αὐτὴ καὶ ἡ Λιβύη καὶ ἡ Αἴγυπτος καὶ τὸ ἔθνος τῶν Παλαιστινῶν, μᾶλλον δὲ ὁλόκληρο τὸ μέρος ποὺ βρίσκεται κάτω ἀπὸ τὴν ἐξουσία τῶν Ρωμαίων· γνωρίζετε δὲ ὅτι οἱ πόλεις αὐτὲς ἀπολαμβάνουν κάθε ἀφοβία, πληροφορούμενες τοὺς πολέμους μόνο ἐξ ἀκοῆς. Βέβαια ὁ Χριστὸς μποροῦσε καὶ τὰ ὑπολείμματα αὐτοῦ τοῦ πολέμου νὰ τὰ ἐξαφανίσει, ἀλλ' ἄφησε τὶς βαρβαρικὲς ἐπιδρομὲς νὰ ὑπάρχουν σὰν κάποια ἀφορμὴ σωφρονισμοῦ γιὰ τοὺς ἀδιάφορους καὶ γιὰ ἐκείνους ποὺ γίνονται πιὸ νωθροὶ ἐξ αἰτίας τῆς εἰρήνης. Καὶ ὁ προφήτης δὲ ὑπαινίχθηκε αὐτὸ ἀκριβῶς, ὅπως προανέφερα, σ' ἐκείνους ποὺ μπο-

ξατο, ὅπερ ἔφθην εἰπών, τὸ μηκέτι τὰς δι' ὀλίγου γίγνεσθαι ἐπαναστάσεις. Οὐ γὰρ εἶπεν, οὐκ ἔσται πόλεμος παντελῶς, ἀλλὰ τί; «Οὐ μὴ ἄρῃ ἔθνος ἐπ' ἔθνος μάχαιραν»· καὶ τὴν τῶν δήμων ἐλευθερίαν προστέθεικεν εἰπών, «Οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν, πλὴν ὀλίγων τῶν εἰς τοῦτο τεταγμένων στρατιωτῶν».

«Καὶ νῦν σύ, ὁ οἶκος τοῦ Ἰακώβ, δεῦτε, καὶ πορευθῶμεν τῷ φωτὶ Κυρίου. Ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰακώβ». Ἀπαρτίσας τὴν περὶ τῆς Ἐκκλησίας προφητείαν, πάλιν ἐπὶ τὴν ἱστορίαν μεταβαίνει, ὡς δὴ τῶν ἀκολούθων ἐχόμενος ρημάτων. Τοιοῦτον γὰρ ἔθος αὐτοῖς, μὴ τῇ τῶν εἰρημένων ἀσφαλείᾳ μόνον, ἀλλὰ καὶ τῷ σχήματι τῆς ἀκολουθίας συσκιάζειν τὴν προφητείαν. Διόπερ οὐδὲ ἀπηρτισμένον ποιεῖ τὸν λόγον, ἀλλά, ὡς μίαν τινὰ ἕλκων σειράν, οὕτω πρὸς τὴν τῶν Ἰουδαίων νουθεσίαν μεταβαίνει πάλιν, καί φησι· «Καὶ νῦν σύ, ὁ οἶκος τοῦ Ἰακώβ, δεῦτε, καὶ πορευθῶμεν ἐν τῷ φωτὶ Κυρίου», τουτέστι, ταῖς ἐντολαῖς αὐτοῦ, τῷ νόμῳ αὐτοῦ· «Λύχνος γὰρ ἐντολὴ νόμου, καὶ φῶς καὶ ζωή, καὶ ἔλεγχος καὶ παιδεία»· καὶ ὁ Δαυὶδ πάλιν φησίν· «Ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς»· καί, «Λύχνος, τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου». Καὶ πανταχοῦ οὕτω τὸν νόμον καλούμενον κατίδοι τις ἄν. Οὕτω καὶ Παῦλός φησι· «Πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων». Οὐ γὰρ οὕτως αἱ τοῦ ἡλίου ἀκτῖνες χειραγωγοῦσιν ἡμῶν τοῦ σώματος τοὺς ἀφθαλμούς, ὡς αἱ τοῦ νόμου ἐντολαὶ καταυγάζουσι τὰ τῆς ψυχῆς ὄμματα.

---

31. Παρ. 6, 23.
32. Ψαλμ. 18, 9.
33. Ψαλμ. 118, 105.
34. Ρωμ. 2, 19-20.

ροῦν νὰ τὸ κατανοήσουν μὲ προσοχή, τὸ ὅτι δὲν θὰ γίνονται πλέον ἐπαναστάσεις μεταξὺ λαῶν καὶ ἐθνῶν. Διότι δὲν εἶπε, δὲν θὰ ὑπάρχει καθόλου πόλεμος, ἀλλὰ τί; «Δὲν θὰ σηκώσει μάχαιρα τὸ ἕνα ἔθνος ἐναντίον ἄλλου»· καὶ πρόσθεσε καὶ τὴν ἐλευθερία τῶν λαῶν, λέγοντας· «Καὶ δὲν θὰ μαθαίνουν πλέον νὰ πολεμοῦν», ἐκτὸς ἀπὸ λίγους, τοὺς στρατιῶτες δηλαδὴ ποὺ εἶναι προορισμένοι γιὰ τὸ σκοπὸ αὐτό.

«Καὶ τώρα σεῖς, ἀπόγονοι τοῦ Ἰακώβ, ἐλᾶτε καὶ ἂς μεταβοῦμε πρὸς τὸ φῶς τοῦ Κυρίου. Διότι ἐγκατέλειψε ὁ Θεὸς τὸν λαό του, τοὺς ἀπογόνους τοῦ Ἰακώβ». Ἀφοῦ ὁλοκλήρωσε τὴν προφητεία γιὰ τὴν Ἐκκλησία, πάλι μεταβαίνει στὴν ἱστορία, καὶ συνεχίζει κατὰ κάποιο τρόπο αὐτὴν μὲ τὰ ὅσα λέγει στὴ συνέχεια. Διότι αὐτὸ συνηθίζουν νὰ κάμνουν αὐτοί, νὰ ἐπισκιάζουν δηλαδὴ τὴν προφητεία ὄχι μόνο μὲ τὴ βεβαιότητα τῶν ὅσων λέγουν, ἀλλὰ καὶ μὲ τὸν τρόπο ἐκεῖνο ποὺ ἕνας λόγος διαδέχεται τὸν ἄλλο. Γι' αὐτὸ ἀκριβῶς δὲν παρουσιάζει ὁλοκληρωμένο τὸ λόγο, ἀλλά, προχωρώντας αὐτὸν σὰν μιὰ κάποια ἁλυσίδα, μεταβαίνει πάλι μὲ τὸν τρόπο αὐτὸ πρὸς τὴ νουθεσία τῶν Ἰουδαίων, καὶ λέγει· «Καὶ σεῖς, τώρα, ἀπόγονοι τοῦ Ἰακώβ, ἐλᾶτε νὰ πορευθοῦμε πρὸς τὸ φῶς τοῦ Κυρίου», δηλαδὴ τὶς ἐντολὲς αὐτοῦ, τὸ νόμο αὐτοῦ· διότι «Ἡ ἐντολὴ τοῦ νόμου εἶναι λύχνος καὶ φῶς καὶ ζωὴ καὶ ἔλεγχος καὶ παιδεία»[31]· καὶ ὁ Δαυὶδ πάλι λέγει· «Ἡ ἐντολὴ τοῦ Κυρίου ἀκτινοβολεῖ λαμπρὰ καὶ φωτίζει τοὺς ὀφθαλμούς»[32]· καί, «Λύχνος γιὰ τὰ πόδια μου εἶναι ὁ νόμος σου, καὶ φῶς στοὺς δρόμους τῆς ζωῆς μου»[33]. Καὶ παντοῦ ἔτσι θὰ μποροῦσε κανεὶς νὰ δεῖ νὰ ὀνομάζεται ὁ νόμος. Ἔτσι καὶ ὁ Παῦλος λέγει· «Καὶ ἔχεις τὴν πεποίθηση ὅτι εἶσαι ὁδηγὸς τῶν τυφλῶν, φῶς γιὰ ἐκείνους ποὺ βαδίζουν στὸ σκοτάδι, παιδαγωγὸς τῶν ἀφρόνων»[34]. Διότι δὲν ὁδηγοῦν τόσο σωστὰ τοὺς ὀφθαλμοὺς τοῦ σώματός μας οἱ ἀκτίνες τοῦ ἡλίου, ὅσο καταφωτίζουν τὰ μάτια τῆς ψυχῆς μας οἱ ἐντολὲς τοῦ νόμου.

6. Δεικνὺς τοίνυν ὁ προφήτης, ὅτι καὶ πρὸ τῆς ἀντιδόσεως, καὶ πρὸ τῆς ἀμοιβῆς, ἐν αὐτῷ τῷ πληροῦσθαι τὴν ἀμοιβὴν παρέχουσιν ἡμῖν αἱ ἐντολαί, φῶς αὐτὰς ἐκάλεσεν. Ὥσπερ γὰρ ὀφθαλμὸς ἐν αὐτῷ τῷ φωτίζεσθαι κερδαίνει, οὕτω καὶ ψυχὴ ἐν αὐτῷ τῷ πείθεσθαι τῷ νόμῳ τὰ μέγιστα καρποῦται, ἐκκαθαιρομένη καὶ κακίας ἀπαλλαττομένη, καὶ πρὸς αὐτὴν ἀναβᾶσα τὴν ἀρετήν, ὥσπερ οὖν τοὐναντίον οἱ παραβαίνοντες καὶ πρὸ τῆς κολάσεως ἐν αὐτῷ τῷ παραβαίνειν δίκην διδόασι, τῶν ἐν σκότει καθημένων ἀθλιώτερον διακείμενοι, φόβου καὶ τρόμου καὶ πονηροῦ γέμοντες συνειδότος, καὶ ἐν μεσημβρίᾳ μέσῃ δεδοικότες καὶ τρέμοντες ἅπαντας, τοὺς συνειδότας, τοὺς οὐδὲν συνειδότας.

«Ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰακώβ· τουτέστιν, εἴασεν, ἀφῆκε, παρεῖδε, τῆς αὐτοῦ προνοίας ἐγύμνωσεν. Εἶτα, φοβήσας, λέγει καὶ τήν αἰτίαν, ὥστε αὐτοὺς διορθῶσαι τὰ γεγενημένα. Τίς οὖν ἐστιν ἡ αἰτία; «Ὅτι ἐνεπλήσθη ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων». Ἔμπροσθεν μὲν γὰρ καπηλείαν αὐτοῖς καὶ φιλαργυρίαν καὶ τῶν χηρῶν ὑπεροψίαν ἐνεκάλει, ἐνταῦθα δὲ καὶ δόγματα πονηρά, καὶ ἀσεβείας λείψανα, κατὰ μικρὸν αὐτοὺς ὑποσύροντα πρὸς τὴν τῶν δαιμόνων πλάνην. Εἶτα καθικνούμενος αὐτῶν, οὐκ εἶπεν ὅτι κληδονίζονται ἁπλῶς, ἀλλ' ὅτι «Ἐνεπλήσθη ἡ χώρα αὐτῶν». Μετὰ πολλῆς ὑπερβολῆς ἡ κακία αὐτῶν πάλιν ηὔξετο, φησίν, Ὥσπερ ἀνωτέρω ἔλεγε, «Λαός», οὐχ ἁπλῶς ἁμαρτωλός, ἀλλά, «Πλήρης ἁμαρτιῶν», οὕτω καὶ ἐνταῦθα, «Ἐνεπλήσθη».

Εἶτα πάλιν ἐπιτείνων τὸ ὄνειδος προσέθηκεν, «Ὡς τὸ ἀπ' ἀρχῆς». «Ἀπ' ἀρχῆς»· πότε; Ὅτε Θεὸν οὐκ ἐγνώκεισαν, ὅτε νόμον οὐκ εἰλήφεισαν, ὅτε τῆς εὐεργεσίας αὐτοῦ

---

35. Ἡσ. 1, 4.

6. Αὐτὸ λοιπὸν γιὰ νὰ δείξει ὁ προφήτης, ὅτι δηλαδὴ καὶ πρὶν ἀπὸ τὴν ἀνταπόδοση καὶ πρὶν ἀπὸ τὴν ἀμοιβὴ οἱ ἐντολὲς μᾶς παρέχουν τὴν ἀμοιβὴ μ' αὐτὴ τὴν ἴδια τὴν ἐκτέλεση αὐτῶν, ὀνόμασε αὐτὲς φῶς. Διότι ὅπως ἀκριβῶς ὁ ὀφθαλμὸς ὠφελεῖται μὲ τὸ ἴδιο τὸ γεγονὸς τοῦ φωτισμοῦ ποὺ δέχεται, ἔτσι καὶ ἡ ψυχὴ ἀποκομίζει μεγάλους καρποὺς ἀπὸ τὴν ἴδια τὴν ὑπακοὴ στὸ νόμο, διότι καθαρίζεται καὶ ἀπαλλάσσεται ἀπὸ τὴν κακία καὶ ἀνεβαίνει πρὸς τὴν ἴδια τὴν ἀρετή, ὅπως ἀκριβῶς βέβαια ἐντελῶς ἀντίθετα ἐκεῖνοι ποὺ παραβαίνουν αὐτὸν καὶ πρὶν ἀπὸ τὴν τιμωρία τιμωροῦνται μὲ τὴν ἴδια τὴν παράβαση, βρισκόμενοι σὲ πιὸ ἄθλια κατάσταση ἀπὸ ἐκείνους ποὺ ζοῦν μέσα στὸ σκοτάδι, καὶ ἔχοντας συνείδηση γεμάτη ἀπὸ φόβο καὶ τρόμο καὶ κακία, καὶ μέσα στὸ ἴδιο τὸ καταμεσήμερο φοβοῦνται ὅλους καὶ τοὺς τρέμουν, καὶ ἐκείνους ποὺ γνωρίζουν τὴν παράβασή τους καὶ ἐκείνους ποὺ δὲν ἔχουν καμιὰ γνώση αὐτῆς.

«Διότι ἐγκατέλειψε ὁ Θεὸς τὸ λαό του, τὸν οἶκο τοῦ Ἰακώβ»· δηλαδὴ τὸν ἄφησε, ἔφυγε ἀπὸ κοντά του, τὸν παρέβλεψε, τοῦ στέρησε τὴν πρόνοιά του. Ἔπειτα, ἀφοῦ τοὺς φόβησε, λέγει καὶ τὴν αἰτία, ὥστε νὰ τοὺς διορθώσει μὲ τὰ ὅσα συνέβηκαν. Ποιὰ λοιπὸν εἶναι ἡ αἰτία; «Διότι ἡ χώρα τους γέμισε ἀπὸ μαντεῖες, ὅπως ἡ χώρα τῶν ἀλλοφύλων». Διότι προηγουμένως μὲν τοὺς κατηγοροῦσε γιὰ καπηλεία, φιλαργυρία καὶ περιφρόνηση τῶν χηρῶν, ἐδῶ δὲ γιὰ πονηρὰ δόγματα καὶ λείψανα τῆς ἀσέβειας, ποὺ σιγά-σιγὰ τοὺς παρασύρουν πρὸς τὴν πλάνη τῶν δαιμόνων. Ἔπειτα κάμνοντας τὴν κατηγορία του ἐναντίον τους πιὸ αὐστηρή, δὲν εἶπε ἁπλῶς ὅτι ἀσχολοῦνται μὲ μαγεῖες, ἀλλ' ὅτι «Γέμισε ἡ χώρα αὐτῶν». Ἡ κακία τους πάλι, λέγει, αὐξήθηκε σὲ ὑπερβολικὸ βαθμό. Ὅπως ἀκριβῶς προηγουμένως ἔλεγε, «Λαός», ὄχι ἁπλῶς ἁμαρτωλός, ἀλλά, «Γεμάτος ἀπὸ ἁμαρτίες»[35], ἔτσι καὶ ἐδῶ λέγει ὅτι «Γέμισε».

Ἔπειτα πάλι, γιὰ ν' αὐξήσει τὴν ἐπίπληξη, πρόσθεσε, «Ὅπως τότε στὴν ἀρχή». «Στὴν ἀρχή»· πότε; Ὅταν δὲν εἶχαν γνωρίσει τὸ Θεό, ὅταν δὲν εἶχαν λάβει τὸ νόμο, ὅταν δὲν εἶχαν

πεῖραν εἰληφότες οὐκ ἦσαν, ὅτε μετὰ τῶν ἐθνῶν ἔζων, ὅπερ ἐσχάτης καταγνώσεως ἦν, μηδὲν ἄμεινον διακεῖσθαι νῦν, μετὰ τὴν τοσαύτην πρόνοιάν τε καὶ ἐπιμέλειαν, τῶν μηδενὸς τούτων ἀπολελαυκότων. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καταπλήττων αὐτοὺς πάλιν προστέθεικεν, «Ὡς ἡ τῶν ἀλλοφύλων», τῇ συγκρίσει τοῦ προσώπου τὴν κατηγορίαν χαλεπωτέραν ποιῶν. Ὃ καὶ Παῦλος εἴωθεν ἐργάζεσθαι συνεχῶς, ὡς ὅταν λέγῃ· «Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα»· καὶ πάλιν· «Εἰδέναι ἕκαστον τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας».

Καὶ οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ προστέθεικε λέγων, «Καθὼς καὶ τὰ λοιπὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν». Μάλιστα γὰρ οὗτος ὁ λόγος δάκνειν εἴωθε καὶ τοὺς σφόδρα ἀναπεπτωκότας. Εἰ δὲ Ἰουδαῖοι ταῦτα ἐγκαλοῦνται, τίνος ἂν τύχοιμεν συγγνώμης ἡμεῖς, ποίας ἀπολογίας, οἱ μετὰ χάριν τοσαύτην, καὶ τιμὴν ἄφατον, καὶ τὰς ἀθανάτους ἐλπίδας, πρὸς τὴν αὐτὴν ἐκείνοις καταπίπτοντες πενίαν; Καὶ γὰρ πολλοὶ καὶ νῦν εἰσι τῷ νοσήματι κεχρημένοι τούτῳ, καὶ τὸν ἑαυτῶν διαφθείροντες βίον, οἳ τῇ τῶν κληδόνων ἀλογίᾳ ἐκδιδόντες ἑαυτούς, μετὰ τοῦ τῷ Θεῷ προσκρούειν, περιττὰς καρποῦνται λύπας, καὶ πρὸς τοὺς ὑπὲρ τῆς ἀρετῆς ἐκλύονται πόνους. Καὶ γὰρ ἐσπούδακεν ὁ διάβολος διὰ πάντων τοῦτο πεῖσαι τοὺς ἀνοητοτέρους, ὅτι οὐκ ἐπ' αὐτοῖς τὰ τῆς ἀρετῆς καὶ τὰ τῆς κακίας, οὐδὲ ἐλευθερίᾳ τινὶ προαιρέσεώς εἰσι τετιμημένοι, δύο δὲ ταῦτα τὰ αἴσχιστα κατορθῶσαι βουλόμενος, καὶ τοὺς ὑπὲρ τῆς ἀρετῆς ἐκλῦσαι πόνους, καὶ τὸ

36. Α' Θεσ. 4, 13. 37. Α' Θεσ. 4, 4-5. 38. Α' Θεσ. 4, 5.

γνωρίσει τὶς εὐεργεσίες του, ὅταν ζοῦσαν μαζὶ μὲ τοὺς ἐθνικούς, πράγμα βέβαια ποὺ ἦταν ἄξιο τῆς πιὸ φοβερότερης καταδίκης, τὸ νὰ μὴ συμπεριφέρονται δηλαδὴ καθόλου καλύτερα τώρα μετὰ τὴν τόσο μεγάλη πρόνοια καὶ φροντίδα του, ἀπὸ ἐκείνους ποὺ δὲν ἀπόλαυσαν τίποτε ἀπο αὐτά. Καὶ οὔτε ἐδῶ σταμάτησε, ἀλλά, καταφέροντας ἐναντίον τους μεγαλύτερο πλῆγμα πάλι, πρόσθεσε, «Ὅπως ἡ χώρα τῶν ἀλλοφύλων», κάμνοντας μὲ τὴ σύγκριση αὐτὴ φοβερότερη τὴν κατηγορία. Αὐτὸ ἀκριβῶς συνηθίζει νὰ κάμνει καὶ ὁ Παῦλος συνέχεια, ὅπως ὅταν λέγει· «Γιὰ δὲ τοὺς πεθαμένους δὲν θέλω, ἀδελφοί, νὰ ἔχετε ἄγνοια, γιὰ νὰ μὴ λυπᾶσθε, ὅπως καὶ οἱ ὑπόλοιποι ποὺ δὲν ἔχουν ἐλπίδα ἀναστάσεως»[36]· καὶ πάλι· «Νὰ γνωρίζει ὁ καθένας νὰ χρησιμοποιεῖ τὸ σῶμα του μὲ ἁγιασμὸ καὶ τιμή, καὶ ὄχι γιὰ παράφορα πάθη»[37].

Καὶ δὲν ἀρκέσθηκε σ' αὐτό, ἀλλὰ πρόσθεσε καὶ εἶπε, «Καθὼς καὶ τὰ ὑπόλοιπα ἔθνη ποὺ δὲν γνωρίζουν τὸ Θεό»[38]. Διότι αὐτὸς ὁ λόγος πρὸ πάντων κεντρίζει συνήθως καὶ ἐκείνους ποὺ εἶναι πεσμένοι σὲ πάρα πολὺ μεγάλη ἀδιαφορία. Ἐὰν δὲ οἱ Ἰουδαῖοι κατηγοροῦνται γι' αὐτά, ποιὰ συγγνώμη θὰ ἦταν δυνατὸ νὰ ἐπιτύχουμε ἐμεῖς, ποιὰ ἀπολογία, οἱ ὁποῖοι, μετὰ ἀπὸ τόσο μεγάλη χάρη ποὺ λάβαμε, καὶ ἀπερίγραπτη τιμὴ ποὺ μᾶς ἔγινε, καὶ τὶς ἀθάνατες ἐλπίδες ποὺ λάβαμε, καταντοῦμε στὴν ἴδια μὲ ἐκείνους πνευματικὴ φτώχεια; Καθόσον πολλοὶ καὶ σήμερα χρησιμοποιοῦν αὐτὸ τὸ νόσημα καὶ καταστρέφουν τὴ ζωή τους, οἱ ὁποῖοι, ἀφοῦ παρέδωσαν τοὺς ἑαυτούς τους στὸν παραλογισμὸ τῶν μαντειῶν, μαζὶ μὲ τὸ ὅτι ἔρχονται σὲ σύγκρουση μὲ τὸ Θεό, ἀποκομίζουν σὰν ἀμοιβὴ περιττὲς λύπες, καὶ ἀπομακρύνουν ἀπὸ κοντά τους τελείως τοὺς κόπους ὑπὲρ τῆς ἀρετῆς. Καθόσον ὁ διάβολος ἔχει φροντίσει μὲ ὅλα αὐτὰ νὰ πείσει τοὺς ἀνοητότερους, ὅτι δὲν ἐξαρτοῦνται ἀπ' αὐτοὺς τὰ ἔργα τῆς ἀρετῆς καὶ τῆς κακίας, οὔτε ὅτι ἔχουν τιμηθεῖ μὲ κάποια ἐλευθερία προαιρέσεως, ἐπιδιώκοντας μὲ αὐτὸ νὰ ἐπιτύχει δύο πράγματα ποὺ εἶναι τὰ πιὸ φοβερότερα, καὶ νὰ καταργήσει τοὺς κόπους ὑπὲρ τῆς ἀρετῆς καὶ ν' ἀφαιρέσει τὸ μέγιστο δῶρο

μέγιστον τῆς ἐλευθερίας ἀφελέσθαι δῶρον. Τοῦτο διὰ κληδόνων, τοῦτο διὰ συμβόλων, τοῦτο διὰ εἱμαρμένης δόγματος, τοῦτο δι' ἑτέρων πολλῶν εἰς τὸν βίον εἰσήγαγε τὸ χαλεπὸν νόσημα, πάντα ἄνω καὶ κάτω ποιῶν. Δι' ὃ δὴ καὶ ὁ προφήτης σφοδρῶς ἕστη κατηγορῶν, ὥστε πρόρριζον ἀνασπάσαι τὸ πάθος.

7. «Καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγεννήθη αὐτοῖς». Τί ἐστι, «Τέκνα ἀλλόφυλα»; Νόμος ἦν αὐτοῖς ἄνωθεν κείμενος διὰ τὸ τῆς γνώμης εὐόλισθον, καὶ τὸ τῆς διανοίας εὐεξαπάτητον, μηδενὶ τῶν λοιπῶν ἀνθρώπων ἐμιμίγνυσθαι, ὥστε μὴ τοιαύτας συγγενείας ἀσεβείας ὑπόθεσιν γενέσθαι. Ἐπειδὴ γὰρ οὐ μόνον ἑτέρους διορθῶσαι οὐκ ἴσχυον, ἀλλ' ἑτέρων οἷοί τε ἦσαν διακρούεσθαι βλάβην, τῷ νόμῳ τειχίσας αὐτούς, καὶ τῆς πρὸς τοὺς λοιποὺς ἐπιμιξίας αὐτοὺς ἀποστήσας, κατ' ἰδίαν αὐτοὺς ἔπλαττε καὶ ἐρρύθμιζεν· ἀγαπητὸν γὰρ ἦν καὶ οὕτως ἀγομένους δυνηθῆναι διατηρῆσαι τὴν παρὰ τοῦ Θεοῦ δεδομένην πολιτείαν αὐτοῖς. Ἀλλ' ὥσπερ τὰς ἄλλας παρέβαινον ἐντολάς, οὕτω δὴ καὶ ταύτης ὑπεριδόντες, μετέβησαν πρὸς τὰς τῶν πλησίον ἀγχιστείας, καὶ νύμφας ἐκεῖθεν ἀγόμενοι παρὰ Μωαβιτῶν, παρὰ Ἀμμανητῶν, παρ' ἑτέρων ἀσεβῶν ἐθνῶν, καὶ τὰς ἄλλας ἀσπαζόμενοι συγγενείας, διδασκάλους πονηρίας ἐδέχοντο, καὶ τὸ τῆς εὐγενείας ἀκέραιον διέφθειρον. Τοῦτο τοίνυν μετὰ τῶν ἄλλων ὁ προφήτης ἐγκαλεῖ.

«Ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν», φησίν, «ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν. Καὶ ἐνεπλήσθη ἡ γῆ αὐτῶν ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν». Καὶ ποῖον ἔγκλημα τοῦτο, ἴσως εἴποι τις ἄν, τὰ χρήματα ἔχειν, καὶ ἵππους κεκτῆσθαι, καὶ μάλιστα ἐπὶ τῆς γενεᾶς ἐκείνης, ὅτε οὐ πολλὴ φιλοσοφίας ἦν ἀκρίβεια;

τῆς ἐλευθερίας. Αὐτὸ τὸ φοβερὸ νόσημα τὸ εἰσήγαγε στὸν ἄνθρωπο ἄλλοτε μὲ μαγεῖες, ἄλλοτε μὲ σύμβολα, ἄλλοτε μὲ διακρίσεις ἡμερῶν, ἄλλοτε μὲ τὴν πονηρὴ διδασκαλία τῆς μοίρας, ἄλλοτε δὲ μὲ ἄλλα πολλὰ μέσα, κάμνοντας τὰ πάντα ἄνω κάτω. Γι' αὐτὸ λοιπὸν καὶ ὁ προφήτης ἐξαπέλυσε ἐναντίον τους σφοδρὲς κατηγορίες, ὥστε ν' ἀποσπάσει ἀπὸ τὴ ρίζα τὸ πάθος αὐτό.

7. «Καὶ γεννήθηκαν σ' αὐτοὺς πολλὰ ἀλλόφυλα τέκνα». Τί σημαίνει, «Τέκνα ἀλλόφυλα»; Ὑπῆρχε νόμος δοσμένος σ' αὐτοὺς ἀπὸ τὸ Θεό, λόγω τοῦ ὅτι τόσο εὔκολα μετέβαλλαν γνώμη καὶ ἐξαπατοῦνταν τόσο εὔκολα, νὰ μὴ συνάπτουν γάμο μὲ κανένα ἀπὸ τοὺς ὑπόλοιπους ἀνθρώπους, ὥστε οἱ τέτοιου εἴδους συγγένειες νὰ μὴ γίνονται ἀφορμὴ ἀσέβειας. Ἐπειδὴ δηλαδὴ δὲν μποροῦσαν ὄχι μόνο ἄλλους νὰ διορθώσουν, ἀλλὰ δὲν μποροῦσαν οὔτε τὴ βλάβη ν' ἀποφύγουν ποὺ προερχόταν ἀπὸ ἄλλους, ἀφοῦ τοὺς περιφρούρησε μὲ τὸ νόμο καὶ τοὺς ἀπομάκρυνε ἀπὸ τὴ σύναψη γάμων μὲ τοὺς ὑπόλοιπους ἀνθρώπους, τοὺς διέπλαθε καὶ τοὺς κυβερνοῦσε ἐντελῶς ξεχωριστά· διότι ἐπιθυμοῦσε ἔστω καὶ ἔτσι ὁδηγούμενοι νὰ μπορέσει νὰ διατηρήσει τὸν τρόπο ζωης ποὺ εἶχε δοθεῖ σ' αὐτοὺς ἀπὸ τὸ Θεό. Ἀλλ' ὅπως ἀκριβῶς παρέβαιναν τὶς ἄλλες ἐντολές, ἔτσι λοιπὸν παραβλέποντας καὶ αὐτήν, προχώρησαν στὴ σύναψη γάμων μὲ τοὺς γειτονικούς τους λαούς, καὶ παίρνοντας ἀπὸ ἐκείνους νύφες, ἀπὸ τοὺς Μωαβίτες δηλαδή, τοὺς Ἀμμανῆτες καὶ ἀπὸ ἄλλα ἀσεβὴ ἔθνη, καὶ ἀποδεχόμενοι καὶ τὶς ἄλλες συγγένειες, δέχονταν δασκάλους τῆς κακίας καὶ διέφθειραν τὴν καθαρότητα τῆς ὑψηλῆς καταγωγῆς τους. Αὐτὸ λοιπὸν μαζὶ μὲ τὰ ἄλλα κατηγορεῖ ὁ προφήτης.

«Διότι γέμισε ἡ χώρα τους», λέγει, «ἀπὸ ἀργυρὰ καὶ χρυσὰ νομίσματα καὶ ἔγιναν ἀμέτρητοι οἱ θησαυροί τους. Καὶ ἀκόμα γέμισε ἡ χώρα τους ἀπὸ ἵππους καὶ ἔγιναν ἀμέτρητα τὰ ἅρματά τους». Καὶ ποιὰ κατηγορία ἀποτελεῖ αὐτό, θὰ μποροῦσε ἴσως νὰ πεῖ κάποιος, τὸ νὰ ἔχει κανεὶς χρήματα καὶ νὰ ἔχει ἀποκτήσει ἵππους, καὶ μάλιστα κατὰ τὴν ἐποχὴ τῆς γενεᾶς ἐκεί-

Τί οὖν ἂν εἴποιμεν; Ὅτι οὐ τὴν χρῆσιν διέβαλλεν, ἀλλὰ τὴν γνώμην τὴν οὐκ εἰς δέον αὐτοῖς κεχρημένην. Ὥσπερ γὰρ ὅταν λέγῃ, «Οὐαὶ οἱ ἰσχύοντες», οὐ τὴν δυναστείαν αἰτιᾶται, ἀλλὰ τοὺς κακῶς τῇ δυναστείᾳ κεχρημένους, οὕτω δὴ καὶ ἐνταῦθα, οὐχ ὅτι χρήματα ἐκέκτηντο, ἀλλ' ὅτι μετὰ πολλῆς τῆς περιουσίας, καὶ ὑπὲρ τὴν χρείαν συνῆγον. «Οὐκ ἦν», φησίν, «ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν». Καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι πεφυσημένοι τῷ πλούτῳ καὶ τῇ τῶν ἵππων δυναστείᾳ κατὰ μικρὸν ἀπὸ τῆς εἰς τὸν Θεὸν ἐλπίδος παρεσύροντο, ὃ καὶ ἀλλαχοῦ αὐτοῖς ὁ προφήτης ἔλεγεν· «Οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν ἐγκαυχώμενοι». Καὶ πάλιν ἑτέρωθι· «Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ». Καὶ ἐν ἑτέρῳ δὲ πάλιν ψαλμῷ φησιν· «Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὔτε ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. Εὐδοκεῖ Κύριος ἐπὶ τοὺς φοβουμένους αὐτόν».

«Καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν». Ὥσπερ σοφὸς ἰατρός, ὁ προφήτης τοῦ νοσήματος τὴν αἰτίαν λέγει, καὶ τὴν πηγὴν τοῦ νοσήματος. Μέλλων γὰρ κατηγορεῖν αὐτῶν τὴν ἀσέβειαν, προλαβὼν εἶπε τὰς ἀφορμὰς τῆς ἀρρωστίας, φιλαργυρίαν, ἀπόνοιαν, τὰς οὐ προσηκούσας ἐπιμιξίας, δηλῶν ὅτι ἐντεῦθεν κατὰ μικρὸν ὑπεσκελίσθησαν εἰς τὸ τῆς ἀπωλείας βάραθρον, καὶ εἴδωλα προσεκύνησαν. Εἶτα κωμῳδῶν αὐτῶν τὴν θρησκείαν, ἐπήγαγε, «Τῶν ἔργων τῶν χειρῶν αὐτῶν». Τί γὰρ ἂν γένοιτο καταγελαστότερον ἄλλο, ἢ ὅταν ἄνθρωπος δημιουργὸς ᾖ θεοῦ; Βδέλυγμα δὲ εἴωθεν ἡ Γραφὴ καλεῖν τὰ εἴδωλα· ἐντεῦ-

---

39. Ἠσ. 1, 24.
40. Ψαλμ. 48, 7.
41. Ψαλμ. 32, 16.
42. Ψαλμ. 146, 10.

νης, ποὺ δὲν ἀσκοῦνταν μὲ μεγάλη προσοχὴ ἢ εὐσέβεια; Τί λοιπὸν θὰ μπορούσαμε νὰ ποῦμε; Ὅτι δὲν κατηγόρησε τὴ χρήση αὐτῶν, ἀλλὰ τὴν πρόθεση αὐτῶν γιὰ μὴ πρέπουσα χρησιμοποίηση αὐτῶν. Διότι ὅπως πακριβῶς ὅταν λέγει «Ἀλλοίμονο στοὺς ἄρχοντες»[39], δὲν κατηγορεῖ τὴν ἐξουσία, ἔτσι λοιπὸν καὶ ἐδῶ, δὲν τοὺς κατηγορεῖ ἐπειδὴ συγκέντρωναν χρήματα, ἀλλ' ἐπειδὴ τὰ συγκέντρωναν σὲ πάρα πολὺ μεγάλη ποσότητα καὶ πολὺ περισσότερα ἀπ' ὅσα χρειάζονταν «Ἦταν», λέγει, «ἀμέτρητοι οἱ θησαυροί τους». Καὶ ὄχι αὐτὸ μόνο, ἀλλὰ καὶ ἐπειδή, ὑπερηφανευόμενοι γιὰ τὸν πλοῦτο τους καὶ γιὰ τὴ δύναμη τῶν ἵππων τους, ἀπομακρύνονταν σιγά-σιγὰ ἀπὸ τὴν ἐλπίδα στὸ Θεό, πράγμα ποὺ καὶ ἀλλοῦ ἔλεγε σ' αὐτοὺς ὁ προφήτης· «Ἀλλοίμονο σ' ἐκείνους ποὺ στηρίζουν τὴν πεποίθησή τους στὴ δύναμή τους καὶ καυχιένται γιὰ τὸ πλῆθος τοῦ πλούτου τους»[40]. Καὶ πάλι ἀλλοῦ λέγει· «Δὲν σώζεται ὁ βασιλιὰς μὲ τὴ μεγάλη δύναμή του καὶ ὁ γίγαντας δὲν θὰ σωθεῖ μὲ τὴ μεγάλη σωματικὴ δύναμή του»[41]. Καὶ σ' ἄλλον πάλι ψαλμὸ λέγει· «Δὲν θὰ εὐχαριστηθεῖ ὁ Κύριος μὲ τὸ ἰσχυρὸ ἱππικό, οὔτε εὐαρεστεῖται μὲ τὰ ταχυκίνητα πόδια τοῦ ἄνδρα. Ὁ Κύριος εὐαρεστεῖται μὲ ἐκείνους ποὺ τὸν φοβοῦνται»[42].

«Καὶ γέμισε ἡ χώρα τους ἀπὸ βδελυρὰ εἴδωλα, ἔργα τῶν χεριῶν τους, καὶ προσκύνησαν αὐτὰ ποὺ τὰ κατασκεύασαν τὰ δάχτυλά τους». Σὰν σοφὸς ἰατρὸς ὁ προφήτης λέγει τὴν αἰτία καὶ τὴν πηγὴ τῆς ἀσθένειάς τους. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ κατηγορήσει τὴν ἀσέβειά τους, ἀνέφερε προηγουμένως τὶς ἀφορμὲς τῆς ἀρρώστιας τους, δηλαδὴ τὴ φιλαργυρία, τὴν ἀναισχυντία τους, τὶς ἀπαγορευμένες συνάψεις γάμων, γιὰ νὰ δείξει ὅτι ἐξ αἰτίας αὐτοῦ τοῦ πράγματος σιγά-σιγὰ ἀνατράπηκαν καὶ ἔπεσαν στὸ βάραθρο τῆς καταστροφῆς καὶ προσκύνησαν τὰ εἴδωλα. Ἔπειτα, διακωμωδώντας τὴ θρησκεία τους, πρόσθεσε, «Τὰ ἔργα τῶν χεριῶν τους». Πράγματι τί ἄλλο θὰ μποροῦσε νὰ ὑπάρξει ἄξιο γιὰ περισσότερα γέλια ἀπὸ τὸ νὰ γίνεται ὁ ἄνθρωπος δημιουργὸς τοῦ Θεοῦ; Βδέλυγμα δὲ συνήθως ἡ Γραφὴ ὀνομάζει τὰ εἴδωλα· ἐξ αἰτίας αὐτοῦ καὶ βδέλυγμα ἐ-

θεν καὶ βδέλυγμα ἐρημώσεως λέγεται ὁ ἀνδριὰς ὁ ἐπὶ τοῦ ναοῦ ἑστώς. «Ὅταν γὰρ ἴδητε», φησί, «τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ· ὁ ἀναγινώσκων νοείτω». Ἐπειδὴ γὰρ αὐτοὺς ἀπήγαγε τοῦ πρὸς τὰ αἰσθητὰ ἐπτοῆσθαι, ἀπηγόρευσεν αὐτοῖς πᾶν ἐξεικόνισμα ποιῆσαι, καὶ βδέλυγμα τοῦτο ἐκάλεσε, πόρρωθεν αὐτοὺς ἀναστέλλων τῆς ἀσεβείας· τὸ γὰρ βδελύττεσθαι τὸ μεθ' ὑπερβολῆς ἐστι μισεῖν, ὡς ἀκάθαρτον, ὡς ἐναγές. Τὸ τοίνυν βδέλυγμα τὸ μισητὸν καὶ ἀποστροφῆς ἄξιον ἐν τῇ Γραφῇ λέγεται. Πᾶν δὲ εἴδωλον τοιοῦτον.

«Καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν. Καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ». Ὥσπερ γὰρ ἡ τοῦ Θεοῦ προσκύνησις εἰς ὕψος ἀνάγει, οὕτως ἡ ἐκείνων ταπεινοῖ καὶ κατάγει. Τί γὰρ ταπεινότερον ἀνθρώπου σωτηρίας ἐκπεπτωκότος, καὶ τὸν τῶν ὅλων Θεὸν ἐσχηκότος ἐχθρόν, τοῖς ἀψύχοις ὑποκύπτοντος, καὶ λίθους θεραπεύοντος; Ὁ μὲν γὰρ Θεὸς εἰς τοσαύτην ἡμᾶς ἀνήγαγε τιμήν, ὡς καὶ τῶν οὐρανῶν ὑψηλοτέρους ποιῆσαι, ὁ δὲ διάβολος εἰς τοσαύτην ἐσπούδασε καταγαγεῖν εὐτέλειαν τοὺς πειθομένους, ὡς καὶ τῶν ἀναισθήτων ἀναισθητοτέρους ἐργάσασθαι. Διὸ δή φησιν ὁ προφήτης· «Ἐταπεινώθη ἀνήρ». Ἤρκει μὲν καὶ αὐτὴ ἡ κατηγορία τὸν νοῦν ἔχοντα ἀπαγαγεῖν τοῦ νοσήματος, ἐπειδὴ δὲ πολλοὶ τῶν ἀνθρώπων οὐχ οὕτω τὰς ἁμαρτίας ὡς τὰς τιμωρίας δεδοίκασιν, ἐπήγαγε καὶ τὴν κόλασιν, λέγων· «Οὐ μὴ ἀνήσω αὐτοῖς». Οὐ συγχωρήσω, φησίν, οὐκ ἀφήσω, οὐ παρόψομαι, ἀλλὰ ἀπαιτήσω δίκας καὶ εὐθύνας τῶν πεπλημμελημένων.

«Καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου». Κωμῳδήσας ἱκανῶς τὴν ἄνοιαν τῶν τὰ εἴδωλα προσκυνούντων, καὶ ἀπὸ

---

43. Ματθ. 24, 15. Δαν. 9, 27.

ρημώσεως ὀνομάζεται ὁ ἀνδριάντας ποὺ στήνεται στὸ ναό. Διότι λέγει, «Ὅταν θὰ δεῖτε τὸ βδέλυγμα τῆς ἐρημώσεως νὰ εἶναι τοποθετημένο μέσα στὸ ναό, ὁ ἀναγνώστης ἂς τὰ σκεφθεῖ καλὰ ὅλα αὐτά»[43]. Ἀφοῦ δηλαδὴ τοὺς ἀπομάκρυνε ἀπὸ τὴν προσήλωσή τους στὰ αἰσθητά, ἀπαγόρευσε σ' αὐτοὺς νὰ κατασκευάσουν ὁποιοδήποτε εἴδωλο, καὶ ὀνόμασε αὐτὸ βδέλυγμα, συγκρατώντας ἀπὸ μακριὰ τὸ κατρακύλισμά τους πρὸς τὴν ἀσέβεια· διότι τὸ νὰ βδελύσσεται κανεὶς κάτι σημαίνει ὅτι μισεῖ αὐτὸ αὐτὸ ὑπερβολικὰ σὰν κάτι ἀκάθαρτο καὶ μολυσμένο. Βδέλυγμα λοιπὸν στὴν ἁγία Γραφὴ ὀνομάζεται αὐτὸ ποὺ εἶναι ἄξιο μίσους καὶ ἀποστροφῆς. Κάθε δὲ εἴδωλο εἶναι τέτοιο.

«Καὶ προσκύνησαν αὐτὰ ποὺ κατασκεύασαν τὰ δάχτυλά τους. Καὶ ἔσκυψε ὁ ἄνθρωπος μπροστὰ σ' αὐτὰ καὶ ταπεινώθηκε ὁ ἄνδρας». Ὅπως ἀκριβῶς δηλαδὴ ἡ προσκύνηση τοῦ Θεοῦ ἀνυψώνει τὸν ἄνθρωπο, ἔτσι ἡ προσκύνηση τῶν εἰδώλων τὸν ταπεινώνει καὶ τὸν ὑποβιβάζει. Πράγματι τί ὑπάρχει ταπεινότερο ἀπὸ τὸν ἄνθρωπο ἐκεῖνο ποὺ ἔχει ἐκπέσει τῆς σωτηρίας του, καὶ ἔχει ἐχθρό του τὸ Θεὸ τῶν πάντων, ὑποκύπτοντας στὰ ἄψυχα καὶ λατρεύοντας τοὺς λίθους; Διότι ὁ μὲν Θεὸς μᾶς ἀνέβασε σὲ τόσο μεγάλη τιμή, ὥστε νὰ μᾶς κάνει ψηλότερους καὶ ἀπὸ τοὺς οὐρανούς, ὁ δὲ διάβολος φρόντισε νὰ κατεβάσει ἐκείνους ποὺ πιστεύουν σ' αὐτὸν σὲ τόση μεγάλη εὐτέλεια, ὥστε νὰ τοὺς κάνει πιὸ ἀναίσθητους καὶ ἀπὸ τὰ ἀναίσθητα. Γι' αὐτὸ λέγει ὁ προφήτης· «Καὶ ταπεινώθηκε ὁ ἄνδρας». Ἦταν ἀρκετὴ μὲν καὶ αὐτὴ ἡ κατηγορία ν' ἀπαλλάξει ἀπὸ τὴν ἀσθένεια τὸ σώφρονα, ἐπειδὴ ὅμως πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους δὲν φοβοῦνται τόσο τὶς ἁμαρτίες ὅσο τὶς τιμωρίες, πρόσθεσε καὶ τὴν τιμωρία, λέγοντας· «Δὲν θὰ τοὺς ἀφήσω ἀτιμώρητους». Δὲν θὰ τοὺς συγχωρήσω, λέγει, δὲν θὰ τοὺς ἀφήσω ἔτσι, δὲν θὰ τοὺς παραβλέψω, ἀλλὰ θ' ἀπαιτήσω δικαιοσύνη καὶ εὐθύνες γιὰ τὰ πλημμελήματά τους.

«Καὶ τώρα εἰσέλθετε στὰ σπήλαια καὶ κρυφθεῖτε μέσα στὴ γῆ ἀπὸ φόβο μπροστὰ στὸν ὀργισμένο Κύριο». Ἀφοῦ διακωμώδησε ἀρκετὰ τὴν ἀνοησία ἐκείνων ποὺ προσκυνοῦν τὰ εἴδω-

τοῦ τρόπου τῆς δημιουργίας δείξας κἀκείνων τὴν παραπληξίαν, καὶ τῶν εἰδώλων τὴν ἀσθένειαν, ἐπαγωνίζεται τῷ λόγῳ πάλιν, τῇ πείρᾳ τῶν πραγμάτων ἐπιτρέπων τῶν εἰρημένων τὴν ἐξέτασιν, καί φησιν· ἤρκει μοι καὶ αὐτὸ τοῦτο παρὰ ἀνθρώπων αὐτὰ γενέσθαι, δεῖξαι τὴν ἄνοιαν τῶν ἀπατωμένων, ἐπειδὴ δὲ ὥσπερ τῇ μέθῃ ἀσεβείᾳ κεκαρωμένοι, πρὸς τὰ φανερὰ καὶ σαφῆ τῶν πραγμάτων πεπήρωνται, τοιαῦτα καταλήψονται τὴν πόλιν κακά, ὡς καὶ τοὺς σφόδρα ἀναισθήτους διδάξαι, πόση ἡ ἐκείνων ἀσθένεια, καὶ πόση ἡ τοῦ Θεοῦ δύναμις. Διὰ δὴ τοῦτο πρὶν ἢ τὸν πόλεμον εἰπεῖν, τὰ ἐξ αὐτοῦ συμβησόμενα λέγει, κελεύων εἰς πέτρας εἰσιέναι, καὶ ὑπ' αὐτὴν καταδῦναι τὴν γῆν, οὐχ ἵνα τοῦτο ποιήσωσιν, ἀλλ' ἵνα ἐκ τούτων μάθωσιν, ὡς ἀφορητός ἐστιν ἡ παρὰ τοῦ Θεοῦ τότε φερομένη ὀργή.

8. «Κρύπτεσθε γάρ, φησίν, «εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν». Οὐκ εἶπεν ἁπλῶς, 'ἀπὸ τῆς ἰσχύος αὐτοῦ', ἀλλά, «Ἀπὸ τῆς δόξης τῆς ἰσχύος». Τοιαῦτα γὰρ αὐτοῦ τὰ κατορθώματα, τοιαῦτα τὰ τρόπαια, πολλὴν ἔχοντα τὴν περιφάνειαν καὶ τὴν λαμπρότητα. Ἐνταῦθά μοι δοκεῖ τὴν νίκην τὴν ἐπὶ τοῦ Ἐζεχίου σημαίνει, γῆν τὸ πλῆθος τῶν ἀνθρώπων καλῶν, καὶ θραῦσιν τὴν κατάπτωσιν, ἀνάστασιν δὲ αὐτοῦ τὴν ἐπὶ τὴν ἀντίληψιν ἔξοδον. Ἐπεὶ καὶ ὁ Δαυὶδ οὕτω φησίν, «Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ»· καὶ πάλιν, «Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν», ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων καὶ σχημάτων τοῦ Θεοῦ τὰς ἐνεργείας χαρακτηρίζων.

«Οἱ γὰρ ὀφθαλμοὶ Κυρίου ὑψηλοί, ὁ δὲ ἄνθρωπος ταπεινός». Εἶτα ἵνα μηδεὶς τῶν ἀκουόντων τότε ἀπιστῇ τοῖς λεγομένοις (πολλοῖς γὰρ παρ' ἐλπίδας τὸ συμβησόμενον, καὶ προσδοκίας ἁπάσης ἀνώτερον), κατέφυγεν ἐπὶ τὴν δύ-

44. Διάβασε Παραλ. Β' κεφ. 32 καὶ Ἠσ. κεφ. 36 ἑ.
45. Ψαλμ. 67, 2. 46. Ψαλμ. 81, 8.

λα καὶ ἔδειξε ἀπὸ τὸν τρόπο κατασκευῆς αὐτῶν καὶ τὴν παραφροσύνη ἐκείνων καὶ τῶν εἰδώλων τὴν ἀδυναμία, συνεχίζει τὸν ἀγώνα καὶ πάλι μὲ τὸ λόγο, ἀφήνοντας τὴν ἐξέταση τῶν ὅσων λέχθηκαν στὴν πείρα τῶν ἴδιων τῶν γεγονότων, καὶ λέγει· μοῦ ἦταν ἀρκετὸ καὶ αὐτὸ μόνο τὸ ὅτι τὰ εἴδωλα αὐτὰ κατασκευάσθηκαν ἀπὸ τοὺς ἀνθρώπους νὰ δείξουν τὴν ἀνοησία αὐτῶν ποὺ ἀπατήθηκαν, ἐπειδὴ ὅμως σὰν ἀκριβῶς ἀπὸ μέθη εἶναι ναρκωμένοι μὲ τὴν ἀσέβεια, καὶ δὲν αἰσθάνονται τὰ φανερὰ καὶ σαφὴ γεγονότα, τέτοια κακὰ θὰ καταλάβουν τὴν πόλη, ὥστε νὰ διδάξουν καὶ τοὺς ὑπερβολικὰ ἀναίσθητους, πόση εἶναι ἡ ἀδυναμία ἐκείνων καὶ πόση ἡ δύναμη τοῦ Θεοῦ. Γι' αὐτὸ λοιπόν, πρὶν κάνει λόγο γιὰ τὸν πόλεμο, ἀναφέρει αὐτὰ ποὺ θὰ συμβοῦν ἀπ' αὐτόν, προτρέποντας νὰ εἰσέλθουν σὲ σπήλαια καὶ νὰ κρυφθοῦν μέσα στὴ γῆ, ὄχι γιὰ νὰ κάνουν αὐτό, ἀλλὰ γιὰ νὰ μάθουν ἀπ' αὐτά, πόσο ἀνυπόφορη θὰ εἶναι τότε ἡ ἐκδηλουμένη ἐκ μέρους τοῦ Θεοῦ ὀργή.

8. «Κρυφθεῖτε», λοιπόν, λέγει, «μέσα στὴ γῆ βλέποντας μπροστά σας μὲ φόβο τὸν ὀργισμένο Κύριο καὶ τὴν ἔνδοξη καὶ ἀκατανίκητη δύναμη αὐτοῦ, ὅταν θὰ σηκωθεῖ νὰ συντρίψει τὴ γῆ». Δὲν εἶπε ἁπλῶς, 'ἀπὸ τὴ δύναμη αὐτοῦ', ἀλλά, «Ἀπὸ τὴν ἔνδοξη καὶ ἀκατανίκητη δύναμή του». Διότι τέτοια εἶναι τὰ κατορθώματα αὐτοῦ, τέτοια τὰ τρόπαια νίκης του, ποὺ παρουσιάζουν μεγάλη μεγαλοπρέπεια καὶ λαμπρότητα. Ἐδῶ μοῦ φαίνεται ὅτι ὑπαινίσσεται τὴ νίκη ἐπὶ τῆς βασιλείας τοῦ Ἐζεκία, γῆ ὀνομάζει τὸ πλῆθος τῶν ἀνθρώπων, θραύση τὴν κατάπτωση, ἀνάσταση δὲ αὐτοῦ τὸν ἐρχομό του γιὰ βοήθεια[44]. Διότι καὶ ὁ Δαυὶδ τὰ ἴδια λέγει, «Ἂς σηκωθεῖ ὁ Θεὸς καὶ θὰ διασκορπισθοῦν οἱ ἐχθροί του»[45]· καὶ πάλι, «Σήκω, Θεέ μου, καὶ κρίνε τὴ γῆ»[46], χαρακτηρίζοντας τὶς ἐνέργειες τοῦ Θεοῦ ἀπὸ τὰ ἀνθρώπινα πράγματα καὶ σχήματα.

«Κρυφθεῖτε, διότι οἱ ὀφθαλμοὶ τοῦ Κυρίου εἶναι ὑψηλοί, ὁ δὲ ἄνθρωπος ἀσήμαντος». Ἔπειτα, γιὰ νὰ μὴ ἀπιστεῖ κανένας ἀπὸ τοὺς τότε ἀκροατὲς στὰ λεγόμενα (διότι γιὰ τοὺς πολλοὺς αὐτὸ ποὺ θὰ συνέβαινε θὰ ἦταν ἀνέλπιστο καὶ πέρα ἀπὸ κάθε

ναμιν τοῦ ποιοῦντος, καὶ τὴν εὐτέλειαν τῶν πασχόντων. Οὔτε γὰρ Θεοῦ, φησίν, ὑψηλότερόν τί ἐστιν, οὔτε ἀνθρώπων εὐτελέστερον. Μὴ τοίνυν ἀπόρει, εἰ ὁ μέγας οὗτος καὶ ἰσχυρὸς τοὺς εὐτελεῖς ἀθρόον οὕτω ταπεινῶσαι δυνήσεται. Καὶ καλῶς εἶπεν, «Οἱ ὀφθαλμοὶ Κυρίου ὑψηλοί». Οὐκ εἶπεν, 'ἡ δύναμις', ἀλλ', «Οἱ ὀφθαλμοὶ Κυρίου», ὡς ἀρκούσης καὶ τῆς ὄψεως μόνης ἅπαντα τὰ ἐναντιούμενα καθελεῖν, ὅπερ καὶ ὁ Δαυὶδ ἑτέρωθι ἔλεγεν· «Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν»· καὶ ἕτερος πάλιν προφήτης· «Ἐπιβλέψομαι πρὸς αὐτόν, καὶ δυνήσομαι αὐτῷ».

«Καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ». Τῆς γὰρ παραδόξου γενομένης νίκης, καὶ τῶν λαμπρῶν καὶ θαυμαστῶν τροπαίων ἐκείνων, καὶ δαίμονες ἠλέγχθησαν, καὶ εἴδωλα ἠτιμώθη, ψευδοπροφῆται ἐπεστομίσθησαν, καὶ τῶν βαρβάρων ἡ τυραννὶς κατελύθη, καὶ πᾶν τῷ Θεῷ στόμα ἐναντιούμενον ἐνεφράγη. Διὰ τοῦτό φησιν, «Ὑψωθήσεται Κύριος μόνος». Οὐδεὶς ἔσται λοιπὸν ὁ ἀντερῶν, οὐδὲ ἀμφιβάλλων περὶ τῆς τοῦ Θεοῦ δυνάμεως, τῆς τῶν πραγμάτων ἀποδείξεως οὕτω σαφεστάτης γεγενημένης. Τὸ μὲν γὰρ τῆς φύσεως ὕψος ἔχει διηνεκές, οὐδέποτε ἀρξάμενον, ἀλλὰ ἀεὶ ὄν, ὑψοῦσθαι δὲ λέγεται ἐν τῇ διανοίᾳ τῶν ἀνθρώπων, ὅταν οἱ ἀντιλέγοντες καὶ ἐναντιούμενοι, ἀπ' αὐτῆς τῶν πραγμάτων πεισθέντες τῆς ἀποδείξεως, ὑποκύψωσι, καὶ τὴν προσήκουσαν ἀνενέγκωσιν εὐφημίαν.

«Ἡμέρα γὰρ Κυρίου Σαβαὼθ παραγίνεται ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται. Καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ Λιβάνου τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν δένδρον βαλά-

---

47. Ψαλμ. 103, 32.   48. Ὠσηὲ 11, 4.

προσδοκία), κατέφυγε στὴ δύναμη αὐτοῦ ποὺ κάμνει αὐτό, καὶ τὴν εὐτέλεια ἐκείνων ποὺ δέχονται τὸ πάθημα. Διότι, λέγει, οὔτε ἀπὸ τὸ Θεὸ ὑπάρχει τίποτε ἀνώτερο, οὔτε ἀπὸ τοὺς ἀνθρώπους πιὸ εὐτελέστερο. Μὴ λοιπὸν ἀπορεῖς γιὰ τὸ πῶς θὰ μπορέσει ὁ μέγας αὐτὸς καὶ ἰσχυρὸς νὰ ταπεινώσει τόσο πολὺ μέσα σὲ μιὰ στιγμὴ τοὺς εὐτελεῖς. Καὶ πολὺ καλὰ εἶπε, «Οἱ ὀφθαλμοὶ τοῦ Κυρίου εἶναι ὑψηλοί». Δὲν εἶπε, 'ἡ δύναμη', ἀλλ', «Οἱ ὀφθαλμοὶ τοῦ Κυρίου», διότι ἀρκεῖ καὶ μόνο τὸ πρόσωπό του νὰ συντρίψει ὅλα ἐκεῖνα ποὺ ἀντιτίθενται σ' αὐτόν, πράγμα ποὺ καὶ ὁ Δαυὶδ ἔλεγε σ' ἄλλο ψαλμό· «Αὐτὸς ποὺ ρίχνει τὸ βλέμμα του στὴ γῆ καὶ τὴν κάνει νὰ τρέμει»[47]· καὶ ἄλλος προφήτης πάλι ἔλεγε· «Θὰ ρίξω τὸ εὐσπλαχνικὸ βλέμμα μου πρὸς αὐτὸν καὶ θὰ μπορέσω νὰ τὸν σώσω»[48].

«Καὶ θὰ ταπεινωθεῖ ἡ ὑπερηφάνεια τῶν ἀνθρώπων καὶ θὰ ὑψωθεῖ μόνος ὁ Κύριος κατὰ τὴν ἡμέρα ἐκείνη». Πράγματι ὅταν ἔγινε ἡ παράδοξη ἐκείνη νίκη καὶ στήθηκαν τὰ λαμπρὰ καὶ θαυμαστὰ ἐκεῖνα τρόπαια, καὶ οἱ δαίμονες ἀποδοκιμάστηκαν, καὶ τὰ εἴδωλα ἀτιμάσθηκαν, καὶ οἱ ψευδοπροφῆτες ἀποστομόθηκαν, καὶ τῶν βαρβάρων ἡ τυραννικὴ ἐξουσία καταλύθηκε, καὶ ὁποιοδήποτε στόμα ποὺ πρόβαλλε ἀντίσταση κατὰ τοῦ Θεοῦ, ἔκλεισε. Γι' αὐτὸ λέγει, «Θὰ ὑψωθεῖ μόνος ὁ Κύριος». Κανένας δὲν θὰ ὑπάρχει πλέον ποὺ νὰ προβάλλει ἀντιρρήσεις, οὔτε καὶ ν' ἀμφιβάλλει γιὰ τὴ δύναμη τοῦ Θεοῦ, ἀφοῦ ἡ ἀπόδειξη ἀπὸ τὰ ἴδια τὰ γεγονότα θὰ γίνει τόσο ὁλοφάνερη. Διότι ὁ Κύριος τὸ μὲν ὕψος τῆς φύσεώς του τὸ ἔχει αἰώνιο, χωρὶς ποτὲ νὰ ἔλαβε ἀρχή, ἀλλ' ὑπάρχει πάντοτε, τὸ θὰ ὑψωθεῖ δὲ λέγεται γιὰ τὴ διάνοια τῶν ἀνθρώπων, ὅταν αὐτοὶ ποὺ προβάλλουν ἀντιρρήσεις καὶ ἀντιτίθενται σ' αὐτόν, ἀφοῦ πεισθοῦν ἀπὸ τὰ ἴδια τὰ γεγονότα ποὺ θ' ἀποτελοῦν ἀπόδειξη γι' αὐτόν, ὑποκύψουν καὶ τοῦ προσφέρουν τὴν πρέπουσα δοξολογία.

«Διότι ἡ ἡμέρα τοῦ Κυρίου τοῦ Παντοκράτορα ἔρχεται ἐναντίον κάθε αὐθάδη καὶ ὑπερήφανου καὶ ἐναντίον κάθε ἀλαζόνα καὶ καυχώμενου καὶ θὰ ταπεινωθοῦν. Θὰ ἔλθει καὶ ἐναντίον κάθε κέδρου τοῦ Λιβάνου, ἀπὸ τὰ ὑψηλὰ καὶ ὑπερήφανα,

νου Βασᾶν. Καὶ ἐπὶ πᾶν ὄρος ὑψηλόν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλόν. Καὶ ἐπὶ πάντα πύργον ὑψηλόν. Καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν κάλλους πλοίων. Καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ». Τεῖχος ἐνταῦθα καὶ κέδρον καὶ βουνὸν καὶ δρῦν τοὺς δυνάστας ἀνθρώπους φησί, τῷ ὕψει τῶν δένδρων τούτων μεταφορικῶς τὴν δυναστείαν αὐτῶν ἐνδεικνύμενος· «καὶ πλοῖον καὶ θέαν κάλλους πλοίων» λέγων, τοὺς εὐπορωτέρους αὐτῶν αἰνίττεται. Ὃ δὲ βούλεται εἰπεῖν, τοῦτό ἐστιν· ὅτι πᾶς ἰσχυρός, πᾶς δυνάστης, πᾶς στρατηγός, πᾶς περιβεβλημένος πλοῦτον, πᾶσα, ὡς εἰπεῖν, τῶν ἀνθρώπων ἡ εὐπρέπεια καὶ ἰσχὺς τότε οἰχήσεται καὶ διαλυθήσεται· καὶ οὐδὲν αὐτῶν προστήσεται πρὸς τὸ διαφυγεῖν τοῦ Θεοῦ τὴν ὀργήν, οὐκ ἰσχὺς σώματος, οὐκ ἐμπειρία πολέμου, οὐ χρημάτων περιουσία, οὐ δυναστείας περιβολή, οὐ στρατοπέδου πλῆθος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. «Κέδρους δὲ Λιβάνου» διὰ τοῦτό φησι, διὰ τὸ αὐτόθι τοῦτο μάλιστα φύεσθαι τὸ δένδρον, ἢ διὰ τὸ πλησίον τὰ πράγματα γίνεσθαι· «θέαν δὲ κάλλους πλοίων», τὴν εὐπρέπειαν τῶν στρατηγῶν, τῶν ἀπὸ πλούτου καὶ ὅπλων καὶ δορυφόρων κεκαλλωπισμένων. Δοκεῖ δέ μοι καὶ τὴν μακροῦ γενομένην ἀποδημίαν τῶν βαρβάρων αἰνίττεσθαι.

«Καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν, εἰσενέγκαντες εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν». Τοσοῦτον γὰρ ἀφέξουσιν αὐτῶν, φησίν, οἱ θεοὶ παρασχεῖν τινα συμμαχίαν, ὅτι τῆς παρὰ τῶν ἀνθρώπων δεήσονται βοηθείας, καὶ τόπων ἀσφαλείας, ὥστε μὴ ἁλῶναι, «Ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν». Ἵνα γὰρ μή

καὶ ἐναντίον κάθε πύργου ὑψηλοῦ, ἐναντίον κάθε πλοίου τῆς θάλασσας καὶ ἐναντίον ὁποιωνδήποτε θεαματικὰ στολισμένων πλοίων. Καὶ θὰ ταπεινωθεῖ τὸ ὕψος τῶν ἀνθρώπων καὶ θὰ ὑψωθεῖ μόνος ὁ Κύριος κατὰ την ἡμέρα ἐκείνη». Τεῖχος ἐδῶ καὶ κέδρο καὶ βουνὸ καὶ δρῦν ὀνομάζει τοὺς ἄρχοντες, παρουσιάζοντας μεταφορικὰ μὲ τὸ ὕψος τῶν δένδρων αὐτῶν τὴν ἐξουσία αὐτῶν· καὶ λέγοντας πλοῖο καὶ θεαματικὰ στολισμένα πλοῖα, ὑπονοεῖ τοὺς πιὸ πλούσιους ἀπὸ αὐτούς. Αὐτὸ δὲ ποὺ θέλει νὰ πεῖ, εἶναι τὸ ἑξῆς· ὅτι δηλαδὴ κάθε ἰσχυρός, κάθε ἄρχοντας, κάθε στρατηγός, ὁ καθένας ποὺ περιβάλλεται ἀπὸ πλοῦτο, ὅλη, ὅπως θὰ λέγαμε, ἡ μεγαλοπρέπεια τῶν ἀνθρώπων καὶ ἡ δύναμη τότε θὰ διαλυθεῖ καὶ θὰ ἐξαφανισθεῖ καὶ τίποτε ἀπὸ αὐτὰ δὲν θὰ μπορέσει νὰ τοὺς βοηθήσει στὸ ν' ἀποφύγουν τὴν ὀργὴ τοῦ Θεοῦ, οὔτε ἡ σωματικὴ δύναμη, οὔτε ἡ πολεμικὴ ἐμπειρία, οὔτε ἡ ἀφθονία τῶν χρημάτων, οὔτε ἡ κατοχὴ ἐξουσίας, οὔτε τὸ πλῆθος τῶν στρατευμάτων, οὔτε τίποτε ἄλλο παρόμοιο. «Κέδρους δὲ τοῦ Λιβάνου» γι' αὐτὸ τοὺς ὀνομάζει, ἢ ἐπειδὴ τὸ δένδρο αὐτὸ φύεται πρὸ πάντων ἐκεῖ, ἢ ἐπειδὴ τὰ γεγονότα γίνονται κοντὰ σ' αὐτόν· «Θέα δὲ κάλλους πλοίων», ὀνομάζει τὴν μεγαλοπρέπεια τῶν στρατηγῶν, ποὺ καυχιένται γιὰ τὸν πλοῦτο, τὰ ὅπλα καὶ τοὺς σωματοφύλακες ἀπὸ τοὺς ὁποίους περιβάλλονται. Μοῦ φαίνεται δὲ ὅτι ὑπαινίσσεται καὶ τὴν ἐπὶ μακρὸ χρόνο διαμονὴ τῶν βαρβάρων σὲ ξένη χώρα.

«Καὶ ὅλα τὰ κατασκευασμένα ἀπὸ τὰ χέρια τους εἴδωλα θὰ τὰ κατακρύψουν, φέροντάς τα μέσα στὰ σπήλαια, στὶς σχισμὲς τῶν βράχων καὶ στὶς κοιλότητες τῆς γῆς, ἐξ αἰτίας τοῦ φόβου τους μπροστὰ στὸ πρόσωπο τοῦ Κυρίου καὶ τὴ μεγαλοπρέπεια τῆς δυνάμεώς του, ὅταν θὰ σηκωθεῖ γιὰ νὰ συντρίψει τὴ γῆ». Τόσο δηλαδὴ ἀνίκανοι λέγει, θὰ σταθοῦν οἱ θεοί τους στὸ νὰ τοὺς προσφέρουν κάποια βοήθεια, ὥστε θὰ χρειασθοῦν τὴ βοήθεια ἐκ μέρους τῶν ἀνθρώπων καὶ τόπους ἀσφάλειας, ὥστε νὰ μὴ συλληφθοῦν, «Μπροστὰ στὸ φόβο ποὺ θὰ τοὺς προξενεῖ ἡ παρουσία τοῦ Κυρίου καὶ ἡ μεγαλοπρέπεια τῆς δυνάμεως αὐτοῦ, ὅταν θὰ σηκωθεῖ νὰ συντρίψει τὴ γῆ». Γιὰ νὰ μὴ

τις τῇ τῶν βαρβάρων ἐφόδῳ ταῦτα λογίζηται, μηδὲ τῆς ἰσχύος τῆς ἐκείνων εἶναι νομίζῃ τὸν φόβον, ἀνάγει τὸν λόγον ἐπὶ τὸν τῶν ὅλων Θεόν, λέγων, ὅτι αὐτὸς τοῦ πολέμου στρατηγεῖ τούτου, καὶ παρ' ἐκείνου δύναμις ἐν τοσούτῳ κινδύνῳ τῶν ἤδη πεπλημμελημένων.

«Τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ, τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν ἑαυτοῖς εἰς τὸ προσκυνεῖν τοῖς ματαίοις αὐτῶν καὶ ταῖς νυκτερίσι, τοῦ εἰσελθεῖν εἰς τὰς στερεὰς πέτρας καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν». Ἱκανῶς αὐτοὺς ἐκωμῴδησε, δεικνὺς μετὰ τῶν θεῶν κρυπτομένους, καὶ εἰς τὴν γῆν καταδυομένους, καὶ οὔτε τὴν πολυτέλειαν τῆς ὕλης ἀρκέσαι τι δυναμένην πρὸς τὴν ἐπικειμένην συμφοράν. Νυκτερίδας δὲ ἐκάλεσε τὰ εἴδωλα, ἢ διὰ τὴν ἀσθένειαν, ἢ διὰ τὸ τῆς πλάνης ἐσκοτισμένον, καὶ τὸ πάντα λάθρᾳ παρὰ τῶν δαιμόνων πράττεσθαι. Ὥσπερ γὰρ ταῖς νυκτερίσιν ὁ μὲν ἥλιος πολέμιον καὶ τὸ φῶς, ἡ δὲ νὺξ καὶ τὸ σκότος φίλον, οὕτω καὶ τοῖς δαίμοσι καὶ τοῖς ὑπ' ἐκείνων πλανωμένοις ἡ πονηρία μὲν καὶ τὰ παράνομα ἅπαντα συνήθη καὶ φίλα, ἐχθρὰ δὲ ἡ ἀρετὴ καὶ τὰ τοῦ φωτὸς ἔργα, καὶ λαμψάντων αὐτῶν, εὐθέως σκοτίζονται, οὐ δεομένου τοῦ ἐν ἀρετῇ ζῶντος πόνου τινὸς καὶ καμάτου· ἀρκεῖ γὰρ φανῆναι μόνον, καὶ πάντα καταλύσει ἐκεῖνα.

Παύσασθε ὑμῖν ἀπὸ τοῦ ἀνθρώπου, οὗ ἐστιν ἀναπνοὴ ἐν μυκτῆρι αὐτοῦ· ὅτι ἐν τίνι ἐλογίσθη αὐτοῖς οὗτος;». Ἐνταῦθά μοι δοκεῖ τὸν Ἐζεχίαν αἰνίττεσθαι, ἐκ τοῦ δέους καὶ τῆς πολλῆς ἀγωνίας πρὸς ἐσχάτας ὄντα ἀναπνοάς. Ἐπεὶ

---

49. Τὸ χωρίο αὐτὸ δὲν ὑπάρχει στὸ κείμενο τῶν Ο'.

ἀποδίδει δηλαδὴ κάποιος αὐτὰ στὴν ἔφοδο τῶν βαρβάρων, οὔτε νὰ νομίζει ὅτι ὁ φόβος προέρχεται ἀπὸ τὴ δύναμη ἐκείνων, μεταφέρει τὸ λόγο στὸ Θεὸ τῶν πάντων, λέγοντας, ὅτι αὐτὸς εἶναι ὁ στρατηγὸς αὐτοῦ τοῦ πολέμου καὶ ἀπὸ ἐκεῖνον προέρχεται ἡ δύναμη ποὺ ἐμβάλλει σὲ τόσο μεγάλο κίνδυνο ἐκείνους ποὺ διέπραξαν τὰ ἁμαρτήματα.

«Κατὰ τὴν ἡμέρα ἐκείνη ὁ ἄνθρωπος θὰ πετάξει μακριὰ τὰ εἴδωλά του τὰ ἀσημένια καὶ χρυσά, ποὺ τὰ κατασκεύασαν γιὰ τὸν ἑαυτό τους, ὥστε νὰ προσκυνοῦν τὰ μάταια αὐτὰ δημιουργήματά τους καὶ τὶς νυχτερίδες, καὶ θὰ μποῦν μέσα στὶς τρύπες τῶν σκληρῶν βράχων καὶ στὶς σχισμὲς τῶν πετρῶν, ἐξ αἰτίας τοῦ φόβου ποὺ θὰ τοὺς προξενεῖ ἡ παρουσία τοῦ Κυρίου καὶ ἡ μεγαλοπρέπεια τῆς δυνάμεως αὐτοῦ, ὅταν θὰ σηκωθεῖ νὰ συντρίψει τὴ γῆ». Ἀρκετὰ τοὺς διακωμώδησε, παρουσιάζοντάς τους νὰ κρύβονται μαζὶ μὲ τοὺς θεούς τους, νὰ μπαίνουν μέσα στὴ γῆ, καὶ οὔτε ἡ πολυτελὴς ὕλη ἀπὸ τὴν ὁποία εἶναι κατασκευασμένοι νὰ μὴ μπορεῖ νὰ τοὺς προσφέρει βοήθεια μπροστὰ στὴ συμφορὰ ποὺ βρίσκεται ἐμπρός τους. Νυχτερίδες δὲ ὀνόμασε τὰ εἴδωλα, ἢ ἐξ αἰτίας τῆς ἀδυναμίας τους, ἢ ἐπειδὴ εἶναι σκεπασμένα μὲ τὴν πλάνη σὰν μὲ σκοτάδι, καὶ ὅλα γίνονται κρυφὰ ἀπὸ τοὺς δαίμονες. Διότι ὅπως ἀκριβῶς ἐχθρὸς γιὰ τὶς νυχτερίδες εἶναι ὁ ἥλιος καὶ τὸ φῶς, ἡ δὲ νύχτα καὶ τὸ σκοτάδι ἀγαπητά, ἔτσι καὶ στοὺς δαίμονες καὶ σ' ἐκείνους ποὺ πλανοῦνται ἀπ' αὐτοὺς ἡ μὲν πονηρία καὶ ὅλα τὰ παράνομα εἶναι οἰκεῖα καὶ ἀγαπητά, ἐχθρὸς δὲ αὐτῶν εἶναι ἡ ἀρετὴ καὶ τὰ ἔργα τοῦ φωτός, καὶ ὅταν λάμψουν αὐτά, ἀμέσως ἐκεῖνα σκοτίζονται, καὶ δὲν ἔχει ἀνάγκη ἀπὸ κόπο καὶ μόχθο ἐκεῖνος ποὺ ζεῖ μέσα στὴν ἀρετή· διότι ἀρκεῖ μόνο νὰ φανεῖ καὶ ὅλα ἐκεῖνα διαλύονται.

«Σταματῆστε νὰ ἐλπίζετε σὲ κάτι ἀπὸ τὸν ἄνθρωπο, τοῦ ὁποίου ἡ ἀναπνοὴ βρίσκεται στοὺς μυκτῆρες του· σὰν ποιὸς θεωρήθηκε ἀπὸ αὐτοὺς ὅτι εἶναι αὐτός;»[49]. Ἐδῶ μοῦ φαίνεται ὅτι ὑπαινίσσεται τὸν Ἐζεκία, ὁ ὁποῖος ἐξ αἰτίας τοῦ φόβου του καὶ τῆς μεγάλης ἀγωνίας του διέτρεχε τὸν κίνδυνο τοῦ θανάτου.

οὖν ὥσπερ ἐν δικτύοις αὐτὸν λαβόντες οἱ βάρβαροι, ἕτοιμον ἐνόμιζον θήραν ἔχειν, καὶ οὐδὲ πόνου δεῖσθαι εἰς τὴν τῆς πόλεως ἅλωσιν, καὶ τὴν αἰχμαλωσίαν τὴν ἐκείνου, συνέβη τοὐναντίον τοῖς βαρβάροις. Διὰ τοῦτό φησι· «Παύσασθε ἀπὸ τοῦ ἀνθρώπου, οὗ ἐστιν ἀναπνοὴ ἐν μυκτῆρι αὐτοῦ· ὅτι ἐν τίνι ἐλογίσθη αὐτοῖς οὗτος;». Τουτέστιν, ἐν οὐδενὶ ἐλογίσθη. Καὶ γὰρ ὡς ἐξ ἐπιδρομῆς πάντα ἤλπισαν ἀναιρήσεσθαι· ἐξέβη δὲ τοὐναντίον ἅπαν· καὶ ὁ μηδὲν εἶναι νομιζόμενος παρ' ὑμῖν, ἀλλ' εὐκαταγώνιστος, οὗτος λαμπρότερος πάντων φανεῖται, τῆς παρὰ τοῦ Θεοῦ ἀπολαύων ῥοπῆς.

'Επειδὴ δηλαδὴ οἱ βάρβαροι τὸν εἶχαν περιτυλιγμένο σὰν ἀκριβῶς μέσα σὲ δίχτυα, νόμιζαν ὅτι ἔχουν σίγουρο θήραμα, χωρὶς νὰ χρειάζονται κόπο γιὰ τὴν ἅλωση τῆς πόλεως καὶ τὴν αἰχμαλωσία ἐκείνου, συνέβηκε ὅμως τὸ ἀντίθετο στοὺς βαρβάρους. Γι' αὐτὸ λέγει· «Σταματῆστε νὰ στηρίζετε τὴν ἐλπίδα σας στὸν ἄνθρωπο, τοῦ ὁποίου ἡ ἀναπνοὴ βρίσκεται ἤδη στοὺς μυκτῆρες· διότι σὰν ποιὸς θεωρήθηκε αὐτὸς ἀπ' αὐτοὺς ὅτι εἶναι;». Δηλαδὴ δὲν τὸν ὑπολόγισαν καθόλου. Καθόσον πίστεψαν ὅτι ὅλα θὰ τὰ κυριέψουν μὲ ἔφοδο, ἀλλὰ συνέβηκε τὸ ἐντελῶς ἀντίθετο· καὶ ἐκεῖνος ποὺ θεωρεῖται ἀπὸ σᾶς σὰν τίποτα, καὶ ὅτι εἶναι εὐκολονίκητος, αὐτὸς θὰ ἀποδειχθεῖ λαμπρότερος ἀπὸ ὅλους, ἀπολαμβάνοντας τὴ βοήθεια ἐκ μέρους τοῦ Θεοῦ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

«Ἰδοὺ ὁ Δεσπότης Κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ Ἰερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν».

1. Καθάπερ ἰατρὸς ἄριστος, νῦν μὲν καίων, νῦν δὲ τέμνων, νῦν δὲ πικρὰ διδοὺς φάρμακα, μεθοδεύει τῶν ἀρρωστούντων τὴν ὑγίειαν, οὕτω δὴ καὶ ὁ φιλάνθρωπος Θεός, ποικίλαις καὶ διαφόροις τιμωρίαις τὸ διαρρέον καὶ ἀναπεπτωκὸς τῶν Ἰουδαίων ἐπισφίγγων, νῦν μὲν τῇ τῶν βαρβάρων ἐφόδῳ φοβεῖ τοὺς ἀγνώμονας, νῦν δὲ καὶ πρὸ τῆς ἐκείνων ἐπιθέσεως ἑτέραις αὐτοὺς ἀπειλαῖς καταστέλλει, τῇ ποικιλίᾳ τῶν ἀπειλῶν ἀκμάζοντα διατηρῶν ἐν αὐτοῖς τὸν φόβον. Νῦν γοῦν ἀσθένειαν αὐτοὺς ἀπειλεῖ, καὶ λιμόν, καὶ αὐχμόν, οὐχὶ τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκείνων τῶν οὐδὲν ἔλαττον τῶν ἐπιτηδείων τὴν ἡμετέραν συνεχόντων ζωήν. Οὐ γὰρ δὴ λιμὸς χαλεπὸν μόνον, ἀλλὰ καὶ τὸ ἐν ἐρημίᾳ καθεστάναι τῶν κυβερνώντων τὰ πράγματα, ὃ καὶ τὴν εὐθυνίαν λιμοῦ χαλεπωτέραν ἀποφαίνειν εἴωθε. Τί γὰρ ὄφελος ἐκ πηγῶν ἅπαντα ἐπιρρεῖν, ὅταν ἐμφύλιοι τίκτωνται πόλεμοι, καὶ ἡ θάλασσα διεγείρηται, καὶ τῶν κυμάτων μαινομένων, μήτε κυβερνήτης, μήτε πρωρεύς, μήτε ἄλλος τις ᾖ δυνάμενος διαθεῖναι τὸν τῶν πραγμάτων χειμῶνα καὶ κατα-

ΚΕΦΑΛΑΙΟ Γ'.

«Νὰ ὁ Δεσπότης καὶ Κύριος παντοκράτορας θ' ἀφαιρέσει ἀπὸ τὴν Ἰουδαία καὶ ἀπὸ τὴν Ἱερουσαλὴμ κάθε ἰσχυρὸ ἄνδρα καὶ κάθε ἰσχυρὴ γυναίκα».

1. Ὅπως ἀκριβῶς ὁ ἄριστος ἰατρὸς χρησιμοποιεῖ διάφορες μεθόδους γιὰ τὴν ἀποκατάσταση τῆς ὑγείας τῶν ἀρρώστων του, ἄλλοτε μὲν καυτηριάζοντας, ἄλλοτε δὲ ἐγχειρίζοντας, καὶ ἄλλοτε δίνοντας πικρὰ φάρμακα, ἔτσι λοιπὸν καὶ ὁ φιλάνθρωπος Θεός, συγκρατώντας μὲ ποικίλες καὶ διάφορες τιμωρίες τὴν ἀπομάκρυνση καὶ τὴν ἀποθάρρυνση τῶν Ἰουδαίων, ἄλλοτε μὲν φοβίζει τοὺς ἀγνώμονες μὲ τὴν ἔφοδο τῶν βαρβάρων, ἄλλοτε δὲ συγκρατεῖ αὐτοὺς καὶ πρὶν ἀπὸ τὴν ἐπίθεση ἐκείνων μὲ ἄλλες ἀπειλές, διατηρώντας σ' αὐτοὺς αὐξημένο τὸ φόβο μὲ τὴν ποικιλία τῶν ἀπειλῶν. Τώρα λοιπὸν τοὺς ἀπειλεῖ μὲ ἀσθένεια, πείνα καὶ ἔλλειψη ὄχι μόνο τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκείνων ποὺ διατηροῦν τὴ ζωή μας καθόλου λιγότερο ἀπὸ τὰ ἀναγκαῖα. Διότι δὲν εἶναι μόνο ἡ πείνα φοβερὸ πράγμα, ἀλλὰ καὶ ἡ ἀπουσία ἀνθρώπων γιὰ διακυβέρνηση τῶν κοινῶν πραγμάτων, πράγμα ποὺ συνήθως καὶ τὴν ὑπεραφθονία ἀκόμα τῶν ἀγαθῶν τὴν παρουσιάζει φοβερότερη ἀπὸ τὴν πείνα. Διότι πιὸ τὸ ὄφελος νὰ τρέχουν ὅλα τὰ ἀγαθὰ σὰν ἀπὸ πηγές, ὅταν γίνονται ἐμφύλιοι πόλεμοι καὶ ἡ θάλασσα ἐξεγείρεται καί, ἐνῶ τὰ κύματα ὁρμοῦν μανιασμένα, δὲν ὑπάρχει οὔτε κυβερνήτης οὔτε πρωρέας, οὔτε κάποιος ἄλλος ἔχει τὴ δυνατότητα νὰ διευθετήσει τὶς ὑπερβολικὰ δύσκολες καταστάσεις τῶν πραγμάτων καὶ ν' ἀποκαταστήσει τὴ γαλήνη; Ὅταν δὲ μαζὶ μ' αὐτὰ ὑ-

στῆσαι γαλήνην; Ὅταν δὲ μετὰ τούτων καὶ λιμὸς ᾖ, ἐννόησον τῶν κακῶν τὴν ὑπερβολήν.

Ταῦτα οὖν ἅπαντα ἐπειλεῖ ὁ Θεός, καὶ πρῶτον τὸ πάντων χαλεπώτερον. «Ἰδοὺ» γάρ, φησίν, «ὁ Δεσπότης Κύριος Σαβαώθ». Τῇ λέξει ταύτῃ, Ἰδού, συνεχῶς οἱ προφῆται κέχρηνται, ὅταν πληροφορῆσαι τὸν ἀκροατὴν βούλωνται περὶ τῶν λεγομένων. Οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἄνωθεν, καὶ ἐξ ἀρχῆς ἐστιν ἰδεῖν, ὅτι τῆς σωματικῆς ἀσθενείας αἱ ἁμαρτίαι προηγήσαντο πολλάκις, ὡς ἐπὶ τοῦ Κάϊν· ἐπειδὴ γὰρ οὐ καλῶς ἐχρήσατο τῇ ἰσχύϊ, παρελύθη καλῶς. Οὕτω καὶ ὁ ἐπὶ τῆς κολυμβήθρας· ὅτι γὰρ ἡ πηγὴ τῆς παρέσεως τὰ ἁμαρτήματα ἦν, φησὶν ὁ Χριστός· «Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε». Καὶ ὁ Παῦλος δέ φησι· «Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς»· ἐπειδὴ ἡμάρτανον οὐ καθαρῷ συνειδότι τῶν μυστηρίων μεταλαμβάνοντες. Καὶ τὸν πεπορνευκότα δὲ ἀσθενείᾳ σώματος παραδίδωσι, ταύτην ὑπὲρ ἁμαρτημάτων ἀπαιτῶν δίκην.

Οὐ μὴν πανταχοῦ ἁμαρτημάτων ἐπιτίμιον τοῦτο, ἀλλ' ἔστιν ὅπου καὶ στεφάνων ὑπόθεσις τὸ πρᾶγμα γίνεται, ὡς ἐπὶ τοῦ Λαζάρου καὶ τοῦ Ἰώβ. Οὐκ ἀσθένειαι δὲ μόνον, ἀλλὰ καὶ λῶβαι ἕτεραι σώματος ἐξ ἁμαρτημάτων ἐγίνοντο, ὡς ἡ λέπρα τοῦ Ὀζία διὰ τὴν ἀναισχυντίαν τῆς γνώμης, ὡς ἡ χεὶρ τοῦ βασιλέως Ἱεροβοὰμ τὴν ξηρότητα ὑπομείνασα διὰ τὴν ἀπόνοιαν αὐτοῦ καὶ ἀλαζονείαν. Καὶ τοῦ Ζαχαρίου δὲ ἡ γλῶττα οὐχ ἑτέρωθεν ἐπεδήθη, ἀλλ' ἡ διὰ τῆς ψυχῆς ἁμαρτίαν. Ἐπεὶ οὖν καὶ τοῖς Ἰουδαίοις εὐσωματεῖν καὶ σφριγᾶν

---

1. Γεν. 4, 1 ἑ.
2. Ἰω. 5, 14.
3. Α' Κορ. 11, 30.
4. Α' Κορ. 5, 1 ἑ.
5. Λουκᾶ 16, 19 ἑ.
6. Β' Παραλ. 26, 16 ἑ.
7. Γ' Βασ. 13, 1 ἑ.
8. Λουκᾶ 1, 8 ἑ.

πάρχει καὶ πείνα, σκέψου τότε τὸ ὑπερβολικὸ μέγεθος τῶν κακῶν.

Αὐτὰ λοιπὸν ὅλα ἀπειλεῖ ὁ Θεὸς καὶ σὰν πρῶτο αὐτὸ ποὺ εἶναι τὸ φοβερότερο ἀπὸ ὅλα. Διότι λέγει, «Νὰ ὁ Δεσπότης καὶ Κύριος παντοκράτορας». Τὴ λέξη αὐτή, «'Ιδού», τὴ χρησιμοποιοῦν συνέχεια οἱ προφῆτες, ὅταν θέλουν νὰ ἐπιβεβαιώσουν στὸν ἀκροατὴ αὐτὰ ποὺ λέγουν. Ὄχι δὲ μόνο ἐδῶ, ἀλλὰ καὶ παρὰ πάνω καὶ ἀπὸ τὴν ἀρχὴ μπορεῖ κανεὶς νὰ διαπιστώσει, ὅτι πολλὲς φορὲς οἱ ἁμαρτίες προηγήθηκαν τῆς σωματικῆς ἀσθένειας, ὅπως στὴν περίπτωση τῦ Κάϊν· διότι, ἐπειδὴ δὲν ἔκανε καλὴ χρήση τῆς δυνάμεώς του, πολὺ σωστὰ κατέστη παράλυτος[1]. Τὸ ἴδιο συνέβηκε καὶ μὲ ἐκεῖνον ποὺ καθόταν κοντὰ στὴν κολυμβήθρα· διότι, ἐπειδὴ αἰτία τῆς παραλυσίας του ἦταν τὰ ἁμαρτήματά του, λέγει ὁ Χριστός· «Πρόσεχε, ἀπέκτησες τὴν ὑγεία σου, μὴ ἁμαρτάνεις δὲ στὸ ἑξῆς»[2]. Καὶ ὁ Παῦλος δὲ λέγει· «Γι' αὐτὸ ἀνάμεσά σας ὑπάρχουν πολλοὶ ἀσθενεῖς»[3]· ἐπειδὴ ἁμάρταναν παίρνοντας μέρος στὴν κοινωνία τοῦ μυστηρίου τῆς θείας εὐχαριστίας χωρὶς καθαρὴ συνείδηση. Καὶ ἐκεῖνον δὲ ποὺ εἶχε διαπράξει τὴν πορνεία τὸν παραδίδει πρὸς καταστροφὴ τοῦ σώματός του, καὶ ζητεῖ αὐτὴν τὴν τιμωρία γιὰ τὰ ἁμαρτήματά του[4].

Βέβαια αὐτὸ τὸ ἐπιτίμιο δὲν ἐπιβάλεται σ' ὅλες τὶς περιπτώσεις ἐξ αἰτίας τῶν ἁμαρτημάτων, ἀλλ' ὑπάρχουν καὶ περιπτώσεις ποὺ γίνεται αὐτὸ τὸ πράγμα καὶ ἀφορμὴ στεφάνων, ὅπως στὴν περίπτωση τοῦ Λαζάρου[5] καὶ τοῦ 'Ιώβ. Καὶ δὲν συνέβαιναν δὲ μόνο ἀσθένειες ἐξ αἰτίας τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ ἄλλες σωματικὲς κακώσεις, ὅπως ἡ λέπρα τοῦ 'Οζία συνέβηκε ἐξ αἰτίας τῆς ἀναίσχυντης γνώμης του[6], ὅπως τὸ χέρι τοῦ βασιλιᾶ 'Ιεροβοὰμ ξηράθηκε ἐξ αἰτίας τῆς παραφροσύνης του καὶ τῆς ἀλαζονείας του[7]. Καὶ τοῦ Ζαχαρία δὲ ἡ γλώσσα δὲν δέθηκε γιὰ καμιὰ ἄλλη αἰτία, παρὰ ἐξ αἰτίας τῆς ἁμαρτίας τῆς ψυχῆς του[8]. 'Επειδὴ λοιπὸν καὶ στοὺς 'Ιουδαίους ἡ σωματικὴ δύναμη καὶ ἡ εὐρωστία καθὼς καὶ ἡ καύχηση γι' αὐτὰ τὰ πλεονεκτήματα γινόταν ἀφορμὴ ἀλαζονείας ἀπέκοψε τὴ ρίζα τῆς ἀ-

καὶ τούτοις κομᾶν τοῖς πλεονεκτήμασιν ἀπονοίας ὑπόθεσις ἐγίνετο, ὑπέσυρε τῆς ἀλαζονείας τὴν ρίζαν, νουθετῶν αὐτοὺς καὶ βελτίους ποιῶν, καὶ μείζονα διδούς, ἢ ἀφαιρούμενος ἐξ αὐτῶν. Ποῖον γὰρ βλάβος τὸ σῶμα ἀσθενεῖν, ὅταν ἐνεῦθεν παιδεύηται ἡ ψυχή;

Εἶτα ἵνα μὴ νομίζωσι φύσεως ἀσθενείας εἶναι τὸ γενόμενον, προανεφώνησεν αὐτὰ ὁ προφήτης, καὶ οὐ μέχρι τῶν ἀνδρῶν ἔστησε τὴν ἀπειλήν, ἀλλὰ καὶ ἐπὶ τὸ γυναικεῖον γένος διεβίβασε τὴν τιμωρίαν, ἐπειδὴ καὶ ἑκατέρα ἡ φύσις διέφθαρτο, καὶ προϊὼν διὰ τὴν ὑπερβολὴν τῆς ἀτοπίας καὶ πρὸς αὐτὰς ἀποτείνεται τὰς γυναῖκας, ἐγκαλῶν αὐταῖς ἐγκλήματα, ἃ τὴν πόλιν αὐτὴν ἐκ βάθρων ἀνέτρεπον. Διὰ δὴ τοῦτο καὶ αὐτὰς τῷ λοιμῷ περιβάλλει· καὶ γὰρ λοιμὸν αἰνίττεσθαί μοι δοκεῖ λέγων «Ἀφελῶ ἰσχύοντα καὶ ἰσχύουσαν», ἢ ἄλλην τινὰ σωματικὴν ἀσθένειαν, οὐδὲ ἰατρῶν εἴκουσαν τέχναις. Τοιαῦται γὰρ αἱ τοῦ Θεοῦ πληγαί.

«Ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος». Χαλεπωτάτη ἡ τιμωρία, ὅταν μὴ αὐτὴν ἀναιρῇ τὴν οὐσίαν, ἀλλὰ τὴν ἐξ αὐτῆς ἐγγινομένην δύναμιν, ὥστε καὶ τῇ ὄψει κολάζεσθαι μηδέποτε ἐμπιπλαμένους, καὶ αὐτόθεν συνορᾶν, ὅτι θεήλατος ἦν ὀργή.

«Γίγαντα καὶ ἰσχύοντα». Γίγαντα ἀεὶ ἡ Γραφὴ τὸν ἰσχυρὸν λέγειν εἴωθεν, ἢ τὸν ὑπερέχοντα τῶν πολλῶν τῇ τῶν μελῶν ἀναλογίᾳ. Καὶ γὰρ ἐν τῇ κτίσει ὅταν λέγῃ, «Οὗτοι ἦσαν οἱ γίγαντες, οἱ ἄνθρωποι οἱ ὀνομαστοί», οὐκ ἄλλο τι γένος γεγενῆσθαι διηγουμένη ταῦτά φησιν, ἀλλὰ καὶ τοὺς ἰσχυροὺς καὶ εὐρώστους καὶ σφριγῶντας ἡμῖν αἰνίττεται.

«Καὶ ἄνθρωπον πολεμιστὴν καὶ δικαστήν». Ἀφόρητος ἡ τιμωρία καὶ ἐσχάτης ἀπωλείας ἀπόδειξις τὰ εἰρημένα,

---

9. Γεν. 6, 4.

λαζονείας, νουθετώντας αὐτοὺς καὶ κάμνοντάς τους καλύτερους, καὶ δίνοντάς τους περισσότερα ἀπὸ ἐκεῖνα ποὺ τοὺς ἀφαιροῦσε. Διότι ποιὰ βλάβη ὑπάρχει ἀπὸ τὸ ν' ἀσθενεῖ τὸ σῶμα, ὅταν ἐξ αἰτίας αὐτῆς τῆς ἀσθένειας ἀσκεῖται πρὸς τὸ καλύτερο ἡ ψυχή;

Ἔπειτα γιὰ νὰ μὴ νομίζουν ὅτι αὐτὰ ποὺ θὰ συμβοῦν θὰ ὀφείλονται σὲ φυσικὴ ἀσθένεια, προεῖπε αὐτὰ ὁ προφήτης, καὶ δὲν σταμάτησε τὴν ἀπειλὴ μόνο μέχρι τοὺς ἄνδρες, ἀλλ' ἐπεξέτεινε τὴν τιμωρία καὶ στὸ γυναικεῖο φύλο, ἐπειδὴ καὶ οἱ δυὸ φύσεις εἶχαν διαφθαρεῖ, καὶ προχωρώντας, ἐξ αἰτίας τῆς ὑπερβολικῆς κακοτροπιᾶς τους, ἀπευθύνεται καὶ πρὸς τὶς ἴδιες τὶς γυναῖκες, κατηγορώντας αὐτὲς γιὰ παραπτώματα ποὺ ἀνέτρεπαν τὴν πόλη ἀπὸ τὰ θεμέλια. Γι' αὐτὸ λοιπὸν καὶ αὐτὲς τὶς περιβάλλει μὲ τὴ μολυσματικὴ καὶ θανατηφόρα ἀσθένεια· καθόσον μοῦ φαίνεται ὅτι ὑπαινίσσεται λοιμώδη νόσο λέγοντας, «Θ' ἀφαιρέσω ἀπὸ ἀνάμεσά σας κάθε ἰσχυρὸ ἄνδρα καὶ κάθε ἰσχυρὴ γυναίκα», ἢ κάποια ἄλλη σωματικὴ ἀσθένεια, ποὺ δὲν ὑποχωρεῖ μὲ τὰ ἰατρικὰ μέσα. Διότι τέτοια εἶναι τὰ πλήγματα ἐκ μέρους τοῦ Θεοῦ.

«Θὰ ἀφαιρέσω καὶ κάθε δύναμη τοῦ ἄρτου καὶ κάθε δύναμη τοῦ νεροῦ». Πάρα πολὺ φοβερὴ εἶναι ἡ τιμωρία, ὅταν δὲν ἀφαιρεῖ τὴν ἴδια τὴν οὐσία, ἀλλὰ τὴ δύναμη ποὺ προέρχεται ἀπ' αὐτή, ὥστε καὶ βλέποντάς την νὰ τιμωροῦνται μὴ χορταίνοντας ποτέ, καὶ ἀπ' αὐτὸ νὰ ἀντιλαμβάνονται ὅτι ἡ ὀργὴ εἶναι θεόσταλτη.

«Καὶ κάθε γίγαντα καὶ ἰσχυρὸ ἄνδρα». Γίγαντα πάντοτε ἡ Γραφὴ συνηθίζει νὰ ὀνομάζει τὸν ἰσχυρό, ἢ ἐκεῖνον ποὺ ὑπερέχει τῶν πολλῶν ὡς πρὸς τὰ ὅμοια σωματικὰ μέλη. Καθόσον ὅταν κατὰ τὴ δημιουργία λέγει, «Αὐτοὶ ἦταν οἱ γίγαντες, οἱ ἄνθρωποι οἱ ὀνομαστοί»[9], δὲν τὰ λέγει αὐτὰ περιγράφοντας τὴ δημιουργία κάποιου ἄλλου φύλου, ἀλλ' ὑπαινίσσεται σὲ μᾶς τοὺς ἰσχυρούς, τοὺς εὔρωστους καὶ σφριγηλούς.

«Καὶ κάθε ἄνθρωπο πολεμιστὴ καὶ δικαστή». Εἶναι ἀνυπόφορη ἡ τιμωρία καὶ τὰ λόγια αὐτὰ ἀποτελοῦν ἀπόδειξη τῆς

καί, τῶν τειχῶν ἑστώτων καὶ τῶν πύργων, αὔτανδρον τοῖς πολεμίοις τὴν πόλιν παραδιδόναι δύναιτ' ἄν. Ἀσφάλεια γὰρ πόλεων οὐκ ἐν λίθοις καὶ ξύλοις καὶ περιβόλοις, ἀλλ' ἐν τῇ συνέσει τῶν τὴν πόλιν οἰκούντων, οἳ ἡνίκα μὲν ἂν ὦσι, καὶ πολεμίων ὄντων, ἀσφαλέστερον ἁπάντων αὐτὴν τειχίζουσιν, ἡνίκα δὲ ἂν ἀπῶσι, καὶ μηδενὸς ἐνοχλοῦντος, τῆς πολιορκουμένης ἀθλιωτέραν αὐτὴν ἀποφαίνουσιν. Ὥστε κἀκείνους καὶ τοὺς ἀκούοντας ἅπαντας οὐ μικρὸν φιλοσοφίας δόγμα διὰ τούτων ὁ προφήτης ἐπαίδευσε, πείθων μηδέποτε μεγέθει πόλεως θαρρεῖν, μηδὲ τάφροις καὶ μηχανήμασιν, ἀλλ' ἀνδρῶν ἐπιεικῶν ἀρετῇ.

2. Φοβῶν τοίνυν αὐτούς φησιν, ὅτι ἐρημώσει τῆς ἀσφαλείας αὐτήν, οὐ τοὺς πολεμεῖν εἰδότας ἀναρπάζων μόνον, ἀλλὰ καὶ τοὺς δικάζειν ἐπισταμένους, οἳ τῶν πολεμούντων οὐκ ἔλαττον συντελοῦσι ταῖς πόλεσιν, εἰρήνην τε εὖ διατιθέντες, καὶ πολέμους πολλάκις ἐπιόντας ἀποκρουόμενοι. Ἐπειδὴ γὰρ οὗτοι συνεχῶς ἀπὸ τῆς τῶν ἁμαρτημάτων φύονται ῥίζης, δυνατὸν τοὺς τῶν νόμων φύλακας, καὶ τοῦ δικαίου μετὰ ἀκριβείας προϊσταμένους, τὰ πλείονα τῶν ἁμαρτημάτων ἀναστέλλοντας, ἀναιρεῖν καὶ τοῦ πολέμου τὴν ὑπόθεσιν. Τίνος οὖν ἕνεκεν ὁ Θεὸς αὐτοὺς ἀνασπᾷ; Ἐπειδὴ παροῦσιν αὐτοῖς οὐκ εἰς δέον ἐκέχρηντο. Ὥσπερ γὰρ τὰ σωτήρια αὐτοῦ διδάγματα πολλὴν ἔφερον τοῖς ἀκροωμένοις τὴν ὠφέλειαν, ἐπὶ δὲ τῶν Ἰουδαίων δημηγορῶν, ἀσαφείᾳ τὰ λεγόμενα ἔκρυπτεν, ἐπειδὴ μὴ προσεῖχον τοῖς λεγομένοις, οὕτω δὴ καὶ τὰ δῶρα αὐτοῦ μεγάλα ταῦτα, καὶ σωτηρίαν ἡμῖν πολλὴν κομίζοντα, ἐκ μέσου πολλάκις ἀναιρεῖ, ὅταν οἱ λαμβάνοντες μηδὲν ἀπ' αὐτῶν βουληθῶσι καρπώσασθαι.

«Καὶ προφήτην καὶ στοχαστήν». Οὐ μικρὸν δὲ ὀργῆς εἶδος καὶ τὸ τὰς προφητείας ἐπιλιπεῖν. Ὅτε γοῦν τὸν τῶν

πιὸ φοβερῆς καταστροφῆς, καί, ἐνῶ θὰ ὑπάρχουν ὄρθια τὰ τείχη καὶ οἱ πύργοι, θὰ μποροῦσε νὰ παραδώσει τὴν πόλη στοὺς ἐχθρούς της μὲ ὅλο τὸν πληθυσμό της. Διότι ἡ ἀσφάλεια τῶν πόλεων δὲν βρίσκεται στοὺς λίθους, τὰ φυτὰ καὶ τὰ τείχη, ἀλλὰ στὴ σύνεση τῶν κατοίκων της, οἱ ὁποῖοι, ὅταν ἔχουν αὐτήν, καὶ ἂν ἀκόμα ὑπάρχουν ἐχθροί, τὴν περιφρουροῦν ἀσφαλέστερα ἀπὸ ὅλα τὰ ἄλλα, ὅταν ὅμως ἀπουσιάζει αὐτὴ ἀπὸ αὐτούς, καὶ ἂν ἀκόμα κανένας δὲν τὴν ἐνοχλεῖ, τὴν κάνουν νὰ φαίνεται πιὸ ἄθλια ἀπὸ ἐκείνη ποὺ πολιορκεῖται. Ὥστε καὶ σ' ἐκείνους καὶ σ' ὅλους τοὺς ἀκροατὲς ὁ προφήτης δίδαξε μὲ ὅλα αὐτὰ μιὰ μεγάλη ἀλήθεια, πείθοντάς τους νὰ μὴ στηρίζουν ποτὲ τὴν ἐμπιστοσύνη τους στὸ μέγεθος τῆς πόλεως, οὔτε στὶς τάφρους καὶ τὰ ἀμυντικὰ ὅπλα, ἀλλὰ στὴν ἀρετὴ τῶν ἀγαθῶν ἀνδρῶν.

2. Θέλοντας λοιπὸν νὰ τοὺς φοβίσει λέγει, ὅτι θὰ τῆς στερήσει τὴν ἀσφάλεια, ὄχι μόνο ἀναρπάζοντας μέσα ἀπ' αὐτὴν ἐκείνους ποὺ γνωρίζουν νὰ πολεμοῦν, ἀλλὰ καὶ ἐκείνους ποὺ γνωρίζουν νὰ δικάζουν, οἱ ὁποῖοι δὲν προσφέρουν λιγότερα ἀπὸ τοὺς πολεμιστὲς στὶς πόλεις, καὶ ἐξασφαλίζοντας καλὴ εἰρήνη, καὶ ἀποκρούοντας πολλὲς φορὲς ἐπερχομένους πολέμους. Διότι, ἐπειδὴ αὐτοὶ συνέχεια προέρχονται ἀπὸ τὴ ρίζα τῶν ἁμαρτημάτων, εἶναι δυνατὸν οἱ φύλακες τῶν νόμων καὶ οἱ ἀλάνθαστοι προστάτες τοῦ δικαίου, ἐξαλείφοντας τὰ περισσότερα ἀπὸ τὰ ἁμαρτήματα, νὰ ἀναιροῦν καὶ τὴν ἀφορμὴ τοῦ πολέμου. Γιὰ ποιὸ λοιπὸν λόγο ὁ Θεὸς τοὺς ἀφαιρεῖ ἀπὸ ἀνάμεσά τους; Ἐπειδὴ ὅσο τοὺς εἶχαν αὐτοὺς κοντά τους δὲν τοὺς χρησιμοποιοῦσαν ὅπως ἔπρεπε. Διότι, ὅπως ἀκριβῶς τὰ σωτήρια διδάγματα αὐτοῦ παρεῖχαν μεγάλη ὠφέλεια στοὺς ἀκροατές, μιλώντας ὅμως πρὸς τοὺς Ἰουδαίους κάλυπτε τὰ λεγόμενα μὲ ἀσάφεια, ἐπειδὴ δὲν πρόσεχαν αὐτά, ἔτσι λοιπὸν καὶ τὰ δῶρα του αὐτὰ τὰ μεγάλα καὶ ποὺ μᾶς παρέχουν μεγάλη σωτηρία, τὰ ἀφαιρεῖ ἀπὸ ἀνάμεσά μας, ὅταν αὐτοὶ ποὺ τὰ λαμβάνουν δὲν θελήσουν ν' ἀποκομίσουν ἀπ' αὐτὰ καμιὰ ὠφέλεια.

«Καὶ κάθε προφήτη καὶ ἄνθρωπο ποὺ προβλέπει τὰ μέλλοντα νὰ συμβοῦν». Δὲν εἶναι δὲ μικρὸ εἶδος ὀργῆς καὶ τὸ νὰ

Ἰουδαίων δῆμον διὰ τὰ ἁμαρτήματα τῶν τοῦ Ἠλὶ παίδων ὁ Θεὸς ἀπεστράφη, καὶ τὴν πολλὴν τοῦ πλήθους κακίαν, ἐπέλιπεν ἡ προφητεία· «Ρῆμα γὰρ τίμιον», φησίν, «ἦν, καὶ οὐκ ἦν διαστέλλουσα». «Τίμιον», τουτέστι, σπάνιον. Καὶ ἐπὶ τοῦ Ὀζία τὸ αὐτὸ τοῦτο γέγονεν· οὐ γὰρ μικρὰ καὶ ἐντεῦθεν ἐκαρποῦντο, εἴ γε ἐβούλοντο. Τὸ γὰρ μανθάνειν τὰ παρὰ τοῦ Θεοῦ, καὶ πρὸς τὰ μέλλοντα παρασκευάζεσθαι δεινά, καὶ ὑπὲρ τῶν ἀδήλων πυνθάνεσθαι, καὶ πότε μὲν ἐπιθέσθαι δεῖ πολεμίοις, πότε δὲ ἡσυχάζειν, καὶ πῶς ἅπαντα τὰ λυπηρὰ διακρούεσθαι δέοι, πολλὴν ἔφερεν αὐτοῖς σωτηρίας εὐκολίαν. Ἀλλ' ἐπειδὴ μανθάνοντες οὐκ ἐποίουν, διὰ τοῦτο καὶ τὸ μανθάνειν αὐτῶν ἀφεῖλεν, ὃ πολλῆς τοῦ Θεοῦ φιλανθρωπίας δεῖγμα ἦν, τὸ καὶ προειδότα τὰ μέλλοντα, καὶ ὡς οὐ χρήσονται εἰς δέον τοῖς παρ' αὐτοῦ δώροις, τὰ γοῦν παρ' αὐτοῦ ἅπαντα παρασχεῖν.

Μετὰ δὲ τοῦ προφήτου καὶ στοχαστήν φησιν ἀναιρεῖν. Ἐνταῦθά μοι δοκεῖ λέγειν στοχαστὴν τὸν ἀπὸ συνέσεως πολλῆς τῶν μελλόντων στοχάζεσθαι, καὶ ἀπ' αὐτῆς τῶν πραγμάτων τῆς πείρας. Ἕτερον μὲν γὰρ στοχασμός, καὶ προφητεία ἄλλο· ὁ μὲν γὰρ Πνεύματι θείῳ φθέγγεται, οὐδὲν οἴκοθεν εἰσφέρων, ὁ δὲ τὰς ἀφορμὰς ἀπὸ τῶν ἤδη γεγενημένων λαμβάνων, καὶ τὴν οἰκείαν σύνεσιν διεγείρων, πολλὰ τῶν μελλόντων προορᾷ, ὡς εἰκὸς ἄνθρωπον ὄντα συνετὸν προϊδεῖν. Ἀλλὰ πολὺ τὸ μέσον τούτου κἀκείνου, καὶ τοσοῦτον, ὅσον συνέσεως ἀνθρωπίνης καὶ θείας χάριτος τὸ διάφορον. Ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος τὸν λόγον ποιήσω φανερόν, ἐννοήσωμεν τὸν Σολομῶντα καὶ τὸν Ἐλισσαῖον· ἀμφότεροι γὰρ κεκρυμμένα πράγματι εἰς μέσον ἤγαγον καὶ

---

10. Α' Βασ. 2, 12 ἑ.   11. Α' Βασ. 3, 1.

στερηθοῦν καὶ τὴν προφητεία. Πράγματι, ὅταν ὁ Θεὸς ἀποστράφηκε τὸν Ἰουδαϊκὸ λαὸ ἐξ αἰτίας τῶν ἁμαρτημάτων τῶν παιδιῶν τοῦ Ἠλὶ καὶ τῆς μεγάλης κακίας τοῦ λαοῦ, ἐξέλειψε καὶ ἡ προφητεία[10]. Διότι λέγει, «Ὁ λόγος τοῦ Κυρίου ἦταν τίμιος, καὶ δὲν ὑπῆρχε προφητεία ποὺ νὰ προλέγει τὰ μέλλοντα»[11]. «Τίμιος», δηλαδὴ σπάνιος. Καὶ στὶς ἡμέρες τοῦ Ὀζία τὸ ἴδιο συνέβηκε. Ὥστε λοιπὸν δὲν ἀποκόμιζαν καὶ ἀπὸ αὐτὸ μικρὴ ὠφέλεια, ἐὰν βέβαια ἤθελαν. Διότι τὸ νὰ μαθαίνουν τὰ ὅσα θὰ ἔρχονταν ἀπὸ τὸ Θεό, καὶ νὰ προετοιμάζονται γιὰ τὶς μελλοντικὲς συμφορὲς καὶ νὰ πληροφοροῦνται τὰ ἄγνωστα πράγματα, καὶ πότε μὲν πρέπει νὰ ἐπιτίθενται στοὺς ἐχθρούς, πότε δὲ νὰ ἡσυχάζουν, καὶ πῶς πρέπει ν' ἀντιμετωπίζουν ὅλα τὰ δυσάρεστα, ὅλα αὐτὰ παρεῖχαν σ' αὐτοὺς μεγάλη εὐκολία σωτηρίας. Ἀλλ' ἐπειδὴ ἂν καὶ τὰ μάθαιναν δὲν τὰ ἔπρατταν, γι' αὐτὸ καὶ ἀφήρεσε ἀπ' αὐτοὺς τὴ δυνατότητα νὰ τὰ μαθαίνουν, πράγμα ποὺ ἦταν δεῖγμα μεγάλης τοῦ Θεοῦ φιλανθρωπίας, τὸ ὅτι δηλαδὴ ἂν καὶ προγνώριζε τὰ μέλλοντα καὶ ὅτι δὲν θὰ χρησιμοποιήσουν ὅπως πρέπει τὰ δῶρα του, ὅμως τοὺς ἔδωσε ὅλα τὰ δικά του.

Μαζὶ δὲ μὲ τὸν προφήτη λέγει ὅτι θ' ἀφαιρέσει καὶ κάθε στοχαστή. Ἐδῶ μοῦ φαίνεται ὅτι στοχαστὴ ὀνομάζει ἐκεῖνον ποὺ προβλέπει τὰ μέλλοντα ἐξ αἰτίας τῆς μεγάλης συνέσεώς του καὶ ἀπὸ τὴν πείρα τῶν ἰδίων τῶν πραγμάτων. Καθόσον ἄλλο πράγμα εἶναι ὁ στοχασμὸς καὶ ἄλλο ἡ προφητεία· διότι ὁ μὲν προφήτης ὁμιλεῖ ἐμπνεόμενος ἀπὸ τὸ θεῖο Πνεῦμα, μὴ λέγοντας τίποτε δικό του, ὁ δὲ στοχαστής, παίρνοντας ἀφορμὴ ἀπὸ τὰ ὅσα ἤδη ἔχουν συμβεῖ καὶ διεγείροντας τὴ δική του σύνεση, προβλέπει πολλὰ ἀπὸ τὰ μέλλοντα, ὅσο εἶναι φυσικὸ νὰ προβλέψει ὁ ἄνθρωπος ποὺ εἶναι συνετός. Ἀλλ' εἶναι μεγάλη ἡ ἀπόσταση μεταξὺ αὐτοῦ καὶ ἐκείνου, καὶ τόση, ὅση ἡ διαφορὰ μεταξὺ τῆς ἀνθρώπινης συνέσεως καὶ τῆς θείας χάριτος. Γιὰ νὰ κάνω δὲ φανερὸ τὸ λόγο καὶ μὲ παράδειγμα, ἂς σκεφθοῦμε τὸν Σολομῶντα καὶ τὸν Ἐλισσαῖο· διότι καὶ οἱ δύο παρουσίασαν κρυμμένα πράγματα καὶ ἀνακάλυψαν κρυμμένα πράγματα,

κεκρυμμένα ἀνεκάλυψαν, ἀμφότεροι δὲ οὐ τῇ αὐτῇ δυνάμει· ἀλλ' ὁ μὲν ἀπὸ συνέσεως ἀνθρωπίνης παρὰ τῆς φύσεως λαβὼν ἀφορμὰς ἐπὶ τῶν πόρνων γυναικῶν ἐκείνων, ὁ δὲ λογισμῷ μὲν οὐδενὶ χρησάμενος (ποῖος γὰρ λογισμὸς ἀνακαλύψαι δυνατὸς ἦν τοῦ Γιεζῆ τὴν κλοπήν;), θείᾳ δὲ χάριτι τὰ πόρρωθεν γεγενημένα προειδώς.

«Καὶ πρεσβύτερον, καὶ πεντηκόνταρχον». Μετὰ δὴ τούτων καὶ πρεσβύτερον καὶ πεντηκόνταρχόν φησιν ἀναιρεῖν· πρεσβύτερον οὐχ ἁπλῶς γεγηρακότα λέγων, ἀλλὰ τὸν μετὰ τῆς πολιᾶς τὴν προσήκουσαν τῇ πολιᾷ διατηροῦντα σύνεσιν. Καὶ πεντηκόνταρχον δὲ ὅταν λέγῃ, οὐχ ἕνα τινὰ πεντηκόνταρχόν φησιν, ἀλλὰ τῷ ὀνόματι τούτῳ τοὺς ἄρχοντας πάντας αἰνίττεται. Οὐδὲν γάρ, οὐδὲν ἀναρχίας χαλεπώτερον, ὥσπερ οὐδὲ πλοίου τι σφαλερώτερον γένοιτ' ἂν κυβερνήτην οὐκ ἔχοντος. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ ἑτέραν μεγάλην ἀσφάλειαν ἀναιρήσειν ἀπειλεῖ, τοὺς τὰ ἄριστα βουλεύειν εἰδότας, οἳ τῶν ὅπλων οὐκ ἐλάττονα εἰσφέρουσιν εὐεργεσίαν ταῖς πόλεσιν. «Ἀφελῶ» γάρ, φησί, «καὶ θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα», οὐχὶ τὸν οἰκοδόμον λέγων, ἀλλὰ τῶν πραγμάτων ἔμπειρον, καὶ πολλὰ ἐπιστάμενον, καὶ μετὰ συνέσεως ἅπαντα τὰ τῆς πόλεως διατιθέναι πράγματα εἰδότα.

Καὶ μετὰ τούτων, «Καὶ συνετὸν ἀκροατήν». Ἂν γὰρ τοῦτο ἀπῇ, κἂν τἆλλα ἅπαντα παρῇ, πλέον οὐδέν ἐστι ταῖς πόλεσι, κἂν προφῆται ὦσι, κἂν σύμβουλοι, κἂν δυνάσται, ὁ δὲ ἀκουσόμενος μηδεὶς ᾖ, πάντα εἰκῇ καὶ μάτην. Ἐμοὶ δοκεῖ ἐνταῦθα τὸ «Ἀφελῶ» λέγειν, τὸ ἐάσω καὶ ἀφήσω, ὥσπερ ὁ Παῦλός φησι, «Παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν», οὐ τοῦτο δεικνύς, ὅτι ἐνέβαλεν εἰς ἄνοιαν, ἀλλ' ὅτι ἀφῆκε καὶ εἴασεν ἀνοήτους ὄντας.

---

12. Γ' Βασ. 3, 16-28. 13. Δ' Βασ. 5, 20-27. 14. Ρωμ. 1, 28.

καὶ οἱ δυὸ ὅμως ὄχι μὲ τὴν ἴδια δύναμη, ἀλλ' ὁ μὲν ἕνας, ὁρμώμενος ἀπὸ ἀνθρώπινη σύνεση, ἀφοῦ ἔλαβε ἀφορμὲς ἀπὸ τὴ φύση, παρουσίασε τὴν ἀλήθεια στὴν περίπτωση ἐκείνων τῶν πορνῶν γυναικῶν[12], ὁ δὲ ἄλλος μὴ χρησιμοποιώντας μὲν κανένα ἀνθρώπινο λογισμὸ (διότι πῶς ἦταν δυνατὸ ἀνθρώπινος λογισμὸς ν' ἀνακαλύψει τὴν κλοπὴ τοῦ Γιεζῆ;), φωτιζόμενος μὲ τὴ θεία χάρη προεῖδε ἐκεῖνα ποὺ εἶχαν γίνει πολὺ μακριά[13].

«Καὶ κάθε πρεσβύτερο καὶ πεντηκόνταρχο». Μαζὶ μ' αὐτοὺς λοιπὸν θὰ ἐξαλείψη, λέγει, καὶ κάθε πρεσβύτερο καὶ πεντηκόνταρχο· πρεσβύτερο δὲν ὀνομάζει ἁπλῶς τὸν γεροντικῆς ἡλικίας, ἀλλ' ἐκεῖνον ποὺ μαζὶ μὲ τὰ ἄσπρα μαλλιά του διατηρεῖ καὶ τὴν πρέπουσα φρονιμάδα. Καὶ πεντηκόνταρχο δὲ ὅταν λέγει, δὲν ἐννοεῖ ἕνα κάποιο πεντηκόνταρχο, ἀλλὰ μὲ τὸ ὄνομα αὐτὸ ὑπαινίσσεται ὅλους τοὺς ἄρχοντες. Διότι τίποτε, τίποτε δὲν ὑπάρχει φοβερότερο ἀπὸ τὴν ἀναρχία, ὅπως ἀκριβῶς οὔτε θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἐπικίνδυνο ἀπὸ ἕνα πλοῖο ποὺ δὲν ἔχει κυβερνήτη. Καὶ οὔτε ἐδῶ σταματᾶ, ἀλλ' ἀπειλεῖ ὅτι θὰ τοὺς στερήσει καὶ ἄλλη μεγάλη ἀσφάλεια, ὅτι θὰ τοὺς στερήσει καὶ ἐκείνους ποὺ γνωρίζουν νὰ συμβουλεύουν τὰ πρέποντα, οἱ ὁποῖοι δὲν προσφέρουν στὶς πόλεις μικρότερη εὐεργεσία ἀπὸ τὰ ὅπλα. Διότι, λέγει, θ' ἀφαιρέσω «καὶ κάθε ἔξοχο σύμβουλο καὶ σοφὸ ἀρχιτέκτονα», ἐννοώντας ὄχι τὸν οἰκοδόμο, ἀλλὰ τὸν ἔμπειρο τῶν πραγμάτων καὶ τὸν γνώστη πολλῶν καὶ ποὺ γνωρίζει νὰ τακτοποιεῖ μὲ σύνεση ὅλες τὶς ὑποθέσεις τῆς πόλεως.

Καὶ μαζὶ μὲ αὐτοὺς «Καὶ κάθε συνετὸ ἀκροατή». Διότι ἂν αὐτὸ ἀπουσιάζει, καὶ ἂν ἀκόμα ὑπάρχουν ὅλα τὰ ἄλλα, τίποτε ἐπὶ πλέον δὲν ὑπάρχει στὶς πόλεις, καὶ ἂν ἀκόμα ὑπάρχουν προφῆτες, καὶ ἂν ἀκόμα σύμβουλοι, καὶ ἂν ἀκόμα ἄρχοντες, ἂν δὲν ὑπάρχει κανένας ἀκροατής, ὅλα εἶναι ἄσκοπα καὶ ἀνώφελα. Ἐγὼ νομίζω ὅτι ἐδῶ τὸ «Ἀφελῶ» τὸ λέγει μὲ τὴ σημασία τοῦ ἐγκαταλείψω καὶ ἀφήσω, ὅπως ἀκριβῶς ὁ Παῦλος λέγει, «Ἐγκτέλειψε αὐτοὺς γιὰ νὰ παραδοθοῦν σ' ἀνίκανο νοῦ»[14], ὄχι γιὰ νὰ δείξει αὐτό, ὅτι τοὺς ἔρριξε σὲ ἀνοησία, ἀλλ' ὅτι τοὺς ἐγκατέλειψε καὶ τοὺς ἄφησε νὰ εἶναι ἀνόητοι.

3. «Καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν». Τοῦτο ἀναρχίας χεῖρον καὶ πολλῷ χαλεπώτερον. Ὁ μὲν γὰρ οὐκ ἔχων ἄρχοντα, ἀπεστέρηται τοῦ χειραγωγοῦντος, ὁ δὲ πονηρὸν ἔχων, τὸν ἐμβάλοντα εἰς κρημνοὺς ἔχει. Νεανίσκους δὲ ἐνταῦθα οὐχὶ ἁπλῶς τὴν ἡλικίαν διαβάλλων ἔφησεν, ἀλλ' ἀπὸ τοῦ πλεονάζοντος τὴν ἄνοιαν αὐτῶν ἐπιδείκνυται. Ἔστι γὰρ καὶ νέους εἶναι συνετούς, καὶ γεγηρακότας ἀνοίᾳ συζῆν, ἀλλ' ἐπειδὴ τοῦτο μὲν σπανιάκις συμβαίνειν εἴωθε, τὸ δὲ πλεονάζον τοὐναντίον ἐστίν, ἐξ ἐκείνου ἀνοήτους ὠνόμασεν. Ἐπεὶ καὶ Τιμόθεος νέος ἦν, καὶ μυρίων γεγηρακότων σοφώτερον τὰς Ἐκκλησίας διώρθωσε. Καὶ Σολομῶν ἡνίκα μὲν δωδεκαέτης ἦν, τῷ Θεῷ διελέγετο, καὶ πολλῆς ἀπήλαυε παρρησίας, καὶ ἀνεκηρύττετο, καὶ ἐστεφανοῦτο, καὶ θέατρον ἀπὸ τῶν βαρβάρων τῆς αὐτοῦ σοφίας ἐκάθιζε, καὶ οὐκ ἄνδρες μόνον, ἀλλὰ ἤδη καὶ γυναῖκες πόρρωθεν ἐπιοῦσαι, ταύτην μόνην τῆς ἀποδημίας τὴν ὑπόθεσιν εἶχον, τὸ μαθεῖν τι καὶ ἀκοῦσαι παρὰ τῆς ἐκείνου φωνῆς, ἐπειδὴ δὲ εἰς γῆρας ἦλθε, πολλῷ τῆς ἀρετῆς καθυφῆκε. Καὶ ὁ τούτου δὲ πατὴρ ὁ μακάριος Δαυὶδ τὴν χαλεπὴν ἁμαρτίαν ἐκείνην οὐχ ἡνίκα παῖς καὶ μειράκιον ἦν, ἀλλ' ἡνίκα τὴν ἡλικίαν ὑπερέβη ταύτην, τότε ἥμαρτεν. Ὅτε δὲ παιδίον μικρὸν ἐτύγχανεν ὄν, καὶ τρόπαιον ἀνέστησε θαυμαστόν, καὶ τὸν βάρβαρον κατήνεγκε, καὶ πᾶσαν ἐπεδείξατο φιλοσοφίαν, καὶ οὐδὲν ἡ νεότης αὐτῷ πρὸς τὰ κατορθώματα ταῦτα κώλυμα γέγονε.

Καὶ τὸν Ἰερεμίαν δὲ τὴν ἀπὸ τῆς ἡλικίας προβαλλόμενον παραίτησιν οὐκ ἀπεδέξατο ὁ Θεός, ἀλλ' ἐξήγαγεν ἐπὶ τὸν τῶν Ἰουδαίων δῆμον, οὐδὲν ἐντεῦθεν αὐτὸν κωλύεσθαι

---

15. Διάβασε Γ' Βασ. κεφ. 1-11, Α' Παρλ. κεφ. 28-29 καὶ Β' Παρλ. κεφ. 1-9.
16. Διάβασε Β' Βασ. κεφ. 11-12, (ὅπου περιγράφεται ἡ διάπραξη τῆς μοιχείας μὲ τὴ Βηρσαβεέ, σύζυγο τοῦ Οὐρία, τὸν ὁποῖο καὶ φόνευσε).

3. «Καὶ θὰ τοποθετήσω σ' αὐτοὺς νεαροὺς ἄρχοντες». Αὐτὸ εἶναι χειρότερο ἀπὸ τὴν ἀναρχία καὶ πολὺ πιὸ φοβερότερο. Διότι ἐκεῖνος ποὺ δὲν ἔχει ἄρχοντα, ἔχει ἁπλῶς στερηθεῖ τοῦ ὁδηγοῦ, ἐνῶ ἐκεῖνος ποὺ ἔχει κακὸ ἄρχοντα, ἔχει ἐκεῖνον ποὺ τὸν σπρώχνει στοὺς γκρεμούς. Νεανίσκους δὲ ἐδῶ εἶπε ὄχι ἁπλῶς γιὰ νὰ κατηγορήσει τὴν ἡλικία, ἀλλὰ φανερώνει τὴν ἀνοησία αὐτῶν ἀπὸ τὸ γεγονὸς ὅτι πλεονάζουν μέσα στὸν κόσμο. Διότι εἶναι δυνατὸ καὶ νέοι νὰ εἶναι συνετοὶ καὶ ἄνθρωποι γέροι νὰ συζοῦν μὲ τὴ μωρία, ἀλλ' ἐπειδὴ αὐτὸ συνήθως συμβαίνει πολὺ σπάνια, οἱ δὲ περισσότεροι ἀπὸ τοὺς νεανίσκους εἶναι ἀνόητοι, γιὰ τὸ λόγο αὐτὸ τοὺς ὀνόμασε ἀνόητους. Καθόσον καὶ ὁ Τιμόθεος ἦταν νέος καὶ ὅμως ρύθμισε τὶς ὑποθέσεις τῶν Ἐκκλησιῶν συνετότερα ἀπὸ ἀμέτρητους γεροντότερους. Καὶ ὁ Σολομώντας ὅταν μὲν ἦταν δώδεκα ἐτῶν συνομιλοῦσε μὲ τὸ Θεὸ καὶ ἀπολάμβανε μεγάλης παρρησίας ἀπέναντί του καὶ ἀνέβαινε σὲ μεγάλες δόξες καὶ στεφανωνόταν καὶ βάρβαροι ἀκροατὲς ἔρχονταν ν' ἀκούσουν τὴ σοφία του, καὶ ὄχι μόνο ἄνδρες, ἀλλ' ἀκόμα καὶ γυναῖκες ἐρχόμενες ἀπὸ πολὺ μακριά, αὐτὴν καὶ μόνο εἶχαν σὰν αἰτία τῆς μεταβάσεώς τους ἐκεῖ, τὸ ν' ἀκούσουν καὶ νὰ μάθουν κάτι ἀπὸ τοὺς λόγους ἐκείνου, ὅταν ὅμως ἔφθασε σὲ γεροντικὴ ἡλικία, ἔδειξε μεγάλη ἀδιαφορία γιὰ τὴν ἀρετή[15]. Καὶ ὁ πατέρας δὲ αὐτοῦ, ὁ μακάριος Δαυίδ, τὴ φοβερὴ ἐκείνη ἁμαρτία δὲν τὴν διέπραξε ὅταν ἦταν παιδὶ καὶ νεανίσκος, ἀλλ', ὅταν ξεπέρασε τὴν ἡλικία αὐτή, τότε ἁμάρτησε[16]. Ἀντίθετα ὅταν ἦταν μικρὸ παιδὶ καὶ τρόπαιο νίκης ἀξιοθαύμαστο ἔστησε καὶ τὸν βάρβαρο κατατρόπωσε, καὶ κάθε μορφὴ ἀρετῆς ἐπέδειξε, καὶ κανένα ἐμπόδιο δὲν ἔγινε σ' αὐτὸν ἡ νεότητά του γιὰ τὰ κατορθώματα αὐτά[17].

Καὶ τὸν Ἰερεμία δέ, ποὺ πρόβαλλε σὰν πρόφαση τῆς παραιτήσεώς του τὴν ἡλικία του, δὲν τὴν ἀποδέχθηκε ὁ Θεός, ἀλλὰ τὸν ἔστειλε στὸν Ἰουδαϊκὸ λαό, λέγοντας, ὅτι αὐτὸ κανένα

---

17. Πρόκειται γιὰ τὴ νίκη τοῦ ἐναντίον τοῦ Γολιάθ, ποὺ περιγράφεται στὸ Α' Βασ. κεφ. 17.

λέγων, εἰ τὰ τῆς διανοίας ἐρρωμένα εἴη. Ταύτην ἄγων τὴν ἡλικίαν, μᾶλλον δὲ καὶ ταύτης ἐλάττονα πολλῷ, τοὺς πρεσβυτέρους ἔκρινεν ὁ Δανιήλ. Καὶ Ἰωσίας δὲ οὐδὲ δέκα ἔτη γεγονὼς ὅλα, ἐπὶ τὸν τῆς βασιλείας ἀνέβη θρόνον· καὶ τότε μὲν εὐδοκίμει, μετὰ δὲ ταῦτα κατολιγωρήσας μικρόν, ἐλυμήνατο τὴν τῆς ψυχῆς ἀρετήν. Τί δὲ ὁ Ἰωσήφ; Οὐχὶ νέος ὤν, καὶ σφόδρα νέος, τὸν χαλεπὸν ἐκεῖνον ἀνείλετο πόλεμον, οὐχὶ πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς αὐτὴν τῆς φύσεως τὴν τυραννίδα μαχόμενος, καὶ ἐκ μέσου καμίνου καὶ φλογὸς πολὺ τῆς Περσικῆς χαλεπωτέρας ἐξεπήδησεν ἀσινής, τῶν τριῶν παίδων οὐκ ἔλαττον ἀβλαβὴς διαμείνας; Ὥσπερ γὰρ ἐκεῖνοι τὰ σώματα μετ' αὐτῶν τῶν τριχῶν ἀκέραια τότε ἐξαγαγόντες ἔδειξαν, ὡς ἀπὸ πηγῆς μᾶλλον ἢ καμίνου ἐξιόντες, οὕτω δὴ καὶ οὗτος τῶν ἐν ἀγῶνι τῆς Αἰγυπτίας χειρῶν ἀπαλλαγείς, ἐξῄει, μήτε ἀπὸ τῆς ἀφῆς, μήτε ἀπὸ τῶν ῥημάτων, μήτε ἀπὸ τῆς ὄψεως, μήτε ἀπὸ τῶν μύρων, ἃ κληματίδος καὶ πίσσης χαλεπωτέραν ἀνῆπτε τῆς ἐπιθυμίας τὴν φλόγα, μήτε ἀπ' αὐτῆς τῆς ἡλικίας παθών τι τοιοῦτον, οἷον εἰκὸς ἄνθρωπον ὄντα παθεῖν.

Καὶ αὐτοὶ δὲ οἱ παῖδες οἱ τρεῖς οὗτοι ἐν αὐτῷ τῆς ἡλικίας ὄντες τῷ ἄνθει, καὶ γαστρὸς ἐκράτησαν, καὶ θανάτου φόβον ἐπάτησαν, καὶ στρατοπέδου τοσούτου καὶ βασιλέως αὐτῆς τῆς καμίνου σφοδρότερον ἀφιέντος θυμὸν περιεγένοντο, καὶ οὐδὲν αὐτοὺς κατέπληξεν, ἀλλ' ἔμειναν διηνεκῶς ἀδούλωτον τὸ φρόνημα ἔχοντες. Οὐ τοίνυν τὴν ἡλικίαν διαβάλλων ταῦτά φησιν· ἐπεὶ καὶ ὁ Παῦλος, ὅταν λέγῃ, «Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβό-

---

18. Ἱερ. 1, 4-10.
19. Δαν. Σωσάννα καὶ ἰδίως 44-64.
20. Δ' Βασ. 22, 1 ἑ.
21. Γεν. 39, 6-20.
22. Δαν. κεφ. 1 καὶ 3.
23. Α' Τιμ. 3, 6.

ἐμπόδιο δὲν ἀποτελεῖ γι' αὐτόν, ἐὰν τὰ τῆς διάνοιας εἶναι γεμάτα ἀπὸ δύναμη καὶ φρονιμάδα[18]. Αὐτὴ τὴν ἡλικία διάγοντας ὁ Δανιήλ, μᾶλλον δὲ ἐνῶ βρισκόταν σὲ πολὺ πιὸ μικρότερη ἀπὸ αὐτήν, ἔκρινε καὶ δίκασε τοὺς πρεσβυτέρους[19]. Καὶ ὁ Ἰωσίας δὲ δὲν εἶχε συμπληρώσει οὔτε τὰ δώδεκα χρόνια του, καὶ ἀνέβηκε στὸ θρόνο τῆς βασιλείας· καὶ τότε μὲν διέπρεπε, στὴ συνέχεια ὅμως, ἐπειδὴ ἔδειξε κάποια ἀμέλεια, κατέστρεψε τὴν ἀρετὴ τῆς ψυχῆς του[20]. Τί δὲ ἔκανε ὁ Ἰωσήφ; Δὲν ἀνέλαβε, ἐνῶ ἦταν νέος, καὶ μάλιστα πάρα πολὺ νέος, τὸν φοβερὸ ἐκεῖνο πόλεμο, μαχόμενος ὄχι πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τὴν τυραννικὴ ἐξουσία τῆς ἴδιας τῆς φύσεως, καὶ ἐξῆλθε ἀβλαβὴς μέσα ἀπὸ καμίνι καὶ φλόγα πολὺ πιὸ φοβερότερη ἀπὸ τὴν περσική, παραμένοντας ἀβλαβὴς ὄχι λιγότερο ἀπὸ τοὺς τρεῖς παῖδες; Διότι ὅπως ἀκριβῶς ἐκεῖνοι τότε ἔβγαλαν μέσα ἀπὸ τὸ καμίνι καὶ ἔδειξαν τὰ σώματά τους ἀκέραια καὶ μαζὶ μὲ τὶς τρίχες τους, σὰν νὰ εἶχαν ἐξέλθει ἀπὸ πηγὴ μᾶλλον παρὰ ἀπὸ καμίνι, ἔτσι λοιπὸν καὶ αὐτός, ἀφοῦ ἀπαλλάχθηκε, στὸν ἀγώνα του ἐναντίον τῆς Αἰγυπτίας, ἀπὸ τὰ χέρια της, ἐξῆλθε χωρὶς νὰ πάθει κάτι παρόμοιο, ποὺ φυσικὸ εἶναι νὰ πάθει ὁ ἄνθρωπος, οὔτε ἀπὸ τὴν ἀφή, οὔτε ἀπὸ τὰ λόγια, οὔτε ἀπὸ τὴν ὄψη, οὔτε ἀπὸ τὰ ἐνδύματα, οὔτε ἀπὸ τὰ ἀρώματα, τὰ ὁποῖα ἄναβαν τὴ φλόγα τῆς ἐπιθυμίας φοβερότερα ἀπὸ κληματόβεργες καὶ πίσσα, οὔτε ἀπὸ τὴν ἴδια τὴν ἡλικία του[21].

Καὶ αὐτοὶ δὲ οἱ τρεῖς παῖδες, ἂν καὶ βρίσκονταν σ' αὐτὸ τὸ ἄνθος τῆς ἡλικίας τους, καὶ ἐξουσίασαν τὶς ἀνάγκες τῆς κοιλιᾶς, καὶ περιφρόνησαν τὸ φόβο τοῦ θανάτου, καὶ ὑπερίσχυσαν τόσου μεγάλου πλήθους στρατοῦ καὶ ἑνὸς βασιλιᾶ, ὁ ὁποῖος ἄφηνε νὰ βγαίνει ἀπὸ μέσα του θυμὸς φοβερότερος ἀπὸ τὴν κάμινο, ὅμως τίποτε δὲν τοὺς καταφόβισε, ἀλλὰ παρέμειναν ἀκλόνητοι διατηρώντας συνέχεια ἀδούλωτο τὸ φρόνημά τους[22]. Δὲν τὰ λέγει λοιπον αὐτὰ γιὰ νὰ κατηγορήσει τὴν ἡλικία· καθόσον καὶ ὁ Παῦλος ὅταν λέγει, «Νὰ μὴ εἶναι νεοκατήχητος, γιὰ νὰ μὴ κυριευθεῖ ἀπὸ ἀλαζονεία καὶ πέσει στὴν ἴδια καταδίκη μὲ τὸ διάβολο»[23], δὲν ἐννοεῖ τὸν νέο ὡς πρὸς τὴν ἡλικία, ἀλλ' ἐ-

λου», οὐ τὸν νέον τὴν ἡλικίαν φησίν, ἀλλὰ τὸν νεωστὶ φυτευθέντα, τουτέστι, κατηχηθέντα· φυτεῦσαι γὰρ τὸ κατηχῆσαί φησι καὶ διδάξαι, ὥσπερ ὅταν λέγῃ· «Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισε». Καὶ Χριστὸς φυτείαν τὸ τοιοῦτο καλεῖ λέγων· «Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται». Ἐπεὶ εἰ νεόφυτον τὸν νέον ἔλεγεν, οὐκ ἂν Τιμόθεον σφόδρα νέον, καὶ οὕτω νέον, ὡς λέγειν, «Μηδείς σου τῆς νεότητος καταφρονείτω», πρὸς τοσοῦτον ὄγκον ἀρχῆς ἀνήγαγεν ἄν, καὶ τοσαύτας φέρειν ἀπέτρεψεν Ἐκκλησίας.

«Καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν». Ὁρᾷς, ὡς οὐ τὴν ἡλικίαν διαβάλλει ἁπλῶς, ἀλλὰ τὴν διεφθαρμένην γνώμην; Τῇ γὰρ ἐπαγωγῇ τοῦτο σαφέστερον ἐποίησεν. «Ἐμπαίκτας» δὲ ἐνταῦθά φησι τοὺς ἀπατεῶνας, τοὺς εἴρωνας, τοὺς κόλακας, τοὺς διὰ τῆς τῶν ρημάτων χάριτος προπίνοντας αὐτοὺς τῷ διαβόλῳ.

«Καὶ συμπεσεῖται ὁ λαός, ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ». Ὥσπερ γὰρ τῶν τὰς οἰκοδομὰς συνεχόντων ξύλων διαφθαρέντων, ἢ καὶ ἀναιρεθέντων, τοὺς τοίχους ἀνάγκη συρρήγνυσθαι, οὐδενὸς ὄντος τοῦ κατέχοντος, οὕτω καὶ τούτων τῶν ἔμπροσθεν εἰρημένων ἀναιρεθέντων, ἀρχόντων, συμβούλων, δικαστῶν, προφητῶν, οὐδὲν τὸ κωλῦον ἦν τὸν δῆμον ἑαυτῷ συρραγῆναι, καὶ πολλὴν γενέσθαι τὴν σύγχυσιν.

4. «Προσκόψει τὸ παιδάριον πρὸς τὸν πρεσβύτην, καὶ ὁ ἄτιμος πρὸς τὸν ἔντιμον». Ἐναντιώσεται, φησίν, ὁ νέος τῷ γεγηρακότι, ὑπερόψεται, καταφρονήσει. Ταῦτα καὶ πρὸ τῆς τῶν πολεμίων ἐφόδου πολέμου παντὸς ἦν χαλεπώτερα. Ὅταν γὰρ ἀτιμάζηται μὲν γῆρας παρὰ νεότητος, οἱ δὲ εὐτε-

---

24. Α' Κορ. 3, 6. 25. Ματθ. 15, 13. 26. Α' Τιμ. 4, 12.

κεῖνον ποὺ πρόσφατα φυτεύθηκε, δηλαδή, κατηχήθηκε· διότι σὰν φύτευμα ἐννοεῖ τὴν κατήχηση καὶ διδασκαλία, ὅπως ἀκριβῶς ὅταν λέγει· «Ἐγὼ φύτεψα, ὁ δὲ Ἀπολλὼς πότισε»[24]. Καὶ ὁ Χριστὸς φυτεία ὀνομάζει αὐτὸ τὸ πράγμα, λέγοντας· «Κάθε φυτεία ποὺ δὲν τὴ φύτεψε ὁ Πατέρας μου ὁ οὐράνιος, θὰ ξεριζωθεῖ»[25]. Διότι, ἐὰν νεόφυτο ὀνόμαζε τὸν νέο, δὲν θὰ ἦταν δυνατὸ τὸν Τιμόθεο, ποὺ ἦταν πάρα πολὺ νέος, καὶ τόσο πολὺ νέος, ὥστε νὰ λέγει, «Κανένας νὰ μὴ περιφρονεῖ τὸ νεαρὸ τῆς ἡλικίας σου»[26], νὰ τὸν ἀνέβαζε σὲ τόσο μεγάλο ἀξίωμα καὶ νὰ τὸν ἐπέτρεπε νὰ φροντίζει γιὰ τόσες πολλὲς Ἐκκλησίες.

«Καὶ ἐμπαῖκτες θὰ γίνουν ἐξουσιαστὲς αὐτῶν». Βλέπεις ὅτι δὲν κατηγορεῖ ἁπλῶς τὴν ἡλικία, ἀλλὰ τὴ διεφθαρμένη συνείδηση; Αὐτὸ βέβαια τὸ ἔκανε σαφέστερο μὲ τὰ ὅσα πρόσθεσε στὴ συνέχεια. «Ἐμπαῖκτες» δὲ ἐδῶ ὀνομάζει τοὺς ἀπατεῶνες, τοὺς εἴρωνες, τοὺς κόλακες, ἐκείνους ποὺ μὲ τὰ γλυκόλογά τους τοὺς παραδίνουν στὸ διάβολο.

«Καὶ θὰ γίνει ὁ λαὸς ἄνω κάτω, ὁρμώντας ὁ ἕνας ἄνθρωπος ἐναντίον ἄλλου ἀνθρώπου, καὶ ἄλλος ἄνθρωπος ἐναντίον τοῦ πλησίον του». Ὅπως ἀκριβῶς δηλαδή, ἂν τὰ ξύλα, ποὺ συγκρατοῦν τὶς οἰκοδομές, σαπίσουν ἢ ἀφαιρεθοῦν, κατ' ἀνάγκη οἱ τοῖχοι γκρεμίζονται, ἀφοῦ δὲν ὑπάρχει τίποτε ποὺ νὰ τοὺς συγκρατεῖ, ἔτσι ἀφοῦ αὐτοί, γιὰ τοὺς ὁποίους ἔγινε προηγουμένως λόγος, ἀφαιρέθηκαν, οἱ ἄρχοντες, οἱ σύμβουλοι, οἱ δικαστὲς καὶ οἱ προφῆτες, δὲν ὑπῆρχε τίποτε ποὺ νὰ ἐμπόδιζε τὴ διάσπαση τοῦ λαοῦ, καὶ ἔτσι φυσικὸ ἦταν νὰ δημιουργηθεῖ μεγάλη σύγχυση.

4. «Θὰ αὐθαδιάσει τὸ παιδὶ πρὸς τὸν γέροντα καὶ ὁ ἀνέντιμος πρὸς τὸν ἔντιμο». Θὰ προβάλλει, λέγει, ὁ νέος μὲ αὐθάδεια ἀντιρρήσεις πρὸς τὸ γέρο, θὰ τὸν παραβλέψει, θὰ τὸν περιφρονήσει. Αὐτὰ καὶ πρὶν ἀπὸ τὴν ἔφοδο τῶν ἐχθρῶν ἦταν φοβερότερα ἀπὸ ὁποιοδήποτε πόλεμο. Διότι ὅταν περιφρονοῦνται μὲν τὰ γηρατειὰ ἀπὸ τοὺς νέους, οἱ δὲ εὐτελεῖς καὶ περιφρονημένοι

λεῖς καὶ ἀπερριμμένοι τοὺς πρότερον αἰδεσίμους καταπατῶσιν, οὐδενὸς ἔλαττον κληδονιζομένης ἡ τοιαύτη διακείσεται πόλις.

«Ὅτι ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ, λέγων· ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω. Καὶ ἀποκριθεὶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐρεῖ· οὐκ ἔσομαι ἀρχηγός· οὐ γάρ ἐστιν ἐν τῷ οἴκῳ μου ἄρτος, οὐδὲ ἱμάτιον. Οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου». Ἐνταῦθά μοι δοκεῖ ἢ πολιορκίαν τινὰ χαλεπωτάτην αἰνίττεσθαι, εἰς τὴν ἐσχάτην στενοχωρίαν αὐτοὺς κατενεγκοῦσαν, ἢ χωρὶς πολιορκίας λιμόν τινα ἀφόρητον, καὶ πολλὴν τῶν ἀναγκαίων σπάνιν. Κέχρηται δὲ κοινῇ συνηθείᾳ· καὶ ὥσπερ πολλοί φασιν, εἰ συνέβη τὴν πόλιν ἅπασαν ὀβολοῦ πωλεῖσθαι, οὐκ ἂν σχοίην αὐτὴν πρίασθαι, τὴν ἐσχάτην πενίαν ἐνδεικνύμενοι, οὕτω καὶ ὁ προφήτης φησίν, ὅτι εἰ ἱματίου ἑνὸς καὶ ἄρτου μόνου γένοιντ' ἂν αἱ ἀρχαὶ ὠνηταί, οὐδεὶς ἔσται ὁ ὠνούμενος· τοσαύτη σπάνις ἔσται τῶν ἀναγκαίων.

«Ὅτι ἀνεῖται Ἱερουσαλήμ»· τουτέστιν ἐγκαταλέλειπται, ἠρήμωται, τῆς τοῦ Θεοῦ προνοίας γεγύμνωται. «Καὶ ἡ Ἰουδαία συμπέπτωκε»· ταραχῆς, φησίν, ἐμπέπλησται καὶ θορύβου, συγχύσεως καὶ ἀταξίας. «Καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας τὰ πρὸς τὸν Κύριον ἀπειθοῦσιν». Εἶτα καὶ ἡ αἰτία τῶν κακῶν, τῆς γλώττης ἡ ἀκρασία. Ὃ καὶ Ὠσηὲ ἐγκαλεῖ λέγων· «Ἐφραεὶμ εἰς ἀφανισμὸν ἐγένοντο ἐν ἡμέραις ἐλέγχου· ἐν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ ἔδειξα πιστά». Καὶ ὁ Μαλαχίας τὰ αὐτὰ πάλιν λέγων· «Οἱ προφῆται ὀνειδίζοντες τοὺς παροξύναντας τὸν Θεὸν ἐν λόγοις. Καὶ εἴπατε· ἐν τίνι

---

27. Ὠσηὲ 5, 9.

περιφρονοῦν ἐκείνους ποὺ προηγουμένως ἦταν ἀξιοσέβαστοι, ἡ πόλη αὐτὴ δὲν εἶναι δυνατὸ νὰ βρίσκεται σὲ καθόλου καλύτερη κατάσταση ἀπὸ ἐκείνη ποὺ προσφεύγει στοὺς μάντεις.

«Διότι θὰ κρατᾶ ὁ ἕνας τὸν πρῶτο τυχόντα ἀπὸ τὰ ροῦχα του ἢ τὸν συγγενὴ τοῦ πατέρα του, λέγοντας· Ἐσὺ ἔχεις ἔνδυμα· γίνε ἀρχηγός μας καὶ ἂς βρίσκεται στὰ χέρια σου ἡ διατροφή μας. Καὶ ἐκεῖνος ἀπαντώντας κατὰ τὴ φοβερὴ ἐκείνη ἡμέρα θὰ πεῖ· Δὲν γίνομαι ἀρχηγός σας· διότι δὲν ὑπάρχει στὸ σπίτι μου ἄρτος, οὔτε ἔνδυμα. Δὲν θὰ γίνω ἀρχηγὸς αὐτοῦ τοῦ λαοῦ». Ἐδῶ μοῦ φαίνεται ὑπαινίσσεται ἢ κάποια πάρα πολὺ φοβερὴ πολιορκία, ποὺ τοὺς ὁδήγησε στὴν πιὸ χειρότερη μορφὴ στενοχώριας, ἢ κάποια πείνα ἀνυπόφορη, ποὺ συνέβηκε χωρὶς πολιορκία, καὶ μεγάλη ἔλλειψη τῶν ἀναγκαίων. Χρησιμοποιεῖ δὲ συνηθισμένη ἔκφραση· καὶ ὅπως ἀκριβῶς πολλοὶ λέγουν, ἐὰν συνέβαινε ὁλόκληρη ἡ πόλη νὰ πουληθεῖ γιὰ ἕνα ὀβολό, δὲν θὰ μπορούσαμε νὰ τὴν ἀγοράσουμε, θέλοντας μὲ αὐτὸ νὰ δείξουν τὴν χειρότερη μορφὴ φτώχειας, ἔτσι καὶ ὁ προφήτης λέγει, ὅτι ἂν οἱ ἐξουσίες συμβεῖ νὰ πουληθοῦν ἀντὶ ἑνὸς ἐνδύματος καὶ ἑνὸς ἄρτου, δὲν θὰ ὑπάρξει κανένας ἱκανὸς νὰ τὶς ἀγοράσει· τόσο μεγάλη ἔλλειψη τῶν ἀναγκαίων θὰ ὑπάρξει.

«Διότι ἔχει ἀφηθεῖ μόνη ἡ Ἰερουσαλὴμ»· δηλαδὴ ἔχει ἐγκαταλειφθεῖ, ἔχει ἐρημηθεῖ, ἔχει ἀπογυμνωθεῖ τῆς πρόνοιας τοῦ Θεοῦ. «Καὶ ἡ Ἰουδαία ἔχει καταστραφεῖ»· δηλαδὴ ἔχει γεμίσει ἀπὸ ταραχὴ καὶ θόρυβο, ἀπὸ σύγχυση καὶ ἀταξία. «Καὶ οἱ γλῶσσες αὐτῶν διαπράττουν ἀνομήματα καὶ δείχνουν ἀπείθεια πρὸς τὸν Κύριο». Στὴ συνέχεια ἀναφέρεται καὶ ἡ αἰτία τῶν κακῶν, ἡ ἔλειψη ἐλέγχου τῆς γλώσσας. Αὐτὸ καὶ ὁ Ὠσηὲ κατηγορεῖ, λέγοντας· «Ἡ φυλὴ τοῦ Ἐφραεὶμ ἐξαφανίσθηκε κατὰ τὶς ἡμέρες τῆς κρίσεως αὐτῶν· στὶς φυλὲς τοῦ Ἰσραὴλ ἔδειξα πολλὰ ἀξιόπιστα»[27]. Καὶ ὁ Μαλαχίας τὰ ἴδια πάλι λέγει· «Οἱ προφῆτες κατηγοροῦν ἐκείνους ποὺ μὲ τὰ λόγια τους παροργίζουν τὸ Θεό. Καὶ εἴπατε· μὲ τί τὸν παροργίσαμε; Μὲ τὰ λόγια σας

παρωξύναμεν αὐτόν; Ἐν τῷ λέγειν ὑμᾶς· πᾶς ποιῶν πονηρόν, καλὸν ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε. Καὶ ποῦ ἐστιν ὁ Θεὸς τῆς δικαιοσύνης;». Τοῦτο δὴ καὶ αὐτὸς αἰτιᾶται, διπλοῦν προφέρων ἔγκλημα, ὅτι οὐ μόνον ἀπειθοῦσιν, οὐδὲ οὐ μόνον παραβαίνουσι τὸν νόμον· ὀφείλοντες γοῦν αἰσχύνεσθαι ἐπὶ τούτῳ καὶ ἐρυθριᾶν, ἐγκαλύπτεσθαι καὶ κάτω κύπτειν, οἱ δὲ καὶ ἐπαγωνίζονται τοῖς προτέροις, μετὰ τοῦ μὴ ποιεῖν τὰ ἐπιτεταγμένα καὶ φορτικὰ φθεγγόμενοι ρήματα. Ὡσανεὶ οἰκέτης τις ἀγνώμων ἐγκαταλιμπάνων τὰ ἐπιτάγματα τοῦ δεσπότου, ἔτι καὶ θρασύνοιτο.

«Διὸ νῦν ἐταπεινώθη ἡ δόξα αὐτοῦ, καὶ ἡ αἰσχύνη τοῦ προσώπου αὐτοῦ ἀντέστη αὐτοῖς». Πάλιν τὰ μέλλοντα ὡς παρεληλυθότα λέγει, τῷ συνήθει κεχρημένος νόμῳ τῆς προφητείας. Ταπείνωσιν δὲ δόξης τὴν αἰχμαλωσίαν καλεῖ. Οὐ γὰρ τῆς τυχούσης ἦν, τοὺς ἐν τάξει τῶν βασιλευόντων τῆς οἰκουμένης ὄντας, τούτους ἀνθρώποις βεβήλοις καὶ βαρβάροις ὑποτετάχθαι. Αἰσχύνην δὲ προσώπου ἐνταῦθα τὴν ἀπὸ τῆς ἁμαρτίας ἐγγινομένην φησί. Τοιοῦτος γὰρ ἦν αὐτῶν ὁ βίος. Ἐπεὶ οὖν προλαβόντες ἑαυτοὺς κατῄσχυναν, δι' ὧν ἔπραττον, διὰ δὴ τοῦτο ὁ Θεὸς τῆς δόξης αὐτοὺς ἐξέβαλεν, ἐλάττονι παραδιδοὺς τιμωρίᾳ τῆς ὑπ' αὐτῶν ἐπενεχθείσης αὐτοῖς. Οὐ γὰρ οὕτως ἦσαν ἐπονείδιστοι τὴν ἀλλοτρίαν οἰκοῦντες, ὡς ὅτε τὴν μητρόπολιν ἔχοντες παρηνόμουν. Τότε μὲν γὰρ καὶ ἐνεκόπτετο αὐτοῖς τὰ τῆς κακίας, ἐπὶ δὲ τῆς πατρίδος καὶ πρὸς τὸ μεῖζον ᾔρετο. Μέγα τοίνυν αὐτοὺς ὁ προφήτης ἐπαίδευε δόγμα, πανταχοῦ πείθων πρὸ τῆς κολάσεως τὴν πονηρίαν φεύγειν, καὶ ἐγκαλύπτεσθαι καὶ αἰσχύνεσθαι· οὐχ ὅταν βάρβαροι λαβόντες δούλους ἀπάγωσιν, ἀλλ' ὅταν ἡ τῆς ἁμαρτίας τυραννὶς αἰχμαλώτους ἔχῃ.

---

28. Μαλ. 2, 17. 29. Ματθ. 18, 24 ἑ.

αὐτά. 'Ο καθένας ποὺ κάμνει τὸ κακό, βρίσκει καλὸ ἀπὸ τὸν Κύριο καὶ ὅτι μὲ αὐτοὺς αὐτὸς εὐχαριστεῖται. Καὶ ποῦ εἶναι ὁ Θεὸς τῆς δικαιοσύνης;»[28]. Αὐτὸ λοιπὸν καὶ αὐτὸς κατηγορεῖ, παρουσιάζοντας διπλὴ κατηγορία, ὅτι δηλαδὴ δὲν δείχνουν μόνο ἀπείθεια καὶ οὔτε παραβαίνουν μόνο τὸ νόμο· ἐνῶ δηλαδὴ ὀφείλουν νὰ ντρέπονται γι' αὐτὸ καὶ νὰ κοκκινίζουν, νὰ καλύπτουν τὰ πρόσωπά τους καὶ νὰ σκύβουν κάτω, ἀντίθετα αὐτοὶ ἀγωνίζονται ἐναντίον τῶν προηγουμένων, μὲ τὸ νὰ μὴ ἐκτελοῦν τὰ προστάγματα τοῦ Κυρίου καὶ νὰ ἐκστομίζουν βαριὰ λόγια· σὰν δηλαδὴ κάποιος ἀχάριστος δοῦλος ποὺ ἐγκαταλείπει τὰ προστάγματα τοῦ Κυρίου καὶ ἀκόμα γίνεται καὶ πιὸ θρασύς[29].

«Γι' αὐτὸ λοιπὸν τώρα ταπεινώθηκε ἡ δόξα αὐτοῦ καὶ ἡ ντροπὴ τοῦ προσώπου τους γίνεται μάρτυρας κατηγορίας ἐναντίον τους». Πάλι παρουσιάζει τὰ μέλλοντα σὰν πράγματα ποὺ ἔχουν συμβεῖ, χρησιμοποιώντας τὸν συνηθισμένο νόμο τῆς προφητείας. Ταπείνωση δὲ δόξας ὀνομάζει τὴν αἰχμαλωσία. Διότι δὲν ἦταν τυχαία ντροπὴ αὐτό, αὐτοὶ δηλαδὴ ποὺ βρίσκονταν στὴ θέση τῶν βασιλέων τῆς οἰκουμένης, αὐτοὶ νὰ εἶναι ὑποταγμένοι σὲ ἀνθρώπους βέβηλους καὶ βαρβάρους. Αἰσχύνη δὲ τοῦ προσώπου ἐδῶ ὀνομάζει αὐτὴν ποὺ προέρχεται ἀπὸ τὴν ἁμαρτία. Διότι τέτοια ἦταν ἡ ζωή τους. 'Επειδὴ δηλαδὴ αὐτοὶ προηγουμένως καταντρόπιασαν τοὺς ἑαυτούς τους μὲ ἐκεῖνα ποὺ ἔπρατταν, γι' αὐτὸ λοιπὸν ὁ Θεὸς τοὺς στέρησε τὴ δόξα τους, παραδίνοντάς τους σὲ μικρότερη τιμωρία ἀπὸ ἐκείνη ποὺ οἱ ἴδιοι ἐπέβαλαν στὸν ἑαυτό τους. Διότι δὲν ἦταν τόσο πολὺ ἄξιοι κατηγορίας ὅταν κατοικοῦσαν στὴν ξένη χώρα, ὅσο ὅταν διέπρατταν παρανομίες κατοικώντας στὴν πατρίδα τους. Καθόσον τότε μὲν εἶχαν περιορισθεῖ τὰ ἔργα τῆς κακίας τους, ἐνῶ ὅταν βρίσκονταν στὴν πατρίδα τους γίνονταν ὅλο καὶ μεγαλύτερα. Μεγάλη λοιπὸν ἀλήθεια τοὺς δίδασκε ὁ προφήτης, πείθοντάς τους μὲ τὸ κάθε τι πρὸ τῆς τιμωρίας ν' ἀποφεύγουν τὴν κακία καὶ νὰ καλύπτουν τὸ πρόσωπό τους καὶ νὰ ντρέπονται· ὄχι ὅταν οἱ βέρβαροι τοὺς αἰχμαλωτίζουν καὶ τοὺς ὁδηγοῦν σὰν δούλους, ἀλλ' ὅταν ἡ τυραννικὴ ἐξουσία τῆς ἁμαρτίας τοὺς ἔχει αἰχμαλώτους.

Τὴν δὲ ἁμαρτίαν αὐτῶν, ὡς Σοδόμων, ἀνήγγειλαν καὶ ἐνεφάνισαν». Ὃ πολλάκις εἶπον, λέγω καὶ νῦν· ὅτι δεικνὺς τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ὁ προφήτης, οὐχ ἃ μέλλουσι πάσχειν προλέγει, ἀλλὰ καὶ ἃ παθεῖν ἦσαν ἄξιοι. Τὰ μὲν γὰρ ἡμαρτημένα αὐτοῖς ἴσα Σοδόμοις ἦν, τὰ δὲ τῆς τιμωρίας καταδεέστερα. Οὐ γὰρ προρρίζους αὐτοὺς ἀνήρπασεν, οὐδὲ ἐκ βάθρων τὴν πόλιν ἀνέσπασεν, οὐδὲ λείψανα τοῦ γένους ἠφάνισε. Τὸ δέ, «Ἀνήγγειλαν καὶ ἐνεφάνισαν», ἀνθρωπινώτερον εἴρηται». Οὐ γὰρ τότε μανθάνει ὁ Θεὸς τὰ γεγενημένα, ὅταν γένηται (πῶς γάρ, ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν;), ἀλλ' ἵνα δείξῃ τὸ μέγεθος τῆς συμφορᾶς, οὕτως εἶπεν.

Ὥσπερ γὰρ ἀλλαχοῦ φησιν, «Ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν πρός με», οὐχὶ τὸν Θεὸν ἀποικίζων που πόρρω, καὶ εἰς τὸν οὐρανὸν περικλείων, ταῦτά φησιν, ἀλλὰ τὸ μέγεθος τῆς ἁμαρτίας δηλῶν, οὕτω δὴ καὶ ἐνταῦθα, «Ἀνήγγειλαν», τὴν ὑπερβολὴν τῆς πονηρίας δεικνύμενος λέγει. Τὰ μὲν γὰρ καταδεέστερα τῶν ἁμαρτημάτων καὶ λαθεῖν δύναιτ' ἄν, τὰ δὲ ὑπερβάλλοντα καὶ μεγάλα πᾶσίν ἐστι γνώριμα καὶ καταφανῆ, κἂν μηδεὶς ὁ κατηγορῶν ᾖ, μηδὲ ἐλέγχων. Αὐτὰ γὰρ ἑαυτὰ καταγγέλλει καὶ δῆλα ποιεῖ. Βουλόμενος ὁ προφήτης ἐνταῦθα δείξασθαι τὸ μέγεθος τῶν κακῶν, φησίν, «Ἀνήγγειλαν καὶ ἐνεφάνισαν», τουτέστι, μετὰ πολλῆς τῆς ὑπερβολῆς, μετὰ πολλῆς τῆς ὑπερηφανίας τὰ κακὰ ἔπραττον, οὐδὲ αἰσχυνόμενοι, οὐδὲ ἐγκαλυπτόμενοι, ἀλλὰ μελέτην τὴν πονηρίαν ποιούμενοι.

5. Οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν». Ἐπίτασις πονηρίας, ὅταν μὴ μό-

---

30. Γέν. 18, 20.

«Τὴν δὲ ἁμαρτία αὐτῶν διεκήρυξαν καὶ παρουσίασαν ὅπως οἱ κάτοικοι τῶν Σοδόμων». Ἐκεῖνο ποὺ πολλὲς φορὲς εἶπα, θὰ τὸ πῶ καὶ τώρα· ὅτι δηλαδὴ γιὰ νὰ δείξει ὁ προφήτης τὴ φιλανθρωπία τοῦ Θεοῦ, δὲν προλέγει μόνο ἐκεῖνα ποὺ πρόκειται νὰ πάθουν, ἀλλὰ καὶ ἐκεῖνα ποὺ ἦταν ἄξιοι νὰ πάθουν. Διότι τὰ μὲν ἁμαρτήματά τους ἦταν ἴσα μὲ τὰ τῶν κατοίκων τῶν Σοδόμων, ἐνῶ ἡ τιμωρία μικρότερη. Καθόσον δὲν ὁδηγήθηκαν στὴν αἰχμαλωσία ὅλοι γενικά, οὔτε κατέστρεψε τὴν πόλη ἀπὸ τὰ θεμέλια, οὔτε ἐξαφάνισε τὰ ὑπολείμματα τοῦ γένους. Τὸ δέ, «Ἀνήγγειλαν καὶ ἐμφάνισαν», ἀποτελεῖ ἀνθρώπινο τρόπο ἐκφράσεως. Καθόσον ὁ Θεὸς δὲν μαθαίνει τότε τὰ γεγονότα, ὅταν συμβαίνουν (διότι πῶς θὰ ἦταν δυνατὸ κάτι τέτοιο, τὴ στιγμὴ ποὺ αὐτὸς γνωρίζει ὅλα προτοῦ νὰ συμβοῦν αὐτά;), ἀλλὰ μίλησε ἔτσι γιὰ νὰ δείξει τὸ μέγεθος τῆς συμφορᾶς.

Ὅπως ἀκριβῶς δηλαδὴ ἀλλοῦ ὅταν λέγει, «Ἀνέβηκε ἡ κραυγὴ τῆς κακίας αὐτῶν πρὸς ἐμένα»[30], δὲν τὰ λέγει αὐτὰ γιὰ νὰ παρουσιάσει κάπου πολὺ μακριὰ τὴν κατοικία τοῦ Θεοῦ, καὶ οὔτε περικλείει αὐτὸν στὸν οὐρανό, ἀλλὰ γιὰ νὰ δείξει τὸ μέγεθος τῆς ἁμαρτίας, ἔτσι λοιπὸν καὶ ἐδῶ τὸ «Ἀνήγγειλαν» τὸ λέγει γιὰ νὰ δείξει τὴν ὑπερβολὴ τῆς κακίας τους. Διότι τὰ μὲν μικρότερα ἀπὸ τὰ ἁμαρτήματα θὰ μποροῦσαν καὶ νὰ διαφύγουν τὴν προσοχή μας, ἐνῶ τὰ ὑπερβολικὰ μεγάλα εἶναι γνωστὰ καὶ φανερὰ σ' ὅλους, καὶ ἂν ἀκόμα δὲν ὑπάρχει κανένας κατήγορος αὐτῶν, οὔτε ἐλεγκτής. Αὐτὰ δηλαδὴ ἀπὸ μόνα τους ἀποκαλύπτονται καὶ γίνονται φανερά. Θέλοντας ὁ προφήτης ἐδῶ νὰ δείξει τὸ μέγεθος τῶν κακῶν, λέγει, ὅτι «Ἀνήγγειλαν καὶ ἐμφάνισαν αὐτά», δηλαδὴ ἔπρατταν τὰ κακὰ σὲ ὑπερβολικὸ βαθμό, καὶ μὲ μεγάλη ὑπερηφάνεια, χωρὶς νὰ νιώθουν ντροπή, οὔτε νὰ σκεπάζουν τὸ πρόσωπό τους, ἀλλ' ἔκαναν μοναδική τους φροντίδα τὴν κακία.

5. «Ἀλλοίμονο σ' αὐτούς, διότι ἔλαβαν κακὴ ἀπόφαση ποὺ ἀποβαίνει σὲ βάρος τους, λέγοντας· Ἂς ρίξουμε στὴ φυλακὴ τὸν δίκαιο, διότι μᾶς εἶναι ἄχρηστος». Τὰ λόγια αὐτὰ δεί-

νον ἁμαρτάνωσι, μηδὲ μὴ μόνον μετὰ παρρησίας ἁμαρτάνωσιν, ἀλλ' ὅταν καὶ τοὺς δυναμένους τὰ τοιαῦτα διορθοῦν ἀπελαύνωσιν. Ὥσπερ γὰρ οἱ φρενίτιδι κατεχόμενοι τὸν ἰατρὸν πολλάκις συνέκοψαν, οὕτω δὴ καὶ οὗτοι τοῦ νοσεῖν ἀνίατα μέγιστον δεῖγμα τοῦτο ἐξέφερον τὸ τοὺς δικαίους ἐκβάλλειν. Τοιοῦτον γὰρ ἡ ἀρετή· καὶ φαινομένη μόνον, ἀρκεῖ λυπῆσαι τὸν ἐν κακίᾳ ζῶντα. Τοιοῦτον ἡ κακία· οὐδὲ ἐλεγχομένη πολλάκις, καὶ τὴν παρουσίαν αὐτὴν βαρύνεται τῶν ἐν ἐπιεικείᾳ προαιρουμένων. Διπλῆ δὲ ἐνταῦθα ἡ κατηγορία, καὶ τὸ δεσμεῖν τὸν δίκαιον, καὶ τὸ ὡς ἄχρηστον δεσμεῖν. Ὅταν οὖν τις τὰ ὠφελοῦντα μὴ μόνον οὐ προσίεται, ἀλλὰ καὶ βλαβερὰ αὐτὰ νομίζῃ εἶναι, ποία λείπεται λοιπὸν διορθώσεως πρόφασις;

Διὸ καὶ ὁ προφήτης ἰδὼν εἰς ἔσχατον ἐξοκείλαντας, ἀπὸ θρήνων ἄρχεται πάλιν, οὐκ ἀπὸ κατηγορίας καὶ ἐγκλημάτων, λέγων· «Οὐαὶ τῇ ψυχῇ αὐτῶν»· καὶ τὸ ἑξῆς μετὰ πολλῆς συνέσεως· «Ὅτι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν». Καίτοι τὰ γενόμενα δοκεῖ κατὰ τοῦ δικαίου τολμᾶσθαι, ἀλλ' εἴ τις ἀκριβῶς ἐξετάσειεν, οὐ κατὰ τοῦ πάσχοντος, ἀλλὰ τῶν ποιούντων ἡ βουλὴ τρέπεται. Ἐνταῦθα μανθάνομεν, ὅτι ὁ μὲν καλός, κἂν μυρία πάσχῃ δεινά, οὐδὲν βεβλάψεται παρὰ τῶν ποιούντων, οἱ δὲ ἐπιβουλεύοντες, οὗτοι μᾶλλόν εἰσιν οἱ καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦντες, καθάπερ καὶ οὗτοι. Τὸν μὲν γὰρ δίκαιον οὐδὲν ἔβλαπτον δεσμοῦντες, ἑαυτοὺς δὲ ἐν πλείονι ζόφῳ καὶ ἐρημίᾳ καθίστων, τὸν λύχνον ἐκποδὼν ἁρπάζοντες.

χνουν τὴν ὑπερβολικὴ αὔξηση τῆς κακίας, ἀφοῦ ὄχι μόνο ἁμαρτάνουν, ὄχι μόνο ἁμαρτάνουν μὲ παρρησία, ἀλλὰ καὶ καταδιώκουν ἐκείνους ποὺ μποροῦν αὐτὰ νὰ τὰ διορθώσουν. Διότι ὅπως ἀκριβῶς οἱ κυριευμένοι ἀπὸ τρέλλα κατέσφαξαν πολλὲς φορὲς τὸν ἰατρό, ἔτσι λοιπὸν καὶ αὐτοὶ παρουσίασαν γιὰ τὴν ἀθεράπευτη ἀσθένειά τους μεγίστη ἀπόδειξη αὐτό, τὸ ὅτι δηλαδὴ ἐκδιώκουν τοὺς δικαίους. Καθόσον τέτοια εἶναι ἡ ἀρετή· καὶ μόνο ἡ παρουσία της ἀρκεῖ νὰ λυπήσει ἐκεῖνον ποὺ ζεῖ μέσα στὴν κακία. Τέτοια εἶναι ἡ κακία· πολλὲς φορὲς χωρὶς νὰ ἐλέγχεται στενοχωριέται καὶ μὲ τὴν ἴδια τὴν παρουσία ἐκείνων ποὺ ἔχουν σκοπὸ τῆς ζωῆς τους τὴν ἀρετή. Εἶναι δὲ διπλὴ ἡ κατηγορία ἐδῶ, καὶ διότι ρίχνουν στὰ δεσμὰ τὸν δίκαιο, καὶ διότι τὸν ρίχνουν στὰ δεσμὰ σὰν ἄχρηστο. Ὅταν λοιπὸν κάποιος ὄχι μόνο δὲν ἀποδέχεται ἐκεῖνα ποὺ ὠφελοῦν, ἀλλὰ καὶ νομίζει ὅτι αὐτὰ εἶναι βλαβερά, ποιὰ πλέον εὐκαιρία ὑπολείπεται γιὰ διόρθωση;

Γι' αὐτὸ καὶ ὁ προφήτης, βλέποντας ὅτι παρεκτράπηκαν πρὸς τὴ χειρότερη μορφὴ κακίας, ἀρχίζει πάλι μὲ θρήνους, καὶ ὄχι μὲ κατηγορίες καὶ ἐγκλήματα, λέγοντας, «Ἀλλοίμονο σ' αὐτούς», καὶ προσθέτοντας μὲ πολλὴ σύνεση καὶ τὰ στὴ συνέχεια· «Διότι ἔλαβαν κακὴ ἀπόφαση ποὺ στρέφεται ἐναντίον τους». Μολονότι βέβαια φαίνεται ὅτι τὰ ὅσα συνέβηκαν διαπράχθηκαν ἐναντίον τοῦ δικαίου, ἀλλ' ὅμως ἂν κάποιος τὰ ἐξετάσει μὲ προσοχὴ θὰ διαπιστώσει ὅτι ἡ ἀπόφασή τους στρέφεται ὄχι ἐναντίον ἐκείνου ποὺ ὑποφέρει αὐτά, ἀλλ' ἐναντίον ἐκείνων ποὺ πράττουν αὐτά. Ἀπὸ αὐτὰ μαθαίνομε, ὅτι ὁ μὲν καλός, καὶ ἂν ἀκόμα πάσχει ἀμέτρητα κακά, καμιὰ βλάβη δὲν θὰ δεχθεῖ ἀπὸ ἐκείνους ποὺ πράττουν αὐτά, ἐνῶ ἐκεῖνοι ποὺ τὸν ἐπιβουλεύονται, αὐτοὶ μᾶλλον εἶναι ἐκεῖνοι ποὺ ὠθοῦν τὸ ξίφος τους ἐναντίον τοῦ ἑαυτοῦ τους, ὅπως ἀκριβῶς καὶ αὐτοί. Διότι τὸν μὲν δίκαιο δὲν τὸν ἔβλαπταν καθόλου οἱ δεσμῶτες του, ἐνῶ τοὺς ἑαυτούς τους τοὺς ἔρριχναν μέσα σὲ περισσότερο σκοτάδι καὶ ἐρημιά.

«Τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται». Τοιοῦτον γὰρ ἡ κακία· αὐτὴ ἐν ἑαυτῇ τὴν τιμωρίαν ἔχει. Καὶ ὃ ἐνταῦθά φησι, τοῦτ' ἔστιν· ἀπολαύσονται τῶν καρπῶν αὐτῶν, ἐν πλείονι καθιστῶντες αὐτοὺς ἐρημίᾳ, καὶ πολλοὺς κατασκευάζοντες τοὺς κρημνούς.

«Οὐαὶ τῷ ἀνόμῳ· πονηρὰ γὰρ συμβήσεται αὐτῷ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ». Ὁρᾷς παρ' ἡμῶν τὰ μέτρα τῆς τιμωρίας ἀεὶ καὶ τὰς ἀρχὰς γινομένας; Διὰ δὴ τοῦτο πάλιν ὁ προφήτης θρηνεῖ καὶ ὀδύρεται καὶ διακόπτεται, ὅτι αὐτοὶ ἑαυτοὺς ἐπεβούλευον οἱ Ἰουδαῖοι, καὶ πολεμίου παντὸς χαλεπώτερον τὴν ἑαυτῶν ἐλυμήναντο σωτηρίαν, οὗ τί γένοιτ' ἂν ἀθλιώτερον;

«Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς». Τοῦτο ἀρίστου διδασκάλου, ποικίλλειν τὸν λόγον, καὶ μήτε τραχύνειν μόνον, μήτε προσηνῆ ποιεῖν, ἀλλὰ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο μεταχειρίζειν τὸ εἶδος, ὥστε πολλὴν ἐκ τῆς μίξεως γενέσθαι τὴν ὠφέλειαν. Διὰ δὴ τοῦτο καὶ ὁ προφήτης οὐκ ἐγκαλεῖ μόνον, ἀλλὰ καὶ θρηνεῖ, ὃ βαρύτερον μέν ἐστι τῶν ἐγκλημάτων, ἐλάττονα δὲ παρέχει τὴν ὀδύνην· καὶ τὸ θαυμαστὸν τοῦτο, ὅτι ἐν βαθυτέρᾳ τῇ τομῇ προσηνεστέρα ἡ ἀλγηδών. Καὶ οὐ θρηνεῖ μόνον, ἀλλὰ καὶ θεραπεύει, καὶ ἕτερον πάλιν θαυμαστὸν διδασκαλίας ἀνακινεῖ τρόπον. Ποῖον δὴ τοῦτον; Τὸ μὴ πᾶσιν ὑφ' ἓν ἐπιτιμᾶν, ἀλλὰ ἀποσχίσαι τὸν δῆμον τῶν ἀρχόντων, καὶ εἰς τὴν ἐκείνων ἐπιτρέψαι κεφαλὴν τὰ ἐγκλήματα.

Τοσοῦτον γάρ ἐστι τούτου τοῦ εἴδους τὸ κέρδος, ὡς τὸν Μωϋσέα καὶ μετὰ πλείονος αὐτὸ ποιῆσαι τῆς ὑπερβολῆς. Οὗτος μὲν γάρ, πάντων ὄντων ὑπευθύνων τοῖς ἐγκλήμασιν, ἐπὶ τοὺς ἄρχοντας τρέπει τὸν λόγον, ὁ δὲ Μωϋσῆς εὑρὼν τὸν δῆμον τότε μάλιστα ὄντα τὸν τὴν παρανομίαν ἐργασάμενον ἐκείνην, τὸν δὲ Ἀαρὼν οὐ τοσαύτης ὄντα κατη-

«Γι' αὐτὸ θὰ γευθοῦν τὰ δημιουργήματα τῶν ἔργων τους». Διότι τέτοια εἶναι ἡ κακία· ἔχει ἡ ἴδια τὴν τιμωρία μέσα της. Καὶ αὐτὸ ποὺ λέγει ἐδῶ σημαίνει τὸ ἑξῆς· θ' ἀπολαύσουν τοὺς καρπούς τους, ρίχνοντας μέσα σὲ περισσότερη καταστροφὴ τὸν ἑαυτό τους καὶ δημιουργώντας πολλοὺς γκρεμούς.

«'Αλλοίμονο στὸν παράνομο· διότι θὰ συμβοῦν σ' αὐτὸν φοβερὰ πράγματα, ἀνάλογα μὲ τὰ πονηρὰ ἔργα του». Βλέπεις ὅτι ἀπὸ ἐμᾶς τοὺς ἴδιους προέρχονται πάντοτε καὶ τὰ μέτρα καὶ οἱ ἀρχὲς τῆς τιμωρίας; Γι' αὐτὸ λοιπὸν πάλι ὁ προφήτης θρηνεῖ καὶ ὀδύρεται καὶ θλίβεται, διότι οἱ ἴδιοι οἱ 'Ιουδαῖοι ἐπιβούλευαν τοὺς ἑαυτούς τους καὶ κατέστρεφαν τὴ σωτηρία τους φοβερότερα ἀπὸ ὁποιονδήποτε ἐχθρό, πράγμα ἀπὸ τὸ ὁποῖο τί θὰ μποροῦσε νὰ ὑπάρξει ἀθλιότερο;

«Λαέ μου, οἱ ἄρχοντές σου σὰν εἰσπράκτορές σου σὲ καταληστεύουν». Αὐτὸ εἶναι τὸ γνώρισμα τοῦ ἄριστου δασκάλου, τὸ νὰ ποικίλλει τὸ λόγο καὶ ὄχι μόνο νὰ τὸν σκληρύνει, οὔτε νὰ τὸν κάνει εὐπρόσδεκτο, ἀλλὰ νὰ μεταχειρίζεται ἄλλοτε μὲν αὐτὸ τὸ εἶδος καὶ ἄλλοτε ἐκεῖνο, ὥστε νὰ προκύπτει ἀπὸ τὴν ἀνάμιξη αὐτὴ μεγάλη ὠφέλεια. Γι' αὐτὸ λοιπὸν καὶ ὁ προφήτης δὲν κατηγορεῖ μόνο, ἀλλὰ καὶ θρηνεῖ, πράγμα ποὺ εἶναι μὲν βαρύτερο ἀπὸ τὶς κατηγορίες, δημιουργεῖ ὅμως λιγότερο πόνο· καί τὸ ἀξιοθαύμαστο εἶναι αὐτό, ὅτι ἐνῶ εἶναι βαθύτερη ἡ τομή, ὅμως ὁ πόνος εἶναι πιὸ ὑποφερτὸς καὶ δὲν θρηνεῖ μόνο, ἀλλὰ καὶ θεραπεύει, καὶ χρησιμοποιεῖ ἄλλον πάλι θαυμαστὸ τρόπο διδασκαλίας. Ποιὸς λοιπὸν εἶναι αὐτός; Τὸ νὰ μὴ κατηγορεῖ ὅλους μαζί, ἀλλὰ νὰ ξεχωρίζει τὸ λαὸ ἀπὸ τοὺς ἄρχοντες καὶ νὰ ἐπιρρίπτει τὶς κατηγορίες στὸ κεφάλι ἐκείνων.

Πράγματι τόσο μεγάλο εἶναι τὸ κέρδος ἀπὸ αὐτὸ τὸ εἶδος τοῦ λόγου, ὥστε ὁ Μωυσῆς νὰ κάνει ὑπερβολικὴ χρήση αὐτοῦ. Διότι αὐτὸς μέν, ἐνῶ ὅλοι εἶναι ὑπεύθυνοι γιὰ τὶς κατηγορίες, στρέφει τὸ λόγο πρός τοὺς ἄρχοντες, ἐνῶ ὁ Μωυσῆς μολονότι βρῆκε τότε τὸν λαὸ ποὺ εἶχε διαπράξει πρὸ πάντων αὐτὸς τὴν παρανομία ἐκείνη, τὸν δὲ 'Ααρὼν νὰ μὴ εἶναι ἄξιος τόσο μεγά-

γορίας ἄξιον, ἀφεὶς τοὺς σφόδρα ὑπευθύνους, ἐπὶ τὸν οὐχ οὕτως ὑπεύθυνον τρέπει τὴν κατηγορίαν, τοῖς ἐγκλήμασι τοῖς κατ' ἐκείνου διδοὺς τῷ συνειδότι τούτων μείζονα ἑαυτῶν καταψηφίσασθαι τιμωρίαν· ὃ δὴ καὶ ἐγένετο. Οὐ γὰρ ἐδεήθη λοιπὸν λόγων πρὸς τὸν δῆμον ἑτέρων, ἀλλ' ἤρκεσε τὰ ψιλὰ ἐκεῖνα ῥήματα τὰ πρὸς τὸν Ἀαρὼν εἰρημένα χιλιάδας τοσαύτας, ὡς ἕνα ἄνθρωπον, καταστεῖλαι, καὶ ἀπὸ τοσαύτης θρασύτητος εἰς δειλίαν καὶ ἀγωνίαν κατενεγκεῖν τὴν ἐσχάτην. Ἃ δὴ προορῶν ὁ Μωϋσῆς, καταβὰς εὐθέως, τάς τε πλάκας ἔρριψε, καὶ πρὸς τὸν Ἀαρὼν ἔλεγε· «Τί ἐποίησέ σοι ὁ λαὸς οὗτος, ὅτι ἐποίησας αὐτὸν ἐπίχαρμα τοῖς ἐχθροῖς;».

6. Τοῦτο καὶ ὁ προφήτης οὗτος ποιεῖ, τὸν ἅγιον ἐκεῖνον μιμούμενος διπλῷ τῷ τρόπῳ. Οὐ γὰρ δὴ μόνον ἐνεκάλεσε τότε ὁ Μωϋσῆς, ἀλλὰ καὶ συναλγοῦντος προσωπεῖον λαβών, οὕτως ἐποιεῖτο τὴν κατηγορίαν ἐκείνην. Οὕτω καὶ οὗτος ἀμφότερα ἐμιμήσατο λέγων, «Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς». Καὶ γὰρ κατηγόρησεν ἐκείνων, καὶ ὡς συναλγῶν τῷ δήμῳ ταῦτα ἔλεγε. Πράκτορας δὲ ἐνταῦθα δοκεῖ μὲν τοὺς ἀπαιτοῦντας λέγειν, ἐγὼ δὲ οἶμαι τοὺς ἅρπαγας, τοὺς πλεονέκτας αὐτῶν αἰνίττεσθαι· εἰ δὲ μὴ τοῦτο, ἀλλὰ τοὺς φορολογοῦντας. Ὅρα αὐτοῦ κἀνταῦθα τὴν σύνεσιν. Οὐ γὰρ τὸ πρᾶγμα ἐκβάλλει, ἀλλὰ τὴν ἀμετρίαν. Οὐ γὰρ εἶπεν, 'ἀπαιτοῦσιν', ἀλλά, «Καλαμῶνται», τουτέστι, γυμνοῦσι τῶν ὄντων, ἀποστεροῦσι ἁπάντων προσχήματι τῆς ἀπαιτήσεως. Ταύτην δὲ εἴρηκε τὴν λέξιν ἀπὸ μεταφορᾶς τῶν καλαμώντων. Καλαμᾶσθαι γὰρ λέγεται τὸ μετὰ τὸν ἀμητὸν τοὺς ἐκπεσόντας ἐκ τῶν θεριζόντων ἀστάχυας ἀναλέγεσθαι, καὶ μηδὲν ὅλως ἐπὶ τῆς ἀρούρας ἀφιέναι, ὃ δὴ καὶ

---

31. Ἐξ. 32, 21· 25.

λης κατηγορίας, ἀφοῦ ἄφησε τοὺς πάρα πολὺ ὑπεύθυνους, στρέφει τὴν κατηγορία πρὸς ἐκεῖνον ποὺ δὲν ἦταν τόσο πολὺ ὑπεύθυνος, καὶ μὲ τὶς κατηγορίες ἐναντίον ἐκείνου δίνει τὴν δυνατότητα στὴ συνείδηση αὐτῶν νὰ ἐπιβάλουν ἐναντίον τοῦ ἑαυτοῦ τους μεγαλύτερη τιμωρία, πράγμα βέβαια ποὺ ἔγινε. Διότι δὲν χρειάσθηκε πλέον ἄλλους λόγους ν' ἀπευθύνει πρὸς τὸν λαό, ἀλλ' ὑπῆρξαν ἀρκετὰ τὰ ἁπλὰ ἐκεῖνα λόγια ποὺ λέχθηκαν πρὸς τὸν Ἀαρὼν νὰ καταπραΰνουν, σὰν ἕνα ἄνθρωπο, τότες πολλὲς χιλιάδες καὶ νὰ τοὺς ὁδηγήσουν ἀπὸ τὴν τόσο μεγάλη θασύτητα στὴν πιὸ μεγαλύτερη δειλία καὶ ἀγωνία. Αὐτὰ λοιπὸν προβλέποντας ὁ Μωϋσῆς, ἀφοῦ κατέβηκε ἀμέσως, καὶ τὶς πλάκες ἔρριξε κάτω καὶ πρὸς τὸν Ἀαρὼν ἔλεγε· «Τί σοῦ ἔκανε ὁ λαὸς αὐτός, ὥστε νὰ τὸν ὁδηγήσεις στὴ κατάσταση αὐτὴ ποὺ νὰ χαίρονται οἱ ἐχθροί του;»[31].

6. Αὐτὸ καὶ ὁ προφήτης αὐτὸς κάμνει, μιμούμενος τὸν ἅγιο ἐκεῖνο κατὰ διπλὸ τρόπο. Διότι βέβαια τότε ὄχι μόνο ὁ Μωϋσῆς τοὺς κατηγόρησε, ἀλλά, ἀφοῦ ἔλαβε μορφὴ ἀνθρώπου ποὺ ὑπέφερε γι' αὐτά, ἔτσι ἐξαπέλυσε τὴν κατηγορία ἐκείνη. Ἔτσι καὶ αὐτὸς μιμήθηκε καὶ τὰ δύο αὐτὰ λέγοντας, «Λαέ μου, οἱ ἄρχοντές σου σὰν εἰσπράκτορες σὲ καταληστεύουν». Διότι καὶ κατηγόρησε ἐκείνους, καὶ τὰ ἔλεγε αὐτὰ σὰν κάποιος ἀπὸ τὸ λαὸ ποὺ πονοῦσε ὑπερβολικὰ γι' αὐτά. Πράκτορες δὲ ἐδῶ φαίνεται μὲν ὅτι ὀνομάζει τοὺς εἰσπράκτορες εἰσφορῶν, ἐγὼ ὅμως νομίζω ὅτι ὑπονοεῖ τοὺς ἅρπαγες, τοὺς πλεονέκτες αὐτῶν, ἐὰν δὲ δὲν ἐννοεῖ αὐτούς, τότε ἐννοεῖ ἐκείνους ποὺ ἐπιβάλλουν τοὺς φόρους. Πρόσεχε καὶ ἐδῶ τὴ σύνεση αὐτοῦ. Διότι δὲν ἀπορρίπτει τὸ νόμο τῆς φορολογίας, ἀλλὰ τὴν ἔλλειψη μέτρου. Καθόσον δὲν εἶπε, 'ἀπαιτοῦν', ἀλλὰ «καλαμῶνται», δηλαδὴ τοὺς ἀπογυμνώνουν ἀπὸ τὰ ὑπάρχοντά τους, τοὺς ἀποστεροῦν ὅλα μὲ τὸ πρόσχημα τῆς ἀπαιτήσεως. Αὐτὴ δὲ τὴ λέξη τὴν εἶπε μὲ τὴ μεταφορικὴ ἔννοια τῶν καλαμώνων. Διότι 'καλαμᾶσθαι' λέγεται τὸ μάζεμα μετὰ τὸν θερισμὸ τῶν στάχυων ποὺ ἔπεσαν ἀπὸ τοὺς θεριστὲς καὶ τὸ νὰ μὴ μένει ἀπολύτως τίποτε στὸ χωράφι, πράγμα βέβαια ποὺ καὶ αὐτοὶ τότε ἔκαμναν,

τότε οὗτοι ἐποίουν, ὁλόκληρα τὰ ὄντα ἁρπάζοντες, καὶ γυμνοὺς ἀφιέντες αὐτούς.

«Καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν». Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ἐνταῦθα τῆς πλεονεξίας ἵσταντο, ἀλλὰ καὶ περαιτέρω προῆγον τὴν τυραννίδα, δούλους τοὺς ἐλευθέρους ποιοῦντες.

«Λαός μου, οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς». Ἐνταῦθά μοι τοὺς ψευδοπροφήτας αἰνίττεσθαι δοκεῖ, ἢ τοὺς πρὸς χάριν αὐτοῖς διαλεγομένους, ὃ τῆς ἐσχάτης διαφθορᾶς αἴτιον γίνεται πανταχοῦ. Τὴν γοῦν ἐκ τούτου βλάβην δηλῶν ἐπήγαγε, «Καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσι», τουτέστιν, οὐκ ἐῶσιν ὀρθὰ βαδίζειν, διαστρέφοντες, ἐκλύοντες, ῥαθυμοτέρους ποιοῦντες.

«Ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ· αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτῶν». Ἔτι τῷ αὐτῷ εἴδει ἐπιμένει τῆς διορθώσεως, ἀπὸ τοῦ δήμου πρὸς τοὺς γεγηρακότας καὶ τοὺς ἄρχοντας τρέπων τὴν ἐπιτίμησιν, καὶ φοβερώτερον μεταχειρίζων τὸν λόγον· αὐτὸν δὲ εἰσάγει τὸν Θεὸν δικαζόμενον καὶ καταδικάζοντα, καὶ ὑπὲρ τῶν εἰς τὸν δῆμον ἁμαρτημάτων ἐγκαλοῦντα τοῖς τὸν δῆμον ἀδικοῦσι. Διὸ καὶ ἔλεγεν· «Ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος». Ἐπειδὴ γὰρ εἰς ἐγκλήματα τὸν λόγον ἀνήλωσε, τοῖς δὲ ἀναισθήτως διακειμένοις τὸ μὲν ἐγκαλεῖσθαι οὐ σφόδρα βαρύ, τὸ δὲ κολάζεσθαι φοβερόν, φησίν, ὅτι οὐ μέχρι κατηγορίας τὰ πράγματα στήσεται, ἀλλὰ καὶ δίκη τοῖς ἁμαρτήμασιν ἕψεται, αὐτοῦ τοῦ μέλλοντος καταδικάζειν εὐθύνας λοιπὸν ἀπαιτοῦντος, καὶ κρινομένου πρὸς τοὺς πεπλημμεληκότας. Ὃ καὶ τὴν συγκατάβασιν τοῦ Θεοῦ πολλὴν δείκνυσιν, ἀνεχομένου δικάζεσθαι μετ' ἐκείνων, καὶ

ἁρπάζοντας ὅλα τὰ ὑπάρχοντά τους καὶ ἀφήνοντας αὐτοὺς γυμνούς.

«Καὶ ἐκεῖνοι ποὺ ἀπαιτοῦν εἰσφορὲς σᾶς καταδυναστεύουν». Καὶ τὸ φοβερότερο βέβαια εἶναι, ὅτι οὔτε ἐδῶ σταματοῦσαν τὴν πλεονεξία τους, ἀλλ' ἐπέκτειναν τὴν τυραννικὴ ἐξουσία τους καὶ ἀκόμα πιό πέρα, κάμνοντας δούλους τοὺς ἐλεύθερους.

«Λαέ μου, αὐτοὶ ποὺ σᾶς μακαρίζουν, σᾶς πλανοῦν». Ἐδῶ μοῦ φαίνεται ὑπαινίσσεται τοὺς ψευδοπροφῆτες, ἢ ἐκείνους ποὺ ὁμιλοῦν πρὸς αὐτοὺς πρὸς εὐχαρίστηση, πράγμα ποὺ γίνεται παντοῦ αἰτία τῆς χειρότερης μορφῆς διαφθορᾶς. Γιὰ νὰ δείξει λοιπὸν τὴ βλάβη ἀπ' αὐτὸ πρόσθεσε, «καὶ διαταράσσουν τὸ δρόμο τῆς ζωῆς σας», δηλαδὴ δὲν σᾶς ἀφήνουν νὰ βαδίζετε ὀρθά, σᾶς διαστρέφουν, σᾶς ἀποχαυνώνουν, σᾶς κάνουν πιὸ ἀδιάφορους.

«Ἀλλὰ τώρα ὁ Κύριος θὰ καθήσει γιὰ νὰ κρίνει καὶ θὰ στήσει μπροστά του τὸ λαό του γιὰ νὰ τὸν δικάσει· ὁ ἴδιος ὁ Κύριος θὰ ἔρθει γιὰ νὰ δικάσει τοὺς πρεσβυτέρους καὶ τοὺς ἄρχοντες τοῦ λαοῦ». Ἀκόμα ἐπιμένει στὸ ἴδιο εἶδος τῆς διορθώσεως, μεταφέροντας τὴν ἐπιτίμηση ἀπὸ τὸ λαὸ πρὸς τοὺς γέροντες καὶ τοὺς ἄρχοντες, καὶ καθιστώντας φοβερότερο τὸ λόγο. Παρουσιάζει τὸν ἴδιο τὸ Θεὸ νὰ δικάζει καὶ νὰ καταδικάζει καὶ νὰ κατηγορεῖ γιὰ τὰ σὲ βάρος τοῦ λαοῦ ἁμαρτήματα ἐκείνους ποὺ ἀδικοῦν τὸ λαό. Γι' αὐτὸ καὶ ἔλεγε· «Ἀλλὰ τώρα θὰ καθήσει ὁ Κύριος γιὰ νὰ κρίνει». Ἐπειδὴ δηλαδὴ κατανάλωσε τὸ λόγο σὲ κατηγορίες, οἱ δὲ κατηγορίες δὲν θεωροῦνται πάρα πολὺ βαρὺ πράγμα γιὰ ἐκείνους ποὺ ζοῦν ἀναίσθητα, ἐνῷ ἡ τιμωρία θεωρεῖται φοβερό, λέγει, ὅτι τὰ πράγματα δὲν θὰ περιορισθοῦν μόνο στὶς κατηγορίες, ἀλλὰ θὰ ἀκολουθήσει καὶ δίκη γιὰ τὰ ἁμαρτήματα, ζητώντας πλέον εὐθύνες ὁ ἴδιος ἐκεῖνος ποὺ πρόκειται νὰ ἐπιβάλει τὴν καταδίκη καὶ κρίνοντας ἐκείνους ποὺ διέπραξαν πλημμελήματα. Αὐτὸ καὶ τὴ συγκατάβαση τοῦ Θεοῦ παρουσιάζει μεγάλη, ἀφοῦ ἀνέχεται νὰ ἔρθει σὲ δίκη μὲ ἐκείνους, καὶ καθιστᾶ τὸ λόγο πιὸ ἱκανὸ γιὰ ἔλεγχο,

ἐντρεπτικὸν ποιεῖ τὸν λόγον, ὃ καὶ τοὺς νοῦν ἔχοντας εἰς μεγάλην ἀγωνίαν ἐμβαλεῖν εἴωθεν.

Οὐκ ἐκείνης δὲ ἕνεκεν τῆς αἰτίας, ἧς ἔμπροσθεν εἶπον, πρὸς τοὺς ἄρχοντας καὶ τοὺς γεγηρακότας τρέπει τὸν λόγον, ἀλλὰ καὶ διδάσκων ἅπαντας, ὅτι βαρύτεραι τῶν ἀρχομένων τοῖς ἄρχουσιν αἱ εὐθῦναι. Ὁ μὲν γὰρ ὑπὲρ ἑαυτοῦ μόνον, ὁ δὲ ὑπὲρ ἑαυτοῦ καὶ τοῦ δήμου, οὗ τὴν ἀρχὴν ἐγκεχειρισμένος τυγχάνει, παρέχει τὸν λόγον· καὶ οἱ πρεσβύτεροι δὲ οὐκ ἀπεικότως τοσαύτην ἀπαιτοῦνται τὴν ἀκρίβειαν. Ὅπερ γὰρ ἐκείνοις ἡ ἀρχή, τοῦτο τούτοις ἡ ἡλικία. Ἄξιος μὲν γὰρ καὶ ὁ νέος ἐπιτιμήσεως δεινὰ ἁμαρτάνων, ὁ δὲ τὴν ἀπὸ τῆς ἡλικίας ἀτέλειαν ἔχων, καὶ τοσούτοις παθῶν οὐ πολιορκούμενος κύμασιν, ἀλλὰ καὶ σωφρονεῖν εὐκολώτερον, καὶ τῶν ἄλλων ἀνέχεσθαι τῶν βιωτικῶν ῥᾷον δυνάμενος, καὶ πλείονα κεκτημένος σύνεσιν ἀπὸ τῆς τῶν πραγμάτων ἐμπειρίας, δικαίως ἂν μᾶλλον ἁπάντων καταδικάζοιτο, τὰ τῶν ἀκολάστων νέων ἐν γήρᾳ ἐπιδεικνύμενος.

«Ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμεπλῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν;». Πανταχοῦ τῷ Θεῷ πολλὴ τῶν ἀδικουμένων ἡ πρόνοια, καὶ τῶν εἰς αὐτὸν ἁμαρτημάτων οὐκ ἔλαττον, ἀλλ' ἔστιν ὅπου καὶ πλέον παροξύνεται ὑπὲρ τῶν εἰς τοὺς ὁμοδούλους πλημμελημάτων. Καὶ γὰρ τὸν μὲν πόρνην ἔχοντα γυναῖκα ἐκβάλλειν ἐπέτρεψε, τὸν δὲ Ἑλληνίδα οὐκέτι, καίτοι τὸ μὲν εἰς αὐτόν, τὸ δὲ εἰς ἄνθρωπον τὸ ἁμάρτημα. Καὶ τῆς θυσίας προκειμένης, καταλιμπάνειν τὸ δῶρον ἐκέλευσε, καὶ μὴ πρότερον αὐτὸ προσάγειν, ἕως ἂν τὰ πρὸς τὸν ἀδελφὸν εὖ διαθῆναι ὁ τὸν πλησίον

32. Ματθ. 5, 32. 33. Α' Κορ. 7, 12.

πράγμα πού συνήθως δδηγεῖ σὲ μεγάλη ἀγωνία τοὺς συνετοὺς ἀνθρώπους.

Καὶ δὲν στρέφει τὸ λόγο πρὸς τοὺς ἄρχοντες καὶ τοὺς γέροντες γιὰ τὸ λόγο ἐκεῖνο πού ἀνέφερα προηγουμένως, ἀλλὰ καὶ γιὰ νὰ διδάξει ὅλους, ὅτι οἱ εὐθύνες εἶναι βαρύτερες γιὰ τοὺς ἄρχοντες ἀπὸ ὅ,τι γιὰ τοὺς ἀρχομένους. Διότι ὁ μὲν ἀρχόμενος δίνει λόγο μόνο γιὰ τὸν ἑαυτό του, ἐνῶ ο ἄρχοντας εἶναι ὑπεύθυνος γιὰ τὸν ἑαυτό του καὶ γιὰ τὸ λαό, τὸν ὁποῖο συμβαίνει νὰ ἔχει ὑπὸ τὴν ἐξουσία του. Καὶ ἀπὸ τοὺς πρεσβυτέρους δὲ ἀπαιτοῦνται ὄχι ἀδικαιολόγητα τόσες μεγάλες εὐθύνες. Διότι ἐκεῖνο ἀκριβῶς πού εἶναι γιὰ ἐκείνους ἡ ἐξουσία, αὐτὸ εἶναι γι' αὐτοὺς ἡ ἡλικία. Καὶ εἶναι βέβαια καὶ ὁ νέος ἄξιος ἐπιτιμήσεως διαπράττοντας φοβερὰ ἁμαρτήματα, ἐκεῖνος ὅμως πού εἶναι ἀπαλλαγμένος λόγω τῆς ἡλικίας του ἀπὸ ὅλα τὰ τῆς νεανικῆς ἡλικίας καὶ δὲν δέχεται τὴν πολιορκία τῶν τόσων μεγάλων κυμάτων τῶν παθῶν, ἀλλὰ καὶ μπορεῖ νὰ δείχνει εὐκολότερα σωφροσύνη, νὰ ἐξουσιάζει εὐκολότερα τὰ ἄλλα βιωτικὰ καὶ νὰ ἔχει ἐξ αἰτίας τῆς πείρας τῶν πραγμάτων περισσότερη σύνεση, δίκαια θὰ ἔπρεπε νὰ τύχει μεγαλύτερης καταδίκης ἀπό ὅλους, παρουσιάζοντας στὰ γηράματά του τὰ ἁμαρτήματα τῶν ἀκολάστων νέων.

«Σεῖς δὲ γιατί παραδώσατε στὴ φωτιὰ τὸν ἀμπελώνα μου καὶ βρίσκονται στὶς οἰκίες σας τὰ ὑπάρχοντα τοῦ φτωχοῦ πού τοῦ τὰ ἁρπάξατε;». Παντοῦ ὁ Θεὸς δείχνει μεγάλη πρόνοια γιὰ τοὺς ἀδικουμένους, καὶ δὲν ὀργίζεται λιγότερο γιὰ τὰ ἁμαρτήματα πού γίνονται πρὸς αὐτούς, ἀλλ' ὑπάρχουν περιπτώσεις πού ὀργίζεται καὶ περισσότερο γιὰ τὰ πλημμελήματα σὲ βάρος τῶν συνανθρώπων μας. Καθόσον ἐκεῖνον πού ἔχει πόρνη γυναίκα ἐπέτρεψε νὰ τῆς δίνει διαζύγιο[32], μὲ κανένα τρόπο ὅμως ἐκεῖνον πού ἔχει γυναίκα εἰδωλολάτρισσα[33], ἂν καὶ βέβαια τὸ μὲν ἕνα ἁμάρτημα γίνεται πρὸς αὐτόν, τὸ δὲ ἄλλο πρὸς τὸν ἄνθρωπο. Καὶ τὴ στιγμὴ πού προσφέρεται ἡ θυσία, ἔδωσε ἐντολὴ νὰ ἐγκαταλείπει τὸ δῶρο ἐκεῖνος πού ἔχει λυπήσει τὸν πλησίον του καὶ νὰ μὴ προσφέρει αὐτὸ προηγουμένως μέχρις ὅτου τα-

λελυπηκώς. Καὶ ἡνίκα τὸν τὰ μύρια τάλαντα κατεδηδοκότα ἔκρινεν, ὑπὲρ μὲν τῶν εἰς αὐτὸν ἐγκαλῶν ἁμαρτημάτων, οὔτε πονηρὸν ἐκάλεσεν, ἀλλὰ καὶ κατηλλάγη ταχέως, καὶ τὸ δάνειον ἅπαν ἀφῆκεν, ὑπὲρ δὲ τῶν ἑκατὸν δηναρίων, καὶ πονηρὸν δοῦλον καλεῖ, καὶ τοῖς βασανισταῖς παραδίδωσι, καὶ οὐ πρότερον ἔφησεν ἀνήσειν, ἕως ἅπαν ἀποδῷ τὸ χρέος.

7. Καὶ ἡνίκα μὲν αὐτὸς ἐρραπίζετο ὁ Χριστός, οὐδὲν τὸν δοῦλον εἰργάσατο τὸν τὴν πληγὴν ἐπαγαγόντα, ἀλλὰ καὶ πράως ἐπεκρίνατο λέγων· «Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ, εἰ δὲ καλῶς, τί με δέρεις;». Ὅτε δὲ ὁ Ἱεροβοὰμ τὴν χεῖρα ἐκτείνας ἐπιλαβέσθαι τοῦ προφήτου τοῦ τότε ἐλέγξαντος αὐτὸν ἐπεχείρησε, ξηρὰν τὴν χεῖρα εἰργάσατο, παιδεύων καὶ σὲ τὰ μὲν ἑαυτοῦ πράως φέρειν, τὰ δὲ εἰς τὸν Δεσπότην μετὰ πολλῆς ἐκδικεῖν τῆς σφοδρότητος. Διὰ τοῦτο καὶ νομοθετῶν, εἰ καὶ δευτέραν ἔφησεν τὴν εἰς τὸν πλησίον ἀγάπην εἶναι, ἀλλ' ὁμοίαν τῇ προτέρᾳ· καὶ ὥσπερ ἐκείνην μετὰ πάσης ἀπαιτεῖ τῆς ὑπερβολῆς, οὕτω καὶ ταύτην. Ἐπ' ἐκείνου μὲν γάρ φησιν, «Ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου», ἐπὶ δὲ ταύτης, «Ὡς ἑαυτόν». Καὶ ἑτέρωθεν μὲν πολλαχόθεν ἴδοι τις ἄν, ὅσην ἀκρίβειαν ὑπὲρ τῶν πρὸς ἀλλήλους ἡμᾶς ἀπαιτεῖ δικαίων ὁ Θεός.

Ὅρα γοῦν αὐτὸν καὶ ἐνταῦθα σφοδρῶς ἐπικείμενον καὶ αὔξοντα τὴν κατηγορίαν βαρυτάτοις ῥήμασιν· «Ὑμεῖς δέ», φησί, «τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου;». Ὥσπερ ἂν εἰργάσαντο πολέμιοι βάρβαροί τινες ἀπηνεῖς, ταῦτα ὑμεῖς· τοὺς οἰκείους διεθήκατε. Ἀμπελῶνα δὲ καλεῖ τὸν λαόν, διὰ τὴν

---

34. Ματθ. 5, 23-24.
35. Ἰω. 18, 23.
36. Γ' Βασ. 13, 1 ἑ.
37. Ματθ. 12, 37-39.
38. Πρβλ. Ἠσ. 5, 1 ἑ.

κτοποιήσει τὴ διαφορά του μὲ τὸν ἀδελφό του[34]. Καὶ ὅταν ἔκρινε ἐκεῖνον ποὺ εἶχε καταφάγει τὰ μύρια τάλαντα, κατηγορώντας τον μὲν γιὰ τὰ ἁμαρτήματά του σὲ βάρος αὐτοῦ, οὔτε πονηρὸ τὸν ὀνόμασε, ἀλλὰ καὶ συμφιλιώθηκε ἀμέσως καὶ ὁλόκληρο τὸ δάνειο τοῦ τὸ χάρισε, γιὰ τὰ ἑκατὸ ὅμως δηνάρια καὶ πονηρὸ δοῦλο τὸν ὀνομάζει καὶ στὰ βασανιστήρια τὸν παραδίνει καὶ ἔδωσε ἐντολὴ νὰ μὴ τὸν ἀφήσουν προηγουμένως, προτοῦ ἐξοφλίσει ὁλόκληρο τὸ χρέος του.

7. Καὶ ὅταν μὲν ὁ ἴδιος ὁ Χριστὸς ραπιζόταν, δὲν ἔκανε τίποτε στὸν δοῦλο ποὺ τοῦ ἔδωσε τὸ πλῆγμα, ἀλλὰ καὶ ἀποκρίθηκε μὲ τρόπο, λέγοντας· «Ἐὰν μὲν μίλησα κακῶς, μαρτύρησε γιὰ τὸ κακό, ἐὰν δὲ καλῶς γιατί μὲ χτυπᾶς;»[35]. Ὅταν δὲ ὁ Ἱεροβοὰμ ἁπλώνοντας τὸ χέρι του προσπάθησε νὰ συλλάβει τὸν προφήτη ποὺ τότε ἔλεγξε αὐτόν, ξήρανε τὸ χέρι του[36], διδάσκοντας καὶ σένα τὰ ὅσα μὲν γίνονται σὲ βάρος σου νὰ τὰ ὑπομένεις μὲ πραότητα, ἐνῶ τὰ ὅσα γίνονται σὲ βάρος τοῦ Κυρίου νὰ τὰ ἐπιτιμᾶς καὶ νὰ τὰ τιμωρεῖς μὲ μεγάλη αὐστηρότητα. Γι' αὐτὸ καὶ νομοθετώντας, ἂν καὶ χαρακτήρισε δεύτερη τὴν ἐντολὴ τῆς ἀγάπης πρὸς τὸν πλησίον, ἀλλ' ὅμως ὅμοια μὲ τὴν πρώτη· καὶ ὅπως ἀκριβῶς ἐκείνην τὴν ἀπαιτεῖ σὲ ὑπερβολικὸ βαθμό, ἔτσι καὶ αὐτήν. Διότι γιὰ τὴν ἀγάπη πρὸς ἐκεῖνον λέγει, «Μὲ ὅλη τὴν καρδιά σου καὶ ὅλη τὴν ψυχή σου», ἐνῶ γιὰ τὴν ἀγάπη πρὸς τὸν πλησίον εἶπε, «Ὅπως τὸν ἑαυτό σου»[37]. Καὶ ἀπὸ πολλὲς δὲ ἄλλες περιπτώσεις θὰ μποροῦσε κανεὶς νὰ διαπιστώσει πόση αὐστηρότητα ἀπαιτεῖ ὁ Θεὸς γιὰ τὴν διασφάλιση μεταξύ μας τῆς δικαιοσύνης.

Πρόσεχε λοιπὸν αὐτὸν καὶ ἐδῶ ποὺ κάμνει μὲ σφοδρότητα τὴν ἐπίθεση καὶ ποὺ αὐξάνει τὴν κατηγορία μὲ βαρύτατα λόγια· «Σεῖς δέ», λέγει, «γιατί βάλατε φωτιὰ στὸν ἀμπελώνα μου;». Ἐκεῖ νὰ ἀκριβῶς ποὺ θὰ μποροῦσαν νὰ πράξουν κάποιοι βαρβαροι καὶ σκληροὶ ἐχθροί, αὐτὰ σεῖς προξενήσατε πρὸς τοὺς δικούς σας. Ἀμπελώνα δὲ ὀνομάζει τὸ λαό[38], ἐξ αἰτίας τῆς μεγάλης πρὸς αὐτὸν φροντίδας καὶ τοῦ οὐράνιου ἐνδιαφέροντός

πολλὴν περὶ αὐτὸν σπουδὴν καὶ τὴν ἄνωθεν ἐπιμέλειαν. Καὶ αὔξων τὸ ἔγκλημα, οὐκ εἶπε, τί τοὺς ὁμοδούλους, τοὺς πλησίον, τοὺς ἀδεφλούς ἀλλά, τὰ ἐμά, φησίν, ἀπωλέσατε, τὰ ἐμὰ διεφθείρατε; Εἶτα δηλῶν τοῦ ἐμπρησμοῦ τὸ εἶδος, φησίν· «Ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν». Οὐ γὰρ οὕτω λυμαίνεσθαι τὰς ἀμπέλους εἴωθε χάλαζα, ὡς ἡ ἀδικία τοῦ πτωχοῦ καὶ πένητος ἐμπιπρᾶν πέφυκε τὴν ψυχήν, θανάτου παντὸς χαλεπωτέρᾳ κατατείνουσα αὐτὴν ἀθυμίᾳ. Πανταχοῦ μὲν οὖν τὸ ἁρπάζειν κακόν, μάλιστα δὲ ὅταν ὁ ἐπηρεαζόμενος ἐν ἐσχάτῃ πτωχείᾳ ᾖ. Οὐκ ἐπιτιμᾷ δὲ τοῦτο μόνον λέγων, ἀλλὰ καὶ διορθοῦται, πρὸς τὴν θεωρίαν αὐτοὺς παραπέμπων τῆς ἁρπαγῆς. Ἱκανὴ μὲν γὰρ μετὰ τὴν ῥῆσιν αὐτὴν ἡ ὄψις πρὸ τῶν ὀφθαλμῶν κειμένη κατανύξαι τὸν μὴ σφόδρα ἀναισθήτως διακείμενον.

«Τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου;». Τῷ αὐτῷ πάλιν ἐπέμεινε τρόπῳ, ὥσπερ ἐκεῖ, «Τὸν ἀμπελῶνά μου», οὕτω καὶ ἐνταῦθα, «Τὸν λαόν μου», λέγων. «Καὶ τὰ πρόσωπα τῶν ταπεινῶν καταισχύνετε;», οὓς ὀρθοῦν ἔδει, τούτους ὠθοῦντες, οὓς ἀνιστᾶν, τούτους καταρρηγνύντες. Μετὰ γὰρ τῆς ἁρπαγῆς, καὶ διέπτυον τοὺς εὐτελεστέρους, καὶ ἀνδραπόδων χαλεπώτερον αὐτοῖς ἐκέχρηντο, πρὸς τῇ πλεονεξίᾳ καὶ τὴν ἀλαζονείαν ἐπιτείνοντες, καὶ ἀπὸ τῆς ἀδικίας τοῦ πλούτου τούτου πολλὴν τὴν ἀπόνοιαν κτώμενοι. Συνέζευκται γὰρ τῇ πλεονεξίᾳ τὸ τῆς ὑπερηφανίας νόσημα, καὶ ὅσῳ ἂν τις ἐπιτείνῃ τὸν πλοῦτον, τοσοῦτον καὶ τὸ νόσημα τοῦτο ἐπιτρίβει.

«Τοῦτό φησι Κύριος, Κύριος, Κύριος στρατιῶν». Τί δέ ἐστι, «Στρατιῶν»; Τῶν ἀγγέλων λέγει, τῶν ἀρχαγγέλων, τῶν ἄνω δυνάμεων, ἀπὸ τῆς γῆς ἐπὶ τὸν οὐρανὸν τὸν ἀκρο-

---

39. Ὁ στίχος αὐτὸς λείπει ἀπὸ τὸ κείμενο τῶν Ο΄.

του. Καὶ αὐξάνοντας τὴν κατηγορία δὲν εἶπε, γιατί διαφθείρατε τοὺς συνανθρώπους σας, τοὺς πλησίον σας, τοὺς ἀδελφούς σας, ἀλλά, λέγει, γιατί καταστρέψατε τὰ δικά μου, γιατί διαφθείρατε τὰ δικά μου. Ἔπειτα δείχνοντας τὸ εἶδος τοῦ ἐμπρησμοῦ, λέγει· «Στὰ σπίτια σας βρίσκονται τὰ ἁρπαχθέντα ὑπάρχοντα τοῦ φτωχοῦ». Διότι συνήθως δὲν καταστρέφει τὰ ἀμπέλια τόσο πολὺ τὸ χαλάζι, ὅσο φυσικὸ εἶναι νὰ κατακαίει τὴν ψυχὴ τοῦ φτωχοῦ καὶ τοῦ δυστυχισμένου ἡ ἀδικία, καταβασανίζοντας αὐτὴν μὲ χειρότερη ἀπὸ ὁποιοδήποτε θάνατο στενοχώρια. Παντοῦ βέβαια καὶ πάντοτε τὸ ἅρπαγμα τῶν ξένων ὑπαρχόντων εἶναι κακὸ πράγμα, πρὸ πάντων ὅμως ὅταν ἐκεῖνος ποὺ βλάπτεται βρίσκεται μέσα στὴ χειρότερη φτώχεια. Καὶ λέγοντας αὐτὸ δὲν τοὺς κατηγορεῖ μόνο, ἀλλὰ καὶ τοὺς διορθώνει, προτρέποντάς τους νὰ στρέφουν τὰ βλέμματά τους πρὸς τὴν ἁρπαγή τους. Διότι μετὰ τὰ λόγια αὐτὰ εἶναι ἱκανὸ τὸ θέαμα ποὺ βρίσκεται μπροστὰ στὰ μάτια νὰ συγκινήσει ἐκεῖνον ποὺ δὲν εἶναι ὑπερβολικὰ ἀναίσθητος.

«Γιατί σεῖς ἀδικεῖτε τὸ λαό μου;». Συνέχισε καὶ πάλι τὸ λόγο του μὲ τὸν ἴδιο τρόπο, λέγοντας ὅπως ἀκριβῶς ἐκεῖ, «Τὸν ἀμπελώνα μου», ἔτσι καὶ ἐδῶ, «Τὸ λαό μου». «Καὶ καταντροπιάζετε τὰ πρόσωπα τῶν φτωχῶν;», σπρώχνοντας γιὰ νὰ πέσουν ἐκείνους ποὺ ἔπρεπε νὰ ἀνορθώνετε καὶ καταγκρεμίζοντας ἐκείνους ποὺ ἔπρεπε νὰ τοὺς σηκώνετε ἀπὸ τὴν πτώση τους. Μαζὶ δηλαδὴ μὲ τὴν ἁρπαγὴ τῶν ὑπαρχόντων τους καὶ περιφρονοῦσαν τοὺς φτωχότερους καὶ τοὺς μεταχειρίζονταν χειρότερα καὶ ἀπὸ δούλους, ἐκδηλώνοντας μαζὶ μὲ τὴν πλεονεξία τους καὶ τὴν ἀλαζονεία τους, καὶ ἀποκομίζοντας ἀπὸ τὸν ἄδικο αὐτὸ πλοῦτο μεγάλη ὑπερηφάνεια. Διότι εἶναι στενὰ συνδεδεμένο μὲ τὴν πλεονεξία τὸ νόσημα τῆς ὑπερηφάνειας, καὶ ὅσο περισσότερο συμβεῖ ν' αὐξήσει κανεὶς τὸν πλοῦτο, τόσο περισσότερο ἐρεθίζει τὸ νόσημα αὐτό.

«Αὐτὸ λέγει ὁ Κύριος, Κύριος, Κύριος τῶν στρατιῶν»[39]. Τί σημαίνει δέ, «Τῶν στρατιῶν»; Τῶν ἀγγέλων, λέγει, τῶν ἀρχαγγέλων, τῶν οὐράνιων δυνάμεων, μεταφέροντας τὸν ἀκροατὴ ἀ-

ατὴν ἀνάγων, εἰς ἔννοιαν τῆς μεγάλης αὐτοῦ βασιλείας αὐτὸν ἐμβάλλων, ἵνα, τούτῳ γοῦν καταπλήξας, σωφρονέστερον ἐργάσηται, καὶ δείξῃ τὴν τοσαύτην ἀνοχὴν οὐκ ἀσθενείας, ἀλλὰ μακροθυμίας οὖσαν.

«Τάδε λέγει Κύριος. Ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιών, καὶ ἐξεπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν σύρουσαι ἅμα τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι. Καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιών, καὶ Κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τὸν κόσμον αὐτῶν, καὶ τὰ ἐμπλόκια, καὶ τοὺς κορύμβους, καὶ τοὺς μηνίσκους, καὶ τὸ κάθεμα, καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν, καὶ τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης, καὶ τοὺς χλιδῶνας, καὶ τὰ ψέλλια, καὶ τὸ ἐμπλόκιον, καὶ τοὺς δακτυλίους, καὶ τὰ περιδέρια, καὶ τὰ ἐνώτια, καὶ τὰ περιπόρφυρα, καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ Λακωνικά, καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ τὰ κόκκινα, καὶ τὴν βύσσον σὺν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένην, καὶ θέριστρα κατάληπτα τοῦ χρυσίου. Καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου, καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου περιζώσῃ σάκκον. Ταῦτά σοι ἀντὶ καλλωπισμοῦ. Καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται, καὶ ταπεινωθήσονται. Καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ μόνη, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ».

πὸ τὴ γῆ στὸν οὐρανό, καὶ ὁδηγώντας τον στὴ σκέψη τῆς μεγάλης αὐτοῦ βασιλείας, ὥστε, ἀφοῦ λοιπὸν τὸν καταπλήξει μὲ αὐτό, νὰ τὸν κάνει σωφρονέστερο, καὶ νὰ δείξει τὴν τόσο μεγάλη ἀνοχὴ ὅτι εἶναι δεῖγμα ὄχι ἀδυναμίας, ἀλλὰ μακροθυμίας.

«Αὐτὰ λέγει ὁ Κύριος. Ἐπειδὴ ὑπεριφανεύθηκαν οἱ γυναῖκες τῆς Σιὼν καὶ βάδισαν μὲ τὸν τράχηλο ψηλὰ καὶ μὲ νεύματα τῶν ὀφθαλμῶν τους, καὶ σέρνοντας τοὺς χιτῶνες τους κατὰ τὸ βάδισμα καὶ περιπαίζοντας συγχρόνως καὶ μὲ τὰ πόδια τους. Καὶ θὰ ταπεινώσει ὁ Θεὸς τὶς ἀριστοκράτισσες γυναῖκες τῆς Σιών, καὶ ὁ Κύριος θ' ἀποκαλύψει τὴν ἀσχημοσύνη αὐτῶν κατὰ τὴν ἡμέρα ἐκείνη. Καὶ θ' ἀφαιρέσει ὁ Κύριος τὴ λαμπρότητα τῶν ἐνδυμάτων αὐτῶν, καὶ τὰ στολίδια αὐτῶν, καὶ τὶς πλεξίδες τῶν μαλλιῶν τους καὶ τὰ στολίδια τῆς κεφαλῆς τους, καὶ τὸν κεφαλόδεσμο, καὶ τὰ περιδέραια καὶ ὅλα τὰ φκιασίδια τοῦ προσώπου τους, καὶ τὸ σύνολο ἐκεῖνο τῶν κοσμημάτων ποὺ τὶς χαρίζουν τὴ λαμπρότητα, καὶ τὰ χρυσὰ κοσμήματα γύρω ἀπὸ τοὺς βραχίονες καὶ τὰ βραχιόλια καὶ τὸ χρυσὸ κόσμημα γύρω ἀπὸ τὴν κεφαλή, καὶ τὰ δαχτυλίδια, καὶ τὰ κοσμήματα τοῦ δεξιοῦ βραχίονα, καὶ τὰ σκουλαρίκια, καὶ τὰ ἐνδύματα μὲ τὰ πορφυρὰ γύρω τους στολίδια, ποὺ φοροῦνται σὰν ἐξώρουχα καὶ σὰν ἐσώρουχα, καὶ τὰ προερχόμενα ἀπὸ τὴ Λακωνία διαφανὴ ἐνδύματα, καὶ τὰ κατακόκκινα, τὰ κατασκευσμένα ἀπὸ βύσσο καὶ ὑάκινθο, καὶ τὰ ὑφασμένα ἀπὸ βύσσο μαζὶ μὲ χρυσὸ καὶ ὑάκινθο, καὶ τὰ κατάχρυσα θερινὰ καλύμματα τῆς κεφαλῆς. Καὶ θὰ συμβεῖ τότε νὰ φέρεις ἐπάνω σου ἀντὶ τῆς εὐχάριστης ὀσμῆς, κονιορτό, καὶ θὰ φορέσεις ἀντὶ γιὰ ζώνη, σχοινί, καὶ ἀντὶ τῶν στολιδιῶν τῆς κεφαλῆς σου, θὰ ἔχεις αὐτὴν ἐξ αἰτίας τῶν ἔργων σου ἀπογυμνωμένη, καὶ θὰ ζωσθεῖς, ἀντὶ τοῦ χιτώνα σου τοῦ ὑφασμένου ἀπὸ πορφύρα, σάκκο. Αὐτὰ θὰ ἔχεις ἀντὶ γιὰ καλλωπισμό. Καὶ ὁ καλύτερος υἱός σου, ποὺ τὸν ἀγαπᾶς, θὰ φονευθεῖ ἀπὸ μαχαίρι καὶ οἱ ἄρχοντές σας θὰ φονευθοῦν ἀπὸ μαχαίρι καὶ θὰ ταπεινωθοῦν. Καὶ θὰ πενθήσουν οἱ θῆκες τῶν στολιδιῶν σου καὶ θ' ἀπομείνεις μόνη καὶ θὰ κατεδαφισθεῖς».

8. Ξένον τοῦτο ὁ προφήτης αὐτὸς πεποίηκε, μακρὸν πρὸς τὰς γυναῖκας ἀποτείνας λόγον, ὅπερ οὐδαμοῦ τῶν Γραφῶν ὁρῶμεν γεγενημένον οὕτω. Τί οὖν τὸ αἴτιον τοῦ ξένου; Ἐμοὶ δοκεῖ πολλὴν τότε τὴν βλακείαν τῶν γυναικῶν γεγενῆσθαι, καὶ τὸ πλέον εἰς τὴν τῶν ἀνδρῶν κακίαν εἰσφέρειν μέρος αὐτάς. Διὸ δὴ καὶ ἰδιαζόντως πρὸς αὐτὰς ἀποτείνεται, τὰ χαλεπώτερα αὐταῖς ἐγκαλῶν ἐκλήματα, καὶ εἰς ἀρχὴν ἀνάγει τὸν λόγον, ἐκ προσώπου τοῦ Θεοῦ πάλιν φθεγγόμενος.

«Τάδε λέγει Κύριος· ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιών, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ». Τὸ κεφάλαιον τῶν κακῶν αὐταῖς ἐγκαλεῖ, ἀπόνοιαν καὶ ἀλαζονείαν. Τοῦτο γὰρ πανταχοῦ μὲν χαλεπόν, μάλιστα δὲ ἐπὶ τῆς γυναικείας τικτόμενον φύσεως. Φρονήματος γὰρ ἐμπλησθεῖσα γυνή, ἅτε κουφοτέρα καὶ ἀλογωτέρα οὖσα, εὐκόλως περιτρέπεται, καὶ βαπτίζεται, καὶ ναυάγιον ὑπομένει παντὸς πονηροῦ πνεύματος, τοῦ τύφου καὶ τῆς ἀλαζονείας αὐτὴν βαπτιζούσης. Δοκεῖ δὲ πρὸς τὰς ἐν Ἱεροσολύμοις ἀποτείνεσθαι· διὸ καὶ θυγατέρας Σιὼν ἐκάλεσε.

«Καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ». Ἐνταῦθα αὐτὰς καὶ κωμῳδεῖ, καὶ τὸ γυναικεῖον δείκνυσι φρόνημα, οὐδὲ ἐν διανοίαις τε γενέσθαι δυνάμενον, ἀλλ' ἐκρηγνύμενον, καὶ διὰ τῶν τοῦ σώματος ἐπιδεικνύμενον κινήσεων. Οὐκ εἰς ἀπόνοιαν δὲ μόνον, ἀλλὰ καὶ εἰς ἀσέλγειαν αὐτὰς διαβάλλει, τοῦτο λέγων καὶ δηλῶν ἐκ τῶν ἑξῆς. Ἐπήγαγεν οὖν· «Καὶ νεύμασιν ὀφθαλμῶν», ὅ τῶν ἑταιριζομένων ἐστὶ γυναικῶν, διαστρέφειν τὰς κόρας, καὶ τὴν πολλὴν βλακείαν καὶ τὸν μαλακισμὸν ἐντεῦθεν ἐμφαίνειν· τοῦ δὲ θρύπτεσθαι καὶ μαλακίζεσθαι οὐδὲν οὕτω σημεῖόν ἐστιν, ὡς τοῦτο.

«Καὶ τῇ πορείᾳ τῶν ποδῶν σύρουσαι ἅμα τοὺς χιτῶνας». Οὐ μικρὸν τοῦτο ἔγκλημα, κἂν μικρὸν εἶναι δοκῇ,

8. Εἶναι πολὺ παράξενο αὐτὸ ποὺ ἔκανε αὐτὸς ὁ προφήτης ἀπευθύνοντας μακρὺ λόγο πρὸς τὶς γυναῖκες, πράγμα ποὺ δὲν βλέπομε σὲ κανένα ἄλλο μέρος τῶν Γραφῶν νὰ γίνεται κατ' αὐτὸ τὸν τρόπο. Ποιὰ λοιπὸν εἶναι ἡ αἰτία τοῦ παράξενου αὐτοῦ; Ἡ γνώμη μου εἶναι ὅτι ὑπῆρξε τότε πολὺ μεγάλη ἡ μωρία τῶν γυναικῶν καὶ ὅτι αὐτὲς συντέλεσαν γιὰ τὸ μεγαλύτερο μέρος τῆς κακίας τῶν ἀνδρῶν. Γι' αὐτὸ λοιπὸν καὶ ξεχωριστὰ ἀπευθύνεται πρὸς αὐτές, κατηγορώντας αὐτὲς γιὰ πάρα πολὺ βαριὰ ἐγκλήματα, καὶ παρουσιάζει τὸ λόγο σὰν ἀπὸ τὴν ἀρχή, μιλώντας καὶ πάλι ἐξ ὀνόματος τοῦ Θεοῦ.

«Αὐτὰ λέγει ὁ Κύριος· ἐπειδὴ ὑπερηφανεύθηκαν οἱ γυναῖκες τῆς Σιὼν καὶ βάδισαν μὲ τὸν τράχηλο ψηλά». Τὶς κατηγορεῖ γιὰ τὸ σπουδαιότερο ἀπὸ τὰ κακά, τὴν παραφροσύνη καὶ τὴν ἀλαζονεία. Αὐτὸ βέβαια παντοῦ μὲν εἶναι φοβερό, πρὸ πάντων ὅμως ὅταν γεννιέται μέσα στὴ γυναικεία φύση. Διότι ὅταν ἡ γυναίκα κυριευθεῖ ἀπὸ ἀλαζονεία, ἐπειδὴ εἶναι πιὸ ἐλαφρόμυαλη καὶ ἀπερίσκεπτη, εὔκολα παρεκτρέπεται καὶ καταποντίζεται, καὶ ὑπομένει ναυάγιο ἀπὸ ὁποιοδήποτε πονηρὸ πνεῦμα, καταποντιζόμενη ἀπὸ τὴν ὑπερηφάνεια καὶ τὴν ἀλαζονεία. Φαίνεται δὲ ὅτι ἀπευθύνεται πρὸς τὶς γυναῖκες τῶν Ἱεροσολύμων, γι' αὐτὸ δὲ καὶ τὶς ὀνόμασε θυγατέρες τῆς Σιών.

«Καὶ βάδισαν μὲ τὸν τράχηλο ψηλά». Ἐδῶ καὶ διακωμωδεῖ αὐτὲς καὶ παρουσιάζει τὴ γυναικεία ἀλαζονεία, ποὺ δὲν μπορεῖ νὰ συγκρατηθεῖ μέσα στὴ σκέψη, ἀλλ' ἐκρήγνυται καὶ ἐκδηλώνεται μὲ τὶς κινήσεις τοῦ σώματος. Καὶ δὲν τὶς κατηγορεῖ μόνο γιὰ ἀλαζονεία, ἀλλὰ καὶ γιὰ ἀσέλγεια, λέγοντας αὐτὸ καὶ δηλώνοντας μὲ τὰ ἑξῆς· διότι πρόσθεσε· «Καὶ μὲ νεύματα τῶν ὀφθαλμῶν», πράγμα ποὺ εἶναι γνώρισμα τῶν πορνῶν γυναικῶν, τὸ νὰ περιστρέφουν τὶς κόρες τῶν ὀφθαλμῶν καὶ μὲ τὸν τρόπο αὐτὸ νὰ ἐκδηλώνουν τὴ μεγάλη ἀνοησία τους καὶ τὴ μαλθακότητά τους· τῆς δὲ ἀποχαύνωσης καὶ τῆς μαλθακότητας τίποτε ἄλλο δὲν ὑπάρχει τόσο μεγάλη ἀπόδειξη, ὅσο αὐτό.

«Καὶ βαδίζοντας σύρουν πίσω τους καὶ τοὺς χιτῶνες». Δὲν εἶναι μόνο μικρὸ ἔγκλημα, καὶ ἂν ἀκόμα φαίνεται μικρό, ἀλλὰ

ἀλλ' ἐξωλείας τῆς ἐσχάτης ἔλεγχος, καὶ τοῦ μαλακίζεσθαι, καὶ κατακλᾶσθαι, καὶ διαλύεσθαι, τὸ τοὺς χιτῶνας σύρειν. Τοῦτο γοῦν τις καὶ τῶν ἔξωθεν κωμῳδῶν τὸν ἀντίδικον τὸν αὐτοῦ τέθεικε λέγων· «θοἰμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν».

«Καὶ τοῖς ποσὶν ἅμα παίζουσαι». Καὶ τοῦτο τῆς αὐτῆς πάλιν ἀσχημοσύνης ἀπόδειξις. Διὰ γὰρ πάντων, δι' ὀφθαλμῶν, δι' ἱματίων, διὰ ποδῶν, διὰ βαδίσεως, ἥ τε σωφροσύνη καὶ ἡ ἀσέλγεια φαίνεται. Τῆς γὰρ ἔνδον καθημένης ψυχῆς ὥσπερ κήρυκές τινές εἰσι τῶν αἰσθητηρίων αἱ κινήσεις. Καὶ καθάπερ οἱ ζωγράφοι τὰ χρώματα κεραννύντες, τὰς εἰκόνας ἃς βούλονται χαρακτηρίζουσιν, οὕτω δὴ καὶ τὰ κινήματα τῶν μελῶν τοῦ σώματος τοὺς χαρακτῆρας ἔξω τῆς ψυχῆς ἄγει, καὶ πρὸ τῶν ὀφθαλμῶν τίθησι τῶν ἡμετέρων. Διὸ καὶ ἕτερός τις σοφὸς ἔλεγε· «Στολισμὸς ἀνδρός, καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς ἀναγγελεῖ τὰ περὶ αὐτοῦ».

«Καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιών, καὶ Κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν». Δύο θεὶς ἐγκλήματα, ἀπόνοιαν καὶ ἀσέλγειαν, ἑκάστῳ κατάλληλον ἐπάγει φάρμακον, καὶ προτέρῳ τὸ πρότερον, τῷ δευτέρῳ τὸ ἑχόμενον· τῇ μὲν ἀπονοίᾳ, τὴν ταπείνωσιν, τῷ δὲ καλλωπισμῷ τοῦ σχήματος, τὴν ἀναίρεσιν ἐκείνου. Πολέμου γὰρ καταλαβόντος τότε, τὰ πάντα οἰχήσεται, φησίν. Αἵ τε γὰρ φλεγμαίνουσαι καὶ ἀπονενοημέναι, τῷ φόβῳ κατασταλεῖσαι, τοῦ νοσήματος ἀπαλλαγήσονται· αἵ τε μαλακιζόμεναι καὶ διὰ πάντων θρυπτόμεναι, εἰς τὸν τῆς αἰχμαλωσίας ἐμπεσοῦσαι ζυγόν, πάσης ἐκείνης ἐλευθερωθήσονται τῆς βλακείας.

---

40. Σοφ. Σειρὰχ 19, 30.

τὸ νὰ βαδίζουν σύροντας τοὺς χιτῶνες εἶναι δεῖγμα τῆς χειρότερης μορφῆς διαφθορᾶς, μαλθακότητας, παραλύσεως καὶ διαλύσεως. Αὐτὸ λοιπὸν καὶ κάποιος ἀπὸ τοὺς μὴ χριστιανοὺς διακωμωδώντας τὸν ἀντίδικό του ἀνέφερε, λέγοντας· «Ἀφήνοντας τὸ ἱμάτιο νὰ κρέμεται μέχρι τῶν σφυρῶν».

«Καὶ περιπαίζοντας συγχρόνως καὶ μὲ τὰ πόδια τους». Καὶ αὐτὸ πάλι εἶναι ἀπόδειξη τῆς ἴδιας ἀσχημοσύνης. Καθόσον μὲ ὅλα, μὲ τοὺς ὀφθαλμούς, μὲ τὰ ἐνδύματα, μὲ τὰ πόδια, μὲ τὴ βάδιση φαίνονται καὶ ἡ σωφροσύνη καὶ ἡ ἀσέλγεια. Διότι οἱ κινήσεις τῶν αἰσθητηρίων εἶναι κατὰ κάποιο τρόπο σὰν κήρυκες τῆς ψυχῆς ποὺ βρίσκεται μέσα στὸ σῶμα. Καὶ ὅπως ἀκριβῶς οἱ ζωγράφοι, ἀναμειγνύοντας τὰ χρώματα, ζωγραφίζουν τὶς εἰκόνες ποὺ θέλουν, ἔτσι λοιπὸν καὶ οἱ κινήσεις τῶν μελῶν τοῦ σώματος φέρουν ἔξω τὶς ἰδιότητες τῆς ψυχῆς, καὶ τὶς τοποθετοῦν μπροστὰ στὰ μάτια μας. Γι' αὐτὸ καὶ κάποιος ἄλλος σοφὸς ἔλεγε· «Ὁ στολισμὸς τοῦ ἄνδρα, τὸ γέλιο τῶν δοντιῶν καὶ τὸ βάδισμα τῶν ποδιῶν φανερώνουν τὸ ποιὸς εἶναι αὐτός»[40].

«Καὶ θὰ ταπεινώσει ὁ Θεὸς τὶς ἀριστοκράτισσες θυγατέρες τῆς Σιών, καὶ ὁ Κύριος θὰ φανερώσει κατὰ τὴν ἡμέρα ἐκείνη τὴν ἀσχημοσύνη αὐτῶν καὶ θ' ἀφαιρέσει ὁ Κύριος τὴ λαμπρότητα τῶν ἐνδυμάτων αὐτῶν». Ἀφοῦ ἀνέφερε δύο κατηγορίες, τὴν παραφροσύνη καὶ τὴν ἀσέλγεια, στὴν κάθε μιὰ προσθέτει κατάλληλο φάρμακο, καὶ στὴν μὲν πρώτη κατηγορία τὸ πρῶτο, στὴ δεύτερη τὸ ἑπόμενο, δηλαδὴ στὴν μὲν παραφροσύνη τὴν ταπείνωση, στὸν δὲ καλλωπισμὸ τοῦ σώματος τὴν ἐξάλειψη ἐκείνου. Διότι τότε, λέγει, θὰ συμβεῖ πόλεμος καὶ τὰ πάντα θὰ ἐξαφανισθοῦν. Καὶ ἐκεῖνες ποὺ κατακαίονται ἀπὸ τὸ πάθος αὐτὸ καὶ εἶναι κυριευμένες ἀπὸ παραφροσύνη, ἀφοῦ συγκρατηθοῦν ἐξ αἰτίας τοῦ φόβου, θ' ἀπαλλαγοῦν ἀπὸ τὸ νόσημα· καὶ ἐκεῖνες ποὺ ζοῦν μέσα στὴ μαλθακότητα καὶ μὲ ὅλα διαφθείρουν τὴν ψυχή τους, ἀφοῦ βρεθοῦν κάτω ἀπὸ τὸ ζυγὸ τῆς αἰχμαλωσίας, θ' ἐλευθερωθοῦν ἀπὸ ὅλη ἐκείνη τὴν ἀνοησία.

Ὥστε δὲ ποιῆσαι τὸν λόγον αὐτοῖς φορτικώτερον, καὶ καθάψασθαι τῆς τῶν ἀκροωμένων διανοίας, καὶ κατ' εἶδος διηγεῖται τὸν καλλωπισμὸν τῶν ἱματίων τῶ γυναικῶν ἐκείνων, τῶν χρυσίων, τὸν ἐπὶ τῆς ὄψεως, τὸν ἐπὶ τοῦ λοιποῦ σώματος, καὶ πρόεισι καὶ ἐπὶ τὸν τῆς οἰκίας κόσμον. Οὐ γὰρ δὴ μόνον τὰ σώματα ἐνεκαλλώπιζον, ἀλλὰ τὴν ὕβριν ταύτην καὶ μέχρι τῶν τοίχων ἐξῆγον, εἰς οὐδὲν δέον δαπανώμεναι· καὶ τὰς τρίχας δὲ στρεβλοῦσαι, τὰ πτερὰ τῆς τοιαύτης ἀπάτης πάντοθεν ἐτάνυον. Καὶ τοῦτο γοῦν ἐγκαλεῖ λέγων, ὅτι «Ἀφελεῖ τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τὸν κόσμον αὐτῶν, καὶ τὰ ἐμπλόκια αὐτῶν, καὶ τοὺς κορύμβους». «Κορύμβους» δὲ λέγει, ἢ κόσμον τινὰ περὶ τὴν κεφαλήν, ἢ αὐτοῦ τοῦ κεφαλοδέσμου τὸ σχῆμα. «Καὶ τοὺς μηνίσκους»· κόσμον περὶ τὸν τράχηλον σεληνοειδῆ.

«Καὶ τὸ κάθεμα». Τάχα τὸ θέριστρον λέγει. «Καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν». Ἐνταῦθά μοι δοκεῖ ἐπιτρίμματα καὶ ὑπογραφὰς αἰνίττεσθαι. «Καὶ τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης». Τοῦτο περιχρύσιόν φησι. «Καὶ τοὺς χλιδῶνας»· τὰ περὶ τοὺς βραχίονας χρυσία. «Καὶ τὰ ψέλλια»· τὰ περὶ τοὺς καρπούς. «Καὶ τὸ ἐμπλόκιον»· κόσμον χρυσοῦν περὶ τὴν κεφαλήν». «Καὶ τοὺς δακτύλους, καὶ τὰ περιδέξια», ἃ λέγουσι δεξιάρια. «Καὶ τὰ ἐνώτια, καὶ τὰ περιπόρφυρα, καὶ τὰ μεσοπόρφυρα, καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ Λακωνικά». Τοσαύτη γὰρ ἦν αὐτῶν ἡ περὶ τὴν ἀσέλγειαν σπουδή, ὡς μὴ μόνον τοῖς ἐγχωρίοις κεχρῆσθαι, ἀλλὰ καὶ πόρρωθεν ἐκ τῆς ἀλλοτρίας αὐτὰς συλλέγειν, καὶ διαποντίους ἀποδημίας ὑπὲρ αὐτῶν στέλλεσθαι. Πολὺ γὰρ τὸ μέσον τῆς Παλαιστίνης καὶ τῆς Λακεδαί-

Μὲ σκοπὸ λοιπὸν νὰ κάνει τὸ λόγο πρὸς αὐτοὺς πιὸ βαρὺ καὶ νὰ προσεγγίσει τὴ σκέψη τῶν ἀκροατῶν, διηγεῖται ἕναν-ἕναν ξεχωριστὰ τὸν καλλωπισμὸ τῶν ἐνδυμάτων τῶν γυναικῶν ἐκείνων, τὰ χρυσαφικά, τὰ στολίδια τοῦ προσώπου, τὰ στολίδια τοῦ ὑπόλοιπου σώματος, καὶ προχωρεῖ καὶ στὸ στολισμὸ τῆς οἰκίας. Διότι δὲν στόλιζαν μόνο τὰ σώματα, ἀλλὰ τὴν ἀναίδεια αὐτὴ τὴν ἐπέκτειναν καὶ μέχρι τοὺς τοίχους, χωρὶς νὰ δαπανοῦν τὰ χρήματά τους γιὰ τίποτε τὸ ἀναγκαῖο· ἀκόμα καὶ τὶς τρίχες συστρέφανε καὶ ἔτσι ἅπλωναν παντοῦ τὰ φτερὰ τῆς ἀπάτης τους αὐτῆς. Καὶ αὐτὸ βέβαια τὸ κατηγορεῖ λέγοντας, ὅτι «Θ' ἀφαιρέσει τὴ λαμπρότητα τῶν ἐνδυμάτων τους καὶ τὰ κοσμήματά τους καὶ τὶς πλεξοῦδες τῶν μαλλιῶν τους καὶ τοὺς κορύμβους». «Κορύμβους» δὲ ὀνομάζει ἢ ὁρισμένα στολίδια τῆς κεφαλῆς, ἢ τὸ σχῆμα τοῦ ἴδιου τοῦ κεφαλόδεσμου. «Καὶ τοὺς μηνίσκους»· αὐτοὶ ἦταν στολίδια σχήματος σελήνης ποὺ κρέμονταν στὸν τράχηλο.

«Καὶ τὸ κάθεμα». Ἴσως ἐννοεῖ τὸ θέριστρο. «Καὶ τὸν κόσμο τοῦ προσώπου αὐτῶν». Ἐδῶ μοῦ φαίνεται ὅτι ὑπαινίσσεται τὶς ἀλοιφὲς καὶ τὰ εἴδη βαψίματος τοῦ προσώπου καὶ τῶν βλεφαρίδων. «Καὶ τὸ σύνολο τῶν κοσμημάτων ἐκείνων ποὺ τὶς χαρίζουν λαμπρότητα». Μὲ αὐτὸ ἐννοεῖ τὰ ἐπίχρυσα κοσμήματα. «Καὶ τοὺς χλιδῶνες»· ἐννοεῖ τὰ χρυσὰ κοσμήματα γύρω ἀπὸ τοὺς βραχίονες. «Καὶ τὰ ψέλια»· δηλαδὴ τὰ κοσμήματα γύρω ἀπὸ τοὺς καρποὺς τῶν χεριῶν. «Καὶ τὸ ἐμπλόκιο»· ἐννοεῖ τὸ χρυσὸ κόσμημα γύρω ἀπὸ τὴν κεφαλή. «Καὶ τὰ δαχτυλίδια καὶ τὰ περιδέρια», ποὺ τὰ ὀνομάζουν δεξιάρια. «Καὶ τὰ σκουλαρίκια καὶ τὰ ἐνδύματα μὲ τὰ πορφυρὰ γύρω τους στολίδια ποὺ φοροῦνται σὰν ἐξώρουχα καὶ σὰν ἐσώρουχα, καθὼς καὶ τὰ προερχόμενα ἀπὸ τὴ Λακωνία». Διότι τόσο μεγάλη ἦταν ἡ φροντίδα τους γιὰ τὴν ἀσέλγεια αὐτή, ὥστε ὄχι μόνο νὰ χρησιμοποιοῦν τὰ ἐγχώρια, ἀλλὰ καὶ νὰ συγκεντρώνουν αὐτὰ ἀπὸ πολὺ μακρινὲς ξένες χῶρες, ἐκτελώντας γιὰ χάρη αὐτῶν καὶ ὑπερπόντια ταξίδια. Καθόσον εἶναι μεγάλη ἡ ἀπόσταση μεταξὺ τῆς Παλαιστίνης καὶ τῆς Λακωνίας καὶ ἄπειρο τὸ πέλαγος ἀ-

μονος, καὶ πέλαγος ἄπειρον. Οὐχ ἁπλῶς τοίνυν τὴν πατρίδα τέθεικεν, ἀφεὶς τὰ ἐσθήματα, ἀλλ᾽ ὥστε τὴν ὑπερβάλλουσαν αὐτῶν ἀκολασίαν ἐμφῆναι.

9. «Καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ τὰ κόκκινα, καὶ τὴν βύσσον σὺν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένην, καὶ θέριστρα κατάκλειστα τοῦ χρυσίου». Οὐδὲν γὰρ εἶδος, οὐκ ἐν ἱματίοις, οὐκ ἐν τῷ λοιπῷ κόσμῳ κατέλιπον, ἀλλὰ πᾶσαν ἐπῆλθον πολυτελείας ὁδόν, τῇ τῆς ἀσελγείας ἐκβακχευθεῖσαι τυραννίδι. Ταῦτα δὲ εἰ τότε ἐγκλήματα ἦν πρὸ τῆς χάριτος καὶ τῆς τοσαύτης φιλοσοφίας, ποίας ἂν τύχοιεν συγγνώμης αἱ πρὸς τὸν οὐρανὸν κληθεῖσαι νῦν, καὶ εἰς μακρότερα σκάμματα, καὶ πρὸς τὸν τῶν ἀγγέλων ἑλκόμεναι ζῆλον, καὶ μετὰ πλείονος τῆς ὑπερβολῆς ταύτην νικῶσαι τὴν ἀσέλγειαν, καὶ τὰς ἐπὶ τῆς σκηνῆς ἀποκρύπτουσαι; Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ἁμαρτάνειν ἡγοῦνται. Διὸ καὶ πρὸς αὐτὰς ἀνάγκη τὴν τοῦ προφήτου φωνὴν ὁπλίσαι. Οὐ γὰρ δὴ μόνον πρὸς ἐκείνας, ἀλλὰ καὶ πρὸς ταύτας εἰρήσεται τὸ ἐπαγόμενον, ὅτι «Ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτός».

Ὁρᾷς πῶς καὶ τὴν τῶν μύρων ἀλοιφὴν ἐκβάλλει, καὶ μεγάλην αὐτῇ τίθησι τιμωρίαν; Κονιορτὸν γὰρ ἐνταῦθά φησι τὸν αἰρόμενον μετὰ τὴν τῆς πόλεως κατασκαφὴν καὶ τὴν τῶν βαρβάρων ἔφοδον. Καὶ γὰρ καὶ πυρὶ καὶ σιδήρῳ τότε αὐτὴν διενείμαντο, τὸ μὲν αὐτῆς κατασκάψαντες, τὸ δὲ ἐμπρησμῷ παραδόντες. Ταῦτα οὖν προλέγων ἔλεγεν, ὅτι «Ἀντὶ ὀσμῆς ἡδείας ἔσται κονιορτός, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ», ὑπ᾽ ὄψιν ἄγων τῆς αἰχμαλωσίας τὸ σχῆμα, καὶ τὴν ἐπὶ τὴν βάρβαρον χώραν ἀπαγωγήν.

νάμεσά τους. Δὲν ἀνέφερε βέβαια ἄσκοπα τὴν πατρίδα, ἀποφεύγοντας νὰ ἀναφέρει τὰ ἐνδύματα, ἀλλὰ γιὰ νὰ δείξει τὴν ὑπερβολικὴ ἀκολασία αὐτῶν.

9. «Καὶ τὰ ἐνδύματα ἀπὸ βύσσο καὶ ὑάκινθο, καὶ τὰ κατακκόκινα καὶ ὅλα ἐκεῖνα ποὺ εἶναι ὑφασμένα ἀπὸ βύσσο καὶ χρυσὸ καὶ ὑάκινθο καὶ τὰ κατάχρυσα θερινὰ καλύματα τῆς κεφαλῆς». Διότι κανένα εἶδος δὲν ἄφησαν οὔτε ἀπὸ τὰ ἐνδύματα, οὔτε ἀπὸ τὰ ὑπόλοιπα κοσμήματα, ἀλλὰ χρησιμοποίησαν κάθε ὁδὸ πολυτέλειας, ἀφοῦ κυριεύθηκαν ἀπὸ τὴ μανιακὴ ἐξουσία τῆς ἀσέλγειας. Ἂν δὲ αὐτὰ ἦταν ἄξια κατηγορίας τότε ποὺ δὲν εἶχε δοθεῖ ἀκόμα ἡ χάρη καὶ δὲν ὑπῆρχε τόση μεγάλη εὐσέβεια, ποιὰ συγγνώμη θὰ μποροῦσαν νὰ τύχουν ἐκεῖνες ποὺ κλήθηκαν τώρα πρὸς τὸν οὐρανὸ καὶ γιὰ μεγαλύτερα ἀγωνίσματα καὶ προσελκύονται πρὸς τὸ ζῆλο τῶν ἀγγέλων, καὶ ὅμως ξεπερνοῦν σὲ ὑπερβολικὸ βαθμὸ αὐτὴν τὴν ἀσέλγεια καὶ ἐπισκιάζουν καὶ τὶς γυναῖκες τῆς σκηνῆς τοῦ θεάτρου; Καὶ τὸ φοβερότερο βέβαια εἶναι ὅτι νομίζουν πὼς δὲν ἁμαρτάνουν. Γι' αὐτὸ εἶναι ἀνάγκη καὶ πρὸς αὐτὲς ν' ἀπευθύνομε τὴ φωνὴ τοῦ προφήτη. Διότι αὐτὸ ποὺ ἀκολουθεῖ θὰ λεχθεῖ ὁπωσδήποτε ὄχι μόνο πρὸς ἐκεῖνες, ἀλλὰ καὶ πρὸς αὐτές, ὅτι δηλαδή, «Θὰ συμβεῖ τότε νὰ ἔχεις, ἀντὶ τῆς εὐχάριστης εὐωδίας τῶν ἀρωμάτων, κονιορτό».

Βλέπεις πῶς ἀπορρίπτει καὶ τὶς ἀρωματικὲς ἀλοιφὲς καὶ ὁρίζει μεγάλη τιμωρία γι' αὐτές; Διότι κονιορτὸ ἐδῶ ὀνομάζει τὸν συλλαμβανόμενο καὶ φονευόμενο μετὰ τὴν κατασκαφὴ τῆς πόλεως καὶ τὴν ἔφοδο τῶν βαρβάρων. Καθόσον τότε διαμοίρασαν αὐτὴν στὴ φωτιὰ καὶ στὸ σίδηρο, καὶ τὸ μὲν ἕνα μέρος αὐτῆς τὸ κατέσκαψαν, τὸ δὲ ἄλλο τὸ παρέδωσαν στὸν ἐμπρησμό. Αὐτὰ λοιπὸν προλέγοντας ἔλεγε, ὅτι, «Θὰ συμβεῖ τότε νὰ ἔχεις, ἀντὶ τῆς εὐχάριστης εὐωδίας τῶν ἀρωμάτων, κονιορτό, καὶ θὰ ζωσθεῖς, ἀντὶ μὲ ζώνη, μὲ σχοινί», φανερώνοντάς τους τὸν τρόπο τῆς αἰχμαλωσίας καὶ τὴ μεταφορά τους στὴ βαρβαρικὴ χώρα.

«Καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου φαλάκρωμα ἕξεις», ἢ τῶν τριχῶν ἀπὸ τῆς ταλαιπωρίας ἀπορρυεισῶν, ἢ τῶν πολεμίων τοῦτο ἐργαζομένων, ἢ αὐτῶν ἑαυτάς. Ἔθος γὰρ ἦν τὸ παλαιὸν ἐν πένθει καὶ συμφορᾷ ἀποκείρεσθαι καὶ ξύρεσθαι. Καὶ γὰρ ὁ Ἰὼβ ἀπεκείρατο τὴν κεφαλήν, ἀκούσας τῶν παίδων τὴν συμφοράν. Καὶ προϊὼν ὁ προφήτης, μετὰ σάκκου καὶ κοπετοῦ καὶ ξύρησιν ἔφησε γενέσθαι. Καὶ ἄλλος πάλιν φησί· «Καὶ ξυρῆσαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα σου τὰ τρυφερά».

«Καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου περιζώσῃ σάκκον». Ἆρα οὐ δοκεῖ φοβερὰ εἶναι ταῦτα καὶ ἀφόρητα; Ἀλλ' ἐφ' ἡμῶν οὐ μέχρι τούτων στήσεται τὰ τῆς τιμωρίας, ἀλλὰ σκώληξ ἰοβόλος καὶ σκότος ἀτελεύτητον διαδέξεται. Εἰ γὰρ ἐκείνους αἰχμαλωσία καὶ δουλεία καὶ τὰ ἔσχατα ἀνέμενε κακὰ ἀντὶ τοῦ καλλωπισμοῦ (ὅτι γὰρ τούτου ἀπῄτει δίκην, καὶ ἰδικῶς τὴν ἁμαρτίαν ταύτην ἐκόλαζεν, ἄκουσον πῶς, καταλέξας ἐκεῖνα, ἐπήγαγε καὶ τὴν αἰτίαν· «Ταῦτά σοι ἀντὶ καλλωπισμοῦ»)· εἰ τοίνυν Ἰουδαῖαι γυναῖκες κεκαλλωπισμέναι τοσαύτην ὑπέμειναν τιμωρίαν, τῆς πατρίδος ἐκ βάθρων ἀνασπασθείσης, καὶ μετὰ τὴν πολλὴν τρυφὴν δοῦλαι καὶ αἰχμάλωτοι καὶ ἀπόλιδες εἰς τὴν ἀλλοτρίαν ἀπενεχθεῖσαι χώραν, καὶ λιμῷ καὶ λοιμῷ καὶ θανάτοις παραδοθεῖσαι μυρίοις, πῶς οὐκ εὔδηλον, ὅτι χαλεπώτερα ἡμεῖς πεισόμεθα τοῖς αὐτοῖς περιπίπτοντες; Ὥσπερ γὰρ αἱ τιμαὶ μείζους, οὕτω καὶ αἱ τιμωρίαι βαρύτεραι. Εἰ δὲ μή τις οὐδέπω τὸ τοιοῦτον ἔπαθε γυνὴ καλλωπισαμένη, μὴ θαρρείτω. Ἔθος γὰρ τῷ Θεῷ τοῦτο, τὰς τιμωρίας ὁρίζειν ἐφ' ἑνὸς καὶ δευτέρου, καὶ δι' ἐκείνων νομοθετεῖν τοῖς λοιποῖς ἅπασι τὰ καταληψόμενα αὐτοὺς δεινά.

---

41. Ἰὼβ 1, 20. 42. Ἠσ. 22, 12. 43. Μιχ. 1, 16.

«Καὶ ἀντὶ τῶν στολιδιῶν τῆς κεφαλῆς σου θὰ ἀποκτήσεις φαλάκρα», πράγμα ποὺ θὰ συμβεῖ ἢ ἐξ αἰτίας τῆς πτώσεως τῶν τριχῶν ἀπὸ τὴν ταλαιπωρία, ἢ θὰ τὸ κάμνουν αὐτὸ σ' αὐτὲς οἱ ἐχθροί, ἢ αὐτὲς οἱ ἴδιες στὸν ἑαυτό τους. Διότι ὑπῆρχε συνήθεια τὴν παλιὰ ἐποχὴ σὲ περιπτώσεις πένθους καὶ συμφορᾶς νὰ κουρεύονται καὶ νὰ ξυρίζονται. Καθόσον ὁ Ἰακὼβ κούρεψε τὸ κεφάλι του ὅταν ἄκουσε τὴ συμφορὰ τῶν παιδιῶν του[41]. Καὶ προχωρώντας ὁ προφήτης ἀνέφερε ὅτι αὐτὸ θὰ γίνει φορώντας σάκκο, θρηνώντας καὶ ξυρίζοντας τὸ κεφάλι τους[42]. Καὶ ἄλλος πάλι λέγει· «Ξύρισε καὶ κούρεψε τὰ τρυφερά σου τέκνα»[43].

«Καὶ ἀντὶ τοῦ χιτώνα σου τοῦ ὑφασμένου ἀπὸ πορφύρα θὰ περιζωσθεῖς σάκκο». Ἄραγε δὲν φαίνονται αὐτὰ ὅτι εἶναι φοβερὰ καὶ ἀνυπόφορα; Ὅπως στὴν περίπτωση τὴ δική μας δὲν θὰ περιορισθοῦν τὰ τῆς τιμωρίας μας μόνο σ' αὐτά, ἀλλὰ θὰ διαδεχθεῖ αὐτὰ φαρμακερὸ σκουλήκι καὶ σκοτάδι ἀτελείωτο. Διότι, ἐὰν ἐκείνους ἀντὶ τοῦ καλλωπισμοῦ τοὺς ἀνέμενε αἰχμαλωσία καὶ δουλεία καὶ τὰ φοβερότερα κακὰ (τὸ ὅτι βέβαια ἀπαιτοῦσε τὴν τιμωρία αὐτοῦ καὶ τιμωροῦσε ὅλως ἰδιαίτερα τὴν ἁμαρτία αὐτή, ἄκουσε πῶς, ἀφοῦ ἀνέφερε ἐκεῖνα, πρόσθεσε καὶ τὴν αἰτία· «Αὐτὰ θὰ σοῦ δοθοῦν ἀντὶ καλλωπισμοῦ»)· ἐὰν λοιπὸν Ἰουδαῖες γυναῖκες ἐπειδὴ καλλωπίζονταν ὑπέμειναν τόσο μεγάλη τιμωρία, ὥστε καὶ ἡ πατρίδα τους νὰ καταστραφεῖ ἀπὸ τὰ θεμέλια, καὶ αὐτὲς οἱ ἴδιες μετὰ τὴν μεγάλη τρυφηλὴ ζωή τους νὰ ὁδηγηθοῦν δοῦλες καὶ αἰχμάλωτες καὶ ἐξόριστες στὴν ξένη χώρα, καὶ νὰ παραδοθοῦν σὲ πείνα καὶ ἀρρώστιες καὶ ἄπειρους θανάτους, πῶς δὲν εἶναι ὁλοφάνερο, ὅτι ἐμεῖς θὰ πάθουμε φοβερότερα πέφτοντας στὰ ἴδια ἁμαρτήματα; Διότι ὅπως ἀκριβῶς οἱ τιμὲς εἶναι μεγαλύτερες, ἔτσι καὶ οἱ τιμωρίες εἶναι βαρύτερες. Ἐὰν δὲ αὐτὸ δὲν τὸ ἔπαθε ποτὲ μέχρι τώρα γυναίκα ποὺ στολίζεται μ' αὐτά, ἂς μὴ παίρνει θάρρος ἐξ αἰτίας αὐτοῦ. Διότι αὐτὸ ἀποτελεῖ συνήθεια στὸ Θεό, τὸ νὰ τιμωρεῖ ἕναν ἢ δύο καὶ μέσω ἐκείνων νὰ παρέχει δίδαγμα σ' ὅλους τοὺς ἄλλους γιὰ τὶς συμφορὲς ποὺ πρόκειται νὰ τοὺς βροῦν.

Ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω ποιήσω, ἥμαρτον ἁμαρτίαν χαλεπὴν οἱ τὰ Σόδομα οἰκοῦντές ποτε, ἔδοσαν δίκην τὴν ἐσχάτην, τῶν σκηπτῶν ἐκείνων κατενεχθέντων, καὶ τῶν πόλεων, καὶ τῶν δήμων καὶ τῆς γῆς αὐτοῖς σώμασιν ἐμπρησθέντων ἁπάντων. Τί οὖν; οὐδεὶς μετ' ἐκείνους τὰ ἐκείνων ἐτόλμησε; Πολλοὶ μὲν οὖν, καὶ πολλαχοῦ τῆς οἰκουμένης. Πῶς οὖν οὐδὲν τοιοῦτον ἔπαθον; Ὅτι ἑτέρα χαλεπωτέρα τηροῦνται τιμωρίᾳ. Διὰ γὰρ τοῦτο ἅπαξ αὐτὸ ποιήσας ὁ Θεὸς ἀπέστη, ἵνα οἱ τὰ αὐτὰ τολμῶντες, κἂν μὴ δῶσιν ἐνταῦθα δίκην, εἰδότες, ὦσι σαφῶς, ὅτι οὐδέποτε διαφεύξονται. Πῶς γὰρ ἂν ἔχοι λόγον, πρὸ μὲν τῆς χάριτος καὶ τοῦ νόμου, καὶ μήτε προφητῶν, μήτε ἄλλου τινὸς ἀκηκοότας, ἁμαρτόντας τοιαῦτα παθεῖν, τοὺς δὲ μετ' ἐκείνους τοσαύτης ἀπολαύσαντας προνοίας, καὶ μηδὲ τῷ παραδείγματι γενομένους σωφρονεστέρους, ὃ πολλῷ χαλεπωτάτην ποιεῖ τὴν ἁμαρτίαν, διαφυγεῖν τὴν ἐπὶ τοῦτο κειμένην δίκην; Πῶς οὖν οὐκ ἔδοσαν οὐδέπω καὶ σήμερον; Ἵνα μάθῃς ὅτι πολὺ χαλεπωτέρᾳ τηροῦνται τιμωρίᾳ.

10. *Ὅτι γάρ ἐστι χαλεπώτερα Σοδόμων παθεῖν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· «Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ταύτῃ». Ὥστε κἂν καλλωπιζόμεναι νῦν γυναῖκες μὴ πάθωσιν, ἅπερ ἔπαθον αἱ τότε καλλωπιζόμεναι, μὴ θαρρείτωσαν. Ἡ γὰρ ἀνοχὴ αὐτὴ καὶ ἡ μακροθυμία χαλεπωτέραν σωρεύει τοῦ πυρὸς τὴν κάμινον, καὶ μείζονα τὴν φλόγα ἐργάζεται. Τοῦτο καὶ ἐπὶ Ἀνανίου καὶ Σαπφείρας γέγονε. Καὶ γὰρ ἐκεῖνοι ἐν ἀρχῇ καὶ προοιμίῳ τοῦ κηρύγματος ὑφελόμενοι τῶν χρημά-*

---

44. Γέν. κεφ. 18-19.

45. Ματθ. 10, 15.

Καὶ γιὰ νὰ κάνω σαφέστερο αὐτὸ ποὺ λέγω σᾶς ἀναφέρω τὸ ἑξῆς· διέπραξαν φοβερὴ ἁμαρτία κάποτε οἱ κάτοικοι τῶν Σοδόμων, καὶ τιμωρήθηκαν μὲ τὴν πιὸ φοβερὴ τιμωρία, ἀφοῦ ἔπεσαν ἀπὸ τὸν οὐρανὸ ἐκεῖνα τὰ θεόσταλτα κακὰ καὶ κατακάηκαν ὅλα μαζὶ καὶ οἱ πόλεις τους, καὶ ὁ λαός τους, καὶ ἡ χώρα τους μαζὶ μὲ τὰ σώματά τους[44]. Τί λοιπόν; κανένας μετὰ ἀπὸ ἐκείνους δὲν τόλμησε νὰ κάνει τὰ ὅσα ἔκαναν ἐκεῖνοι; Πολλοὶ βέβαια τὰ ἔκαναν καὶ σὲ πολλὰ μέρη τῆς οἰκουμένης. Πῶς λοιπὸν δὲν ἔπαθαν τίποτε παρόμοιο; Διότι φυλάσσονται γιὰ ἄλλη φοβερότερη τιμωρία. Καθόσον γι' αὐτὸ ὁ Θεός, ἀφοῦ τὸ ἔκανε αὐτὸ μιὰ φορά, δὲν τὸ ξαναέκανε, ὥστε αὐτοὶ ποὺ τολμοῦν νὰ κάνουν τὰ ἴδια, καὶ ἂν ἀκόμα δὲν τιμωρηθοῦν ἐδῶ, νὰ γνωρίζουν πολὺ καλά, ὅτι ποτὲ δὲν θὰ ἀποφύγουν τὴν τιμωρία. Διότι πῶς θὰ μποροῦσε νὰ δικαιολογηθεῖ, πρὶν μὲν ἀπὸ τὴ χάρη καὶ τὸ νόμο, καὶ ἐνῶ δὲν εἶχαν ἀκούσει οὔτε προφῆτες, οὔτε κάποιον ἄλλο, νὰ πάθουν τέτοια πράγματα ἐπειδὴ ἁμάρτησαν, ἐνῶ αὐτοὶ ποὺ ἔζησαν μετὰ ἀπὸ ἐκείνους καὶ ἀπόλαυσαν τόση μεγάλη πρόνοια καὶ δὲν ἔγιναν πιὸ σώφρονες οὔτε καὶ μὲ τὸ παράδειγμα, πράγμα ποὺ κάμνει πολὺ πιὸ βαρύτερη τὴν τιμωρία, νὰ ἀποφύγουν τὴν τιμωρία ποὺ ἐπιφυλάσσεται γι' αὐτό; Πῶς λοιπὸν δὲν τιμωρήθηκαν ποτὲ μέχρι σήμερα; Γιὰ νὰ μάθεις ὅτι φυλάσσονται γιὰ πολὺ φοβερότερη τιμωρία.

10. Τὸ ὅτι βέβαια θὰ συμβεῖ νὰ πάθουν χειρότερα ἀπὸ τὰ Σόδομα, ἄκουσε τὸν Χριστὸ ποὺ λέγει· «Μεγαλύτερη ἐπιείκεια θὰ δειχθεῖ κατὰ τὴν ἡμέρα τῆς κρίσεως γιὰ τὶς πόλεις Σοδόμων καὶ τῆς Γομόρρας, παρὰ γιὰ τὴν πόλη αὐτή»[45]. Ὥστε καὶ ἂν ἀκόμα δὲν πάθουν σήμερα οἱ γυναῖκες ποὺ καλλωπίζονται ἐκεῖνα ἀκριβῶς ποὺ ἔπαθαν ἐκεῖνες ποὺ καλλωπίζονταν τότε, ἂς μὴ παίρνουν θάρρος ἀπ' αὐτό. Διότι αὐτὴ ἡ ἀνοχὴ καὶ ἡ μακροθυμία ἐπισωρεύει ἐναντίον τους φοβερότερα τὸ καμίνι τοῦ πυρὸς καὶ κάμνει μεγαλύτερη τὴ φλόγα. Αὐτὸ ἔχει συμβεῖ καὶ στὴν περίπτωση τοῦ Ἀνανία καὶ τῆς Σάπφειρας. Καθόσον καὶ ἐκεῖνοι, ἐπειδὴ στὴν ἀρχὴ καὶ ἀπὸ τὴν πρώτη στιγμὴ τοῦ κηρύγματος ἀφαίρησαν κρυφὰ τὰ χρήματα ἐκεῖνα, τὴν ἴδια στιγ-

των ἐκείνων, ἀθρόον ἀνηρπάσθησαν, μετὰ δὲ ἐκείνους πολλοὶ τοιαῦτα τολμήσαντες, οὐδὲν ἔπαθον. Πῶς οὖν ἂν ἔχοι λόγον, τὸν δίκαιον κριτὴν καὶ πᾶσι τὰ ἴσα νέμοντα, τοὺς μὲν ἧττον ἡμαρτηκότας κολάσαι, τοὺς δὲ χαλεπώτερα ποιήσαντας ἀφεῖναι; Οὐκ εὔδηλον, ὅτι ἐπειδὴ ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην, διὰ τοῦτο ἀνεβάλλετο τὴν τιμωρίαν, ἵνα ἢ τῇ μακροθυμίᾳ γένωνται βελτίους, ἢ τοῖς αὐτοῖς ἐπιμένοντες χαλεπώτερα πάθωσιν;

Ὅταν τοίνυν ἁμαρτόντες τὰ αὐτὰ τοῖς ἤδη πεπλημμεληκόσι καὶ κολασθεῖσι, μὴ τὰ αὐτὰ πάθωμεν, μὴ θαρρῶμεν, ἀλλὰ μᾶλλον φοβώμεθα. Ὥσπερ γὰρ νόμον τὴν ἐπ' ἐκείνων τιμωρίαν ἐξήνεγκεν ὁ Θεός, πᾶσι παραινῶν, καὶ λέγων, ὅτι διὰ τοῦτο τὸν ἐξ ἀρχῆς ἁμαρτόντα ἐκόλασα, ἵνα ματαβάλλῃ καὶ γένῃ βελτίων. Τοῖς γὰρ τοιούτοις ἁμαρτήμασι τοιαῦται κεῖνται τιμωρίαι, κἂν μὴ παραχρῆμα ἔρχωνται. Τούτοις δὲ οὐχ ἁπλῶς ἐνδιέτριψα, ἀλλ' ἐπειδὴ πονηρὸν νόσημα εἰς τὰς τῶν ἀνθρώπων εἰσῆλθεν οἰκίας διὰ τῆς τῶν γυναικῶν βλακείας, ὁ τῆς φιλοκοσμίας ἔρως, ὅς καὶ τὴν τῶν χρημάτων ἐπέτεινε ρανίδα, εἰς ἀκαίρους δαπάνας τοὺς ἄνδρας ἐμβαλών, καὶ πολέμου καὶ στάσεως καὶ φιλονεικίας ὑπόθεσις γινόμενος καθημερινῆς, καὶ τὰς τῶν πενήτων κατατείνων γαστέρας. Ὅταν γὰρ ἅπασαν τὴν οὐσίαν γυνή, ἢ καὶ τὸ πλέον τῶν ὄντων, εἰς τὴν τοῦ σώματος ὕβριν ἀναγκάζῃ τὸν ἄνδρα δαπανᾶν (ὕβρις γὰρ σώματος, τὸ περικείμενον χρυσίον), ἀνάγκη τὴν χεῖρα συστέλλεσθαι πρὸς τὴν τῆς ἐλεημοσύνης φιλοτιμίαν. Καὶ πολλὰ δὲ ἕτερα ἐκ τούτου τικτόμενά ἐστιν ἰ-

---

46. Πράξ. 5, 1-11. 47. Πράξ. 17, 31.

μὴ θανατώθηκαν[46], μετὰ ὅμως ἀπὸ ἐκείνους, ἂν καὶ πολλοὶ τόλμησαν καὶ ἔκαναν τὰ ἴδια, ὅμως τίποτε δὲν ἔπαθαν. Πῶς λοιπὸν θὰ μποροῦσε νὰ δικαιολογηθεῖ ὁ δίκαιος κριτὴς καὶ ποὺ σ' ὅλους ἀποδίδει τὰ ἴσα, ἐκείνους μὲν ποὺ διέπραξαν μικρότερα ἁμαρτήματα νὰ τοὺς τιμωρήσει, ἐνῶ ἐκείνους ποὺ διέπραξαν φοβερότερα νὰ τοὺς ἀφήσει ἀτιμώρητους; Δὲν εἶναι ὁλοφάνερο, ὅτι, ἐπειδὴ «ὅρισε ἡμέρα, κατὰ τὴν ὁποία πρόκειται νὰ κρίνει τὴν οἰκουμένη»[47], γι' αὐτὸ ἀνέβαλλε τὴν τιμωρία, ὥστε ἢ μὲ τὴ μακροθυμία νὰ γίνουν καλύτεροι, ἤ, ἐπιμένοντας στὰ ἴδια, νὰ πάθουν χειρότερα;

Ὅταν λοιπὸν ἐνῶ διεπράξαμε τὰ ἴδια πλημμελήματα μὲ ἐκείνους ποὺ ἤδη ἔχουν διαπράξει αὐτὰ καὶ τιμωρήθηκαν, δὲν πάθουμε δὲ τὰ ἴδια, νὰ μὴ παίρνομαι θάρρος, ἀλλὰ νὰ φοβούμαστε περισσότερο. Διότι, ὅπως ἀκριβῶς ὁ Θεὸς παρέδωσε σὰν νόμο τὴν τιμωρία πρὸς ἐκείνους, συμβουλεύοντας ὅλους καὶ λέγοντας, ὅτι γι' αὐτὸ τιμώρησα ἐκεῖνον ποὺ ἁμάρτησε στὴν ἀρχή, ὥστε σύ, ποὺ διαπράττεις πλημμελήματα μετὰ ἀπὸ ἐκείνους, νὰ περιμένεις τὰ ἴδια, μὲ σκοπὸ ν' ἀλλάξεις καὶ νὰ γίνεις καλύτερος. Διότι γιὰ τὰ ἁμαρτήματα αὐτοῦ τοῦ εἴδους τέτοιες τιμωρίες ἐπιφυλάσσονται, ἔστω καὶ ἂν δὲν ἐπιβάλλονται τὴν ἴδια στιγμή. Αὐτὰ δὲ δὲν τὰ ἀνέφερα τυχαῖα, ἀλλ' ἐπειδὴ μπῆκε μέσα στὰ σπίτια τῶν ἀνθρώπων πονηρὸ νόσημα, ἐξ αἰτίας τῆς ἀνοησίας τῶν γυναικῶν, ὁ ἔρωτας τῆς φιλοκοσμίας, ὁ ὁποῖος καὶ τὴν ἀσήμαντη ἀξία τῶν χρημάτων αὔξησε φοβερά, ὁδηγώντας τοὺς ἄνδρες σὲ ἀνώφελες δαπάνες, γίνεται καθημερινὰ ἀφορμὴ πολέμου, στάσεως καὶ φιλονεικίας, καὶ καταφθείρει τὰ στομάχια τῶν φτωχῶν. Διότι ὅταν ἡ γυναίκα ἐξαναγκάζει τὸν ἄνδρα νὰ δαπανᾶ ὅλη τὴν περιουσία, ἢ τὸ περισσότερο μέρος τῶν ὑπαρχόντων, στὶς ἀκολασίες τοῦ σώματος (διότι ἀκολασία τοῦ σώματος εἶναι ὁ χρυσὸς ποὺ περιβάλλει αὐτό), εἶναι ἀνάγκη νὰ περιορίζεται τὸ χέρι ἀπὸ τὴ γενναιοδωρία τῆς ἐλεημοσύνης. Καὶ πολλὰ δὲ ἄλλα εἴδη ἁμαρτημάτων μπορεῖ νὰ δεῖ κανεὶς νὰ γεννιοῦνται ἀπ' αὐτό. Ἀλλ', ἀφοῦ ἀφή-

δεῖν ἁμαρτημάτων εἴδη. Ἀλλὰ ταῦτα ἀφέντες τῇ πείρᾳ τῶν πασχόντων εἰδέναι σαφῶς, τῶν ἐχομένων ἁπτώμεθα.

Μετὰ γὰρ τὸ παραστῆσαι τῆς αἰχμαλωσίας τὸ σχῆμα, καὶ εἰπεῖν, ὅτι ἀντὶ τοῦ καλλωπισμοῦ ταύτην ἐπάγω, ἐπιτείνει τὴν συμφοράν, λέγων· «Καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται, καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται». Τοῦτο γὰρ αἰχμαλωσίας χαλεπώτερον. Καὶ γάρ ἐστι ζωὴ θανάτου πικροτέρα. Ὅταν γὰρ μετὰ τῆς δουλείας καὶ ἄωρα πένθη θρηνεῖν ἀναγκάζωνται, ἐννόησον ὅσον τῆς συμφορᾶς τὸ μέγεθος, τῶν καθ' ἑαυτὰ πικρῶν ὄντων συναπτομένων ἀλλήλοις. Καὶ γὰρ εἰ αἰχμαλωσία μόνη ἦν, ἀφόρητον ἦν τὸ δεινόν· καὶ εἰ ἐν ἐλευθερίᾳ ζώντων τοιαῦτα συνέβαινε πένθη, θανάτου πικροτέρα ἦν ἡ ζωή. Ἀλλὰ νῦν ἀμφότερα ἔσται, φησί, συνηγμένα ἀλλήλοις. Μᾶλλον δὲ διπλῆν, καὶ τετραπλῆν, ὅταν καὶ υἱός, καὶ κάλλιστος, καὶ ποθούμενος, καὶ ὑπὸ βαρβάρων, ἀλλὰ μὴ τῷ κοινῷ τῆς φύσεως καταλύει νόμῳ τὸν βίον· καὶ μετὰ τούτου καὶ οἱ ἐν ἡλικίᾳ πάντες, ὥστε μηδὲ ἐλπίδα αὐτοῖς εἶναι χρηστήν, ὅσον εἰς ἀνθρωπίνην ἧκε βοήθειαν καὶ συμμαχίαν.

«Καὶ ταπεινωθήσεται· καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ μόνη, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ». Διὰ πάντων αὔξει τὸν θρῆνον, ἐπιτείνει τὸν φόβον, ἀκμάζουσαν τὴν ἀγωνίαν ἐργάζεται, ὑπ' ὄψιν ἄγει τὰ δεινά, εὐρύνει τῆς συμφορᾶς τὴν διήγησιν, πανταχοῦ περιτρέχων, πάντοθεν συνάγων τὰ λυπηρὰ διὰ τὴν τῶν ἀκουόντων ἀναισθησίαν. Ἀγαπητὸν γὰρ ἦν τοσαύταις κατασειομένας αὐτὰς ἀπειλαῖς ἀνενεγκεῖν, καὶ λαβεῖν αἴσθησιν τῶν μελλόντων συμβήσεσθαι λυπηρῶν. Διὰ δὴ τοῦτο καὶ ἐπήγαγεν, ὃ σφόδρα ἐλεεινὸν εἶναι δοκεῖ, τὸ χρυσίου θήκην ὁρᾶν

σουμε αὐτὰ νὰ τὰ γνωρίσουμε σαφῶς μὲ τὴν πείρα ἐκείνων ποὺ τὰ παθαίνουν, ἂς ἐπιχειρήσουμε νὰ ἐξετάσουμε τὰ ἑπόμενα.

Ἀφοῦ δηλαδὴ παρουσίασε τὴ μορφὴ τῆς αἰχμαλωσίας καὶ εἶπε, ὅτι ἐπιβάλει αὐτὴν ἀντὶ τοῦ καλλωπισμοῦ, αὐξάνει τὴ συμφορά, λέγοντας· «Καὶ τὸ πιὸ καλὸ παιδί σου, ποὺ τὸ ἀγαπᾶς, θὰ φονευθεῖ μὲ μάχαιρα, καὶ οἱ ἰσχυροὶ ἄνδρες σας θὰ φονευθοῦν μὲ μάχαιρα». Πράγματι αὐτὸ εἶναι φοβερότερο ἀπὸ τὴν αἰχμαλωσία. Καθόσον ὑπάρχει ζωὴ ποὺ εἶναι πικρότερη ἀπὸ τὸ θάνατο. Διότι, ὅταν ἀναγκάζονται μαζὶ μὲ τὴ δουλεία νὰ θρηνοῦν καὶ πένθη πρὶν ἀπὸ τὴν ὥρα τους, σκέψου πόσο εἶναι τὸ μέγεθος τῆς συμφορᾶς, τὴ στιγμὴ ποὺ συνενώνονται ἐκεῖνα, ποὺ αὐτὰ καθ' ἑαυτὰ εἶναι μεγάλα κακά. Καθόσον, ἐὰν ὑπῆρχε μόνο ἡ αἰχμαλωσία, θὰ ἦταν ἀνυπόφορο τὸ κακό· καὶ ἄν, ἐνῶ θὰ ζοῦσαν ἐλεύθεροι, συνέβαιναν τέτοια πένθη, ἡ ζωὴ θὰ ἦταν πικρότερη ἀπὸ τὸ θάνατο. Ἀλλὰ τώρα, λέγει, θὰ συμβοῦν καὶ τὰ δύο, στενὰ συνδεδεμένα ἀναμεταξύ τους. Καλύτερα ὅμως πρέπει κανεὶς νὰ ὀνομάζει αὐτὴν διπλὴ καὶ τριπλὴ καὶ τετραπλὴ συμφορά, ὅταν καὶ υἱὸς εἶναι αὐτὸς καὶ ὁ πιὸ καλύτερος καὶ ὁ πιὸ ἀγαπητὸς καὶ τελειώνει τὴ ζωή του ἀπὸ τοὺς βαρβάρους καὶ ὄχι μὲ τὸν κοινὸ νόμο τῆς φύσεως· καὶ μαζὶ μὲ αὐτὸν καὶ ὅλοι οἱ συνομήλικές του, ὥστε νὰ μὴ ὑπάρχει σ' αὐτοὺς ἀγαθὴ ἐλπίδα, ὅσο βέβαια αὐτὸ ἐξαρτᾶται ἀπὸ τὴν ἀνθρώπινη βοήθεια καὶ συμμαχία.

«Καὶ θὰ ταπεινωθοῦν· καὶ θὰ πενθήσουν οἱ θῆκες τῶν κοσμημάτων σας καὶ θὰ ἐγκαταλειφθεῖς μόνη καὶ θὰ κατεδαφισθεῖς». Μὲ ὅλα αὐξάνει τὸ θρῆνο, μεγαλώνει τὸ φόβο, παρουσιάζει τὴν ἀγωνία στὸ ἀποκορύφωμά της, φέρνει μπροστὰ στὰ μάτια τους τὰ δεινά, διευρύνει τὴ διήγηση τῆς συμφορᾶς, περιτρέχοντας παντοῦ, καὶ ἀπὸ παντοῦ συγκεντρώνοντας τὰ λυπηρὰ ἐξ αἰτίας τῆς ἀναισθησίας τῶν ἀκροατῶν. Διότι μεγάλη του ἐπιθυμία θὰ ἦταν, συγκλονιζόμενες αὐτὲς ἀπὸ τόσες πολλὲς ἀπειλές, νὰ συνέλθουν καὶ νὰ συναισθανθοῦν τὰ λυπηρὰ ποὺ ἐπρόκειτο νὰ συμβοῦν. Γι' αὐτὸ λοιπὸν καὶ πρόσθεσε, αὐτὸ ποὺ φαίνεται ὅτι εἶναι πάρα πολὺ ἐλεεινό, τὸ νὰ βλέπουν ἄδεια τὴ

κεκενωμένην, ὑπόμνημα τῆς παλαιᾶς εὐπραγίας, διὰ τῆς ὄψεως ἀκμάζουσαν διατηροῦν τὴν ἀλγηδόνα. Καὶ γὰρ τότε μάλιστα δάκνειν ὑμᾶς εἰώθασιν αἱ συμφοραί, ὅταν αὐτὰς ταῖς προτέραις παραβάλλωμεν εὐημερίαις· καὶ ἡ σύγκρισις χαλεπώτερον τὸ ἕλκος ἐργάζεται.

Τοῦτο γοῦν ποτε καὶ ὁ Ἰὼβ θρηνῶν ἔλεγε· «Τίς ἄν με θείη μετὰ μῆνα ἡμερῶν τῶν ἔμπροσθεν;», καὶ διηγεῖται τὸν πλοῦτον ἅπαντα, καὶ τὰ ὥσπερ ἐκ πηγῶν ἐπιρρέοντα ἀγαθά, τὰς τιμάς, τὰς προσόδους, τὴν περιφάνειαν ἅπασαν, ὥστε τῇ συγκρίσει τούτων πολλῷ χαλεπώτερα δεῖξαι τὰ παρόντα καὶ κατειληφότα αὐτὸν δεινά. Ὃ δὴ καὶ ὁ προφήτης νῦν ἐποίησε, τῶν θηκῶν ἀναμνήσας, καὶ οὐδὲ τούτοις ἀρκεσθείς, ἀλλὰ καὶ εἰσαγαγὼν αὐτὰς πενθούσας. Ἐμφαντικώτερον γὰρ τοῦτο τοῦ λόγου τὸ εἶδος, ὅταν τοιαύτας ἐργάζηται προσωποποιίας. Ἤδη γοῦν καὶ ἀμπέλους θρηνούσας εἰσάγει, καὶ οἶνον, ὥστε μᾶλλον καθικέσθαι τῶν ἀκροωμένων, καὶ τῆς παχύτητος αὐτῶν καθάψασθαι.

Τί δέ ἐστι, «Καταλειφθήσῃ μόνη;». Καὶ συμμάχων, φησί, καὶ τῆς τοῦ Θεοῦ προνοίας ἐρημωθεῖσα, καὶ τῆς ἄλλης περιφανείας γυμνωθεῖσα πάσης, καὶ πανταχόθεν ὑπὸ τῶν πολεμίων κυκλουμένη, καὶ ἐν μέσοις ἀπειλημμένη βαρβάροις. Εἶτα τὴν ὑπερβολὴν τῆς ταπεινώσεως παραστῆσαι θέλων, φησί· «Καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ». Οὐδὲ πέσῃ εἶπεν, οὐδὲ κατενεχθήσῃ, ἀλλ' ἑτέρᾳ λέξει σαφέστερον ἐνδεικνυμένη τὴν εὐτέλειαν αὐτῆς ἅπασαν ἀπεχρήσατο.

---

48. Ἰὼβ 29, 2.

θήκη τῶν χρυσαφικῶν, ἐνθύμιο τῆς παλιᾶς εὐημερίας, διατηρώντας μὲ τὴ θέα αὐτῆς πάρα πολὺ ἔντονο τὸν πόνο. Καθόσον τότε πρὸ πάντων μᾶς καταπληγώνουν συνήθως οἱ συμφορές, ὅταν αὐτὲς τὶς συγκρίνουμε μὲ τὶς προηγούμενες εὐημερίες· καὶ ἡ σύγκριση κάμνει τὴν πληγὴ χειρότερη.

Αὐτὸ λοιπὸν ἔλεγε κάποτε καὶ ὁ Ἰὼβ θρηνώντας· «Ποιὸς μπορεῖ νὰ μὲ φέρει τὴ μνήμη του στὶς περασμένες μέρες;»[48], καὶ διηγεῖται ὅλο τὸν πλοῦτο του, καὶ τὰ ἀγαθὰ ποὺ ἔτρεχαν σὰν πηγές, τίς τιμές, τὶς ἐμφανίσεις του στὸν κόσμο καὶ ὅλη τὴ λαμπρότητά του, ὥστε μὲ τὴ σύγκριση αὐτῶν νὰ δείξει πολὺ πιὸ φοβερότερες τὶς παροῦσες συμφορὲς ποὺ τὸν κατέλαβαν. Αὐτὸ λοιπὸν καὶ ὁ προφήτης ἔκανε τώρα, ὑπενθυμίζοντας τὶς θῆκες, καὶ δὲν ἀρκέσθηκε σ' αὐτές, ἀλλὰ καὶ παρουσίασε αὐτὲς νὰ πενθοῦν. Διότι αὐτὸ τὸ εἶδος τοῦ λόγου εἶναι πολὺ πιὸ ἐκφραστικό, ὅταν χρησιμοποιεῖ τέτοιου εἴδους προσωποποιήσεις. Ἀκόμα βέβαια καὶ ἀμπέλια παρουσιάζει νὰ θρηνοῦν, καὶ οἶνο, ὥστε περισσότερο νὰ πλησιάσει τοὺς ἀκροατὲς καὶ νὰ ἐπιπλήξει τὴν πνευματικὴ ἀδιαφορία τους.

Τί σημαίνει δὲ «Θὰ ἐγκαταλειφθεῖς μόνη»; Θ' ἀπομείνεις, λέγει, ἔρημη καὶ ἀπὸ συμμάχους καὶ ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ, καὶ θ' ἀπογυμνωθεῖς καὶ ἀπὸ ὅλη τὴν ἄλλη λαμπρότητά σου, καὶ θὰ εἶσαι κυκλουμένη ἀπὸ παντοῦ ἀπὸ τοὺς ἐχθροὺς καὶ θὰ ἐγκαταλειφθεῖς ἀνάμεσα στοὺς βαρβάρους. Ἔπειτα, θέλοντας νὰ παρουσιάσει τὴν ὑπερβολικὴ ταπείνωσή της, λέγει· «Καὶ θὰ κατεδαφισθεῖτε». Δὲν θὰ πέσεις, εἶπε, οὔτε θὰ καταγκρεμισθεῖς, ἀλλὰ χρησιμοποίησε ἄλλη λέξη γὰ νὰ δείξει σαφέστερα ὅλην τὴν εὐτέλεια αὐτῆς.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

«Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνθρώπου ἑνός, λέγουσαι· τὸν ἄρτον ἡμῶν φαγώμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλώμεθα· πλὴν τὸ ὄνομά σου κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν.

1. Τὴν ἐκ τοῦ πολέμου συμβᾶσαν ὀλιγανθρωπίαν ἐμφῆναι βούλεται, καὶ πῶς εἰς ἐλάχιστον περιέστη ὁ δῆμος τῶν Ἰουδαίων. Οὐδὲ γὰρ προστασίας ἔφησαν δεῖσθαι ταῖς γυναιξὶ προσηκούσης ὑπὸ ἀνδρῶν παρέχεσθαι, ἀλλὰ ἀτελῆ τῆς λειτουργίας αὐτὸν ἀφεῖναι ταύτης, καὶ στέργειν καὶ ἀγαπᾶν, εἰ ἁπλῶς γοῦν καὶ ὡς ἔτυχε τοῦ τῆς χηρείας ἀπαλλάγειεν ὀνόματος. Τοῦτο γάρ ἐστιν «Ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν»· ἐπειδὴ τὸ παλαιὸν ὄνειδος τοῦτο εἶναι ἐδόκει.

«Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ Θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ τοῦ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ». Ἐπειδὴ σφόδρα κατέσεισε τὴν διάνοιαν αὐτῶν τῇ τῶν λυπηρῶν ἀπειλῇ, καὶ τὴν συμφορὰν ἱκανῶς ἐτραγῴδησε, καὶ μακρὸν ἀπέτεινε λόγον τὰ φοβερὰ διηγούμενος, μεταβάλλει λοιπὸν ἐπὶ τὰ χρηστότερα. Τοῦτο γὰρ ἰατρείας ἀρίστης τρόπος, μὴ τέμνειν μηδὲ καίειν μόνον, ἀλλὰ καὶ τὰς ἐκεῖθεν γινομένας ὀδύνας προσηνέσι παραμυθεῖσθαι φαρμάκοις· τοῦτο δὴ καὶ αὐτὸς ποιεῖ. Οὐ γὰρ δὴ εἰς τὰ σκυθρωπὰ καταλύσειν ἔφησε τὸ πᾶν, ἀλλά, τῶν πονηρῶν ἐκ

ΚΕΦΑΛΑΙΟ Δ'.

«Καὶ θὰ πιάσουν ἑφτὰ γυναῖκες ἕνα ἄνδρα καὶ θὰ τοῦ λέγουν· θὰ τρῶμε τὸν δικό μας ἄρτο καὶ θὰ ντυνόμαστε μὲ τὰ δικά μας ἐνδύματα· ἁπλῶς μόνο δῶσε μας τὸ ὄνομά σου σὰν συζύγου, καὶ ἀφαίρεσέ μας τὴ ντροπή μας».

1. Μὲ τὰ λόγια αὐτὰ θέλει νὰ δείξει τὴν ὀλιγανθρωπία ποὺ θὰ συμβεῖ ἀπὸ τὸν πόλεμο, καὶ πῶς κατάντησε στὸ ἐλάχιστο ὁ λαὸς τῶν Ἰουδαίων. Διότι δὲν εἶναι ὅτι χρειάζονται προστασία, ποὺ ἁρμόζει νὰ παρέχεται ἀπὸ τοὺς ἄνδρες στὶς γυναῖκες, ἀλλὰ τὸν ἀφήνουν ἀπαλλαγμένο ἀπὸ αὐτὴν τὴν ὑποχρέωση, τὸ νὰ δείχνει δηλαδὴ στοργὴ καὶ ἀγάπη πρὸς αὐτές, ἐὰν ἁπλῶς καὶ μόνο συνέβαινε ν' ἀπαλλαγοῦν ἀπὸ τὸ ὄνομα τῆς χηρείας. Διότι αὐτὸ σημαίνει τό, «Ἀφαίρεσε τὸν ὀνειδισμό μας»· ἐπειδὴ τὴν παλιὰ ἐποχὴ ὄνειδος αὐτὸ θεωροῦνταν ὅτι εἶναι.

«Κατὰ τὴν ἡμέρα δὲ ἐκείνη θὰ λάμψει στὴ γῆ ἀπὸ τὸν οὐρανὸ ὁ Θεὸς μὲ τὴ σοφία του καὶ τὴ δόξα του, γιὰ νὰ ὑψώσει καὶ νὰ δοξάσει τὸ μέρος ἐκεῖνο τοῦ Ἰσραὴλ ποὺ ἀπέμεινε». Ἀφοῦ συγκλόνισε ὑπερβολικὰ τὴ σκέψη αὐτῶν μὲ τὴν ἀπειλὴ τῶν λυπηρῶν, περιέγραψε μὲ τραγικὸ τρόπο ἱκανὰ τὴ συμφορά, καὶ ἀπηύθυνε μακρὸ λόγο διηγούμενος τὰ φοβερά, μεταφέρει πλέον τὸ λόγο πρὸς τὰ χρηστότερα. Διότι αὐτὸς εἶναι ὁ τρόπος τῆς ἄριστης ἰατρείας, τὸ νὰ μὴ ἐγχειρίζει ὁ ἰατρὸς μόνο οὔτε καὶ νὰ καίει τὶς πληγές, ἀλλὰ καὶ τοὺς πόνους ποὺ προέρχονται ἀπὸ αὐτὰ νὰ τοὺς καταπραΰνει μὲ κατάλληλα φάρμακα. Αὐτὸ λοιπὸν κάμνει καὶ αὐτός. Διότι βέβαια δὲν εἶπε ὅτι τὸ πᾶν θὰ καταλήξει μὲ τὰ δυσάρεστα, ἀλλ', ἀφοῦ ἐξαλειφθοῦν ἀ-

μέσου ληφθέντων, διαδέχεσθαι τὰ χρηστότερα· καὶ οὐκ ἀπαλλαγὴν ἔσεσθαι μόνον τῶν ἀηδῶν, ἀλλὰ καὶ πολλὴν τὴν περιφάνειαν καὶ μεγάλην τὴν λαμπρότητα. Τοῦτο γὰρ ἐπίλαμψιν Θεοῦ καλεῖ, τὸ σκότος τῆς ἀθυμίας λύουσαν, καὶ φαιδρὰν ποιοῦσαν ἡμέραν, καὶ περιφανεῖς καθιστῶσαν. Τὸ δέ, «Ἐν βουλῇ», ὅτι συνετῶς, φησί, πάντα ἐργάσεται, καὶ μετὰ τῆς προσηκούσης αὐτῷ σοφίας.

«Καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ ἐν Σιών, καὶ τὸ καταλειφθὲν ἐν Ἰερουσαλήμ, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἰερουσαλήμ». Ἵνα μάθῃς ὅτι οὐ συντυχίας τινὸς ἡ σωτηρία γέγονε τῶν διαφυγόντων τὸν κίνδυνον, ἀλλ' ἐκ τῆς ἄνωθεν ψήφου τειχισθέντες, καὶ ἐν μέσοις τοῖς δεινοῖς ὄντες οὐχ ἑάλωσαν, διὰ τοῦτό φησιν· «Ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἰερουσαλήμ». Οἱ ἀφορισθέντες, φησίν, οἱ δοκιμασθέντες, οἱ τυπωθέντες, μηδὲν παθεῖν δεινόν. Εἰκότως δὲ αὐτοὺς ἁγίους καλεῖ, δεικνύς, ὅτι οὐχ ἁπλῶς ὁ ἀφορισμὸς αὐτοὺς ἀπήλλαξεν, οὐδὲ ἁπλῶς ἡ τοῦ Θεοῦ ψῆφος, ἀλλά τι καὶ ἡ τῶν τρόπων εἰσήνεγκεν ἀρετή, εἴτε προτέρα, εἴτε μετὰ ταῦτα. Εἰ γὰρ καὶ χρηστοί τινες ἦσαν καὶ ἐπιεικεῖς, ἀλλ' ὅμως ὑπὸ τῶν συμβάντων βελτίους ἐγένοντο καὶ ἀκριβέστεροι. Καθάπερ γὰρ τὸ χρυσίον τῷ πυρὶ παραδιδόμενον πᾶσαν ἀποτίθεται κηλῖδα, οὕτω καὶ οἱ σπουδαῖοι σπουδαιότεροι καθίστανται ἐν τοῖς πειρασμοῖς, πᾶσαν ἀπονιπτόμενοι ῥᾳθυμίαν.

«Ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως». Διπλοῦν ἐνταῦθά μοι δοκεῖ λέγειν καθαρμόν, καὶ τὸ δοῦναι δίκην ὧν ἥμαρτον, καὶ τὸ σπουδαιοτέρους γενέσθαι πρὸς τὸν μέλλον ἐντεῦθεν. Αἷμα δὲ Ἰερουσαλὴμ τοὺς φόνους λέγει, τὰς σφαγὰς

πὸ τὸ μέσο ὅλα τὰ κακά, θὰ διαδεχθοῦν αὐτὰ τὰ χρηστότερα· καὶ δὲν θὰ συμβεῖ μόνο ἀπαλλαγὴ ἀπὸ τὰ δυσάρεστα, ἀλλὰ θ' ἀκολουθήσει καὶ μεγάλη μεγαλοπρέπεια καὶ μεγάλη λαμπρότητα. Διότι αὐτὸ ὀνομάζει ἐπίλαμψη τοῦ Θεοῦ, ἡ ὁποία διαλύει τὸ σκοτάδι τῆς λύπης καὶ κάμνει χαρούμενη τὴν ἡμέρα καὶ καθιστᾶ λαμπροὺς τοὺς ἀνθρώπους. Τὸ δέ, «Ἐν βουλῇ», σημαίνει, ὅτι ὅλα θὰ τὰ κάνει μὲ σύνεση καὶ μὲ τὴν πρέπουσα σ' αὐτὸν σοφία.

«Καὶ τότε οἱ Ἰσραηλίτες ποὺ ἀπέμειναν στὴ Σιὼν καὶ ἐκεῖνοι ποὺ ἔμειναν στὴν Ἱερουσαλήμ, θὰ ὀνομασθοῦν ὅλοι ἅγιοι, ὅλοι ὅσοι ἔχουν γραφεῖ στὸ βιβλίο τῆς ζωῆς καὶ θὰ ζοῦν στὴν Ἱερουσαλήμ». Γιὰ νὰ μάθεις ὅτι ἡ σωτηρία ἐκείνων ποὺ διέφυγαν τὸν κίνδυνο δὲν προέκυψε ἀπὸ κάποιο τυχαῖο γεγονός, ἀλλ' ἐπειδὴ περιφρουρήθηκαν ἀπὸ τὴν οὐράνια ἀπόφαση, ἂν καὶ βρίσκονταν μέσα στὰ δεινά, ὅμως δὲν ἐξαφανίσθηκαν, καὶ γι' αὐτὸ λέγει· «Θὰ ὀνομασθοῦν ἅγιοι ὅλοι ἐκεῖνοι ποὺ γράφηκαν στὸ βιβλίο τῆς ζωῆς καὶ θὰ ζοῦν στὴν Ἱερουσαλήμ». Ἐκεῖνοι, λέγει, ποὺ ξεχωρίσθηκαν, ποὺ δοκιμάσθηκαν, ποὺ γράφηκαν, ὥστε νὰ μὴ πάθουν κανένα κακό. Πολὺ σωστὰ δὲ ὀνομάζει αὐτοὺς ἁγίους, γιὰ νὰ δείξει, ὅτι δὲν τοὺς ἀπάλλαξε ἁπλῶς τὸ ξεχώρισμα αὐτό, οὔτε ἁπλῶς ἡ ἀπόφαση τοῦ Θεοῦ, ἀλλ' ὅτι συνέβαλε σ' αὐτὸ κατά τι καὶ ἡ ἐνάρετη διαγωγή τους, εἴτε ἡ προηγούμενη, εἴτε ἡ στὴ συνέχεια. Διότι ἂν καὶ ὑπῆρχαν μερικοὶ ἀγαθοὶ καὶ ἐπιεικεῖς, ἀλλ' ὅμως γίνονταν ἀπὸ τὰ συμβάντα καλύτεροι καὶ πιὸ προσεκτικοί. Ὅπως ἀκριβῶς δηλαδὴ ὁ χρυσὸς παραδιδόμενος στὴ φωτιὰ ἀποβάλλει κάθε ξένη ὕλη, ἔτσι καὶ οἱ σπουδαῖοι γίνονται σπουδαιότεροι μὲ τοὺς πειρασμούς, καθαριζόμενοι ἀπὸ κάθε ἀδιαφορία.

«Διότι ὁ Κύριος θὰ πλύνει τὴν ἀκαθαρσία τῶν υἱῶν καὶ τῶν θυγατέρων τῆς Σιὼν καὶ θὰ καθαρίσει ἀπὸ ἀνάμεσά τους τὸ αἷμα αὐτῶν μὲ πνεῦμα κρίσεως καὶ πνεῦμα καύσεως». Ἐδῶ μοῦ φαίνεται ὅτι ὁμιλεῖ γιὰ διπλὸ καθάρισμα, καὶ ὅτι θὰ τιμωρηθοῦν γιὰ τὰ ἁμαρτήματα ποὺ διέπραξαν, καὶ ὅτι θὰ γίνουν ἐξ αἰτίας αὐτοῦ καλύτεροι στὸ μέλλον. Αἷμα δὲ τῆς Ἱερουσαλὴμ

τὰς ἀδίκους. Εἶτα αὔξων τὸ ἔγκλημά φησιν, «Ἐκ μέσου αὐτῶν». Οὐδὲ γὰρ λανθάνοντες καὶ κρυπτόμενοι τὰς ἀνδροφονίας ἐτόλμων, ἀλλὰ τῶν λῃστῶν καὶ τῶν τὰς λεωφόρους ἐφεδρευόντων χεῖρον. Ἐκεῖνοι γὰρ καὶ τῷ σκότῳ κρυπτόμενοι καὶ ταῖς ἐρημίαις τολμῶσι τὰ εἰωθότα, οὗτοι δὲ ἐν μέσαις ταῖς ἀγοραῖς, ἐν μέσῃ τῇ πόλει, ἐν αὐτοῖς τοῖς δικαστηρίοις τὰ ἐκείνων παρηνόμουν.

Ἀλλὰ καὶ τὴν ἐκεῖθεν, φησί, γενομένην κηλῖδα ἐπελθὼν ὁ πόλεμος ἀναλώσει. Καὶ γὰρ ἐν τῷ καιρῷ τῶν χρηστῶν ὑπὲρ τῶν προτέρων ἀπολογεῖται λυπηρῶν, ὅτι καὶ αὐτὰ ἐκεῖνα τὰ συμβάντα διὰ τοῦτο συνέβη, ἵνα ἐκπλυθῶσιν, ἵνα καθαρθῶσιν, ἵνα πυρωθῶσιν, ἵνα πᾶσαν ἀποθῶνται κηλῖδα, ἵνα τὸ ἐκ τῶν ἁμαρτημάτων καὶ τῶν σφαγῶν ἀπονίψωνται ὄνειδος. Τί δέ ἐστιν ὅ φησι, «Πνεύματι κρίσεως καὶ πνεύματι καύσεως»; Τῇ μεταφορᾷ τῶν χωνευομένων ὑλῶν ἐπέμενεν. Ὥσπερ γὰρ ἐκεῖ τὸ πνεῦμα εἰς τὸ χωνευτήριον ἐμπῖπτον καὶ τὴν φλόγα ἀναρριπίζον, καὶ θερμοτέρους ποιοῦν τοὺς ἄνθρακας, ἅπαντα δαπανᾷ ῥύπον, οὕτω καὶ ἐνταῦθα ἡ θεήλατος ὀργή, καὶ ἡ τῶν πολεμίων ἔφοδος ἐμπεσοῦσα, ἀντὶ πυρὸς τῇ πόλει γέγονε, πυρὸς οὐκ ἀπολλύντος, ἀλλὰ καίοντος, καὶ καθαίροντος, καὶ κολάζοντος, καὶ διορθουμένου. Τὸ γάρ, «Πνεύματι κρίσεως», τουτέστι, κολάσεως, τιμωρίας, ἐκδικήσεως.

«Καὶ ἥξει Κύριος». Παρουσίαν αὐτοῦ τὴν ἐνέργειαν καλεῖ. «Καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιών, καὶ πάντα τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ, καὶ ὡς φωτὸς πυρὸς καιομένου νυκτός, πάσῃ τῇ δόξῃ σκεπασθήσεται. Καὶ ἔσται εἰς σκιὰν ἡμέρας ἀπὸ καύματος, καὶ ἐν

ὀνομάζει τοὺς φόνους, τὶς ἄδικες σφαγές. Ἔπειτα, αὐξάνοντας τὴν κατηγορία, λέγει, «Ἀνάμεσά τους». Διότι δὲν ἐπιχειροῦσαν νὰ πράξουν τὶς ἀνδροφονίες στὰ ὕπουλα καὶ κρυφά, ἀλλὰ χειρότερα ἀπὸ τοὺς ληστὲς καὶ ἀπὸ ἐκείνους ποὺ παραμονεύουν στὶς ὁδούς. Καθόσον ἐκεῖνοι ἐπιχειροῦν νὰ πράξουν τὰ συνηθισμένα ἐγκλήματά τους καὶ κρυβόμενοι μὲ τὸ σκοτάδι καὶ μέσα στὶς ἐρημιές, ἐνῶ αὐτοὶ διέπρατταν τὶς παρανομίες ἐκείνων μέσα στὶς ἀγορές, μέσα στὴν πόλη καὶ μέσα στὰ ἴδια τὰ δικαστήρια.

Ἀλλά, λέγει, καὶ τὴν ἀκαθαρσία ποὺ προῆλθε ἀπὸ αὐτὲς τὶς πράξεις τους, θὰ τὴν ἐξαφανίσει ἀφοῦ ἔρθει ὁ πόλεμος. Καθόσον κατὰ τὸν χρόνο τῶν ἀγαθῶν καὶ τῶν εὐχαρίστων ἀπολογεῖται γιὰ τὰ προηγούμενα δυσάρεστα, ὅτι δηλαδὴ καὶ τὰ ἴδια ἐκεῖνα τὰ συμβάντα γι' αὐτὸ συνέβηκαν, γιὰ νὰ πλυθοῦν, γιὰ νὰ καθαρισθοῦν, γιὰ νὰ περάσουν μέσα ἀπὸ τὸ καμίνι τῆς φωτιᾶς, γιὰ ν' ἀποβάλουν κάθε εἶδος ἀκαθαρσίας, γιὰ νὰ ἀποπλύνουν τὴν ντροπὴ ἀπὸ τὰ ἁμαρτήματα καὶ τὶς σφαγές. Τί σημαίνει δὲ αὐτὸ ποὺ λέγει, «Μὲ πνεῦμα κρίσεως καὶ μὲ πνεῦμα καύσεως»; Ἐπέμενε στὴ μεταφορικὴ σημασία τῶν ὑλῶν ποὺ ρίχνονται στὸ χωνευτήρι γιὰ νὰ καθαρισθοῦν ἀπὸ ξένες ὕλες. Διότι ὅπως ἀκριβῶς ἐκεῖ πέφτοντας ὁ ἀέρας μέσα στὸ χωνευτήρι μὲ ὁρμὴ καὶ ζωηρεύοντας τὴ φλόγα κάμνει τοὺς ἄνθρακες θερμότερους καὶ ἐξαφανίζει κάθε ἀκαθαρσία, ἔτσι καὶ ἐδῶ ἡ θεόσταλτη ὀργὴ καὶ ἡ ἔφοδος ποὺ ἔγινε ἀπὸ μέρους τῶν ἐχθρῶν, ὑπῆρξε γιὰ τὴν πόλη σὰν φωτιά, σὰν φωτιὰ ποὺ δὲν καταστρέφει, ἀλλὰ καίει, καθαρίζει, τιμωρεῖ καὶ διορθώνει. Διότι τό, «Πνεῦμα κρίσεως», ἔχει τὴ σημασία τῆς κολάσεως, τῆς τιμωρίας, τῆς ἐκδικήσεως.

«Καὶ θὰ ἔρθει ὁ Κύριος». Παρουσία αὐτοῦ ὀνομάζει τὴν ἐνέργειά του. «Καὶ θὰ συμβεῖ τότε ὁλόκληρος ὁ τόπος τοῦ ὄρους τῆς Σιὼν καὶ ὅλα τὰ μέρη γύρω ἀπὸ τὴν Ἱερουσαλὴμ νὰ τὰ ἐπισκιάσει κατὰ τὴ διάρκεια τῆς ἡμέρας μία νεφέλη, καὶ κατὰ τὴ διάρκεια τῆς νύχτας σὰν ἕνας καπνὸς καὶ σὰν κάποιο φῶς ποὺ προέρχεται ἀπὸ φωτιὰ ποὺ καίει, καὶ θὰ σκεπασθεῖ ὅ-

σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ». Νεφέλην ἐνταῦθα τὴν ἐκ τῶν κακῶν ἐγγινομένην παραψυχήν φησι, πυρὰν δὲ τὴν μετὰ τῆς παραμυθίας περιφάνειαν προσγινομένην. Ὅπερ γάρ ἐστι ἐν καύματι νεφέλη, τοῦτο ἐν σκότῳ καὶ νυκτὶ βαθυτάτῃ πυρὰ λαμπροῦ ἀναπτομένη. Ἡ μὲν γὰρ τὸν αὐχμὸν ἀποκρούεται, ἡ δὲ διαλύει τὸν ζόφον. Τὴν μὲν οὖν περιφάνειαν τῇ λαμπρότητι τῆς πυρᾶς, τὴν δὲ ἄνεσιν τῇ σκιᾷ τῆς νεφέλης παρέβαλεν.

Εἶτα δεικνὺς ὡς οὐ κατὰ μικρὸν τῶν δεινῶν λυομένων ταῦτα ἔσται, ἀλλὰ ἀθρόον ἐν αὐτῇ τῶν λυπηρῶν ἀκμῇ ἡ μεταβολὴ γενήσεται, ἵνα καὶ ἐντεῦθεν μάθωσιν, ὅτι οὐχὶ ἐκ περιφορᾶς τινος καὶ συντυχίας ἡ πρὸς τὸ βέλτιον γέγονε μετάστασις, ἀλλ' ἐκ τῆς ἄνωθεν δυνάμεως τὸ πᾶν κατώρθωται, «Ὡς πυρὸς καιομένου νυκτός», φησίν, οὕτως ἡ μεταβολὴ γενήσεται, «Καὶ ἔσται εἰς σκιὰν ἡμέρας». Τίς ἔσται; Ἡ τοῦ Θεοῦ βοήθεια, φησί, καὶ ἡ συμμαχία· ὥσπερ σκιὰ ἐν καύματι, καὶ ὥσπερ ὄροφος ἢ κατάδυσίς τις σπηλαίου, ὄμβρου καταρρηγνυμένου σφοδροῦ, ἐν ἀσφαλείᾳ τὸν ἐκεῖ καταφυγόντα διατηροῦσα, οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ συμμαχία οὐκ ἀφήσει δεινὸν οὐδὲν παθεῖν, καὶ τοσούτου καταρρηγνυμένου πολέμου, οὓς ἂν ἕληται ἐξ ἀρχῆς διασῶσαι.

λος αὐτὸς ὁ τόπος ἀπὸ τὴ μεγαλειώδη δόξα τοῦ Κυρίου. Καὶ ἡ νεφέλη αὐτὴ κατὰ τὴ διάρκεια τῆς ἡμέρας θὰ προστατεύει ὅπως ἡ σκιὰ ἀπὸ τὸ καύσωνα καὶ ὅπως ἡ σκέπη καὶ ὁ κρυψώνας ἀπὸ τὴν κακοκαιρία καὶ τὴ βροχή». Νεφέλη ἐδῶ ὀνομάζει τὴν παρηγοριὰ ποὺ δημιουργεῖται μετὰ ἀπὸ τὸ πέρασμα τῶν συμφορῶν, πυρὰ δὲ ὀνομάζει τὴν περιφάνεια ποὺ δημιουργεῖται μετὰ ἀπὸ τὴν παρηγοριά. Διότι ἐκεῖνο ἀκριβῶς ποὺ εἶναι ἡ νεφέλη γιὰ τὴν ὥρα τοῦ καύσωνα, αὐτὸ εἶναι μέσα στὸ σκοτάδι καὶ τὴ βαθειὰ νύχτα ἡ γεμάτη ἀπὸ λαμπρότητα φωτιὰ ποὺ ἀνάβει. Καθόσον ἡ μὲν νεφέλη ἀπομακρύνει τὸν καύσωνα, ἡ δὲ φωτιὰ διαλύει τὸ σκοτάδι. Τὴν μὲν λοιπὸν περιφάνεια τὴν παρέβαλε μὲ τὴ λαμπρότητα τῆς φωτιᾶς, τὴν δὲ ἄνεση μὲ τὴ σκιὰ τῆς νεφέλης.

Ἔπειτα, γιὰ νὰ δείξει ὅτι ἡ ἀπομάκρυνση τῶν συμφορῶν αὐτῶν δὲν θὰ συμβεῖ σιγά-σιγά, ἀλλ' ἡ μεταβολὴ θὰ γίνει μέσα σὲ μιὰ στιγμὴ καὶ ἐνῶ τὰ λυπηρὰ θὰ βρίσκονται στὸ ἀποκορύφωμά τους, ὥστε καὶ ἀπὸ ἐδῶ νὰ μάθουν, ὅτι ἡ μεταβολὴ πρὸς τὸ καλύτερο ἔγινε ὄχι ἀπὸ κάποιο τυχαῖο γεγονὸς ἢ σύμπτωση, ἀλλὰ τὸ πᾶν κατορθώθηκε μὲ τὴν οὐράνια δύναμη, λέγει, ὅτι ἡ μεταβολὴ θὰ γίνει ἔτσι, «Ὅπως ἡ φωτιὰ ποὺ καίει τὴ νύχτα», «Καὶ θὰ εἶναι σὰν τὴ σκιὰ κατὰ τὴ διάρκεια τῆς ἡμέρας». Ποιὰ θὰ εἶναι; Ἡ βοήθεια τοῦ Θεοῦ, λέγει, καὶ ἡ συμμαχία αὐτοῦ· καὶ ὅπως ἡ σκιὰ κατὰ τὴν ὥρα τοῦ καύσωνα, καὶ ἡ στέγη ἢ κάποια βαθιὰ σπηλιά, διατηρεῖ σὲ ἀσφάλεια ἐκεῖνον ποὺ καταφεύγει ἐκεῖ, ὅταν πέφτει βροχὴ καταρρακτώδης, ἔτσι λοιπὸν καὶ ἡ συμμαχία τοῦ Θεοῦ δὲν θ' ἀφήσει νὰ πάθουν κανένα κακό, καὶ ἂν ἀκόμα ξεσπᾶ τόσο τρομερὸς πόλεμος, ἐκείνους ποὺ θέλησε ἀπὸ τὴν ἀρχὴ νὰ διασώσει.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

«Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου».

1. Φοβήσας τοῖς λυπηροῖς, εὐφράνας τοῖς χρηστοῖς, ποικίλην τὴν θεραπείαν ἐργασάμενος, εἰς ἀρχὴν πάλιν ἑτέραν ἀνάγει τὸν λόγον, ἀρχὴν ἐοικυῖαν τῷ προοιμίῳ τῆς προφητείας. Καθάπερ γὰρ ἀρχόμενος τὰς εὐεργεσίας ἀπήγγειλε τοῦ Θεοῦ τὰς εἰς αὐτοὺς γεγενημένας, λέγων, «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα», καὶ τὰς παρανομίας τὰς ὑπ' αὐτῶν τολμηθείσας ἐπάγων καὶ προστιθείς, ὅτι «Αὐτοί με ἠθέτησαν», καί, ὅτι «Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου ἐμὲ οὐ συνῆκεν», οὕτω δὴ καὶ ἐνταῦθα λέξεσι μὲν ἑτέραις, νοήμασι δὲ τοῖς αὐτοῖς τὰ αὐτὰ τοῖς προτέροις ἐνδείκνυται. Ἀλλὰ τίνος ἕνεκεν, κατηγορεῖν μέλλων, ᾆσμα τὴν κατηγορίαν καλεῖ; Μωϋσῆς μὲν γὰρ εἰκότως τοῦτο ἐποίησε μετὰ τῆς Μαρίας, ἅτε τὴν ἐπινίκιον μέλλων ᾄδειν ᾠδήν, καὶ εἰκότως οὕτως ἀρχόμενος ἔλεγεν· «Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν».

Καὶ ἡ Δεβόρα δέ, μετὰ τὸ θαυμαστὸν ἐκεῖνο τρόπαιον καὶ τὴν παράδοξον νίκην, εἰκότως ᾠδὴν ὑφαίνει τὴν ἐπινίκιον ἐκείνην, εὐφημίαν ἀναφέρουσα τῷ Θεῷ. Οὗτος δέ, κατηγορεῖν μέλλων καὶ συντόνου λόγου δεόμενος, καὶ ψυχῆς οὐκ ἀνειμένης, ἀλλὰ συντεταμένης, ᾄσειν ἡμῖν ἐπαγγέλλε-

1. Ἡσ. 1, 2.
2. Ἡσ. 1, 2.
3. Ἡσ. 1, 3.
4. Ἐξ. 15, 1.
5. Κριτ. κεφ. 5.

ΚΕΦΑΛΑΙΟ Ε΄.

«Θὰ ψάλω λοιπὸν γιὰ τὸν ἀγαπημένο μου ὕμνο εὐχαριστίας, γιὰ τὸν ἀμπελῶνα αὐτὸν τοῦ ἀγαπητοῦ μου Κυρίου».

1. Ἀφοῦ τοὺς φόβησε μὲ τὰ λυπηρά, τοὺς γέμισε ἀπὸ χαρὰ μὲ τὰ ἀγαθὰ καὶ ἐπέτυχε μὲ ποικίλο τρόπο τὴ θεραπεία, μεταφέρει πάλι τὸ λόγο σὲ ἄλλη ἀρχή, σὲ ἀρχὴ ποὺ ὁμοιάζει μὲ τὸ προοίμιο τῆς προφητείας. Διότι, ὅπως ἀκριβῶς ἀρχίζοντας τὸ λόγο του ἀνέφερε τὶς εὐεργεσίες τοῦ Θεοῦ ποὺ ἔγιναν σ' αὐτούς, λέγοντας, «Υἱοὺς γέννησα καὶ ὕψωσα»[1], καὶ πρόσθεσε καὶ τὴν κατηγορία γιὰ τὶς παρανομίες ποὺ διεπράχθηκαν ἀπ' αὐτούς, λέγοντας, «Αὐτοὶ μὲ ἀρνήθηκαν»[2], καί, «Ὁ Ἰσραὴλ δὲ δὲν μὲ ἀναγνώρισε σὰν Κύριό του καὶ ὁ λαός μου δὲν μὲ ἀντιλήφθηκε»[3], ἔτσι λοιπὸν καὶ ἐδῶ παρουσιάζει μὲ ἄλλες μὲν λέξεις, τὰ ἴδια ὅμως νοήματα μὲ τὰ προηγούμενα. Ἀλλὰ γιὰ ποιὸ λόγο, ἐνῶ πρόκειται νὰ τοὺς κατηγορήσει, ὀνομάζει τὴν κατηγορία ἄσμα; Διότι ὁ μὲν Μωϋσῆς πολὺ σωστὰ τὸ ἔκανε αὐτὸ μὲ τὴν Μαρία, λόγω τοῦ ὅτι ἐπρόκειτο νὰ ψάλουν τὴν ἐπινίκια ᾠδή, καὶ πολὺ εὔλογα ἀρχίζοντας αὐτὴν ἔλεγε τὰ ἑξῆς· «Ἂς ψάλουμε στὸν Κύριο, διότι δοξάσθηκε πάρα πολὺ καὶ μὲ τρόπο θαυμαστό· τὸν ἵππο καὶ τὸν ἀναβάτη του ἔρριξε στὴ θάλασσα»[4].

Καὶ ἡ Δεβώρα δέ, μετὰ τὸ θαυμαστὸ ἐκεῖνο τρόπαιο καὶ τὴν παράξενη νίκη, πολὺ σωστὰ ψάλλει τὴν ἐπινίκια ἐκείνη ᾠδή, προσφέροντας ἐγκώμιο στὸ Θεό[5]. Αὐτὸς ὅμως, ἐνῶ πρόκειται νὰ κατηγορήσει καὶ χρειάζεται ὁρμητικὸ λόγο καὶ ψυχὴ γεμάτη ἀπὸ δύναμη καὶ σφοδρότητα καὶ ὄχι παραλυμένη καὶ ἀ-

ται, καὶ ᾆσμα τὰ ἐγκλήματα καλεῖ. Οὐκ αὐτὸς δὲ μόνος, ἀλλὰ καὶ ὁ μέγας ἐκεῖνος Μωϋσῆς τὴν ἐπινίκιον τότε ᾄσας ᾠδήν, κατηγορῶν τῶν Ἰουδαίων, μακρὰν ᾠδὴν τὰ ἐγκλήματα πεποίηκε, λέγων, «Ταῦτα τῷ Κυρίῳ ἀνταποδίδοτε; Οὗτος ὁ λαὸς μωρός, καὶ οὐχὶ σοφός», καί, πολλὰς συνθεὶς κατηγορίας, ᾄδοντας αὐτοὺς ταῦτα λέγειν ἐνομοθέτει· καὶ ἔτι καὶ νῦν ᾄδοντες ταῦτα λέγομεν καὶ ἡμεῖς.

Τίνος οὖν ἕνεκεν τὰς κατηγορίας ᾠδὴν ποιοῦσι; Σοφίᾳ κεχρημένοι πνευματικῇ καὶ πολὺ τὸ κέρδος ἐνθεῖναι ταῖς τῶν ἀκουόντων βουλόμενοι ψυχαῖς. Ἐπειδὴ γὰρ οὐδὲν οὕτω χρήσιμον, ὡς τὸ πλημμελημάτων μεμνῆσθαι διηνεκῶς, μνήμην δὲ οὐδὲν οὕτω μόνιμον ὡς μελῳδία ποιεῖ, ἵνα μὴ διὰ τὴν ὑπερβολὴν τῶν κατηγοριῶν ὀκνοῦντες ἀναδυόμενοι φεύγωσι τὸ συνεχῶς μεμνῆσθαι τῶν οἰκείων ἁμαρτημάτων, τῷ μέλει τῆς ᾠδῆς ὑποκλέπτων τὴν ἀπὸ τῆς μνήμης αἰσχύνην, καὶ τὴν ἀφόρητον ἀθυμίαν παραμυθούμενος, ᾄσματα αὐτὰ πεποίηκεν, ἵνα τῷ πόθῳ μελῳδίας ἀναγκαζόμενοι συνεχῶς αὐτὰ φθέγγεσθαι, συνεχῶς αὐτῶν ὦσι μεμνημένοι, καὶ διηνεκῶς ἔχωσί τινα διδασκαλίαν ἀρετῆς τὴν διηνεκῆ τῶν ἁμαρτημάτων μνήμην. Ἴστε γοῦν, ὅτι καὶ νῦν τὰ μὲν ἄλλα οὐδ᾿ ἐξ ὀνόματος τοῖς πολλοῖς ἐστι Βιβλία γνώριμα, τὴν δὲ τῶν ψαλμῶν πραγματείαν ἐπὶ στόματος ἅπαντες φέρουσι, καὶ αὐτὰς ταύτας τὰς ᾠδάς· οὕτω δι᾿ αὐτῶν τῶν πραγμάτων δείκνυται, πόσον ἀπὸ τῆς μελῳδίας τὸ κέρδος ἐστί. Διὰ δὴ τοῦτο καὶ αὐτός φησιν· «Ἄσω δὲ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου».

Ἆσμα τῷ ἠγαπημένῳ», φησίν, «ἀμπελῶνι»· ᾄσω περὶ αὐτοῦ τοῦ ἠγαπημένου. Καὶ αὐτῷ γὰρ ᾄδω, φησί, καὶ ἡ ὑπό-

---

6. Δευτ. 32, 6.

διάφορη, μᾶς ἀναγγέλλει ὅτι θὰ ψάλει, καὶ ὀνομάζει τὶς κατηγορίες ἆσμα. Καὶ ὄχι αὐτὸς μόνο, ἀλλὰ καὶ ὁ μέγας ἐκεῖνος Μωϋσῆς, ἀφοῦ ἔψαλε τότε τὴν ἐπινίκια ᾠδή, κατηγορώντας τοὺς Ἰουδαίους, ἔπλεξε μακρὰ ᾠδὴ γεμάτη ἀπὸ κατηγορίες, λέγοντας, «Αὐτὰ ἀνταποδίδετε στὸν Κύριο; Αὐτὸς ὁ λαὸς εἶναι μωρὸς καὶ ὄχι συνετός»[6], καί, ἀφοῦ ἀνέφερε πολλὲς κατηγορίες, ἔδωσε ἐντολὴ ὅλα αὐτὰ νὰ τὰ λέγουν ψάλλοντας· καὶ ἀκόμα καὶ σήμερα καὶ ἐμεῖς τὰ ἀπαγγέλλομε ὑπὸ μορφὴ ψαλμωδίας.

Γιὰ ποιὸ λοιπὸν λόγο συνθέτουν τὶς κατηγορίες ὑπὸ μορφὴ ᾠδῆς; Χρησιμοποιοῦν ἕναν πνευματικὸ τρόπο διδασκαλίας, διότι θέλουν νὰ προσφέρουν μεγάλο κέρδος στὶς ψυχὲς τῶν ἀκροατῶν τους. Ἐπειδὴ δηλαδὴ τίποτε δὲν ὑπάρχει τόσο χρήσιμο, ὅσο τὸ νὰ θυμᾶται κάποιος συνέχεια τὰ ἁμαρτήματά του, ὑπενθύμηση δὲ αὐτῶν τίποτε δὲν τὴν καθιστᾶ τόσο μόνιμη, ὅσο ἡ μελωδία, γιὰ νὰ μὴ συμβαίνει μὲ τὴν συνεχὴ ὑπενθύμηση τῶν ἁμαρτημάτων τους νὰ κυριεύονται ἀπὸ ἀδιαφορία καὶ νὰ σηκώνονται καὶ νὰ φεύγουν ἐξ αἰτίας τῶν ὑπερβολικῶν κατηγοριῶν, ἐξαφανίζοντας μὲ τὴ μελωδία τῆς ᾠδῆς τὴ ντροπὴ ἀπὸ τὴν ἀνάμνηση αὐτῶν, καὶ προσφέροντας παρηγοριὰ στὴν ἀνυπόφορη στενοχώρια, συνέθεσε αὐτὰ μὲ μορφὴ ἀσμάτων, ὥστε, κυριευμένοι ἀπὸ τὸν πόθο τῆς μελωδίας, νὰ ἀναγκάζονται νὰ τὰ λέγουν αὐτὰ συνέχεια, νὰ ἐνθυμοῦνται συνέχεια αὐτά, καὶ νὰ ἔχουν σὰν μιὰ κάποια ἀδιάκοπη διδασκαλία ἀρετῆς τὴν συνεχὴ ἀνάμνηση τῶν ἁμαρτημάτων. Γνωρίζετε βέβαια, ὅτι καὶ σήμερα τῶν μὲν ἄλλων βιβλίων δὲν εἶναι στοὺς πολλοὺς γνωστὸ οὔτε καὶ τὸ ὄνομά τους, ἐνῶ τὸ βιβλίο τῶν ψαλμῶν ὅλοι τὸ προφέρουν στὸ στόμα τους, καὶ μάλιστα αὐτὲς ἀκριβῶς τὶς ᾠδές· ἔτσι ἀπὸ τὰ ἴδια τὰ πράγματα γίνεται φανερό, πόσο μεγάλο εἶναι τὸ κέρδος ἀπὸ τὴ μελωδία. Γι' αὐτὸ βέβαια καὶ αὐτὸς λέγει· «Θὰ ψάλω λοιπὸν γιὰ τὸν ἀγαπημένο μου ὕμνο εὐχαριστίας, γιὰ τὸν ἀμπελῶνα αὐτὸν τοῦ ἀγαπητοῦ μου Κυρίου».

«Ὕμνο», λέγει, «γιὰ τὸν ἀγαπημένο μου ἀμπελῶνα»· θὰ ψάλλω γι' αὐτὸν τὸν ἀγαπημένο μου. Γιὰ χάρη λοιπὸν αὐτοῦ,

θεσις τῆς ᾠδῆς περὶ αὐτοῦ καὶ τῶν αὐτοῦ πραγμάτων ἐστίν. Εἰ δὲ μέλλων κατηγορεῖν, ἀγαπητὸν καλεῖ καὶ ἠγαπημένον, μὴ θαυμάσῃς. Καὶ τοῦτο γὰρ μέγιστον κατηγορίας ἐφόδιον, ὅτι δὴ ἀγαπηθέντες, καὶ τοσαύτης ἀπολαύσαντες παρὰ Θεοῦ τῆς εὐνοίας, οὐδὲ οὕτω βελτίους ἐγένοντο. Τοῦτο γοῦν καὶ ἕτερος προφήτης αἰνιττόμενος ἔλεγεν· «Ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραήλ, ὡς σκοπὸν ἐν συκῇ πρώϊμον εἶδον πατέρας αὐτῶν», τὸ ποθεινὸν αὐτῶν καὶ ἐπέραστον διὰ τῶν καρπῶν τούτων ἐνδεικνύμενος· ποθεινὸν δὲ αὐτὸν καὶ ἐπέραστον οὐ παρὰ τὴν οἰκείαν ἀρετήν, ἀλλὰ παρὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι, ὅτι ἐγὼ μὲν οὕτως ἠγάπησα, ὡς ἄν τις σταφυλὴν εὑρὼν ἐν ἐρήμῳ, ἢ ὡς ἄν τις σκοπὸν ἐν συκῇ (Εἰ γὰρ καὶ ἀνάξια τοῦ Θεοῦ τὰ παραδείγματα, ἀλλὰ κατάλληλα τῆς ἐκείνων γαστριμαργίας), αὐτοὶ δέ, φησί, τοσαύτης ἀπολαύσαντες τῆς ἀγάπης, «Ἀπηλλοτριώθησαν, καὶ εἰσῆλθον πρὸς τὸν Βεελφεγώρ». Οὕτω δὴ καὶ ἐνταῦθα ἠγαπημένον αὐτὸν καλεῖ καὶ ἀγαπητόν, δεικνὺς ὅτι ὁ μὲν Θεὸς τὰ παρ' ἑαυτοῦ πάντα ἐπεδείξατο, οὐκ αὐτῶν ἀρξαμένων, ἀλλὰ τοῦ Θεοῦ ἡγησαμένου, ἐκεῖνοι δὲ οὐδὲ μετὰ ταῦτα ἀξίους ἑαυτοὺς τῆς εὐεργεσίας ἔδειξαν, ἀλλὰ τἀναντία ἐπεδείξαντο ἅπαντα.

2. Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι». Τῷ ὀνόματι τοῦ ἀμπελῶνος πᾶσαν ἐνέφηνε τὴν πρόνοιαν καὶ τὴν περὶ αὐτῶν ἐπιμέλειαν. Οὐ μὴν ἵσταται μέχρι τούτου, ἀλλὰ καὶ τὰ ἕτερα ἀπαριθμεῖται εὐεργετήματα, καὶ πρότερον ἀπὸ τῆς θέσεως τοῦ τόπου τοῦτο ποιεῖ· τὸ γάρ, «Ἐν κέρατι, ἐν τόπῳ πίονι», τὸ μὲν τὴν φύσιν τῆς γῆς ἐπαινῶν ἔλεγε, τὸ δὲ τὴν θέσιν, ὅπερ καὶ ὁ Δαυὶδ ψάλλων ἔφησεν, ὅτι Ἱερουσαλήμ, «ὄρη κύκλῳ αὐτῆς, καὶ Κύριος κύ-

7. Ὡσηὲ 9, 10.

λέγει, ψάλλω καὶ ἡ ὑπόθεση τῆς ᾠδῆς εἶναι γι' αὐτὸν καὶ τὰ πράγματα αὐτοῦ. Ἐὰν δέ, ἐνῶ πρόκειται νὰ τὸν κατηγορήσει, τὸν ὀνομάζει ἀγαπητὸ καὶ ἀγαπημένο, μὴ ἀπορήσεις. Καθόσον καὶ αὐτὸ ἀποτελεῖ μέγιστο ἐφόδιο κατηγορίας, διότι ἂν καὶ ἔτυχαν τῆς ἀγάπης τοῦ Θεοῦ καὶ ἀπόλαυσαν τόση μεγάλη εὔνοια ἐκ μέρους αὐτοῦ, οὔτε ἔτσι ἔγιναν καλύτεροι. Αὐτὸ λοιπὸν ὑπονοώντας καὶ ἄλλος προφήτης, ἔλεγε· «Σὰν τὸ σταφύλι μέσα στὴν ἔρημο βρῆκα τὸν Ἰσραηλιτικὸ λαὸ καὶ εἶδα καὶ πρόσεξα τοὺς προγόνους αὐτῶν σὰν πρώιμο καρπὸ ἐπάνω στὴ συκιά»[7], θέλοντας νὰ δείξει μὲ τοὺς καρποὺς αὐτοὺς τὸ πολυπόθητο καὶ τὸ ἀξιαγάπητο αὐτῶν· θεωρεῖ δὲ αὐτὸν πολυπόθητο καὶ ἀξιαγάπητο ὄχι ἐξ αἰτίας τῆς ἀγάπης του, ἀλλ' ἐξ αἰτίας τῆς ἀγαθότητας τοῦ Θεοῦ. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἐγὼ μὲν τόσο πολὺ τοὺς ἀγάπησα, σὰν τὸ σταφύλι ποὺ θὰ τὸ ἔβρισκε κανεὶς μέσα στὴν ἔρημο, ἢ σὰν τὸν καρπὸ ποὺ θὰ τὸν ἔβρισκε κανεὶς ἐπάνω στὴ συκιά. (Ἂν καὶ βέβαια τὰ παραδείγματα εἶναι ἀνάξια τοῦ Θεοῦ, ἀλλ' εἶναι κατάλληλα τῆς γαστριμαργίας ἐκείνων), αὐτοὶ ὅμως, λέγει, ἂν καὶ ἀπόλαυσαν τόση μεγάλη ἀγάπη, «Ἀποξενώθηκαν καὶ εἰσῆλθαν στὸ ναὸ τοῦ Βεελφεγώρ»[7]. Ἔτσι λοιπὸν καὶ ἐδῶ αὐτὸν ὀνομάζει ἀγαπημένο καὶ ἀγαπητό, γιὰ νὰ δείξει ὅτι ὁ μὲν Θεὸς ἔκανε ὅλα ὅσα ἐξαρτῶνταν ἀπ' αὐτόν, διότι δὲν ἔκαναν τὴν ἀρχὴ ἐκεῖνοι, ἀλλ' ὁ Θεὸς ἄρχισε πρῶτος, ἐκεῖνοι ὅμως οὔτε στὴ συνέχεια κατέστησαν τοὺς ἑαυτούς τους ἄξιους τῆς εὐεργεσίας, ἀλλὰ παρουσίασαν ἐντελῶς τὰ ἀντίθετα.

2. «Ἀμπελώνας δημιουργήθηκε γιὰ τὸν ἀγαπημένο Κύριο ἐπάνω σὲ βουνοκορφὴ καὶ σὲ τόπο εὔφορο». Μὲ τὸ ὄνομα τοῦ ἀμπελώνα παρουσίασε ὅλη τὴν πρόνοια καὶ τὴ φροντίδα τοῦ Κυρίου γι' αὐτούς. Ὅμως δὲν σταματᾶ μέχρι σ' αὐτό, ἀλλ' ἀπαριθμεῖ καὶ τὰ ἄλλα εὐεργετήματα καὶ κάμνει τὴν ἀρχὴ αὐτοῦ πρῶτα ἀπὸ τὴ θέση τοῦ τόπου· διότι τὸ «Ἐπάνω σὲ βουνοκορφὴ καὶ σὲ τόπο εὔφορο», τὸ εἶπε μὲ τὸ μὲν ἕνα γιὰ νὰ ἐπαινέσει τὴ φύση τῆς γῆς, μὲ τὸ ἄλλο δὲ τὴ θέση αὐτῆς, πράγμα ποὺ καὶ ὁ Δαυὶδ εἶπε, λέγοντας, ὅπως τὴν Ἰερουσαλὴμ «Τὴν περικυ-

κλῳ τοῦ λαοῦ αὐτοῦ». Ἐτείχισε μὲν γὰρ αὐτήν, φησὶ καὶ τῇ θέσει τοῦ τόπου, πλὴν οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ τὸ μέγιστον τεῖχος αὐτὸς αὐτῇ γέγονεν, ὃ δὴ καὶ οὗτος αἰνίττεται λέγων, «Ἐν κέρατι», τό τε ἀχείρωτον καὶ τὸ ἀκαταγώνιστον τοῦ τόπου, καὶ πρὸ τούτου, τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν δηλῶν, ἀπὸ μεταφορᾶς τοῦ κέρως τοῦ βοός. Καὶ γὰρ καὶ παροιμία τοιαύτη δημώδης ἐξενήνεκται περὶ τῶν εἰς ἀσφαλές τι χωρίον καταφευγόντων. Ἐπειδὴ γὰρ ἰσχυρότερον πάντων ὁ ταῦρος, αὐτοῦ δὲ τοῦ ζώου τὸ ἰσχυρότερον τὸ κέρας, ὅπλῳ γὰρ αὐτῷ κέχρηται, διὰ τὸ δυσχείρωτον, τοῦτο εἰώθασι λέγειν οἱ πολλοί. Καὶ ἡ Γραφὴ δὲ πολλάκις κέρας μονοκέρωτος καλεῖ τοὺς ἐν ἀσφαλείᾳ ὄντας. Ἐν κέρατι οὖν ἐνταῦθά φησιν, ἐν ἀσφαλείᾳ, ἐν ὕψει, ὅπερ ἀρχόμενος ἔλεγεν· «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα». «Ἐν τόπῳ πίονι», ὅπερ ὁ Μωϋσῆς εἶπε, «Γῆν ῥέουσαν γάλα καὶ μέλι».

«Καὶ φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα». Φραγμὸν ἢ τὸ τεῖχός φησιν, ἢ τὸν νόμον, ἢ τὴν αὐτοῦ πρόνοιαν. Καὶ γὰρ ὁ νόμος τείχους ἀσφαλέστερον αὐτοῖς περιέκειτο. «Καὶ ἐχαράκωσα», τουτέστιν, ἰσχυρὰν τὴν ἀσφάλειαν ἐποιησάμην. Ἐπειδὴ γὰρ πολλάκις φραγμὸς εὐεπιχείρητον, καὶ ἑτέραν, φησί, περιέβαλον αὐτοῖς συμμαχίαν.

«Καὶ ἐφύτευσα ἄμπελον Σωρήχ». Ἐπιμένει τῇ μεταφορᾷ, ἣν οὐ δεῖ κατὰ λέξιν ἑρμηνεύειν, ἀλλὰ τὸν σκοπὸν εἰδότας ἀρκεῖσθαι τούτῳ. «Σωρὴχ» δὲ ἐνταῦθα ἀληθινήν φησιν, εὐγενῆ, οὐχὶ τῶν φαύλων φυτῶν, οὐδὲ τῶν καταδεεστέρων, ἀλλὰ τῶν δοκίμων καὶ πρώτων. Πολλὰ γὰρ ἀμπέλων γένη.

8. Ψαλμ. 124, 2. 9. Ἠσ. 1, 2. 10. Ἐξ. 3, 8.

κλώνουν ὄρη, ἔτσι καὶ ὁ Κύριος θὰ περιφρουρεῖ τὸ λαό του»[8]. Διότι, λέγει, τείχισε μὲν αὐτὴ καὶ μὲ τὴ θέση τοῦ τόπου, πλὴν ὅμως δὲν ἀρκέσθηκε σ' αὐτό, ἀλλὰ τὸ πιὸ πανίσχυρο τεῖχος γι' αὐτὴν ἔγινε αὐτὸς ὁ ἴδιος, πράγμα βέβαια ποὺ καὶ αὐτὸς ὑπαινίσσεται, λέγοντας, «Ἐπάνω σὲ βουνοκορφή», γιὰ νὰ δείξει καὶ τὸ ἀπόρθητο καὶ τὸ ἀκαταγώνιστο τοῦ τόπου, καὶ πρὶν ἀπ' αὐτό, τὴ βοήθεια ἐκ μέρους τοῦ Θεοῦ, ἀποδίδοντας μεταφορικὴ σημασία στὸ κέρατο τοῦ βοδιοῦ ποὺ ἀναφέρει. Καθόσον καὶ παρόμοια λαϊκὴ παροιμία ὑπάρχει γιὰ ἐκείνους ποὺ καταφεύγουν σὲ κάποιο ἀσφαλὲς μέρος. Ἐπειδὴ δηλαδὴ ὁ ταῦρος εἶναι τὸ ἰσχυρότερο ζῶο ἀπ' ὅλα, αὐτοῦ δὲ τοῦ ζώου τὸ ἰσχυρότερο μέρος εἶναι τὸ κέρατο, διότι τὸ χρησιμοποιεῖ σὰν ὅπλο, συνηθίζουν πολλοὶ νὰ τὸ λέγουν γιὰ νὰ δείξουν τὸ δυσκολοπόρθητο. Ἀλλὰ καὶ ἡ Γραφὴ πολλὲς φορὲς ὀνομάζει κέρατο μονοκέρατου ζώου ἐκείνους ποὺ βρίσκονται σὲ ἀσφάλεια. Χρησιμοποιώντας λοιπὸν ἐδῶ τὸ κέρατο ἐννοεῖ τὴν ἀσφάλεια αὐτοῦ, κάποιο ὑψηλὸ μέρος, πράγμα τὸ ὁποῖο ἔλεγε ἀρχίζοντας τὸ βιβλίο του· «Υἱοὺς γέννησα, καὶ τοὺς ἐξύψωσα»[9]. «Σὲ τόπο εὔφορο», ὅπως ἀκριβῶς καὶ ὁ Μωϋσῆς εἶπε, «Σὲ γῆ ποὺ τρέχει γάλα καὶ μέλι»[10].

«Καὶ τοποθέτησα ὁλόγυρα φράχτη καὶ ἔσκαψα τάφρο». Μὲ τὴ λέξη «φραγμὸς» ἐννοεῖ ἢ τὸ τεῖχος ἢ τὸ νόμο ἢ τὴν πρόνοια αὐτοῦ. Καθόσον ὁ νόμος περιφρουροῦσε αὐτοὺς ἀσφαλέστερα ἀπὸ τεῖχος. «Καὶ τὸν χαράκωσα», δηλαδὴ κατέστησα τὴν ἀσφάλειά του ἰσχυρή. Ἐπειδὴ δηλαδὴ πολλὲς φορὲς ὁ φράχτης εἶναι εὐκολοπρόσβλητος καὶ μὲ ἄλλη, λέγει, συμμαχία τοὺς περιφρούρησα.

«Καὶ φύτεψα ἄμπελο τοῦ εἴδους Σωρήχ». Ἐπιμένει στὴ μεταφορά, τὴν ὁποία δὲν πρέπει νὰ ἑρμηνεύουμε κατὰ λέξη, ἀλλά, γνωρίζοντας τὸ σκοπό, ἂς ἀρκούμαστε σ' αὐτόν. Μὲ τὴ λέξη «Σωρὴχ» δὲ ἐδῶ ἐννοεῖ τὴν ἀληθινή, τὴν καλοῦ εἴδους, καὶ ὄχι τὴν προερχόμενη ἀπὸ ἄχρηστα φυτά, οὔτε ἀπὸ κατώτερα, ἀλλὰ ἀπὸ ἐξαιρετικὰ καὶ ἀπὸ τὰ πρῶτα. Διότι ὑπάρχουν πολλὰ εἴδη ἀμπέλων.

«Καὶ ᾠκοδόμησα πύργον καὶ προλήνιον ἐν μέσῳ αὐτοῦ». Τινὲς τὸν ναόν φασι, καὶ προλήνιον τὸ θυσιαστήριον, ἅτε τῶν καρπῶν ἐκεῖ συναγομένων τῆς ἀρετῆς τῆς ἑκάστου, καὶ τῶν προσφορῶν, καὶ τῶν θυσιῶν ἁπασῶν, ἐγὼ μέντοι τοῦτο, ὅπερ ἔφθην εἰπών, καὶ νῦν ἐρῶ, ὅτι τῷ σκοπῷ δεῖ προσέχειν τῆς μεταφορᾶς. Διὰ γὰρ πάντων τοῦτο βούλεται εἰπεῖν, ὅτι τὰ παρ' ἐμαυτοῦ πάντα ἐπλήρωσα, πᾶσαν ἐπιμέλειαν ἐπεδειξάμην. Οὐ κατέτεινα καμάτοις, οὐ συνέτριψα πόνοις, οὐκ αὐτοὺς οἰκοδομῆσαι ἐκέλευσα, οὐκ αὐτοὺς σκάψαι, οὐκ αὐτοὺς φυτεῦσαι, ἀλλ' ἀπηρτισμένον τὸ ἔργον παρέδωκα. Καὶ οὐδὲ μέχρι τούτου τὰ τῆς φιλανθρωπίας ἔστησα μόνον, ἀλλὰ «Καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν», καὶ ἀνέμεινα τὸν προσήκοντα καιρὸν τῆς καρποφορίας, μακροθυμίᾳ πολλῇ χρησάμενος. Τὸ γάρ, «Ἔμεινα», τοῦτο δηλοῖ. «Ἐποίησε δὲ ἀκάνθας». Τὸν ἄκαρπον αὐτῶν βίον ἐνδείκνυται, τὸν τραχύν, τὸν σκληρόν. Τίνος οὖν ἂν εἶεν συγγνώμης ἄξιοι μετὰ τοσαύτην ἐπιμέλειαν τούτους ἀποδόντες τῷ γεωργῷ τοὺς καρπούς;

«Καὶ νῦν, ἄνθρωπος τοῦ Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλήμ, κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου». Πολλὴ τῶν δικαιωμάτων ἡ περιουσία, ὅταν αὐτοὺς τοὺς ὑπευθύνους δικαστὰς καθίζῃ τοῖς ὑπ' αὐτοῦ γεγενημένοις, καὶ τοῖς ὑπ' ἐκείνων. «Καὶ νῦν». Οὐ λέγω τὰ παλαιά, φησίν, ἀλλὰ καὶ σήμερον ἕτοιμός εἰμι δικάζεσθαι. Οὕτως οὐδέποτε διαλείπω τὰ ἐμαυτοῦ πληρῶν, οὐδὲ ὑμεῖς τὰ ἑαυτῶν πληροῦτε.

«Τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου; διότι ἔμεινα, ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας». Ἡ συνθήκη δοκεῖ ἀσαφεστέρα εἶναι· διόπερ αὐτὴν σαφεστέραν ἀνάγκη ποιῆσαι. Ὃ γὰρ λέγει, τοῦτό ἐστι· Τί ἔδει ποιῆσαι, καὶ οὐκ ἐποίησα; Δῆλον, ὅτι τοιαῦτα ἥμαρτον. Τί δὲ ἔχοντες αἰτιᾶσθαι; ἢ ὡς

«Καὶ οἰκοδόμησα στὸ μέσο αὐτοῦ πύργο καὶ προλήνιο». Μερικοὶ λέγουν ὅτι ὁ πύργος εἶναι ὁ ναὸς καὶ τὸ προλήνιο τὸ θυσιαστήριο, ἐπειδὴ ἐκεῖ συγκεντρώνονται οἱ καρποὶ τῆς ἀρετῆς τοῦ καθένα, καθὼς καὶ οἱ προσφορὲς καὶ ὅλες οἱ θυσίες, ἐγὼ ὅμως αὐτὸ ποὺ προανέφερα αὐτὸ θὰ πῶ καὶ τώρα, ὅτι πρέπει νὰ προσέχουμε στὸ σκοπὸ τῆς μεταφορᾶς. Διότι μὲ ὅλα αὐτὰ αὐτὸ θέλει νὰ πεῖ, ὅτι ἐγὼ ἐκπλήρωσα ὅλα ὅσα ἐξαρτῶνται ἀπὸ μένα, ἔδειξα ὅλη τὴ φροντίδα μου. Δὲν τοὺς ταλαιπώρησα μὲ κόπους, δὲν τοὺς βασάνισα μὲ πόνους, δὲν τοὺς πρόσταξα νὰ χτίσουν, οὔτε νὰ σκάψουν, οὔτε νὰ φυτέψουν, ἀλλὰ τοὺς παρέδωσα τὸ ἔργο ὁλοκληρωμένο. Καὶ δὲν σταμάτησα μέχρι σ' αὐτὰ τὰ φιλανθρωπικά μου ἔργα, ἀλλὰ «Περίμενα νὰ παράγει σταφύλια», ἀναμένοντας τὸν κατάλληλο καιρὸ τῆς καρποφορίας, δείχνοντας μεγάλη μακροθυμία. Διότι τό, «ἔμεινα», αὐτὸ φανερώνει. «Αὐτὴ ὅμως παρήγαγε ἀγκάθια». Δείχνει μὲ αὐτὸ τὴν ἄκαρπη ζωὴ αὐτῶν, τὴν ἄσπλαχνη καὶ σκληρή. Ποιᾶς λοιπὸν συγγνώμης θὰ μποροῦσαν νὰ εἶναι ἄξιοι γιὰ τὸ ὅτι μετὰ ἀπὸ τόση μεγάλη φροντίδα ἀπέδωσαν στὸ γεωργὸ αὐτοὺς τοὺς καρπούς;

«Καὶ τώρα, σεῖς οἱ ἄνθρωποι τῆς φυλῆς τοῦ Ἰούδα καὶ οἱ κάτοικοι τῆς Ἰερουσαλήμ, κρίνατε καὶ δικάσατε ἐμένα καὶ τὸν ἀμπελώνα μου». Πολλὰ εἶναι τὰ δικαιώματα ποὺ τοὺς παρέχει, τὴ στιγμὴ ποὺ ὁρίζει αὐτοὺς ποὺ εἶναι ὑπεύθυνοι δικαστὲς γιὰ τὰ ὅσα ἔγιναν ἀπὸ αὐτὸν καὶ ἀπὸ ἐκείνους. «Καὶ τώρα». Δὲν λέγω τὰ παλιά, λέγει, ἀλλὰ καὶ σήμερα εἶμαι ἕτοιμος νὰ δικασθῶ. Τόσο πολὺ δὲν παραλείπω νὰ κάμνω ὅ,τι ἐξαρτᾶται ἀπὸ μένα, σεῖς ὅμως δὲν κάμνετε αὐτὸ ποὺ ἐξαρτᾶται ἀπὸ σᾶς.

«Τί νὰ κάνω πλέον στὸν ἀμπελώνα μου; διότι περίμενα νὰ κάνει σταφύλια, ἀλλ' ἔκανε ἀγκάθια». Ἡ σύνθεση τῶν λέξεων μοῦ φαίνεται πολὺ δυσκολονόητη· γι' αὐτὸ λοιπὸν εἶναι ἀνάγκη νὰ τὴν κάνομε πιὸ κατανοητή. Αὐτὸ δηλαδὴ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Τί ἔπρεπε νὰ κάνω καὶ δὲν τὸ ἔκανα; Εἶναι λοιπὸν φανερό, ὅτι αὐτοὶ διέπραξαν τὰ ἁμαρτήματα αὐτά. Γιὰ ποιὸ

τινων παραλελειμμένων τοιαῦτα καὶ ἐπλημμέλησαν; «Τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ;». Ἃ μὲν ἐποίησα, ταῦτά ἐστι, φησί· πλὴν οὐκ ἀρκοῦμαι τοῖς γεγενημένοις, οὐδὲ λέγω, ὅτι πολλὰ εὐηργέτησα· ἀλλ', εἰ μὴ πάντα ἐποίησα, μεθ' ἃ ποιῆσαι λοιπὸν οὐδὲν ἦν, τοῦτο ὑμᾶς εἰπεῖν ἀπαιτῶ, ὑμᾶς τοὺς ἀπολελαυκότας, καὶ μάρτυρας τῶν γεγενημένων ὄντας, καὶ τῇ πείρᾳ ταῦτα μαθόντας, οὐκ ἀλλοτρίους τινὰς καὶ ξένους.

«Νῦν οὖν ἀναγγελῶ ὑμῖν, τί ποιήσω τῷ ἀμπελῶνί μου». Ἐπειδὴ τὴν νίκην ἤρατο καὶ τὴν ἀγνωμοσύνην ἔδειξε τὴν ἐκείνων, τότε λοιπὸν ἐνάγει καὶ τὴν ψῆφον καὶ λέγει ταῦτα ἃ μέλλει ποιεῖν, οὐχ ἵνα καταδικάσῃ, ἀλλ' ἵνα τῷ φόβῳ τῆς ἀπειλῆς ἐπιεικεστέρους ποιήσῃ.

3. «Ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα». Ἀποστήσω, φησί, τὴν ἐμὴν συμμαχίαν, γυμνώσω τῆς βοηθείας, ἐρήμους καταστήσω τῆς τοσαύτης προνοίας, καὶ εἴσονται διὰ τῶν ἐναντίων ὧν ἀπήλαυον ἔμπροσθεν, ὅταν ὦσι πᾶσιν εἰς ἁρπαγὴν προκείμενοι.

«Καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδὲ μὴ σκαφῇ». Πάλιν λέγω, ὅτι τῇ μεταφορᾷ κέχρηται. Εἰ δέ τις καὶ θερμότερον ἐξετάζειν βούλοιτο, τὴν ἀπὸ τῆς διδασκαλίας, τὴν ἀπὸ τῶν ἐντολῶν ἐπιμέλειάν φησιν. Οὐ γὰρ ἀπολαύσονται τῶν αὐτῶν, ὧν καὶ ἔμπροσθεν, οὐ διδασκάλους ἕξουσιν, οὐκ ἄρχοντας, οὐ προφήτας ὁμοίως τοὺς διορθουμένους αὐτούς, τοὺς ἐπιμελουμένους αὐτῶν. Ὥσπερ γὰρ οἱ τὴν ἄμπελον θεραπεύοντες σκάπτουσι, τέμνουσιν, οὕτως οἱ ψυχὰς διορθούμενοι ἀπειλοῦσι, φοβοῦσι, δι-

πράγμα μποροῦν νὰ μὲ κατηγορήσουν; Μήπως δηλαδὴ παρέλειψα νὰ κάνω κάτι, καὶ γι' αὐτὸ διέπραξαν αὐτὰ τὰ ἁμαρτήματα; «Τί νὰ κάνω πλέον στὸν ἀμπελώνα μου, τὸ ὁποῖο δὲν ἔκανα σ' αὐτόν;». Αὐτὰ μὲν ποὺ ἔκανα, λέγει, αὐτὰ εἶναι· πλὴν ὅμως δὲν ἀρκοῦμαι στὰ ὅσα ἔχουν γίνει, οὔτε λέγω, ὅτι σᾶς ἔκανα πολλὲς εὐεργεσίες· ἀλλ', ἐὰν δὲν τὰ ἔκανα ὅλα, μετὰ τὰ ὁποῖα δὲν ὑπολειπόταν τίποτε ἄλλο πλέον νὰ κάνω, αὐτὸ ζητῶ νὰ μοῦ τὸ πεῖτε σεῖς, σεῖς ποὺ ἔχετε ἀπολαύσει αὐτά, ποὺ εἴσθε μάρτυρες τῶν ὅσων ἔχουν γίνει καὶ γνωρίσατε αὐτὰ ἔμπρακτα, καὶ ὄχι κάποιοι ξένοι καὶ ἄγνωστοι.

«Τώρα λοιπὸν θὰ σᾶς ἀναγγείλω τί θὰ κάνω στὸν ἀμπελώνα μου». Ἀφοῦ κέρδισε τὴ νίκη καὶ ἔδειξε τὴν ἀγνωμοσύνη ἐκείνων, τότε πλέον προσθέτει καὶ τὴν ἀπόφασή του καὶ λέγει αὐτὰ τὰ ὁποῖα πρόκειται νὰ κάνει, ὄχι γιὰ νὰ τοὺς καταδικάσει, ἀλλὰ γιὰ νὰ τοὺς κάνει μὲ τὸ φόβο τῆς ἀπειλῆς πιὸ καλούς.

3. «Θὰ ἀφαιρέσω τὸ φράχτη αὐτοῦ καὶ θὰ μείνει ἐκτεθειμένος στὴ διαρπαγή· καὶ θὰ γκρεμίσω τὸν τοῖχο του και θὰ καταπατεῖται ἀπὸ ὅλους». Θὰ ματαιώσω, λέγει, τὴ συμμαχία μου, θὰ τοὺς ἀπογυμνώσω ἀπὸ τὴ βοήθειά μου, θὰ τοὺς καταστήσω γυμνοὺς ἀπὸ τὴν τόσο μεγάλη πρόνοιά μου, καὶ θὰ γνωρίσουν μὲ τὰ ἀντίθετα ἐκεῖνα ποὺ ἀπολάμβαναν προηγουμένως, ὅταν θὰ εἶναι ἐκτεθειμένοι σ' ὅλους νὰ τοὺς ἁρπάζουν.

«Καὶ θὰ ἐγκαταλείψω τὸν ἀμπελώνα μου, καὶ δὲν θὰ κλαδευθεῖ οὔτε θὰ σκαφθεῖ». Πάλι λέγω, ὅτι ἔχουν μεταφορικὴ σημασία τὰ λόγια του. Ἐὰν ὅμως θὰ ἤθελε κάποιος νὰ ἐξετάσει τὸ νόημά τους πιὸ βαθύτερα, θὰ διαπίστωνε ὅτι ἐννοεῖ τὴ φροντίδα του πρὸς αὐτοὺς μέσω τῆς διδασκαλίας καὶ τῶν ἐντολῶν του. Δὲν θ' ἀπολαύσουν δηλαδὴ τὰ ἴδια μὲ ἐκεῖνα ποὺ ἀπόλαυσαν προηγουμένως, δὲν θὰ ἔχουν δασκάλους, οὔτε ἄρχοντες, οὔτε ἐπίσης προφῆτες, ποὺ νὰ τοὺς διορθώνουν καὶ νὰ φροντίζουν γι' αὐτούς. Διότι ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ καλλιεργοῦν τὴν ἄμπελο τὴ σκάβουν καὶ τὴν κλαδεύουν, ἔτσι καὶ ἐκεῖνοι ποὺ διορθώνουν ψυχὲς τὶς ἀπειλοῦν, τὶς φοβίζουν, τὶς διδά-

δάσκουσιν, ἐγκαλοῦσιν· ἀλλ' ἐν ἐρημίᾳ τούτων ἔσονται, φησίν, εἰς τὴν ἀλλοτρίαν ἀπενεχθέντες.

«Καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα· καὶ ταῖς νεφέλαις ἐντελοῦμαι, τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν». Ἢ τὴν ἐρημίαν τῆς πόλεώς φησιν, ἢ τὴν ἐρημίαν τὴν ἑαυτῶν, καὶ τῆς ἑκάστου ψυχῆς· νεφέλας δὲ ἐνταῦθα τοὺς προφήτας τινὲς λέγουσιν, ἅτε ἄνωθεν τὸν ὑετὸν δεχομένους καὶ παραπέμποντας τῷ δήμῳ τὰ λεγόμενα. Ἀλλ' οὐδὲ οὗτοι, φησί, τὰ συνήθη ποιήσουσιν. Εἰ γὰρ καὶ εἷς που καὶ δεύτερος συναπῆλθεν, ἀλλ' ὁ δῆμος τῶν προφητῶν τότε ἐσίγα.

«Ὁ γὰρ ἐμπελὼν Κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον. Ἔμεινα, ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ διακαιοσύνην, ἀλλὰ κρυαγήν». Ἐπειδὴ πολλῇ τῇ μεταφορᾷ διὰ τῶν ἀνομάτων ἐχρήσατο, ἀμπελῶνα, καὶ πύργον, καὶ προλήνιον, καὶ φραγμόν, καὶ σκαφητόν, καὶ τμῆσιν ἀμπέλου λέγων, ἵνα μὴ περὶ ἀμπελῶνός τις τῶν τότε ἀνοήτως νομίσῃ εἶναι τὰ λεγόμενα, ταχέως πρὸς τῷ τέλει τὸ πᾶν ἡρμήνευσεν. «Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραὴλ ἐστιν». Οὐ γὰρ περὶ φυτῶν ὁ λόγος μοι, φησίν, οὐδὲ περὶ ψυχῆς ἀψύχου, οὐδὲ περὶ λίθων καὶ τοίχων, ἀλλὰ περὶ δήμου τοῦ ἡμετέρου. Διὸ καὶ ἐπήγαγε, «Καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον», ἐπειδὴ πλέον τι εἶχε τῶν δέκα φυλῶν, καὶ ὁ ναὸς αὐτόθι πλησίον ἦν, καὶ ἡ λοιπὴ θεραπεία, καὶ τῶν ἄλλων μᾶλλον ἤνθει, καὶ βασιλικωτέρα ἦν ἡ φυλὴ καὶ δυνατωτέρα. «Ἠγαπημένον» δὲ εἶπε, πάλιν αὐτῶν καθαπτόμενος, ὅτι περὶ τὸν σφοδρὸν ἐραστὴν τοιοῦτοι γεγόνασι. Τοιοῦτος γὰρ τῶν φιλούντων ὁ νόμος, μηδὲ ἐν αὐτοῖς

σκουν, τὶς ἐπιτιμοῦν· ἀλλά, λέγει, θὰ τὰ στερηθοῦν ὅλα αὐτά, διότι θὰ ὁδηγηθοῦν ἐξόριστοι στὴν ξένη χώρα.

Καὶ θὰ φυτρώσουν σ' αὐτὸν ἀγκάθια ὅπως φυτρώνουν σὲ ἀκαλλιέργητο τόπο. Καὶ θὰ προστάξω τὰ σύννεφα νὰ μὴ ρίξουν σ' αὐτὸν βροχή». Ἢ ἐννοεῖ τὴν ἐρήμωση τῆς πόλεως, ἢ τὴν δική τους ἐρήμωση καὶ τῆς ψυχῆς τοῦ καθένα. Σύννεφα δὲ λέγοντας μερικοὶ λέγουν ὅτι ἐννοεῖ τοὺς προφῆτες, διότι αὐτοὶ δέχονται ἀπὸ τὸν οὐρανὸ τὴ βροχὴ τοῦ θείου λόγου καὶ μεταφέρουν στὸ λαὸ τὰ λεγόμενα. Ἀλλά, λέγει, οὔτε αὐτοὶ θὰ κάνουν αὐτὰ ποὺ συνήθως κάνουν. Διότι καὶ ἂν ἀκόμα ὁδηγήθηκε μαζὶ μὲ τὸ λαὸ στὴν ἐξορία ἕνας ἢ δυὸ προφῆτες, ἀλλ' ὅμως τὸ πλῆθος αὐτῶν σιωποῦσε τότε.

«Διότι ὁ ἀμπελώνας τοῦ Κυρίου τῶν δυνάμεων εἶναι ὁ Ἰσραηλιτικὸς λαὸς καὶ οἱ ἄνθρωποι τῆς φυλῆς τοῦ Ἰούδα, τὸ ἀγαπημένο αὐτὸ νεόφυτο κλῆμα. Περίμενα νὰ καρποφορήσει ἔργα ἀρετῆς, ἀλλὰ καρποφόρησε παρανομία· ὄχι δικαιοσύνη, ἀλλὰ κραυγὴ ἀδικουμένων». Ἐπειδὴ χρησιμοποίησε πολὺ τὴ μεταφορικὴ σημασία μὲ τὰ ὀνόματα ἀμπελώνας, πύργος, προλήνιο, φράχτης, σκάψιμο καὶ κλάδευμα τῆς ἀμπέλου, γιὰ νὰ μὴ νομίσει κάποιος ἀπὸ τοὺς τότε, σεπτόμενος ἀνόητα, ὅτι τὰ λεγόμενα ἀναφέρονται σὲ κάποιο ἀμπελώνα, ἀμέσως πρὸς τὸ σκοπὸ αὐτὸ ἑρμήνευσε ὅλα. «Διότι ὁ ἀμπελώνας τοῦ Κυρίου τῶν δυνάμεων εἶναι ὁ Ἰσραηλιτικὸς λαός». Ὁ λόγος μου, λέγει, δὲν εἶναι γιὰ φυτά, οὔτε γιὰ ἄψυχη ὕπαρξη, οὔτε γιὰ λίθους καὶ τοίχους, ἀλλὰ γιὰ τὸν δικό μου λαό. Γι' αὐτὸ καὶ πρόσθεσε, «Καὶ οἱ ἄνθρωποι τῆς φυλῆς τοῦ Ἰούδα, τὸ ἀγαπημένο αὐτὸ νεόφυτο κλῆμα», ἐπειδὴ εἶχε κάτι περισσότερο ἀπὸ τὶς δέκα φυλές· καὶ ὁ ναὸς βρισκόταν κοντὰ σ' αὐτὴ καὶ ἡ ὑπόλοιπη λατρεία, ἀνθοῦσε περισσότερο ἀπὸ τὶς ἄλλες, καὶ ἦταν ἡ φυλὴ πιὸ βασιλικὴ καὶ πιὸ ἰσχυρή. «Ἀγαπημένο» δὲ εἶπε, κατηγορώντας πάλι αὐτούς, διότι, ἂν καὶ ὑπῆρξαν ἀπόγονοι τοῦ ὑπερβολικὰ ἀγαπημένου ἀπὸ αὐτόν, ἔγιναν τέτοιοι. Τέτοια δηλαδὴ εἶναι ἡ συνήθεια ἐκείνων ποὺ ἀγαποῦν, νὰ μὴ κρύβουν τὴν ὑ-

τοῖς ἐγκλήμασι κρύπτειν τῆς οἰκείας ἀγάπης τὴν ὑπερβολήν.

Ἐντεῦθεν οὐ μικρὸν καὶ ἕτερον μανθάνομεν. Ποῖον δὴ τοῦτο; Τὸ πότε καὶ τίνα ἀλληγορεῖν χρὴ τῶν Γραφῶν· καὶ ὡς οὐκ οὐκ ἐσμὲν κύριοι τῶν νόμων τούτων αὐτοί, ἀλλὰ δεῖ αὐτῇ διανοίᾳ τῆς Γραφῆς ἑπομένους, οὕτω τῷ τῆς ἀλληγορίας κεχρῆσθαι τρόπῳ. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. Εἶπεν ἀμπελῶνα νῦν ἡ Γραφή, φραγμόν, προλήνιον· οὐκ ἀφῆκε κύριον γενέσθαι τὸν ἀκροατὴν ἁρμόσαι τὰ εἰρημένα οἷς ἐβούλετο πράγμασιν, ἢ προσώποις, ἀλλὰ προϊοῦσα αὐτὴν ἡρμήνευσεν, εἰποῦσα· «Ὁ γὰρ ἐμπελὼν κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραὴλ ἐστί». Καὶ ὁ Ἰεζεκιὴλ δὲ πάλιν ἀετὸν καλῶν μέγαν καὶ μεγαλοπτέρυγον εἰσιόντα εἰς τὸν Λίβανον, καὶ ἀποκνίζοντα τὸ ἄκρον τῆς κέδρου, οὐδὲ ἐκεῖ ἀφίησιν ἐπὶ τῇ γνώμῃ τῶν ἀκροατῶν κεῖσθαι τῆς ἀλληγορίας τὴν ἑρμηνείαν, ἀλλὰ καὶ αὐτὸς λέγει, τίνα μὲν τὸν ἀετόν φησι, τίνα δὲ τὴν κέδρον. Καὶ οὗτος δὲ πάλιν προϊών, ποταμόν τινα σφοδρὸν ἀνάγει, λέγων, ἐπὶ τὴν Ἰουδαίαν, ἵνα μὴ ἐξῇ τῷ ἀκούοντι κατὰ τὴν οἰκείαν γνώμην ἁρμόζειν τὸ εἰρημένον προσώπῳ ᾧ βούλεται, εἶπε καὶ τὸν βασιλέα τοῦτον, ὃν ποταμὸν ἐκάλεσε. Καὶ πανταχοῦ τῆς Γραφῆς οὗτος ὁ νόμος, ἐπειδὰν ἀλληγορῇ, λέγειν καὶ ἀλληγορίας τὴν ἑρμηνείαν, ὥστε μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε τὴν ἀκόλαστον ἐπιθυμίαν τῶν ἀλληγορεῖν βουλομένων πλανᾶσθαι καὶ πανταχοῦ φέρεσθαι.

Καὶ τί θαυμάζεις, εἰ οἱ προφῆται; Καὶ ὁ Παροιμιαστὴς δὲ οὕτω ποιεῖ. Εἰπὼν γάρ, «Ἔλαφος φιλίας, καὶ πῶλος τῶν χαρίτων ὁμιλείτω σοι· καὶ ἡ πηγὴ τοῦ ὕδατός σου ἔστω σοι μόνῳ», ἡρμήνευσε τίνος ἕνεκεν ταῦτα ἔλεγεν, ὅτι περὶ γυναικὸς ἐννόμου καὶ ἐλευθέρας, ἀποτρέπων πόρνης καὶ ἀλ-

---

11. Ἰεζ. 17, 3 ἑ. 12. Παροιμ. 5, 18-19.

περβολικὴ ἀγάπη τους καὶ ὅταν ἀκόμα κατηγοροῦν αὐτοὺς ποὺ ἀγαποῦν.

'Από ἐδῶ μαθαίνομε καὶ κάτι ἄλλο πολὺ σπουδαῖο. Ποιὸ λοιπὸν εἶναι αὐτό; Τὸ πότε καὶ τί πρέπει νὰ ἑρμηνεύομε ἀπὸ τὶς Γραφές ἀλληγορικά· καί, ἐπειδὴ ἐμεῖς οἱ ἴδιοι δὲν γνωρίζομε τοὺς νόμους αὐτούς, πρέπει ν' ἀκολουθοῦμε τὸ πνεῦμα τῆς Γραφῆς, καὶ μόνο ἔτσι νὰ χρησιμοποιοῦμε τὴν ἀλληγορικὴ μέθοδο. Αὐτὸ δὲ ποὺ λέγω, σημαίνει τὸ ἑξῆς. Μίλησε ἡ Γραφὴ τώρα γιὰ ἀμπελώνα, γιὰ φράχτη, γιὰ προλήνιο· δὲν ἄφησε τὸν ἀκροατὴ νὰ συσχετίσει αὐτὰ ποὺ ἔχουν λεχθεῖ μὲ πράγματα ἢ πρόσωπα ποὺ ἤθελε αὐτός, ἀλλὰ προχωρώντας ἑρμήνευσε αὐτὰ ποὺ λέγει, λέγοντας· «Διότι ὁ ἀμπελώνας τοῦ Κυρίου τῶν δυνάμεων εἶναι ὁ 'Ισραηλιτικὸς λαός». Καὶ ὁ 'Ιεζεκιὴλ δὲ πάλι μιλώντας γιὰ ἀετὸ μεγαλοπρεπὴ καὶ μεγαλοπτέρυγο ποὺ εἰσέρχεται στὸ Λίβανο καὶ κόβει μὲ τὰ νύχια του τὴν κορυφὴ τῆς κέδρου, οὔτε ἐκεῖ ἀφήνει τὴν ἀλληγορικὴ ἑρμηνεία στὴ διάθεση τῶν ἀκροατῶν, ἀλλὰ καὶ ἑρμηνεύει ὁ ἴδιος, ποιὸν ἀετὸ ἐννοεῖ καὶ ποιὰ κέδρο[11]. Καὶ ὁ ἴδιος δὲ πάλι μιλώντας στὴ συνέχεια γιὰ κάποιο ὁρμητικὸ ποταμὸ ποὺ τὸν κατευθύνει ὁ Θεὸς ἐναντίον τῆς 'Ιουδαίας, γιὰ νὰ μὴ μπορεῖ ὁ ἀκροατὴς νὰ συσχετίσει τὸ λεγόμενο σύμφωνα μὲ τὴ δική του γνώμη μὲ τὸ πρόσωπο ποὺ αὐτὸς θέλει, εἶπε καὶ τὸν ἴδιο τὸ βασιλιά, τὸν ὁποῖο ὀνόμασε ποταμό. Καὶ σὲ κάθε μέρος τῆς Γραφῆς ὑπάρχει αὐτὴ ἡ συνήθεια, ὅταν ὁμιλεῖ ἀλληγορικά, δίνει καὶ τὴν ἑρμηνεία τῆς ἀλληγορίας, ὥστε νὰ μὴ πλανᾶται καὶ ὁδηγεῖται παντοῦ ἐπιπόλαια καὶ στὴν τύχη ἡ ἀχαλίνωτη ἐπιθυμία ἐκείνων ποὺ θέλουν νὰ ἑρμηνεύουν αὐτὰ ἀλληγορικά.

Καὶ γιατί ἀπορεῖς ἐὰν αὐτὸ τὸ κάμνουν οἱ προφῆτες; Καὶ ὁ συγγραφέας τῶν Παροιμιῶν τὸ ἴδιο κάμνει. Διότι, ἀφοῦ εἶπε, «"Ας σὲ συναναστρέφεται ἡ ἀξιαγάπητη ἔλαφος καὶ τὸ χαριτωμένο πουλαράκι, καὶ ἡ πηγὴ τοῦ νεροῦ σου ἂς ἀνήκει μόνο σὲ σένα»[12], ἑρμήνευσε γιὰ ποιὸ λόγο τὰ ἔλεγε αὐτά, ὅτι δηλαδὴ τὰ ἔλεγε γιὰ τὴ νόμιμη καὶ ἐλεύθερη γυναίκα, ἀποτρέποντας αὐ-

λοτρίας ἅπτεσθαι. Οὕτω δὴ καὶ οὗτος ἐνταῦθα εἶπε, τίνα ἔφησε τὸν ἀμπελῶνα εἶναι.

Εἶτα ἐπειδὴ εἶπεν αὐτῶν τὰ ἐγκλήματα, εἶπε τὰς τιμωρίας· πάλιν πρὸς τῷ τέλει τὴν ἀπολογίαν τίθησι λέγων· «Ἔμεινα, ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν». Ὅτι δικαιως, φησίν, ἀπαιτῶ δίκην. Ἀνέμεινα γάρ, «Ἵνα ποιήσῃ κρίσιν», τουτέστι, δικαιοσύνην, αὐτοὶ δὲ τὰ ἐναντία ἐπεδείξαντο ἀνομίαν, ἀδικίαν καὶ κραυγήν. Κραυγὴν ἐνταῦθα τὴν πλεονεξίαν λέγει, τὸν ἄδικον θυμόν, τὴν ὀργὴν τὴν ἀλόγιστον, τὰς μάχας, τὰς φιλονεικίας.

4. «Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίου ἀφέλωνταί τι». Εἰπὼν ὅτι κραυγὴν ἐποίησε, τουτέστι πλεονεξίαν, ἁρπαγάς, λέγει καὶ τὸ εἶδος τῆς ἀδικίας, πολλῆς ἐμπεπλησμένον τῆς κακουργίας. Καὶ πάλιν ἀπὸ θρήνων ἄρχεται, τὸ μέγεθος τῶν ἁμαρτημάτων ἐνδεικνύμενος, καὶ τοὺς τὰ ἀνίατα νοσοῦντας ἐμφαίνων. Ταῦτα δὲ καὶ νῦν τολμώμενα ἴδοι τις ἂν παρὰ τῶν κακῶς τῷ πλούτῳ κεχρημένω, οἳ τὰς γειτνιάσεις ἐπινοοῦσιν, οὐκ εἰς ἀσφάλειαν, ἀλλ' εἰς ἐπιβουλὴν τῶν πλησίον, καθάπερ πῦρ ὁδῷ βαδίζον, οὕτω τοὺς ἐκ γειτόνων πάντας ἐπινεμόμενοι.

«Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; Ἠκούσθη γὰρ νῦν εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ ταῦτα». Δείκνυσιν ἀνόνητα κάμνοντας καὶ εἰκῇ καὶ μάτην. Ἐπειδὴ γὰρ οὐχ οὕτως αἱ κολάσεις καὶ αἱ τιμωρίαι τοὺς τοιούτους ἀγαγεῖν εἰώθασιν, ὡς τὸ μαθεῖν ἀκριβῶς, ὅτι οὐκ ἀπολαύσονται τῆς ἁρπαγῆς, ταύτην αὐτοῖς ἐπάγει τὴν ἀπειλήν, λέγων, ὅτι καμοῦνται μὲν καὶ ταλαιπωρήσουσι, καὶ τὴν ἁμαρτίαν καρπώσονται, τῆς δὲ ἀπολαύσεως ἐκπεσοῦνται. Οὐκ ἐφησυχάζει γάρ, φησί, τοῖς γι-

τοὺς νὰ πλησιάζουν πόρνη καὶ ξένη γυναίκα. Ἔτσι λοιπὸν καὶ αὐτὸς ἐδῶ εἶπε, ποιὸς εἶναι ὁ ἀμπελώνας γιὰ τὸν ὁποῖο ὁμιλεῖ.

Ἔπειτα, ἐπειδὴ ἀνέφερε τὰ ἐγκλήματα αὐτῶν, εἶπε καὶ τὶς τιμωρίες· πάλι σύμφωνα μὲ τὸ σκοπὸ αὐτὸ ἀναφέρει τὴν ἀπολογία, λέγοντας· «Περίμενα νὰ παράγει δικαιοσύνη, ἀλλὰ παρουσίασε ἀνομία· ὄχι δικαιοσύνη, ἀλλὰ κραυγὴ τῶν ἀδικουμένων». Δίκαια λοιπόν, λέγει, ἀπαιτῶ τιμωρία. Διότι περίμενα «Νὰ παρουσιάσει κρίση», δηλαδὴ δικαιοσύνη, αὐτοὶ ὅμως παρουσίασαν τὰ ἀντίθετα, ἀνομία, ἀδικία, κραυγή. Κραυγὴ ἐδῶ ὀνομάζει τὸν ἄδικο θυμό, τὴν ἀσυλλόγιστη ὀργή, τὶς διαμάχες, τὶς φιλονεικίες.

4. «Ἀλλοίμονο σ' ἐκείνους ποὺ συνενώνουν τὴν οἰκία τους μὲ τὴν οἰκία ἄλλου καὶ τὸν ἀγρό τους μὲ τὸν ἀγρὸ ἄλλου, μὲ σκοπὸ ν' ἀφαιρέσουν κάτι ἀπὸ τὸν πλησίον τους». Ἀφοῦ εἶπε ὅτι παρουσίασε κραυγή, δηλαδὴ πλεονεξία καὶ ἁρπαγές, λέγει καὶ τὸ εἶδος τῆς ἀδικίας, ποὺ εἶναι γεμάτο ἀπὸ πολλὴ κακουργία. Καὶ πάλι ἀρχίζει μὲ θρήνους, δείχνοντας τὸ μέγεθος τῶν ἁμαρτημάτων καὶ φανερώνοντας ἐκείνους ποὺ ἔπασχαν ἀθεράπευτα. Ἀλλ' αὐτὰ θὰ μποροῦσε καὶ σήμερα κανεὶς νὰ δεῖ νὰ διαπράττονται ἀπὸ ἐκείνους ποὺ κάμνουν κακὴ χρήση τοῦ πλούτου, οἱ ὁποῖοι ἐπινοοῦν τὸν τρόπο διαβιώσεως κοντὰ σὲ ἄλλους, ὄχι γιὰ νὰ ἔχουν ἀσφάλεια, ἀλλὰ γιὰ νὰ κάνουν κακὸ στὸ πλησίον, καὶ ὅπως ἀκριβῶς προχωρεῖ καὶ καταστρέφει ἡ φωτιά, ἔτσι καὶ αὐτοὶ κατατρώγουν τὰ ὑπάρχοντα ὅλων τῶν γειτόνων.

«Μήπως πρόκειται νὰ κατοικήσετε μόνοι σας ἐπάνω στὴ γῆ; Ὅλα αὐτὰ λοιπὸν ἔφθασαν στὰ αὐτιὰ τοῦ Κυρίου τῶν δυνάμεων». Δείχνει ὅτι κοπιάζουν ἀνώφελα, ἄσκοπα καὶ μάταια. Ἐπειδὴ δηλαδὴ συνήθως αὐτοὺς δὲν τοὺς συνετίζουν τόσο οἱ κολάσεις καὶ οἱ τιμωρίες, ὅσο τὸ νὰ μάθουν μὲ ἀκρίβεια, ὅτι δὲν θὰ ἀπολαύσουν αὐτὰ ποὺ ἁρπάζουν, αὐτὴ τὴν ἀπειλὴ τοὺς προσθέτει, λέγοντας, ὅτι θὰ κοπιάσουν μὲν καὶ θὰ ταλαιπωρηθοῦν, ἀλλὰ τὴν μὲν ἁμαρτία θὰ τὴν καρπωθοῦν, ὅμως θὰ στερηθοῦν τὴν ἀπόλαυση. Διότι, λέγει, δὲν καθησυχάζει ὁ ἀκοίμη-

νομένοις ὁ ἀκοίμητος ὀφθαλμός. Τὸ δέ, «Ἠκούσθη νῦν», οὐχ ὡς τότε τῶν πραγμάτων γνωρίμων γενομένων αὐτῷ ταῦτά φησιν, ἀλλ' ὡς τῆς δίκης κατὰ πόδας ἰούσης λοιπόν, καὶ τῆς ἀνταποδόσεως γινομένης.

«Ἐὰν γὰρ γένωνται οἰκίαι πολλαί, εἰς ἔρημον ἔσονται μεγάλαι καὶ καλαί, καὶ οὐκ ἔσονται οἱ κατοικοῦντες ἐν αὐταῖς». Τοιοῦτον γὰρ ἡ πλεονεξία· ὅταν πλείονα περιβάλλῃ τοῖς ἔχουσι, καὶ τῶν προτέρων αὐτοὺς ἐξήγαγεν. Ὃ δὴ καὶ ἐνταῦθα αἰνίττεται λέγων, ὅτι ὅταν οἰκοδομήσητε λαμπρῶς, καὶ τὰ πάντων ὑμῶν αὐτῶν ποιήσησθε, τότε καὶ τῶν προτέρων ἀποστήσεσθε. Καὶ στήσονται αἱ οἰκίαι οἰκήτορας μὲν οὐκ ἔχουσαι, σάλπιγγος δὲ πάσης λαμπροτέραν ἀφιεῖσαι φωνὴν κατὰ τῶν παρὰ τὴν ἀρχὴν ἡρπακότων αὐτάς, τῆς ἐρημώσεως τῆς ἐπιτεταμένης ἀντὶ τροπαίου τινὸς φαινομένης.

«Οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν· καὶ ὁ σπείρων ἀρτάβας ἕξ, ποιήσει μέτρα τρία». Ἀπὸ τῆς πόλεως ἐπὶ τὴν τῆς χώρας ἐρημίαν ἐξάγει τὸν λόγον, ὥστε πάντοθεν καταπλῆξαι τὸν ἀκροατήν. Οὔτε γὰρ αἱ οἰκίαι, φησί, καθέξουσι τοὺς ἐνοικοῦντας, οὔτε ἡ γῆ τὴν αὐτῆς ἐπιδείξεται δύναμιν. Καὶ γὰρ ἐξ ἀρχῆς διὰ τὴν τοῦ Ἀδὰμ ἁμαρτίαν ἀκάνθας καὶ τριβόλους ἐξήνεγκε· καὶ μετ' ἐκεῖνον, διὰ τὴν τοῦ Κάϊν παρανομίαν, ἐλάττονα πολλῷ τὸν πόνον τὸν ἐκείνου καὶ τῆς οἰκείας ἰσχύος τὴν φορὰν ἐπεδείκνυτο. Καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ ἴδοι τις ἂν διὰ τὰς τῶν ἀνθρώπων ἁμαρτίας αὐτὴν κολαζομένην. Καὶ τί θαυμάζεις, εἰ πηροῖ τὰς γονὰς αὐτῆς καὶ τὰς ὠδῖνας τῶν ἀνθρώπων ἡ παρανομία, ὅπου γε καὶ φθαρτὴ δι' ἡμᾶς ἐγένετο, καὶ ἄφθαρτος πάλιν δι' ἡμᾶς γίνεται; Ἐπειδὴ γὰρ ὅλως τὸ εἶναι δι' ἡμᾶς ἔ-

---

12α. Ἀρτάβη· περσικὸ μέτρο χωρητικότητας.
13. Γέν. 3, 17 ἑ. 14. Γέν. 4, 1 ἑ.

τος ὀφθαλμὸς μὲ αὐτὰ ποὺ γίνονται. Τὸ δὲ «Ἀκούστηκαν τώρα», δὲν τὸ λέγει, διότι τότε ἔγιναν γνωστὰ σ' αὐτὸν τὰ γεγονότα αὐτά, ἀλλὰ διότι ἡ τιμωρία πλέον βρίσκεται πάρα πολὺ κοντὰ καὶ θὰ γίνει ἡ ἀνταπόδοση.

«Ἐὰν λοιπὸν κατασκευασθοῦν πολλὰ μεγαλοπρεπὴ καὶ ὡραῖα σπίτια, θὰ μείνουν ἔρημα καὶ δὲν θὰ ὑπάρχουν ἄνθρωποι νὰ κατοικοῦν σ' αὐτά». Πράγματι τέτοιο πράγμα εἶναι ἡ πλεονεξία· ὅταν περιβάλλει μὲ περισσότερα ἐκείνους ποὺ ἔχουν, στέρησε αὐτοὺς τότε καὶ ἀπὸ τὰ προηγούμενα. Αὐτὰ λοιπὸν ὑπαινίσσεται καὶ ἐδῶ λέγοντας, ὅτι ὅταν θὰ οἰκοδομήσετε λαμπρὰ σπίτια καὶ θὰ κάνετε δικά σας τὰ ὑπάρχοντα ὅλων τῶν ἄλλων, τότε θὰ στερηθεῖτε καὶ τὰ προηγούμενα. Καὶ θὰ παραμένουν μὲν τὰ σπίτια χωρὶς νὰ ἔχουν ἀνθρώπους νὰ κατοικοῦν σ' αὐτά, ἀλλὰ θ' ἀφήνουν νὰ βγαίνει φωνὴ λαμπρότερη ἀπὸ κάθε σάλπιγγα ἐναντίον ἐκείνων ποὺ εἶχαν ἁρπάξει αὐτὰ παράνομα, παραμένοντας ἡ ὁλοκληρωτικὴ ἐρήμωσή τους σὰν κάποιο τρόπαιο τῆς παρανομίας τους.

«Καὶ ἀγρὸς ποὺ τὸν ὄργωσαν δέκα ζεύγη βοδιῶν θὰ παράγει καρπὸ ὅσο χωρεῖ μιὰ στάμνα· καὶ ἐκεῖνος ποὺ θὰ σπείρει ἔξι ἀρτάβες[12α], θὰ λάβει καρπὸ τρεῖς». Ἀπὸ τὴν πόλη μεταφέρει τὸ λόγο στὴν ἐρήμωση τῆς ὑπαίθρου, ὥστε ἀπὸ παντοῦ νὰ καταπλήξει τὸν ἀκροατή. Διότι, λέγει, οὔτε τὰ σπίτια θὰ ἔχουν ἀνθρώπους νὰ κατοικοῦν σ' αὐτά, οὔτε ἡ γῆ θὰ ἐπιδείξει τὴ δύναμή της. Καθόσον ἀπὸ τὴν ἀρχὴ ἐξ αἰτίας τῆς ἁμαρτίας τοῦ Ἀδὰμ ἔβγαλε ἀγκάθια καὶ τριβόλια[13], καὶ μετὰ ἀπὸ ἐκεῖνον, ἐξ αἰτίας τῆς παρανομίας τοῦ Κάϊν, παρήγαγε πολὺ πιὸ λιγότερο καρπὸ σὲ σύγκριση μὲ τὸν κόπο ἐκείνου καὶ τὴ δική της δύναμη[14]. Καὶ σὲ πολλὲς δὲ ἄλλες περιπτώσεις θὰ μποροῦσε κανεὶς νὰ δεῖ νὰ τιμωρεῖται αὐτὴ ἐξ αἰτίας τῶν ἁμαρτιῶν τῶν ἀνθρώπων. Καὶ γιατί ἀπορεῖς ἐὰν ἡ παρανομία βλάπτει τὴν παραγωγικὴ δύναμη τῆς γῆς καὶ τοὺς κόπους τῶν ἀνθρώπων, τὴ στιγμὴ βέβαια ποὺ ἐξ αἰτίας μας ἔγινε φθαρτή, καὶ πάλι δὲ γίνεται φθαρτὴ ἐξ αἰτία μας; Ἐπειδὴ δηλαδὴ δημιουργήθηκε ἀποκλειστικὰ γιὰ ἐμᾶς καὶ γιὰ τὴν ἐξυπηρέτησή μας, γι' αὐτὸ καὶ

λαβε καὶ τὴν ἡμετέραν διακονίαν, καὶ τὸ οὕτως ἢ ἐκείνως εἶναι πάλιν ἐντεῦθεν λαμβάνει τὴν ἀρχὴν καὶ τὴν ρίζαν.

Οὕτω γοῦν καὶ ἐπὶ τοῦ Νῶε. Ἐπειδὴ πρὸς κακίαν ἐσχάτην ἐξώκειλε τῶν ἀνθρώπων ἡ φύσις, πάντα ἐφύρετο τὰ πράγματα, καὶ σπέρματα, καὶ φυτά, καὶ ἀλόγων γένη, καὶ ἡ γῆ, καὶ θάλαττα, καὶ ἀήρ, καὶ ὄρη, καὶ νάπαι, καὶ βουνοί, καὶ πόλεις, καὶ τείχη, καὶ οἰκίαι, καὶ πύργοι, καὶ πάντα ἁπλῶς ἐκείνῳ τῷ φοβερῷ τότε ἐκρύπτετο πελάγει. Καὶ ἐπειδὴ πάλιν ἐπιδοῦναι τὸ γένος ἔδει, τὴν οἰκείαν εὐταξίαν ἀπελάμβανεν ἡ γῆ, καὶ εἰς τὴν προτέραν εὐμορφίαν ἐπανῄει πάλιν.

Ἴδοι δ' ἄν τις τοῦτο καὶ ἐπὶ μέρους γινόμενον διὰ τὴν εἰς ἀνθρώπους τιμήν. Καὶ γὰρ πέλαγος ἠφανίσθη, καὶ πάλιν ἐφάνη, καὶ ἥλιος ἐχαλινώθη μετὰ σελήνης καὶ τὸν οἰκεῖον δρόμον ἐπέλιπε, καὶ πῦρ τὰ ὕδατος ἐπεδείξατο, καὶ γῆ τὰ πελάγους, καὶ πέλαγος τὰ τῆς γῆς· καὶ πάντα, ὡς εἰπεῖν ἁπλῶς, πρὸς τὴν τῶν ἀνθρώπων μετασχηματίζεται λυσιτέλειαν. Καὶ ἐπειδὴ πάντων τιμιώτερος ἄνθρωπος, καὶ δι' αὐτὸν τὰ γενόμενα ἅπαντα, διά τοι τοῦτο καὶ νῦν, ἐπειδὴ ἥμαρτεν ὁ τῶν Ἰουδαίων δῆμος, ἐπέχει τῆς γῆς τὰς ὠδῖνας ὁ Θεός, καὶ μετὰ πολλοὺς πόνους καὶ ἱδρῶτας οὐκ ἀφίησι τὰς ἐκείνης λαγόνας τὴν εἰωθεῖαν φορὰν ἐνεγκεῖν, ἵνα κἀντεῦθεν μάθωσιν, ὅτι οὐ γεωργικῶν χειρῶν τέχνη, οὐδὲ βόες καὶ ἄροτρον, οὐδὲ γῆς φύσις, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ὁ τούτων ἁπάντων Δεσπότης οὗτός ἐστιν, ὁ καὶ δαψιλεῖ τῇ χειρὶ πάντα ἐκχέων, καὶ πάλιν, ἐπειδὰν βούληται, συστέλλων ἅπαντα.

«Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωΐ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ. Ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. Μετὰ

---

15. Γέν. 7, 1 ἑ.
16. Γέν. 8, 1 ἑ.
17. Γέν. 14, 15 ἑ.
18. Ἰησ. Ναυῆ 10, 12 ἑ.
19. Δαν. κεφ. 3.

πάλι ἀπὸ ἐμᾶς λαμβάνει τὴν ἀρχὴ καὶ τὴ ρίζα τὸ νὰ παρουσιάζει αὐτὴν ἢ ἐκείνη τὴν κατάσταση.

Τὸ ἴδιο συνέβηκε λοιπὸν καὶ στὴν περίπτωση τοῦ Νῶε. Ἐπειδὴ ἡ φύση τῶν ἀνθρώπων παρασύρθηκε καὶ ἔπεσε μέσα στὴ χειρότερη κακία, ἔγιναν ὅλα τὰ πράγματα ἕνα φύραμα, καὶ τὰ σπέρματα, καὶ τὰ φυτά, καὶ τὰ εἴδη τῶν ἀλόγων ζώων, καὶ ἡ γῆ, καὶ ἡ θάλασσα, καὶ ὁ ἀέρας, καὶ τὰ ὄρη, καὶ τὰ φαράγγια, καὶ τὰ βουνά, καὶ οἱ πόλεις, καὶ τὰ τείχη, καὶ τὰ σπίτια, καὶ οἱ πύργοι, καὶ γενικὰ ὅλα σκεπάζονταν τότε ἀπὸ τὸ φοβερὸ ἐκεῖνο πέλαγος[15]. Καὶ ἐπειδὴ πάλι ἔπρεπε νὰ χορηγήσει στὸν ἄνθρωπο ὅλα αὐτὰ τὰ εἴδη, ξαναέβρισκε ἡ γῆ τὴν ἁρμονικὴ κατάστασή της καὶ ἐπανερχόταν καὶ πάλι στὴν προηγούμενη ὀμορφιά της[16].

Θὰ μποροῦσε δὲ κανεὶς νὰ δεῖ νὰ συμβαίνει αὐτὸ καὶ σὲ ἐπὶ μέρους στοιχεῖα τῆς φύσεως ἐξ αἰτίας τῆς τιμῆς πρὸς τὸν ἄνθρωπο. Διότι καὶ πέλαγος ἐξαφανίσθηκε, καὶ πάλι ἐμφανίσθηκε[17], καὶ ἥλιος μαζὶ μὲ τὴ σελήνη χαλιναγωγήθηκαν καὶ ἐγκατέλειψε τὴ φυσική του πορεία[18], καὶ φωτιὰ παρουσίασε τὶς ἰδιότητες τοῦ νεροῦ[19], καὶ ἡ γῆ τῆς θάλασσας, καὶ ἡ θάλασσα τῆς γῆς, καὶ ὅλα γενικά, ὅπως θὰ λέγαμε μὲ συντομία, μεταβάλλονται πρὸς τὴν ὠφέλεια τῶν ἀνθρώπων. Καὶ ἐπειδὴ ἀπὸ ὅλα τὰ ὄντα ἄξιος μεγαλύτερης ἐκτιμήσεως εἶναι ὁ ἄνθρωπος καὶ γι' αὐτὸν ἔγιναν ὅλα, γι' αὐτὸ λοιπὸν καὶ τώρα, ἐπειδὴ ἁμάρτησε ὁ λαὸς τῶν Ἰουδαίων, συγκρατεῖ ὁ Θεὸς τὴν παραγωγικὴ δύναμη τῆς γῆς, καὶ μετὰ ἀπὸ πολλοὺς κόπους καὶ ἱδρῶτες δὲν ἀφήνει τὰ σπλάχνα της νὰ παράγουν τὴ συνηθισμένη καρποφορία, ὥστε καὶ ἀπὸ αὐτὸ νὰ γνωρίσουν οἱ ἄνθρωποι, ὅτι οὔτε ἡ τέχνη τῶν γεωργικῶν χεριῶν, οὔτε τὰ βόδια καὶ τὰ ἄροτρα, οὔτε ἡ φύση τῆς γῆς, οὔτε τίποτε ἄλλο παρόμοιο, ἀλλ' ὁ Κύριος ὅλων αὐτῶν αὐτὸς εἶναι, ὁ ὁποῖος καὶ παρέχει ὅλα μὲ χέρι πλουσιοπάροχο, καὶ πάλι, ὅταν θέλει, περιορίζει τὰ πάντα.

«Ἀλλοίμονο σ' ἐκείνους ποὺ σηκώνονται τὸ πρωῒ καὶ ἐπιζητοῦν τὰ οἰνοπνευματώδη ποτά, καὶ σ' ἐκείνους ποὺ γλεντο-

γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα τοῦ Θεοῦ οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι». Κατηγορήσας αὐτῶν πλεονεξίαν πολλήν, καὶ τὴν ρίζαν τοῦ κακοῦ τίθησιν. Αὕτη δὲ ἦν ἡ μέθη, μυρίων γινομένη κακῶν ὑπόθεσις, καὶ μάλιστα ὅταν μετὰ τοσαύτης τολμᾶται τῆς ὑπερβολῆς.

5. Σκόπει γοῦν, πῶς μετὰ ἀκριβείας αὐτοὺς κωμῳδεῖ. Πᾶσαν γὰρ τὴν ἡμέραν εἰς τοῦτο δαπανᾶσθαί φησιν. Οὐ γὰρ ὅταν ἀριστοποιεῖσθαι δέῃ, τοῦτο πράττουσι, φησίν, ἀλλὰ πάντα τὸν καιρὸν μέθης ποιοῦντες καιρόν, καὶ ἐκ προοιμίων τῆς ἡμέρας, ὅτε μάλιστα αὐτοῖς προσέχειν ἐχρῆν, πολλῷ τῷ ἀκράτῳ διδόντες ἑαυτούς, καὶ ἄκοντες λοιπὸν καὶ μέχρι τῆς ἑσπέρας ἐναπομένοντες τῷ νοσήματι. Ἐπειδὰν γὰρ ἅπαξ φθάσωσι καταποντισθῆναι εἰς τὸν τῆς ἀκρασίας βυθόν, καὶ τῶν κατὰ φύσιν ἐκπέσωσι φρενῶν, καὶ τὴν ψυχὴν αἰχμάλωτον τῇ πονηρᾷ τῆς μέθης παραδώσωσι τυραννίδι, καθάπερ πλοῖον ἀνερμάτιστον, καὶ κυβερνήτου καὶ ναυτῶν ἀπεστερημένον, ἁπλῶς καὶ εἰκῇ φέρεται, τῇ τῶν ὑδάτων ἀτάκτῳ ρύμῃ πανταχοῦ περιαγόμενον· τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι ὑπὸ τῆς μέθης ὑποβρύχιοι γενόμενοι. Διό φησιν· «Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωῒ καὶ τὸ σίκερα διώκοντες». Οὐ γὰρ τὴν χρείαν ἐπλήρουν, οὐδὲ ἀνέμενον ἐπιθυμίας γενομένης πληρῶσαι τὴν ἔνδειαν, ἀλλ' ἔργον ἐποιοῦντο τοῦτο καὶ μελέτην, τὸ διηνεκῶς μεθύειν. Διό φησιν· «Οἱ διώκοντες σίκερα». «Σίκερα» δὲ ἐνταῦθά φησι τῶν φοινίκων τὸν ὀπόν, ὃν ἐπετήδευον, συντρίβοντες τὸν καρπὸν καὶ καταθλῶντες, εἰς οἴνου μετασχηματίζειν φύσιν. Καρωτικὸν δέ ἐστι τὸ τοιοῦτον, καὶ μέθης ἐργαστικόν. Ἀλλ' ὑφωρῶντο

κοποῦν μέχρι ἀργὰ τὸ βράδυ, διότι τὸ κρασὶ θὰ τοὺς κατακάψει. Πίνουν τὸ κρασί τους μὲ τὴ συνοδεία τῆς κιθάρας, τοῦ ψαλτηρίου, τῶν τυμπάνων καὶ τῶν αὐλῶν, ἐνῶ δείχνουν ἀδιαφορία γιὰ τὰ ἔργα τοῦ Θεοῦ καὶ δὲν κατανοοῦν τὰ ἔργα τῶν χεριῶν αὐτοῦ». Ἀφοῦ τοὺς κατηγόρησε γιὰ τὴ μεγάλη πλεονεξία τους, ἀναφέρει καὶ τὴ ρίζα τοῦ κακοῦ. Αὐτὴ δὲ ἦταν ἡ μέθη, ποὺ γίνεται αἰτία γιὰ ἀμέτρητα κακά, καὶ μάλιστα ὅταν διαπράττεται σὲ τόσο ὑπερβολικὸ βαθμό.

5. Πρόσεχε λοιπὸν πῶς τοὺς διακωμωδεῖ μὲ κάθε λεπτομέρεια. Διότι λέγει ὅτι ξοδεύεται ὅλη ἡ ἡμέρα τους σ' αὐτό. Καθόσον, λέγει, δὲν τὸ κάμνουν αὐτὸ ὅταν πρέπει νὰ γευματίσουν, ἀλλ' ὅλο τὸν καιρό τους τὸν κάμνουν καιρὸ μέθης, καὶ ἀπὸ τὴν ἀρχὴ τῆς ἡμέρας, τότε ποὺ θὰ ἔπρεπε κατ' ἐξοχὴ νὰ εἶναι προσεκτικοί, παραδίνουν τὸν ἑαυτό τους σὲ μεγάλο κρασοπότι, καὶ ἔτσι καὶ χωρὶς τὴ θέλησή τους ἐξακολουθοῦν νὰ εἶναι κυριευμένοι ἀπὸ τὸ πάθος τους μέχρι τὴν ἑσπέρα. Διότι, ἅπαξ καὶ συμβεῖ νὰ φθάσουν στὸ σημεῖο νὰ καταποντισθοῦν στὸ βυθὸ τῆς ἀκρασίας, νὰ χάσουν τὰ φυσικὰ λογικά τους καὶ νὰ παραδώσουν τὴν ψυχή τους αἰχμάλωτη στὴν κακὴ καὶ τυραννικὴ ἐξουσία τῆς μέθης, καταντοῦν τότε, σὰν ἀκριβῶς πλοῖο ποὺ δὲν ἔχει ἀντίβαρο καὶ στερεῖται κυβερνήτη καὶ ναῦτες, περιφερόμενο στὴν τύχη ἐδῶ καὶ ἐκεῖ καὶ παρασυρόμενο παντοῦ ἀπὸ τὴν ἄτακτη ὁρμὴ τῶν ὑδάτων· κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ αὐτοὶ καταποντίζονται ἀπὸ τὴ μέθη. Γι' αὐτὸ λέγει· «Ἀλλοίμονο σ' ἐκείνους ποὺ σηκώνονται τὸ πρωὶ καὶ ἐπιζητοῦν τὰ οἰνοπνευματώδη ποτά». Διότι δὲν ἱκανοποιοῦσαν τὴν ἀνάγκη, οὔτε περίμεναν νὰ ἱκανοποιήσουν τὴν ἀνάγκη, ἀφοῦ κυριεύονταν ἀπὸ τὴν ἐπιθυμία, ἀλλ' ἔκαμναν αὐτὸ ἀποκλειστικὸ ἔργο τους καὶ φροντίδα τους, τὸ νὰ μεθοῦν συνέχεια. Γι' αὐτὸ λέγει· «Ποὺ ἐπιζητοῦν τὰ σίκερα». «Σίκερα» δὲ ἐδῶ ὀνομάζει τὸ χυμὸ τῶν φοινίκων, τὸν ὁποῖο ἐπεξεργάζονταν, σπάζοντας καὶ πολτοποιώντας τὸν καρπό, καὶ μετέβαλλαν τὴ φύση του σὲ κρασί. Τὸ ποτὸ αὐτὸ εἶναι ναρκωτικὸ καὶ προκαλεῖ τὴ μέθη. Ἀλλ' ἔδειχναν αὐτοὶ γι' αὐτὰ πλήρη ἀδιαφορία, ἐπιζητώντας παντοῦ

τούτων ἐκεῖνοι, τὴν ἡδονὴν πανταχοῦ διώκοντες, «Μένοντες τὸ ὀψέ. Ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει». Τοιαύτη γὰρ τῆς μέθης ἡ φύσις· προϊοῦσα αὔξεται, καὶ χαλεπώτερον τὸ δίψος ποιεῖ.

Εἶτα καὶ ἕτερον οὐκ ἔλαττον ἔγκλημα τοῦ προτέρου προστίθησι, λέγων· «Μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι». Τοῦτο καὶ ἕτερος ἐγκαλεῖ προφήτης λέγων. «Οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, οἱ κροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων. Ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα». Καὶ γὰρ ἐσχάτης ἀναλγησίας τοῦτο τὸ σημεῖον, καὶ ψυχῆς ἐκλελυμένης, τὸ θέατρον ποιεῖν τὴν οἰκίαν τὴν ἑαυτοῦ, καὶ τοιούτοις ᾄσμασιν ἑαυτοὺς ἐκδιδόναι. Ὅπερ καὶ ἡ μέθη ποιεῖ σκοτοῦσα, τοῦτο ἡ μουσικὴ μαλάττουσα τὸ εὔτονον τῆς διανοίας, καὶ κατακλῶσα τῆς ψυχῆς τὴν ἀνδρείαν, καὶ ἐπὶ μείζονας ἐξάγουσα ἀσελγείας. «Τὰ δὲ ἔργα τοῦ Θεοῦ οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν». Ἢ τὰ θαύματα αὐτοῦ φησιν, ἢ τῆς κτίσεως τὴν θεωρίαν. Πῶς δ' ἂν δύναιντο γενέσθαι θεαταί, τὴν μὲν ἡμέραν νύκτα ἐργαζόμενοι, τὴν δὲ νύκτα τῶν νεκρῶν οὐδὲν ἄμεινον διακείμενοι; πῶς δυνήσονται ἥλιον ἰδεῖν ἀνατέλλοντα, καὶ οὐρανοῦ κάλλος λάμπον, καὶ τὸν ποικίλον τῶν ἄστρων ἐν ἑσπέρᾳ χορόν, καὶ τὴν ἄλλην τῆς κτίσεως εὐταξίαν τε καὶ διακονίαν, τῶν ἔξωθεν καὶ τῶν ἔνδοθεν ὀφθαλμῶν ἀπεστερημένοι; Οὐ μικρὸν οὖν τοῦτο ἠδίκηνται, τὸ ἀθέατοι τῶν τοῦ Θεοῦ θαυμάτων ἐκ τοῦ παρόντος ἀπελθεῖν βίου, πάντα τὸν χρόνον ἐν τῷ σκότει τῆς μέθης κατορωρυγμένοι.

---

20. Ἀμὼς 6, 5-6.

τὴν ἡδονή, καὶ «Συνέχιζαν τὴν οἰνοποσία τους μέχρι ἀργὰ τὴν ἑσπέρα». «Διότι τὸ κρασὶ ποὺ πίνουν θὰ τοὺς κατακάψει». Καθόσον τέτοια εἶναι ἡ φύση τῆς μέθης· ὅσο προχωρεῖ αὐξάνεται καὶ κάμνει φοβερότερη τὴ δίψα.

Ἔπειτα προσθέτει καὶ ἄλλη κατηγορία ὄχι μικρότερη ἀπὸ τὴν προηγούμενη, λέγοντας· «Διότι πίνουν τὸ κρασί τους μὲ τὴ συνοδεία κιθάρας, ψαλτηρίου, τυμπάνων καὶ αὐλῶν». Αὐτὸ τὸ πράγμα τὸ κατηγορεῖ καὶ ἄλλος προφήτης, λέγοντας· «Αὐτοὶ ποὺ πίνουν τὸ ἀποστραγγισμένο καὶ καθαρὸ κρασὶ καὶ ἀλείφονται μὲ τὰ καλύτερα ἀρώματα καὶ ποὺ συνοδεύουν μὲ χειροκροτήματα τὸν ἦχο τῶν ὀργάνων. Διότι τὰ θεώρησαν σὰν μόνιμα καὶ ὄχι σὰν πράγματα ποὺ φεύγουν»[20]. Πράγματι αὐτὸ εἶναι δεῖγμα τῆς πιὸ χειρότερης ἀναισθησίας καὶ ἀπόδειξη παραλυμένης ψυχῆς, τὸ νὰ μεταβάλλει δηλαδὴ κάποιος τὸ σπίτι του σὲ θέατρο καὶ νὰ παραδίνουν τοὺς ἑαυτούς τους σὲ τέτοιου εἴδους ἄσματα. Ἐκεῖνον ἀκριβῶς τὸ σκοτισμὸ ποὺ προκαλεῖ ἡ μέθη, αὐτὸ προκαλεῖ καὶ ἡ μουσική, χαλαρώνοντας τὴ δύναμη τῆς διάνοιας, παραλύοντας τὴν ἀνδρεία τῆς ψυχῆς καὶ ὁδηγώντας σὲ μεγαλύτερες ἀσέλγειες. «Τὰ ἔργα ὅμως τοῦ Θεοῦ δὲν τὰ προσέχουν καὶ δὲν κατανοοῦν τὰ ἔργα τῶν χεριῶν αὐτοῦ». Ἢ ἐννοεῖ τὰ θαύματα τοῦ Θεοῦ, ἢ τὴν προσεκτικὴ παρατήρηση τῆς κτίσεως. Ἀλλὰ πῶς θὰ μποροῦσαν νὰ γίνουν θεατὲς τῆς κτίσεως, ἀφοῦ τὴν μὲν ἡμέρα τὴ μεταβάλλουν σὲ νύχτα, τὴ δὲ νύχτα ἡ συμπεριφορά τους δὲν εἶναι καθόλου καλύτερη ἀπὸ τῶν νεκρῶν; πῶς θὰ μπορέσουν νὰ δοῦν τὸν ἥλιο ν' ἀνατέλλει, τὸ γεμάτο ἀπὸ λαμπρότητα κάλλος τοῦ οὐρανοῦ, τὸ ποικιλόμορφο σύνολο τῶν ἄστρων κατὰ τὴ νύχτα καὶ τὴν ἄλλη ἁρμονικὴ παρουσία καὶ λειτουργία τῆς κτίσεως, ὅταν στεροῦνται καὶ τὰ ἐξωτερικὰ καὶ τὰ ἐσωτερικὰ μάτια; Δὲν ζημιώθηκαν λοιπὸν λίγο ὡς πρὸς αὐτό, τὸ ὅτι δηλαδὴ φεύγουν ἀπὸ τὴν παρούσα ζωὴ χωρὶς νὰ ἔχουν δεῖ τὰ θαυμαστὰ ἔργα τοῦ Θεοῦ, καταχωνιασμένοι καθ' ὅλο τὸ χρόνο τῆς ζωῆς τους μέσα στὸ σκοτάδι τῆς μέθης.

«Τοίνυν αἰχμάλωτος ἐγενήθη ὁ λαός μου, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον». Πάλιν τὸ μέλλον ὡς γεγενημένον ἀπαγγέλλει, καὶ τιμωρίαν ἐπάγει τῇ πλημμελείᾳ ταύτῃ. Ἱκανὴ μὲν γὰρ καὶ αὐτὴ ἡ μέθη ἀντὶ πάσης γενέσθαι κολάσεως, θορύβους ἐμποιοῦσα τῇ ψυχῇ, ζόφου πληροῦσα τὴν διάνοιαν, αἰχμάλωτον καθιστῶσα αὐτήν, μυρίων αὐτοὺς ἐμπιπλῶσα νοσημάτων, τῶν ἔνδοθεν, τῶν ἔξωθεν. Οἶδε τοῦτο καὶ Παῦλος, ὅτι κακία ἀντὶ τιμωρίας γίνεται· διό φησι· «Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες». Ἀλλ᾽ ἐπειδὴ καὶ τοῦτο τῆς ἀναισθησίας αὐτῶν, τὸ κολάζεσθαι, καὶ μηδὲ αἰσθάνεσθαι, τὸ νοσεῖν, καὶ μὴ εἰδένι ὅτι νοσοῦσιν, ἐπάγει καὶ τῶν ἔξωθεν τιμωρίαν, λέγων· «Τοίνυν αἰχμάλωτος ἐγενήθη ὁ λαός μου, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον. Καὶ πλῆθος ἐγενήθη νεκρῶν διὰ λιμὸν καὶ δίψαν ὕδατος». Ὅρα καὶ ἐν τῇ τιμωρίᾳ πολλὴν τὴν νουθεσίαν, καὶ οὐκ ἀθρόον τὴν βαρυτάτην ἐναγομένην τόλμαν. Οὐ γὰρ εὐθέως τὴν αἰχμαλωσίαν ἐπήγαγεν, ἀλλὰ λιμὸν πρότερον καὶ αὐχμόν, ἵνα οἴκοι μένοντες, γένωνται βελτίους, μηδὲ ἀνίατα νοσοῦντες ἐφελκύσωνται τὸ τῶν βαρβάρων στρατόπεδον. Ἐπειδὴ δὲ οὐκ εἶξαν, οὐδὲ ἐκέδραναν ἐντεῦθεν, ἐπάγει λοιπὸν τὴν ἐσχάτην τιμωρίαν αὐτοῖς.

Ἀλλ᾽ ὅμως πρὸ ἐκείνων ταύτην ἐπαίρει καὶ ἐξογκοῖ τῷ λόγῳ τὴν τοῦ λιμοῦ, λέγων· «Ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ»· οὐχ ὡς ψυχὴν τοῦ ᾅδου ἔχοντος, ἀλλὰ προσωποποιεῖ τὴν ἀπειλήν, ἐμφατικώτερον τὸν λόγον ποιῆσαι βουλόμενος, καὶ φόβον ἀκμάζοντα ἐναποθέσθαι τῇ διανοίᾳ τῶν ἀκουόντων. Διὸ καὶ ἐπιμένει λέγων, «Καὶ διήνοιξε τὸ στόμα αὐτοῦ, τοῦ μὴ διαλιπεῖν», ὡς περὶ θηρίου τινὸς διηγούμενος, καὶ ἐγὺς αὐτῶν τὴν εἰκόνα τῶν πραγμάτων ἄγων. Καὶ

---

21. Ρωμ. 1, 27.

«Ἐξ αἰτίας λοιπὸν ὅλων αὐτῶν ὁ λαός μου θὰ γίνει αἰχμάλωτος, ἐπειδὴ δηλαδὴ δὲν γνωρίζουν αὐτοὶ τὸν Κύριο». Πάλι ὁμιλεῖ γιὰ τὰ μελλοντικὰ σὰν νὰ ἔχουν συμβεῖ καὶ προσθέτει τιμωρία γιὰ τὸ ἁμάρτημα αὐτό. Ἱκανὴ βέβαια εἶναι καὶ ἡ ἴδια ἡ μέθη νὰ λάβει τὴ θέση ὁποιασδήποτε τιμωρίας, δημιουργώντας ταραχὲς στὴν ψυχή, γεμίζοντας τὴ σκέψη μὲ σκοτάδι, αἰχμαλωτίζοντας αὐτήν, καὶ προξενώντας σ' αὐτοὺς ἀμέτρητα ψυχικὰ καὶ σωματικὰ νοσήματα. Γνωρίζει αὐτὸ καὶ ὁ Παῦλος, ὅτι δηλαδὴ ἡ κακία ἀντικαθιστᾶ τὴν τιμωρία· γι' αὐτὸ λέγει· «Καὶ τὸ μισθὸ ποὺ τοὺς ἄξιζε γιὰ τὴν πλάνη τους ἀπολαμβάνουν μὲ τὶς ἀναμεταξύ τους κακὲς πράξεις τους»[21]. Ἀλλ' ἐπειδὴ καὶ αὐτὸ εἶναι γνώρισμα τῆς ἀναισθησίας τους, τὸ νὰ τιμωροῦνται δηλαδὴ καὶ νὰ μὴ τὸ αἰσθάνονται, τὸ νὰ εἶναι ἀσθενεῖς καὶ νὰ μὴ γνωρίζουν ὅτι εἶναι ἀσθενεῖς, προσθέτει καὶ τὴν ἐξωτερικὴ τιμωρία, λέγοντας· «Γι' αὐτὸ λοιπὸν θὰ γίνει αἰχμάλωτος ὁ λαός μου, ἐπειδὴ δὲν γνωρίζουν αὐτοὶ τὸν Κύριο, καὶ πολλοὶ θὰ πεθάνουν ἀπὸ πείνα καὶ δίψα γιὰ νερό». Πρόσεχε ὅτι καὶ στὴν τιμωρία ἀκόμα ὑπάρχει πολλὴ νουθεσία καὶ δὲν τοὺς ἐπιβάλλεται συγχρόνως ἡ βαρύτατη τιμωρία. Διότι δὲν ἐπέβαλε ἀμέσως τὴν αἰχμαλωσία, ἀλλὰ πρῶτα πείνα καὶ ξηρασία, ὥστε, παραμένοντας στὴν πατρίδα τους, νὰ γίνουν καλύτεροι, οὔτε, ὑποφέροντας ἀθεράπευτα, νὰ προσελκύσουν ἐναντίον τους τὸ βαρβαρικὸ στρατό. Ἐπειδὴ ὅμως δὲν συνετίσθηκαν, οὔτε ἀποκόμισαν ἀπ' αὐτὸ κάποιο κέρδος, ἐπιβάλλει πλέον σ' αὐτοὺς καὶ τὴ χειρότερη τιμωρία.

Ἀλλ' ὅμως πρὶν ἀπὸ ἐκεῖνες τις τιμωρίες μεγαλοποιεῖ μὲ τὸ λόγο καὶ διογκώνει τὴν τιμωρίαα αὐτὴ τῆς πείνας, λέγοντας· «Ἐπλάτυνε ὁ ᾅδης τὴν ψυχή του»· ὄχι ὅτι ἔχει ὁ ᾅδης ψυχή, ἀλλὰ προσωποποιεῖ τὴν ἀπειλή, θέλοντας νὰ κάνει τὸ λόγο πιὸ ἐκφραστικό, καὶ νὰ βάλει μέσα στὴ σκέψη τῶν ἀκροατῶν φόβο ἰσχυρό. Γι' αὐτὸ καὶ ἐπιμένει, λέγοντας, «Καὶ ἄνοιξε τὸ στόμα του, χωρὶς νὰ σταματήσει καθόλου», μιλώντας σὰν γιὰ κάποιο θηρίο καὶ μεταφέροντας κοντά τους τὴν εἰκόνα

τὸ δὴ χαλεπώτερον, ὅτι οὐκ ἤνοιξε τὸ στόμα μόνον, ἀλλὰ καὶ μένει κεχηνώς, καὶ κόρον οὐ λαμβάνων τῶν ἐν αὐτῷ κατορυττομένων.

6. «Καὶ καταβήσονται εἰς αὐτὸν οἱ ἔνδοξοι, καὶ οἱ μεγάλοι, καὶ οἱ πλούσιοι, καὶ λοιποὶ αὐτῆς». Εἶτα, ἵνα μάθῃς, ὅτι οὐ κατὰ φύσεως ἀκολουθίαν τὸ γινόμενον ἦν, ἀλλὰ θεήλατος ἦν ἡ πληγή, καὶ ψῆφος ἐκ τῶν οὐρανῶν κατενεχθεῖσα, τοὺς ἐν περιφανείᾳ, τοὺς ἐν δυναστείᾳ, τοὺς πάντα συγχέοντας, καὶ ἄνω καὶ κάτω τὰ τῶν Ἰουδαίων ποιοῦντας πράγματα, τούτους ἐκεῖ καταβήσεσθαι ἔφησε. «Λοιμοὺς» δὲ εἰκότως αὐτοὺς καλεῖ, ἅτε οὐ μέχρι ἑαυτῶν τὴν κακίαν διατηροῦντας, ἀλλὰ καὶ εἰς ἄλλους τὴν νόσον διαβιβάζοντας. Τοιαύτη γὰρ ἡ τοῦ λοιμοῦ φύσις· ἐπειδὰν ἀφ' ἑνὸς ἄρξηται σώματος, ὁδῷ βαδίζουσα τὸ λοιπὸν ἐκνέμεται πλῆθος. «Καὶ ὁ ἀγαλλιώμενος ἐν αὐτῇ». Ὁ τρυφῶν, ὁ σκιρτῶν, ὁ νομίζων ἀκίνητα ἔχειν τὰ ἀγαθά, καὶ αὐτὸς ἐμπεσεῖται καὶ ἁλώσεται.

«Καὶ ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνήρ. Καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται. Καὶ ὑψωθήσεται Κύριος μόνος Σαβαὼθ ἐν κρίματι». Ὅρα πάλιν Θεοῦ κηδεμονίαν. Οὐ γὰρ πανωλεθρίαν ἐργάζεται, οὐδὲ ὅλον ἐκ μέσου τὸν δῆμον αὐτῶν ἀνάρπαστον ποιεῖ, ἀλλ' ἀφίησί τινας, ὥστε τῇ τιμωρίᾳ τῶν ἀπελθόντων γενέσθαι βελτίους. Τοῦτο γοῦν αἰνιττόμενος ἔφησεν, ὅτι «Ταπεινωθήσονται», τουτέστιν, οἱ μένοντες, οἱ ὑπολιμπανόμενοι. «Καὶ ὑψωθήσεται Κύριος Σαβαὼθ ἐν κρίματι, καὶ ὁ Θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ». Δύο τίθησιν ἀγαθά, ὅτι κἀκεῖνοι τῆς φλεγμονῆς ἀπαλλαγήσονται, καὶ ἔσονται βελτίους, καὶ ὁ Θεὸς θαυμασθήσεται παρὰ πᾶσι· τοῦτο γάρ ἐστιν, «Ὑψωθήσεται καὶ δοξασθήσεται»· διὰ τῆς κολάσεως

τῶν γεγονότων. Καὶ τὸ φοβερότερο βέβαια εἶναι, ὅτι δὲν ἄνοιξε τὸ στόμα μόνο, ἀλλὰ καὶ ἐξακολουθεῖ νὰ τὸ κρατᾶ ἀνοιχτὸ καὶ δὲν βρίσκει χορτασμὸ ἀπὸ αὐτοὺς ποὺ ρίχνονται μέσα σ' αὐτό.

6. «Καὶ θὰ κατεβοῦν σ' αὐτὸν οἱ ἔνδοξοι, οἱ μεγάλοι, οἱ πλούσιοι καὶ οἱ διαφθορεῖς αὐτῆς». Ἔπειτα, γιὰ νὰ μάθεις, ὅτι αὐτὸ ποὺ συνέβαινε δὲν ἦταν κάποιο φυσιολογικὸ γεγονός, ἀλλ' ἦταν ἡ πληγὴ θεόσταλτη καὶ ἀπόφαση ποὺ ἦρθε ἀπὸ τὸν οὐρανό, εἶπε ὅτι θὰ κατεβοῦν ἐκεῖ ὅλοι αὐτοὶ οἱ ἔνδοξοι καὶ οἱ ἄρχοντες, ποὺ προκαλοῦν παντοῦ σύγχυση καὶ κάμνουν ἄνω κάτω τὰ πράγματα τῶν Ἰουδαίων. «Λοιμοὺς» δὲ πολὺ σωστὰ ὀνομάζει αὐτούς, διότι δὲν περιόριζαν τὴν κακία μόνο στὸν ἑαυτό τους, ἀλλὰ μετέδιδαν τὴν ἀσθένεια καὶ σ' ἄλλους. Διότι τέτοια εἶναι ἡ φύση τῆς μολυσματικῆς ἀσθένειας· ἐφόσον κάνει τὴν ἀρχή της σ' ἕνα σῶμα, προχωρώντας σιγὰ σιγὰ ἁπλώνει τὴν καταστρεπτικὴ δύναμή της σ' ὅλο τὸ ὑπόλοιπο πλῆθος. «Καὶ ἐκεῖνος ποὺ χαίρεται ἐξ αἰτίας αὐτῆς». Ἐκεῖνος ποὺ κάνει ἀπολαυστικὴ ζωή, ποὺ σκιρτᾶ ἀπὸ χαρά, ποὺ νομίζει ὅτι ἔχει τὰ ἀγαθὰ μόνιμα, καὶ αὐτὸς θὰ πέσει μέσα σ' αὐτὸν καὶ θὰ καταβροχθισθεῖ.

«Καὶ θὰ ταπεινωθεῖ ὁ ἄνθρωπος καὶ θὰ ξευτελιστεῖ ὁ ἐπίσημος ἄνδρας. Καὶ θὰ ταπεινωθοῦν τὰ ὑπερήφανα μάτια. Καὶ θὰ ὑψωθεῖ μόνο ὁ Κύριος τῶν δυνάμεων μὲ τὴ δίκαια κρίση του». Πρόσεχε πάλι τὴ φροντίδα τοῦ Θεοῦ. Διότι δὲν προξενεῖ πανωλεθρία, οὔτε ἁρπάζει γιὰ νὰ καταστρέψει ὅλο τὸ πλῆθος, ἀλλ' ἀφήνει μερικούς, ὥστε μὲ τὴν τιμωρία ἐκείνων ποὺ ὁδηγήθηκαν στὴν ξένη χώρα νὰ γίνουν καλύτεροι. Αὐτὸ λοιπὸν ὑπονοώντας εἶπε, ὅτι «Θὰ ταπεινωθεῖ», δηλαδὴ ἐκεῖνοι ποὺ θὰ ἀπομείνουν, οἱ ὑπόλοιποι ἀπὸ αὐτούς. «Καὶ θὰ ὑψωθεῖ ὁ Κύριος τῶν δυνάμεων μὲ τὴ δίκαια ἀπόφασή του καὶ θὰ δοξασθεῖ ὁ Θεὸς ὁ ἅγιος μὲ τὴ δικαιοσύνη του». Δυὸ ἀγαθὰ ἀναφέρει ἐδῶ, ὅτι καὶ ἐκεῖνοι θ' ἀπαλλαγοῦν ἀπὸ τὴ φλεγμονὴ καὶ θὰ γίνουν καλύτεροι, καὶ ὁ Θεὸς θὰ θαυμασθεῖ ἀπὸ ὅλους· διότι αὐτὸ σημαίνει τό, «Θὰ ὑψωθεῖ καὶ θὰ δοξασθεῖ»· μὲ τὴν κόλαση αὐτὴ καὶ

αὐτῆς, διὰ τῆς τιμωρίας. Τί δέ ἐστιν. «Ἐν κρίματι»; Διὰ τῆς ἐκδικήσεως.

«Καὶ βοσκηθήσονται οἱ διεσπαρμένοι ὡς ταῦροι, καὶ τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται». Τὴν ὀλιγότητα ἐνταῦθα αἰνίττεται τῶν ὑπολειφθέντων, καὶ τὴν ἐπιτεταμένην ἐρημίαν τῆς χώρας. «Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας αὐτῶν. Οἱ λέγοντες, τὸ τάχος ἐγγισάτω, ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν· καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν». Τῶν προφητῶν ἀπειλούντων συνεχῶς, καὶ τὰ φοβερὰ προαναφωνούντων, οἱ ψευδοπροφῆται πρὸς χάριν διαλεγόμενοι, καὶ τοῦ δήμου τὸν τόνον ἐκλύοντες, τὰ μὲν ἐκείνων ἔφασκον εἶναι ψευδῆ, τὰ δὲ αὐτῶν ἀληθῆ. Πολλοὶ τοίνυν ἀπατώμενοι ἠπίστουν καὶ αὐτοῖς τοῖς ρήμασιν. Εἶτα ἐπειδὴ αἱ προφητεῖαι οὐχ ὁμοῦ τε ἐλέγοντο καὶ ἐξέβαινον (προφητείας γὰρ ἦν ἡ φύσις, τὸ πρὸ πολλοῦ χρόνου τὰ μέλλοντα ἐκβήσεσθαι προαναφωνεῖν), ἐπεὶ οὖν συνεχῶς μὲν ἔλεγον οἱ προφῆται τοὺς λιμούς, τοὺς λοιμούς, τοὺς πολέμους, ἐπὶ δὲ τῶν ἔργων αὐτὰ οὐκ ἐδείκνυον, τέως τὴν τοῦ χρόνου μέλλησιν ἀφορμὴν εἰς ἀπιστίαν λαμβάνοντες οἱ πολλοὶ τῶν ἠπατημένων ἔλεγον· ἐλθέτω τὰ λεγόμενα· εἰ ἀληθεύετε, ἐγγισάτω τὰ πράγματα· δείξατε ἡμῖν ἐπὶ τῶν ἔργων τὴν βουλὴν τοῦ Θεοῦ.

Ἐπεὶ οὖν τὴν αὐτοῦ μακροθυμίαν ὑπόθεσιν ἀπιστίας ἐποιοῦντο, καὶ ἐντεῦθεν προσετίθεσαν αὐτῶν τοῖς ἁμαρτήμασι, τό τε ἀπιστεῖν, τό τε διὰ τὴν ἀπιστίαν ῥαθυμότεροι γίνεσθαι, εἰκότως αὐτοὺς ὁ προφήτης θρηνεῖ λέγων, ὅτι καθά-

μὲ τὴν τιμωρία. Τί σημαίνει δὲ «Ἐν κρίματι»; Μὲ τὴν ἐκδίκηση.

«Καὶ οἱ διασκορπισμένοι Ἰουδαῖοι θὰ βόσκουν σὰν τοὺς ταύρους, στὰ δὲ ἔρημα μέρη ἐκείνων ποὺ θὰ ἀπομείνουν θὰ βόσκουν ἀρνιά». Ὑπαινίσσεται ἐδῶ τὴν ὀλιγότητα ἐκείνων ποὺ θ' ἀπομείνουν καθὼς καὶ τὴν ὁλοκληρωτικὴ ἐρήμωση τῆς χώρας. «Ἀλλοίμονο σ' ἐκείνους ποὺ σύρουν μαζί τους σὰν ἀτέλειωτο σχοινὶ τὶς ἁμαρτίες τους καὶ τὶς ἀνομίες τους σὰν τὸ λουρὶ τοῦ ζυγοῦ τῆς δαμάλας. Ἀλλοίμομο καὶ σ' ἐκείνους ποὺ λέγουν, ἂς ἔρθουν σύντομα ἐκεῖνα ποὺ ἀπειλεῖ ὁ Θεὸς νὰ κάνει, γιὰ νὰ τὰ δοῦμε, καὶ ἂς πραγματοποιηθεῖ ἡ ἀπόφαση τοῦ ἁγίου τοῦ Ἰσραήλ, γιὰ νὰ τὴ γνωρίσομε». Ἐνῶ οἱ προφῆτες ἀπειλοῦσαν συνέχεια καὶ προέλεγαν τὰ φοβερὰ πράγματα ποὺ θὰ συνέβαιναν, οἱ δὲ ψευδοπροφῆτες, λέγοντάς τους εὐχάριστα λόγια, παρέλυαν τὴν ψυχικὴ δύναμη τοῦ λαοῦ, καὶ τὰ μὲν λεγόμενα τῶν προφητῶν ἔλεγαν ὅτι εἶναι ψέματα, τὰ δὲ τῶν ψευδοπροφητῶν ἀληθινά. Πολλοὶ λοιπὸν ποὺ ἐξαπατοῦνταν δὲν πίστευαν καὶ τὰ ἴδια τὰ λόγια τῶν προφητῶν. Ἔπειτα, ἐπειδὴ οἱ προφητεῖες δὲν λέγονταν καὶ πραγματοποιοῦνταν συγχρόνως (διότι ἡ φύση τῆς προφητείας συνίστατο στὸ νὰ προλέγει πρὶν ἀπὸ πολὺ χρόνο ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν), ἐπειδὴ λοιπὸν οἱ μὲν προφῆτες προέλεγαν συνέχεια τὶς πεῖνες, τὶς ἐπιδημικὲς ἀσθένειες, τοὺς πολέμους, δὲν τὰ ἔδειχναν ὅμως αὐτὰ ἔμπρακτα, στὴν ἀρχὴ οἱ περισσότεροι ἀπὸ ἐκείνους ποὺ εἶχαν ἐξαπατηθεῖ, παίρνοντας ἀφορμὴ γιὰ τὴν ἀπιστία τους ἀπὸ τὴν ἀργοπορία πραγματοποιήσεως ὅλων αὐτῶν, ἔλεγαν· Ἂς ἔρθουν αὐτὰ ποὺ λέτε· ἂν εἶναι ἀληθινὰ αὐτὰ ποὺ λέτε, ἂς πραγματοποιηθοῦν αὐτὰ τὰ πράγματα· δεῖξτε μας ἔμπρακτα τὴν ἀπόφαση τοῦ Θεοῦ.

Ἐπειδὴ λοιπὸν τὴ μακροθυμία αὐτοῦ τὴν ἔκαμναν ἀφορμὴ ἀπιστίας, καὶ μὲ τὸν τρόπο αὐτὸ πρόσθεταν στὰ ἁμαρτήματά τους καὶ ἄλλα, καὶ μὲ τὸ νὰ ἀπιστοῦν καὶ ἐξ αἰτίας τῆς ἀπιστίας τους νὰ γίνονται πιὸ ἀδιάφοροι, πολὺ σωστὰ τοὺς θρηνεῖ ὁ προφήτης λέγοντας, ὅτι, σὰν ἀκριβῶς μακρὺ σχοινί, ἔτσι σύ-

περ σχοινίῳ μακρῷ, οὕτως ἕλκετε καθ' ἑαυτῶν τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ αὔξετε ὑμῖν τὴν πονηρίαν. Ἐπειδὴ γὰρ ἀπιστεῖτε τοῖς λεγομένοις ῥήμασι, λείπεται λοιπὸν τὴν διὰ τῶν ἔργων ἐπενεχθῆναι πεῖραν ὑμῖν. Ὥστε οἱ τὰ κακὰ ἐπισπώμενοι ὑμεῖς ἐστε, οἱ τοῖς λεγομένοις ἀπιστοῦντες. Διὰ τοῦτό φησιν· «Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν»· τουτέστι, τὴν ἀντίδοσιν τῶν ἁμαρτημάτων. «Ὡς σχοινίῳ μακρῷ» πόρρωθεν ἕλκετε, φησί, τὴν ὡρισμένην τοῖς ἁμαρτήμασιν ὑμῶν δίκην, καὶ «ὡς ζυγοῦ ἱμάντι δαμάλεως» ὑπὸ ζυγὸν οὔσης, ἵνα εἴπῃ τὸ εὔτονον, τὸ μετὰ σπουδῆς. Ὡς ἐάν τις ἱμάντι εὐτόνῳ ἐφελκύσαιτό τι, οὕτως ὑμεῖς διὰ τῆς ἀπιστίας ἐφέλκετε καθ' ὑμῶν τοῦ Θεοῦ τὴν ὀργήν.

Εἶτα λέγει καὶ πῶς ἐφέλκονται· «Οἱ λέγοντες, τὸ τάχος ἐγγισάτω ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν». Ὃ καὶ ἕτερος προφήτης ἐγκαλεῖ λέγων· «Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου. Καὶ ἵνα τί ὑμῖν ἡ ἡμέρα αὕτη; Καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς, καὶ γνόφος οὐκ ἔχων φέγγος αὐτῆς». Καὶ γὰρ καὶ ἐκεῖνοι ἀπιστοῦντες ἔλεγον· πότε ἥξει ἡ ἡμέρα τῆς κολάσεως καὶ τῆς τιμωρίας; Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλόν, καὶ τὸ καλὸν πονηρόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ τιθέντες τὸ γλυκὺ πικρόν, καὶ τὸ πικρὸν γλυκύ». Πάλιν περὶ τῶν αὐτῶν διαλέγεται. Ἐπειδὴ τοὺς μὲν προφήτας ὕβριζον καὶ ἀπατεῶνας ἔλεγον, τοὺς δὲ ψευδοπροφήτας ἐτίμων, καὶ ἀνέστρεφον τῶν πραγμάτων τὴν τάξιν, ταλανίζει αὐτοὺς ἐπὶ τῇ κρίσει τῇ διεφθαρμένῃ. «Οὐαί», φησίν, «οἱ λέγοντες τὸ πονηρὸν καλόν», τουτέστι, τὴν ψευδοπροφητείαν, «καὶ τὸ καλὸν πονηρόν», τὴν προφητείαν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· «οἱ τιθέντες τὸ γλυκὺ πικρόν, καὶ τὸ πικρὸν γλυκύ». Εἰ γὰρ καὶ φορτικά,

22. Ἀμὼς 5, 18-20.

ρετε ἐναντίον σας τὴν ὀργὴ τοῦ Θεοῦ καὶ αὐξάνετε τὴν κακία σας. Ἐπειδὴ λοιπὸν δὲν πιστεύετε στὰ ὅσα λέγονται, ὑπολείπεται πλέον νὰ λάβετε ἔμπρακτα γνώση αὐτῶν. Ὥστε σεῖς εἶστε ἐκεῖνοι ποὺ προκαλεῖται τὰ κακά, σεῖς ποὺ δὲν πιστεύετε στὰ λεγόμενα. Γι' αὐτὸ λέγει· «Ἀλλοίμονο σ' ἐκείνους ποὺ σύρουν πίσω τους τὶς ἁμαρτίες τους»· δηλαδη τὴν ἀνταπόδοση γιὰ τὰ ἁμαρτήματά σας. «Σὰν μακρὺ σχοινί», λέγει, σύρετε ἀπὸ πολὺ μακριὰ τὴν ὁρισμένη γιὰ τὰ ἁμαρτήματά σας τιμωρία, καὶ «Σὰν λουρὶ ζυγοῦ δαμάλας», ποὺ εἶναι ζεμένη στὸ ζυγό, γιὰ νὰ δείξει ὅτι τὸ κάνουν αὐτὸ μὲ ὅλη τὴ δύναμή τους, μὲ ὅλη τὴν προθυμία τους. Ὅπως θὰ μποροῦσε κάποιος νὰ σύρει μὲ ἕνα δυνατὸ λουρὶ κάτι, ἔτσι σεῖς μὲ τὴν ἀπιστία σας σύρετε ἐναντίον σας τὴν ὀργὴ τοῦ Θεοῦ.

Ἔπειτα λέγει καὶ πῶς ἐπισύρουν αὐτὴν ἐναντίον τους· «Λέγοντας, ἂς ἔρθουν γρήγορα ἐκεῖνα ποὺ πρόκειται νὰ πραγματοποιήσει ὁ Θεός, γιὰ νὰ τὰ γνωρίσομε». Αὐτὸ καὶ ἄλλος προφήτης κατηγορεῖ λέγοντας· «Ἀλλοίμονο σ' ἐκείνους ποὺ ἐπιθυμοῦν τὴν ἡμέρα τοῦ Κυρίου. Καὶ σὰν τί θὰ εἶναι γιὰ σᾶς ἡ ἡμέρα αὐτή; Καὶ αὐτὴ θὰ εἶναι σκοτάδι καὶ ὄχι φῶς, καὶ μάλιστα βαθὺ σκοτάδι ποὺ δὲν θὰ ἔχει ἀντιφέγγισμα»[22]. Καθόσον καὶ ἐκεῖνοι δείχνοντας ἀπιστία ἔλεγαν· Πότε θὰ ἔρθει ἡ ἡμέρα τῆς κολάσεως καὶ τῆς τιμωρίας; «Ἀλλοίμονο σ' ἐκείνους ποὺ θεωροῦν τὸ κακὸ καλὸ καὶ τὸ καλὸ κακό, σ' ἐκείνους ποὺ παρουσιάζουν τὸ φῶς σὰν σκοτάδι καὶ τὸ σκοτάδι σὰν φῶς, καὶ σ' ἐκείνους ποὺ προβάλλουν τὸ γλυκὸ σὰν πικρὸ καὶ τὸ πικρὸ σὰν γλυκό»[23]. Πάλι γι' αὐτὰ τὰ ἴδια ὁμιλεῖ. Ἐπειδὴ δηλαδὴ τοὺς μὲν προφῆτες τοὺς ἔβριζαν καὶ τοὺς ἔλεγαν ἀπατεῶνες, ἐνῶ τοὺς ψευδοπροφῆτες τοὺς τιμοῦσαν καὶ ἀντέστρεφαν τὴν τάξη τῶν πραγμάτων, ταλανίζει αὐτοὺς γιὰ τὴ διεφθαρμένη κρίση τους. «Ἀλλοίμονο», λέγει, «σ' ἐκείνους ποὺ θεωροῦν τὸ κακὸ καλό», δηλαδὴ τὴν ψευδοπροφητεία, «καὶ τὸ καλὸ κακό», δηλαδὴ τὴν προφητεία, «καὶ σ' ἐκείνους ποὺ παρουσιάζουν τὸ γλυκὸ σὰν πικρό, καὶ τὸ πικρὸ σὰν γλυκό». Διότι, λέγει, ἂν καὶ εἶναι τὰ λόγια τῶν προφητῶν δυσβάσταχτα, ἀλλ' ὅμως τί-

φησί, τὰ ῥήματα, ἀλλ' οὐδὲν γλυκύτερον τῶν προφητῶν, τῇ τῶν ῥημάτων ἀπειλῇ τὴν διὰ τῶν πραγμάτων ἀποκρουομένων πεῖραν. Εἰ καὶ γλυκέα τὰ τῶν ψευδοπροφητῶν, ἀλλ' οὐδὲν αὐτῶν πικρότερον, τῇ χάριτι τῶν λόγων τὴν διὰ τῶν ἔργων αὐτῶν ἐπαγόντων ἀπειλήν.

7. Ἰδοὺ προφήτου σοφίαν, πῶς ἀνέστρεψεν αὐτῶν τὴν ὑπόνοιαν. Ἐπειδὴ γὰρ τοῖς μὲν ὡς πικρότατα φθεγγομένοις οὐ προσεῖχον, τοῖς δὲ ὡς προσηνεστάτοις καὶ γλυκύτητα πολλὴν ἔχουσιν, ἔφησεν, ὅτι τοὐναντίον μὲν οὖν ἐστι· πολὺ τῶν προφητῶν τὸ μέλι, πολλὴ δὲ τῶν ψευδοπροφητῶν ἡ πικρία. Οὕτω καὶ ἐπὶ τοῦ φωτὸς καὶ τοῦ σκότους τὸν λόγον μεταχειριστέον ἡμῖν. Οἱ μὲν γὰρ πρὸς τὴν πλάνην ἦγαγον, οἱ δὲ καὶ πρὸς τὴν ἀλήθειαν ἐχειραγώγουν· καὶ οἱ μὲν τῷ ζόφῳ τῆς αἰχμαλωσίας μονονουχὶ τὰς χεῖρας δήσαντες παρεδίδοσαν, οἱ δὲ ὅπως ἐν τῷ φωτὶ τῆς ἐλευθερίας ἀγάγωσι, πάντα ἔπραττον. Ἐπεὶ οὖν τὰς ἐναντίας περὶ τούτων δόξας εἶχον καὶ τὰς οὐ προσηκούσας, εἰκότως αὐτοὺς διορθοῦται λέγων· «Οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς».

«Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες». Οὐ μικρὸν καὶ τοῦτο ἐλάττωμα, τὸ σοφόν τινὰ νομίζειν ἑαυτόν, καὶ τοῖς ἑαυτοῦ λογισμοῖς τὸ πᾶν ἐπιτρέπειν. Καὶ γὰρ ἐντεῦθεν ἐκεῖνο γίνεται (λέγω δὴ τὸ φάσκειν τὸ πονηρὸν καλόν, καὶ τὸ καλὸν πονηρόν, καὶ τὰ ἑξῆς). Τοῦτο καὶ ὁ Παῦλος τοῖς ἔξω φιλοσόφοις ἐγκαλῶν ἔλεγεν, ὅτι «Φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν». Καὶ ὁ παροιμιώδης λόγος πάλιν φησίν· «Εἶδον ἄνθρωπον δοκοῦντα εἶναι σοφὸν παρ' ἑαυτῷ· ἐλπίδα δὲ ἔχει μᾶλλον ἄφρων αὐτοῦ». Τοῦτο καὶ Παῦλος ἐγκαλεῖ πάλιν λέγων· «Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς»· καὶ πάλιν· «Εἴ τις δοκεῖ σοφὸς

---

23. Ρωμ. 1, 22. 24. Παροιμ. 26, 12.

ποτε δὲν ὑπάρχει γλυκύτερο ἀπὸ αὐτά, καθόσον μὲ τὴν ἀπειλὴ τῶν λόγων τους ἐμποδίζουν τοὺς ἀνθρώπους νὰ λάβουν γνώση τῶν ἴδιων τῶν γεγονότων. Ἂν καὶ εἶναι γλυκὰ τὰ λόγια τῶν ψευδοπροφητῶν, ἀλλ' ὅμως τίποτε δὲν ὑπάρχει πικρότερο ἀπ' αὐτά, ἀφοῦ μὲ τὰ εὐχάριστα λόγια τους συντελοῦν στὴν πραγματοποίηση τῆς ἀπειλῆς.

7. Πρόσεχε τὴ σοφία τοῦ προφήτη, τὸ πῶς δηλαδὴ ἄλλαξε τὴ γνώμη αὐτῶν. Διότι, ἐπειδὴ ἐκείνους μὲν ποὺ ἔλεγαν πικρὰ λόγια δὲν τοὺς πρόσεχαν, ἐνῶ ἀντίθετα πρόσεχαν ἐκείνους ποὺ ἔλεγαν λόγια ποὺ προξενοῦσαν πολλὴ εὐχαρίστηση καὶ γλυκύτητα, εἶπε, ὅτι συμβαίνει ἐντελῶς τὸ ἀντίθετο· ὑπάρχει πολλὴ γλυκύτητα στὰ λόγια τῶν προφητῶν, καὶ πολλὴ πίκρα στὰ λόγια τῶν ψευδοπροφητῶν. Κατὰ τὸν ἴδιο τρόπο πρέπει νὰ ἑρμηνεύσουμε καὶ τὰ λεγόμενα περὶ τοῦ φωτὸς καὶ τοῦ σκότους. Διότι οἱ μὲν ψευδοπροφῆτες ὁδηγοῦσαν πρὸς τὴν πλάνη, ἐνῶ οἱ προφῆτες τοὺς καθοδηγοῦσαν πρὸς τὴν ἀλήθεια· καὶ οἱ μὲν πρῶτοι σὰν νὰ τοὺς ἔδεσαν τὰ χέρια τοὺς παρέδιδαν στὸ βαθὺ σκοτάδι τῆς αἰχμαλωσίας, ἐνῶ οἱ προφῆτες ὅλα τὰ ἔκαμναν μὲ σκοπὸ νὰ τοὺς ὁδηγήσουν στὸ φῶς τῆς ἐλευθερίας. Ἐπειδὴ λοιπὸν εἶχαν τὶς ἀντίθετες γνῶμες γι' αὐτοὺς καὶ ὄχι τὶς πρέπουσες, πολὺ σωστὰ τοὺς διορθώνει, λέγοντας· «Ἀλλοίμονο σ' ἐκείνους ποὺ παρουσιάζουν τὸ φῶς σκοτάδι, καὶ τὸ σκοτάδι φῶς».

«Ἀλλοίμονο σ' ἐκείνους ποὺ εἶναι συνετοὶ γιὰ τὸν ἑαυτό τους καὶ νομίζουν τοὺς ἑαυτούς τους σοφούς». Δὲν εἶναι καὶ αὐτὸ μικρὸ ἐλάττωμα, τὸ νὰ νομίζει κάποιος σοφὸ τὸν ἑαυτό του καὶ νὰ περιορίζει τὸ πᾶν στὸν ἑαυτό του. Καθόσον ἀπὸ ἐδῶ προέρχεται ἐκεῖνο (ἐννοῶ δηλαδὴ τὸ νὰ παρουσιάζει τὸ κακὸ καλό, καὶ τὸ καλὸ κακό, καθὼς καὶ τὰ λεγόμενα στὴ συνέχεια). Αὐτὸ καὶ ὁ Παῦλος κατηγορώντας στοὺς μὴ Χριστιανοὺς φιλοσόφους, ἔλεγε· «Λέγοντας ὅτι εἶναι σοφοί, μωράθηκαν»[23]. Καὶ ὁ λόγος τῶν Παροιμιῶν πάλι λέγει· «Εἶδα ἄνθρωπο ποὺ θεωρεῖ τὸν ἑαυτό του σοφό, ἀλλ' ὁ ἄφρονας ἔχει περισσότερη ἐλπίδα ἀπ' αὐτὸν γιὰ διόρθωση καὶ σωτηρία»[24]. Αὐτὸ καὶ

εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, γενέσθω μωρός, ἵνα γένηται σοφός». Μὴ τῇ οἰκείᾳ σοφίᾳ, φησί, μηδὲ τοῖς ἑαυτοῦ ἐπιτρεπέτω λογισμοῖς, ἀλλ', ἐκείνους κατευνάσας, ἐκδιδότω τὴν ψυχὴν τῇ τοῦ Πνεύματος διδασκαλίᾳ. Ἐπεὶ οὖν καὶ παρὰ Ἰουδαίοις τοιοῦτοί τινες ἦσαν ὑπερορῶντες μὲν τῶν προφητῶν ὡς ποιμένων καὶ αἰπόλων, βουλόμενοι δὲ σοφίζεσθαι οἴκοθεν, ὃ καὶ ἀπονοίας αὐτοῖς ὑπόθεσις ἐγίνετο καὶ τοῦ καταφρονεῖν τῶν λεγομένων, εἰκότως αὐτοὺς θρηνεῖ λέγων· «Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες».

«Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ τὸν οἶνον πίνοντες, καὶ οἱ δυνάσται, οἱ κιρνῶντες τὸ σίκερα». Μὴ θαυμάσῃς, εἰ πρὸ μικροῦ τοσαῦτα κατὰ μέθης εἰπών, πάλιν τὸν αὐτὸν ἐπαναλαμβάνει λόγον. Ἐπειδὴ γὰρ χαλεπὸν τὸ ἕλκος καὶ δύσεικτον, διὰ τοῦτο καὶ συνεχῶς ἐπαντλεῖν ἔδει. Χαλεπὸν δὲ καὶ δύσεικτον, τῷ μὴ δοκεῖν παρὰ τοῖς πολλοῖς ἁμάρτημα εἶναι, πάντων ἁμαρτημάτων χαλεπώτερον ὂν καὶ μυρία βλαστάνον νοσήματα. Διό φησιν, «Οἱ τὸν οἶνον πίνοντες, καὶ οἱ δυνάσται, οἱ κιρνῶντες τὸ σίκερα». Διπλοῦς ὁ κρημνός, τυραννὶς μέθης, καὶ δυναστείας ὑπερβολή. Πᾶσι μὲν γὰρ ἀνθρώποις λογισμοῦ χρεία, μάλιστα δὲ τοῖς ἐν ἀξιώμασι καὶ δυναστείαις οὖσιν, ὥστε μή, καθάπερ ἀτάκτων ὑδάτων ρύμῃ τινί, τῷ τῆς ἀρχῆς ἐκφερομένους ὄγκῳ κατακρημνίζεσθαι.

«Οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες ἀπ' αὐτοῦ». Διπλοῦν τὸ ἔγκλημα πάλιν τὸ τὸν ὑπεύθυνον ἀφιέναι, καὶ τὸν ἀνεύθυνον καταδι-

---

25. Ρωμ. 12, 16. 26. Α' Κορ. 3, 18.

ὁ Παῦλος κατηγορεῖ πάλι, λέγοντας· «Μὴ νομίζετε γιὰ τὸν ἑαυτό σας ὅτι εἶναι συνετός»[25]· καὶ πάλι· «Ἐὰν κάποιος ἀναμεταξύ σας νομίζει ὅτι εἶναι σοφὸς μὲ τὴν ἔννοια τῆς σοφίας αὐτοῦ τοῦ κόσμου, ἂς θεωρήσει τὸν ἑαυτό του μωρό, γιὰ νὰ γίνει σοφός»[26]. Ἂς μὴ στηρίζεται, λέγει, κάποιος στὴ δική του σοφία, οὔτε στοὺς δικούς του λογισμούς, ἀλλ', ἀφοῦ κατευνάσει ἐκείνους, ἂς παραδίδει τὴν ψυχή του στὴ διδασκαλία τοῦ Πνεύματος. Ἐπειδὴ λοιπὸν καὶ μεταξὺ τῶν Ἰουδαίων ὑπῆρχαν μερικοὶ τέτοιοι ποὺ περιφρονοῦσαν μὲν τοὺς προφῆτες σὰν ποιμένες καὶ αἰγοβοσκούς, ἤθελαν δὲ οἱ ἴδιοι νὰ γίνονται δάσκαλοι τοῦ ἑαυτοῦ τους, πράγμα ποὺ γινόταν γι' αὐτοὺς αἰτία παραφροσύνης καὶ τὸ νὰ περιφρονοῦν τὰ λεγόμενα, πολὺ σωστὰ θρηνεῖ αὐτοὺς λέγοντας· «Ἀλλοίμονο σ' ἐκείνους ποὺ εἶναι συνετοὶ γιὰ τὸν ἑαυτό τους καὶ θεωροῦν τοὺς ἑαυτούς τους σοφούς».

«Ἀλλοίμονο στοὺς ἄρχοντές σας ποὺ πίνουν ἀχόρταγα τὸ κρασί, καὶ στοὺς ἐξουσιαστές σας ποὺ παράγουν τὰ μεθυστικὰ ποτά». Μὴ ἀπορήσεις, ἄν, μολονότι πρὶν ἀπὸ λίγο εἶπε τόσα πολλὰ ἐναντίον τῆς μέθης, ἐπαναλαμβάνει καὶ πάλι τὸν ἴδιο λόγο. Διότι, ἐπειδὴ ἦταν φοβερὴ ἡ ἀσθένειά τους καὶ δυσκολοθεράπευτη, γι' αὐτὸ καὶ ἔπρεπε συνέχεια νὰ τὴν καθαρίζει. Εἶναι φοβερὸ δὲ καὶ δυσκολοθεράπευτο τὸ νὰ μὴ θεωρεῖται ἀπὸ τοὺς πολλοὺς κάτι ὅτι εἶναι ἁμάρτημα, ἐνῶ ὅμως εἶναι φοβερότερο ἀπὸ ὅλα τὰ ἁμαρτήματα καὶ βλαστάνει ἀμέτρητα ἁμαρτήματα. Γι' αὐτὸ καὶ λέγει, «Οἱ ὁποῖοι πίνουν τὸ κρασί, καὶ οἱ ἐξουσιαστές σας ποὺ παράγουν τὰ μεθυστικὰ ποτά». Εἶναι διπλὸς ὁ γκρεμός, τυραννικὴ μέθη καὶ ὑπερβολικὸς βαθμὸς ἐξουσίας. Διότι σ' ὅλους τοὺς ἀνθρώπους χρειάζεται λογικὴ σκέψη, πρὸ πάντων ὅμως σ' ἐκείνους ποὺ κατέχουν τὰ ἀξιώματα καὶ τὶς ἐξουσίες, ὥστε νὰ μὴ συμβαίνει, παρασυρόμενοι ἀπὸ τὸν ὄγκο τῆς ἐξουσίας, σὰν ἀπὸ κάποια ὁρμητικὰ καὶ ἄτακτα ὕδατα, νὰ πέφτουν στὸ γκρεμό.

«Ἀλλοίμομο σ' ἐκείνους ποὺ δικαιώνουν τὸν ἀσεβὴ ἐξ αἰτίας τῶν δώρων καὶ ἀφαιροῦν τὸ δίκιο τοῦ δικαίου». Διπλὸ εἶναι καὶ πάλι τὸ ἔγκλημα, τὸ ν' ἀφήνουν δηλαδὴ ἐλεύθερο τὸν ὑ-

κάζειν. Ἑκατέρου ἁμαρτήματος ἡ ῥίζα δωροδοκία. «Διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος πυρός, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνημμένης». Τὸ τῆς τιμωρίας ταχύ, τὸ εὔκολον τῆς κολάσεως παρίστησι, διὰ τῆς εἰκόνος τὴν πανωλεθρίαν αὐτῶν δηλῶν. Ἅπαντα γὰρ ταῦτα ἡ φλὸξ καὶ οἱ ἄνθρακες, καὶ ἡ καλάμη, καὶ τὰ ἑξῆς ἡμῖν παρεδήλωσεν.

8. «Ἡ ῥίζα αὐτῶν ὡς χνοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται». Τὰ πεπηγότα καὶ τὰ βέβαια ἀπολεῖται, καὶ διαχυθήσεται τὰ λαμπρά, καὶ τὰ φαιδρὰ οἰχήσεται καὶ διαρρυήσεται. «Οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου Σαβαὼθ ποιεῖν, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου παρώξυναν». Λόγιον τὸν νόμον λέγει. «Καὶ ἐθυμώθη Κύριος Σαβαὼθ ὀργῇ ἐπὶ τὸν λαὸν αὐτοῦ· καὶ ἐπέβαλε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, καὶ ἐπάταξεν αὐτούς. Καὶ παρωξύνθη ἐπὶ τὰ ὄρη, καὶ ἐγένετο τὰ θνησιμαῖα αὐτῶν ὡς κοπρία ἐν μέσῳ ὁδοῦ. Καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή». Ἐνταῦθα πόλεμον αἰνίττεται χαλεπόν, ὃς οὐδὲ ταφῇ τὰ σώματα συγχωρήσει παραδοθῆναι, οὐχ ἵνα ἐκεῖνοι κόλασιν δῶσιν, ἀλλ' ἵνα οἱ ζῶντες ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς τῆς οἰκείας ἀποτέμνωνταί τι κακίας.

Καὶ ὅρα πῶς χαλεπώτερον τὸν λόγον ἐποίησεν. Οὐ γὰρ εἶπεν, ὅτι οὐκ ἐτάφησαν, ἀλλ' ὅτι κόπρου πάσης ἀτιμότερον ἐρριμμένοι ἦσαν οἱ τετελευτηκότες, ὃ τοῖς ζῶσι φρικωδέστερον ἁπάντων εἶναι δοκεῖ, καὶ τῆς τελευτῆς αὐτῆς χαλεπώτερον. Καὶ τὸ δὴ χεῖρον, ὅτι οὐδὲ τούτων γινομένων, φησίν, ἐπιεικέστεροι γεγόνασιν, ἀλλὰ τοῖς αὐτοῖς ἐπιμένουσιν. Ἐπεὶ οὖν οὐδὲν βελτίους ἐγένοντο, ἀπειλεῖ πάλιν αὐτοῖς τὴν χαλεπωτάτην ἐκείνην πληγὴν τὴν τῶν βαρβάρων. Διὸ καὶ ἐπάγει λέγων· «Τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακράν». Ἵνα μὴ τῆς ὁδοῦ τὸ μῆκος εἰς ῥᾳθυμίαν αὐτοὺς ἐμ-

πεύθυνο καὶ νὰ καταδικάζουν τὸν ἀνεύθυνο. Καὶ τῶν δύο ἡ ρίζα τοῦ ἁμαρτήματος εἶναι ἡ δωροδοκία. «Γι' αὐτὸ καὶ θὰ καοῦν μὲ τὸν ἴδιο τρόπο ποὺ καίγεται ἡ καλαμιὰ ἀπὸ ἀναμμένα κάρβουνα καὶ κατακαίγεται ἀπὸ φουντωμένη φλόγα». Παρουσιάζει τὴν ταχύτητα τῆς τιμωρίας καὶ τὴν εὐκολία τῆς κολάσεως, θέλοντας νὰ δείξει μὲ τὴν εἰκόνα αὐτὴ τὴν πανωλεθρία αὐτῶν. Διότι ὅλα αὐτὰ μᾶς τὰ ἔκαναν φανερὰ ἡ φλόγα, τὰ ἀναμμένα κάρβουνα, ἡ καλαμιὰ καὶ τὰ ὑπόλοιπα.

8. «Ἡ ρίζα τους θὰ γίνει σὰν χνούδι καὶ τὸ ἄνθος τους θὰ ἀνεβεῖ πρὸς τὸν ἀέρα σὰν σκόνη». Τὰ σταθερὰ καὶ τὰ ἀκλόνητα θὰ χαθοῦν, τὰ λαμπρὰ θὰ διαλυθοῦν, καὶ τὰ φαιδρὰ θὰ φύγουν καὶ θὰ ἐξαφανιστοῦν. «Διότι δὲν θέλησαν νὰ ἐφαρμόζουν τὸ νόμο τοῦ Κυρίου τῶν δυνάμεων, ἀλλὰ μετέβαλαν τὸ λόγιο τοῦ ἁγίου σὲ αἰτία ὀργῆς αὐτοῦ». Λέγοντας λόγιο ἐννοεῖ τὸ νόμο. «Καὶ κυριεύθηκε ὁ Κύριος τῶν δυνάμεων ἀπὸ θυμὸ καὶ ὀργὴ ἐναντίον τοῦ λαοῦ του καὶ σήκωσε τὸ χέρι του ἐναντίον αὐτῶν καὶ χτύπησε αὐτούς. Καὶ ἔπεσε ἡ ὀργή του στὰ ὄρη καὶ ἔγιναν τὰ πτώματα τῶν νεκρῶν σὰν τὴν κοπριὰ μέσα στὸ δρόμο. Καὶ μὲ ὅλα αὐτὰ δὲν πέρασε ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἀκόμα τὸ χέρι του εἶναι ὑψωμένο». Μὲ αὐτὰ ὑπαινίσσεται πόλεμο φοβερό, ὁ ὁποῖος δεν θὰ ἀφήσει τὰ σώματα νὰ ἐνταφιασθοῦν, ὄχι γιὰ νὰ τιμωρηθοῦν οἱ νεκροί, ἀλλὰ γιὰ ν' ἀποβάλλουν οἱ ζωντανοὶ ἕνα μέρος τῆς κακίας τους μὲ τὶς ξένες συμφορές.

Καὶ πρόσεχε πῶς παρουσίασε τὸ λόγο φοβερότερο. Διότι δὲν εἶπε, ὅτι δὲν θάφτηκαν, ἀλλ' ὅτι οἱ πεθαμένοι ἦταν ριγμένοι στὸ χῶμα χειρότερα ἀπὸ κάθε κοπριά, πράγμα ποὺ θεωρεῖται ἀπὸ τοὺς ζωντανοὺς ὅτι εἶναι τὸ πιὸ φρικιαστικὸ ἀπὸ ὅλα καὶ φοβερότερο καὶ ἀπὸ τὸν ἴδιο τὸ θάνατο. Καὶ τὸ χειρότερο βέβαια, λέγει, εἶναι, ὅτι δὲν ἔγιναν καλύτεροι ἂν καὶ ἔγιναν αὐτά, ἀλλ' ἐξακολουθοῦν νὰ κάμνουν τὰ ἴδια. Ἐπειδὴ λοιπὸν δὲν ἔγιναν ὡς πρὸς τίποτε καλύτεροι, τοὺς ἀπελεῖ πάλι μὲ τὸ πιὸ φοβερὸ πλῆγμα, τὸ πλῆγμα τῶν βαρβάρων. Γι' αὐτὸ προσθέτει καὶ λέγει· «Θὰ ὑψώσει λοιπὸν ὁ Κύριος σύμβολο γιὰ τὰ ἔθνη ποὺ βρίσκονται μακριά του». Γιὰ νὰ μὴ τοὺς ὁδηγήσει τὸ μῆ-

βάλλῃ, φησὶν ὅτι οὕτω τῷ Θεῷ ῥᾴδιον ἀγαγεῖν αὐτούς, ὡς τῷ τὸ σύσσημον αἴροντι, καὶ τοὺς παρεσκευασμένους καὶ ἑτοίμους ἐξάγοντι πρὸς παράταξιν, ὅπερ καὶ ἐπὶ τῶν ἵππων γίνεται τῶν ἁμιλλατηρίων. Ὁμοῦ τε γὰρ τὸ σύμβολον τῆς ἀφέσεως αἴρεται, κἀκεῖνοι τῶν βαλβίδων ἐκπηδῶσιν εὐθέως. Δύο τοίνυν ἐνταῦθα ὁ προφήτης αἰνίττεται, ὅτι καὶ εὔκολον αὐτοὺς ἐλθεῖν, τοῦ Θεοῦ καλοῦντος, καὶ πάλαι ἂν ἦλθον, εἰ μὴ ἡ πολλὴ κατεῖχεν αὐτοὺς μακροθυμία.

Εἶτα τῇ ἐπεξηγήσει πλείονα τὴν εὐκολίαν ἐνδείκνυται λέγων· «Καὶ συριεῖ αὐτοὺς ἀπ' ἄκρου τῆς γῆς». Μὴ θαυμάσῃς δέ, εἰ, περὶ Θεοῦ διαλεγόμενος, οὕτω παχυτάταις κέχρηται λέξεσι· πρὸς γὰρ τὴν ἄνοιαν τῶν ἀκουόντων σχηματίζει τὰ ῥήματα, ἓν βουλόμενος δεῖξαι διὰ πάντων, ὅτι καὶ τῷ Θεῷ ῥᾴδιον τοῦτο, καὶ ὅτι πάντως ἀπαντήσονται· διὸ καὶ ἐπήγαγε λέγων· «Καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται. Οὐ πεινάσουσιν, οὐδὲ κοπιάσουσιν, οὐδὲ νυστάξουσι». Ταῦτα ὑπερβολικῶς εἴρηται. Πῶς γὰρ ἐνῆν μήτε πεινῆν, μήτε καθεύδειν, ἀνθρώπους ὄντας, καὶ τὴν κοινὴν λαχόντας λῆξιν; Ἀλλὰ τὸ τάχος τῆς στρατιᾶς, τὴν εὐκολίαν, τὴν ταχύτητα, ὅπερ ἔφθην εἰπών, διὰ πάντων ἐνδείκνυται.

«Οὐδὲ λύσουσι τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδὲ μὴ ῥαγῶσι οἱ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν. Ὧν τὰ βέλη ὀξέα ἐστί, καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα. Οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθησαν, οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίδες. Ὀργιῶσιν ὡς λέοντες, καὶ παρεστήκασιν ὡς σκύμνοι λεόντων. Καὶ ἐπιλήψεται, καὶ βοήσει ὡς θηρίον, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔστιν ὁ

κος τῆς ὁδοῦ σὲ ἀδιαφορία, λέγει ὅτι τόσο πολὺ εὔκολο εἶναι στὸ Θεὸ νὰ ὁδηγήσει αὐτούς, ὅσο σ' ἐκεῖνον ποὺ ὑψώνει τὸ σύμβολο καὶ ὁδηγεῖ σὲ παράταξη τοὺς προετοιμασμένους καὶ πρόθυμους, πράγμα ποὺ συμβαίνει καὶ στὴν περίπτωση τῶν ἵππων ποὺ ἀγωνίζονται στὶς ἱπποδρομίες. Διότι συγχρόνως καὶ σηκώνεται τὸ σύμβολο τῆς ἀποδεσμεύσεως καὶ ἐκεῖνοι πηδοῦν ἀμέσως ἀπὸ τὶς βαλβίδες καὶ τρέχουν. Δύο λοιπὸν πράγματα ὑπαινίσσεται ἐδῶ ὁ προφήτης, ὅτι καὶ εἶναι εὔκολο νὰ ἔρθουν αὐτοί, ἀφοῦ τοὺς καλεῖ ὁ Θεός, καὶ θὰ μποροῦσαν νὰ ἔρθουν πρὶν ἀπὸ πολὺ χρόνο, ἂν δὲν τοὺς συγκρατοῦσε ἡ μεγάλη μακροθυμία τοῦ Θεοῦ.

Ἔπειτα μὲ τὴν ἐπεξήγηση παρουσιάζει μεγαλύτερη τὴν εὐκολία λέγοντας· «Καὶ θα σφυρίξει ὁ Θεὸς γι' αὐτοὺς ποὺ βρίσκονται στὰ ἄκρη τῆς γῆς». Μὴ ἀπορήσεις ὅμως, ἐάν, μιλώντας γιὰ τὸ Θεό, χρησιμοποιεῖ τέτοιες ἀνθρωποειδεῖς ἐκφράσεις· διότι γράφει τὸ λόγο του ἀναλογα μὲ τὴν πνευματικὴ ἱκανότητα τῶν ἀκροατῶν του, θέλοντας μὲ ὅλα νὰ δείξει ἕνα πράγμα, ὅτι δηλαδὴ καὶ εἶναι εὔκολο αὐτὸ στὸ Θεό, καὶ ὅτι ὁπωσδήποτε θὰ ἔρθουν· γι' αὐτὸ πρόσθεσε καὶ εἶπε· «Καὶ νὰ ἔρχονται πολὺ γρήγορα καὶ χωρὶς ἐμπόδια. Δὲν θὰ πεινάσουν, οὔτε θὰ κοπιάσουν, οὔτε θὰ νυστάξουν». Αὐτὰ λέχθηκαν κατὰ τρόπο ὑπερβολικό. Διότι πῶς θὰ ἦταν δυνατὸ οὔτε νὰ πεινάσουν, οὔτε νὰ κοιμοῦνται, ἐνῶ εἶναι ἄνθρωποι καὶ εἶναι συνδεδεμένοι μὲ τὸ ἴδιο τέλος τῆς ζωῆς; Ἀλλὰ μὲ ὅλα δείχνει τὴν ταχύτητα τῆς ἐκστρατείας, τὴν εὐκολία καὶ τὴ γρηγοράδα, ὅπως προηγουμένως εἶπα.

«Δὲν θὰ λύσουν τὶς ζῶνες τους ἀπὸ τὴ μέση τους, οὔτε θὰ κοποῦν τὰ λουριὰ ἀπὸ τὰ ὑποδήματά τους. Τὰ βέλη αὐτῶν εἶναι αἰχμηρὰ καὶ τὰ τόξα τους εἶναι τεντωμένα. Τὰ πόδια τῶν ἵππων τους εἶναι ἰσχυρὰ σὰν τὴν πέτρα, καὶ οἱ τροχοὶ τῶν ἁρμάτων τους τρέχουν σὰν τὴν καταιγίδα. Ὁρμοῦν σὰν τὰ λεοντάρια καὶ ἡ παρουσία τους μοιάζει μὲ τὰ μικρὰ λεονταράκια τῶν λεονταριῶν. Καὶ θὰ συλλάβει τὴν τροφή του καὶ θὰ βρυχηθεῖ σὰν θηρίο καὶ θὰ τὴ μεταφέρει στὸν κρυψῶνα του καὶ δὲν θὰ

ρυόμενος αὐτούς. Καὶ βοήσεται δι' αὐτοὺς τῇ ἡμέρᾳ ἐκείνῃ ὡς φωνὴ θαλάσσης κυμαινούσης. Καὶ ἐμβλέψονται εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω· καὶ ἰδοὺ σκότος σκληρόν, σκότος ἐν τῇ ἀπορίᾳ αὐτῶν». Διὰ πάντων τὸν λόγον ἐξώγκωσε, καὶ τὸν φόβον ἐπῆρε, κατὰ μικρὸν ἕκαστα διηγούμενος, τὰ περὶ τῆς γνώμης, τὰ περὶ τῆς ἰσχύος, τὰ περὶ τῶν ὅπλων, τὰ περὶ τῶν ἵππων, τὰ περὶ τῶν ἁρμάτων, ὥστε τῷ πλήθει τῶν λεγομένων πολλὴν ποιῆσαι τὴν ἀγωνίαν, καὶ τῇ σαφηνείᾳ τῶν εἰκόνων ἐγγὺς τὰ πράγματα αὐτοῖς ἀγαγεῖν. Διὸ καὶ λέουσιν αὐτοὺς παραβάλλει, καὶ οὐδὲ ἐνταῦθα ἔστη τοῦ παραδείγματος, ἀλλὰ καὶ φωνὴν ἀναπλάττει καὶ ὁρμὴν τοῦ θηρίου, καὶ ἐπιμένει τῇ μεταφορᾷ, καὶ πολλὴν ποιεῖται τὴν τροπήν.

Καὶ ἐντεῦθεν ἐπὶ θάλατταν ἐξάγει τὸν λόγον, λέγων, ὅτι τοσοῦτος ἔσται ὁ θόρυφος, τοσαύτη ἡ ταραχή, ὅση ἂν γένοιτο μαινομένης θαλάσσης καὶ κύματα διεγειρούσης· καὶ πάντα κινεῖ τρόπον, αὔξων τὸν φόβον, ὥστε μὴ δεηθῆναι αὐτοὺς τῆς διὰ τῶν πραγμάτων πείρας. Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ὁ παραστησόμενος ἔσται, φησίν, οὐκ ἀπὸ τῆς γῆς, οὐκ ἀπὸ τῶν οὐρανῶν, ἀλλ' ἔρημοι καὶ τῆς ἄνωθεν συμμαχίας, καὶ τῆς κάτωθεν βοηθείας, ἐκδοθήσονται τοῖς πολεμίοις. Σκότος δὲ ἐνταῦθά φησι τὸ ἀπὸ τῆς συμφορᾶς αὐτοῖς ἐγγινόμενον, οὐχ ὡς τῆς ἀκτῖνος ἀφανιζομένης, ἀλλὰ τῆς διαθέσεως τῶν πασχόντων ἐν μέσῃ τῇ μεσημβρίᾳ ἀντὶ φωτὸς σκότος ὁρώντων· ὅπερ τοῖς ὀδυνωμένοις καὶ θλιβομένοις συμβαίνειν εἴωθε. Καὶ ἵνα μάθῃς, ὅτι οὐ τῆς φύσεως τοῦ ἀέρος τὸ σκότος ἦν, ἀλλὰ τῆς ἐκείνων διαθέσεως, ἐπήγαγε· «Σκληρὸν σκότος ἐν τῇ ἀπορίᾳ αὐτῶν».

ὑπάρχει κανένας νὰ τοὺς σώσει. Καὶ θὰ βρυχηθεῖ φοβερὰ γι' αὐτοὺς κατὰ τὴν ἡμέρα ἐκείνη, σὰν θάλασσα ποὺ ταράσσεται ἀπὸ τὰ κύματα. Καὶ θὰ στρέψουν τὸ βλέμμα τους πρὸς τὸν οὐρανὸ ἐπάνω καὶ πρὸς τὴ γῆ κάτω, καὶ θὰ ὑπάρχει φοβερὸ σκοτάδι, σκοτάδι ποὺ θὰ προέρχεται ἀπὸ τὴν ἀμηχανία τους». Μὲ ὅλα αὐτὰ ἐξόγκωσε τὸ λόγο καὶ φούντωσε τὸ φόβο, διηγούμενος σιγά-σιγὰ τὸ καθένα ξεχωριστά, τὰ σχετικὰ μὲ τὴν ἀπόφασή τους, μὲ τὴ δύναμή τους, μὲ τὰ ὅπλα τους, μὲ τοὺς ἵππους τους καὶ μὲ τὰ ἅρματά τους, ὥστε μὲ τὸ πλῆθος τῶν λεγομένων ν' αὐξήσει πολὺ τὴν ἀγωνία τους καὶ μὲ τὴ σαφήνεια τῶν εἰκόνων νὰ μεταφέρει κοντά τους τὰ γεγονότα. Γι' αὐτὸ καὶ τοὺς παραβάλλει μὲ λεοντάρια, καὶ οὔτε ἐδῶ σταμάτησε τὸ παράδειγμα, ἀλλὰ καὶ τοὺς συγκρίνει μὲ τὴ φωνὴ καὶ τὴν ὁρμὴ τοῦ θηρίου, καὶ ἐπιμένει στὴ μεταφορὰ καὶ παρουσιάζει μεγάλη ποικιλία στὸ λόγο.

Καὶ ἀπὸ ἐκεῖ μεταφέρει τὸ λόγο στὴ θάλασσα, λέγοντας, ὅτι τόσο μεγάλος θὰ εἶναι ὁ θόρυβος, τόσο μεγάλη ἡ ταραχή, ὅση θὰ μποροῦσε νὰ συμβεῖ μὲ τὴ μανιασμένη θάλασσα ποὺ ὑψώνει τὰ ἄγρια κύματά της· καὶ χρησιμοποιεῖ κάθε τρόπο γιὰ ν' αὐξήσει τὸ φόβο τους, ὥστε νὰ μὴ χρειασθοῦν νὰ γνωρίσουν αὐτὰ ἔμπρακτα. Καὶ τὸ φοβερότερο βέβαια εἶναι, ὅτι δὲν θὰ σπεύσει, λέγει, κανένας νὰ τοὺς βοηθήσει, οὔτε ἀπὸ τὴ γῆ, οὔτε ἀπὸ τὸν οὐρανό, ἀλλ', ἀπογυμνωμένοι ἀπὸ τὴν οὐράνια συμμαχία καὶ τὴν ἐπίγεια βοήθεια, θὰ παραδοθοῦν στοὺς ἐχθρούς. Σκοτάδι δὲ ἐδῶ ὀνομάζει αὐτὸ ποὺ δημιουργεῖται σ' αὐτοὺς ἀπὸ τὴ συμφορά· ὄχι ὅπως ὅταν ἐξαφανίζονται οἱ ἀκτίνες τοῦ ἡλίου, ἀλλ' ὅπως ἐξ αἰτίας τῆς ψυχικῆς καταστάσεώς τους οἱ ἀσθενεῖς βλέπουν σκοτάδι ἀντὶ γιὰ φῶς μέσα στὸ καταμεσήμερο, πράγμα ποὺ συνήθως συμβαίνει μὲ ἐκείνους ποὺ εἶναι κυριευμένοι ἀπὸ ὀδύνη καὶ θλίψη. Καὶ γιὰ νὰ μάθεις, ὅτι τὸ σκοτάδι δὲν ἦταν ἀποτέλεσμα τῆς φύσεως τοῦ ἀέρα, ἀλλὰ τῆς ψυχικῆς καταστάσεως ἐκείνων, πρόσθεσε· «Θὰ εἶναι φοβερὸ τὸ σκοτάδι μέσα στὴν ἀμηχανία ποὺ θὰ βρίσκονται».

ΚΕΦΑΛΑΙΟΝ S'.

«Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς».

1. Τί δήποτε τοὺς μὲν ἄλλους χρόνους ἀπὸ τῆς ζωῆς τῶν βασιλέων, τοῦτον δὲ ἀπὸ τῆς τελευτῆς χαρακτηρίζει νῦν ὁ προφήτης; Οὐ γὰρ εἶπεν, 'ἐγένετο ἐν ταῖς ἡμέραις Ὀζίου', οὐδέ, 'ἐν τῇ βασιλείᾳ Ὀζίου', ἀλλ', ἐγένετο ἡνίκα ἀπέθανε. Τί δήποτε ἐν τούτῳ ποιεῖ; Οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλά τι ἀπόρρητον ἡμῖν αἰνίττεται. Τί δὲ τοῦτό ἐστιν; Ὀζίας οὗτος τῇ τῶν γεγενημένων εὐπραγίᾳ μεθύων καὶ ὑπὸ τῆς εὐημερίας ὀγκούμενος, μεῖζον τῆς ἀξίας ἐφρόνησε. Καὶ ἐπειδὴ βασιλεὺς ἦν, ἐνόμισεν αὐτῷ προσήκειν ἱερᾶσθαι, καὶ ἐπεπήδησε τῷ ναῷ, καὶ εἰς τὰ ἅγια τῶν ἁγίων εἰσῆλθε, καί, τοῦ ἱερέως κωλύοντος καὶ ἀπαγορεύοντος αὐτῷ τὴν ἐκεῖσε εἴσοδον, οὐκ ἠνέσχετο, ἀλλ' ἐνέμεινε τῇ μανίᾳ, ὀλίγον τοῦ ἱερέως ποιούμενος λόγον. Ταύτης ἕνεκεν τῆς ἀναισχυντίας ἐπαφῆκεν αὐτῷ λέπραν ὁ Θεὸς κατὰ τοῦ μετώπου. Βουληθεὶς γὰρ πλείονα τῆς οὔσης τιμὴν λαβεῖν, καὶ ἧς εἶχεν ἐξέπεσεν. Οὐ γὰρ δὴ μόνον ἱερωσύνην οὐ προσέλαβεν, ἀλλά, καὶ γενόμενος ἀκάθαρτος, τῶν βασιλείων ἐξεβάλλετο, καὶ τὸν ἅπαντα χρόνον ἐν οἴκῳ τινὶ κεκρυμμένος κατῴκει, τὴν αἰσχύνην οὐ φέρων.

Καὶ ὁ λαὸς δὲ συναπήλαυσεν ἅπας τῆς τοιαύτης ὀργῆς, ὅτι τοὺς τοῦ Θεοῦ νόμους περιεῖδον, καὶ τὴν ἱερωσύνην ὑβριζομένην οὐκ ἐξεδίκησαν. Πῶς οὖν συναπήλαυσε τῆς ὀργῆς; Τῷ τὴν προφητείαν ἀνασταλῆναι· ὀργιζόμενος γὰρ αὐ-

---

1. Πρβλ. Β' Παρλ. 26, 16 καὶ Δ' Βασιλ. 15.

ΚΕΦΑΛΑΙΟΝ S'.

«Καὶ συνάβηκε κατὰ τὸ ἔτος ποὺ πέθανε ὁ βασιλιὰς 'Οζίας».

1. Γιατί τέλος πάντων τοὺς μὲν ἄλους χρόνους τοὺς προσδιορίζει ὁ προφήτης ἀπὸ τὴ ζωὴ τῶν βασιλέων, ἐνῶ αὐτὸν τώρα ἀπὸ τὸ θάνατο τοῦ βασιλιᾶ; Διότι δὲν εἶπε, 'συνέβηκε κατὰ τὶς ἡμέρες τοῦ 'Οζία', οὔτε, 'κατὰ τὴ διάρκεια τῆς βασιλείας τοῦ 'Οζία', ἀλλὰ «συνέβηκε ὅταν πέθανε αὐτός». Γιατί λοιπὸν τὸ κάμνει αὐτό; Τὸ κάμνει ὄχι ἄσκοπα, οὔτε στὴν τύχη, ἀλλὰ μᾶς ὑπαινίσσεται κάτι τὸ ἀπόρρητο. Καὶ ποιὸ εἶναι αὐτό; Τὸ ὅτι δηλαδὴ αὐτὸς ὁ 'Οζίας μεθυσμένος ἀπὸ τὶς ἐπιτυχίες του καὶ κυριευμένος ἀπὸ ὑπερηφάνεια γιὰ τὴν εὐημερία του, σκέφθηκε γιὰ τὸν ἑαυτό του πράγματα μεγαλύτερα ἀπὸ τὴν ἀξία του[1]. Καὶ ἐπειδὴ ἦταν βασιλιὰς νόμισε ὅτι ὁ ἴδιος ἦταν ἁρμόδιος νὰ ἐκτελεῖ τὰ ἱερατικὰ καθήκοντα, καὶ γιὰ τὸ λόγο αὐτὸ εἰσῆλθε παράνομα στὸ ναὸ καὶ μπῆκε μέσα στὰ ἅγια τῶν ἁγίων, καί, ἐνῶ ὁ ἱερέας τὸν ἐμπόδιζε καὶ ἀπαγόρευε τὴν εἴσοδο σ' αὐτά, δὲν ὑποχωροῦσε, ἀλλ' ἐπέμεινε στὴ μανία του, δείχνοντας σχεδὸν τελεία ἀδιαφορία στὰ λεγόμενα τοῦ ἱερέως. 'Εξ αἰτίας αὐτῆς τῆς ἀδιαντροπιᾶς του ὁ Θεὸς τοῦ ἔδωσε λέπρα στὸ μέτωπό του. Ἔτσι λοιπὸν θέλοντας ν' ἀποκτήσει μεγαλύτερη τιμὴ ἀπὸ ἐκείνην ποὺ εἶχε, ἔχασε καὶ ἐκείνην ποὺ εἶχε. Διότι ὄχι μόνο τὴν ἱερωσύνη δὲν ἀπέκτησε, ἀλλ', ἐπειδὴ ἔγινε ἀκάθαρτος, διώχθηκε ἀπὸ τὸ βασιλικὸ θρόνο, καὶ ζοῦσε ὅλο τὸν ὑπόλοιπο χρόνο κρυμμένος σὲ κάποιο σπίτι, μὴ ὑποφέροντας τὴ ντροπή.

'Αλλὰ καὶ ὁλόκληρος ὁ λαὸς ἀπόλαυσε μαζὶ μὲ αὐτὸν τὴν ὀργὴ αὐτή, ἐπειδὴ ἔδειξαν ἀδιαφορία γιὰ τοὺς νόμους τοῦ Θεοῦ καὶ δὲν προστάτευσαν τὴν ἱερωσύνη ποὺ ἀτιμαζόταν. Πῶς λοιπὸν ἀπόλαυσε ὁ λαὸς τὴν ὀργὴ μαζὶ μὲ αὐτόν; Μὲ τὸ ὅτι ἀνε-

τοῖς ὁ Θεὸς περὶ οὐδενὸς οὐδὲν ἀπεκρίνατο. Ἀλλ' οὐ μέχρι παντὸς τοῦτο ἐποίησεν, ἀλλὰ τῷ μέτρῳ τῆς ζωῆς τοῦ βασιλέως καὶ μέτρον τῆς τιμωρίας ὥρισεν. Ὁμοῦ γοῦν ἐκείνου καταλύσαντος τὴν ζωήν, καὶ ὁ Θεὸς τὴν ὀργὴν κατέλυσε, καὶ τὰς θύρας πάλιν τῆς προφητείας ἀνέῳξε. Τοῦτο γοῦν αἰνιττόμενος ὁ προφήτης ἀνέμνησεν ἡμᾶς τοῦ καιροῦ τῆς τελευτῆς τοῦ βασιλέως· διόπερ οὕτως ἄρχεται τῆς προφητείας, λέγων· «Ἐγένετο τοῦ ἔτους, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον». Καίτοι γε ὁ Χριστός φησι· «Θεὸν οὐδεὶς ἑώρακε πώποτε. Ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο». Καὶ πάλιν· «Οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακε, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ· οὗτος ἑώρακε τὸν Πατέρα». Καὶ πρὸς τὸν Μωϋσέα αὐτός φησιν· «Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται». Πῶς οὖν οὗτός φησιν ἑωρακέναι τὸν Κύριον; «Εἶδον» γάρ, φησί, «τὸν Κύριον». Οὐκ ἐναντία τοῖς τοῦ Χριστοῦ λέγων, ἀλλὰ καὶ σφόδρα συνῳδά. Ὁ μὲν γὰρ Χριστὸς τὴν ἀκριβῆ κατανόησίν φησιν, ἣ οὐδεὶς εἶδε· γυμνὴν γὰρ τὴν θεότητα καὶ ἀκραφνῆ τὴν οὐσίαν οὐδεὶς ἐθεάσατο, πλὴν τοῦ Μονογενοῦς, ὁ δὲ προφήτης τὴν αὐτῷ δυνατὴν ἰδεῖν ἀπαγγέλλει. Οὐδὲ γὰρ αὐτὸς ὅπερ ἐστὶν ὁ Θεὸς ἰδεῖν ἠδυνήθη, ἀλλὰ σχηματισθέντα αὐτὸν θεωρεῖ, καὶ τοσοῦτον καταβάντα, ὅσον ἀναβῆναι ἡ τοῦ θεωροῦντος ἀσθένεια ἐχώρει.

Ὅτι γὰρ οὐ γυμνὴν εἶδε τὴν θεότητα, οὔτε αὐτός, οὔτε ἄλλος οὐδείς, ἀπ' αὐτῶν ὧν ἀπαγγέλουσιν εὔδηλον. «Εἶδον» γάρ, φησί, «τὸν Κύριον καθήμενον». Θεὸς δὲ οὐ κάθηται· σωμάτων γὰρ ὁ σχηματισμός. Καὶ οὐχ ἁπλῶς, «Καθήμενον», ἀλλ' «Ἐπὶ θρόνου». Θεὸς δὲ οὐ περιέχεται· πῶς γάρ, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, οὗ ἐν τῇ

---

2. Ἰω. 1, 18. 3. Ἰω. 6, 46. 4. Ἐξ. 33, 20.

στάλη ἡ προφητεία· διότι, ἐπειδὴ ὀργίσθηκε ὁ Θεὸς ἐναντίον τους, δὲν τοὺς ἀπηύθυνε κανένα λόγο μέσω τῶν προφητῶν. Ὅμως δὲν τὸ ἔκανε αὐτὸ γιὰ πάντα, ἀλλ' ὅρισε τὸ μῆκος τῆς τιμωρίας ἴσα μὲ τὸ μῆκος τῆς ζωῆς τοῦ βασιλιᾶ. Διότι μόλις ἐκεῖνος τερμάτισε τὴ ζωὴ καὶ ὁ Θεὸς σταμάτησε τὴν ὀργή του καὶ ἄνοιξε πάλι τὶς πόρτες τῆς προφητείας. Αὐτὸ λοιπὸν ὑπαινισσόμενος ὁ προφήτης ὑπενθύμισε σὲ μᾶς τὸ χρόνο τοῦ θανάτου τοῦ βασιλιᾶ· γι' αὐτὸ ἀκριβῶς ἔτσι ἀρχίζει τὴν προφητεία, λέγοντας· «Κατὰ τὸ χρόνο ἐκεῖνο ποὺ πέθανε ὁ βασιλιὰς Ὀζίας, εἶδα τὸν Κύριο νὰ κάθεται». Ἂν καὶ βέβαια ὁ Χριστὸς λέγει· «Κανένας ποτὲ δὲν ἔχει δεῖ τὸ Θεό. Ὁ Μονογενὴς Υἱός, ποὺ βρίσκεται στὸν κόλπο τοῦ Πατρός του, ἐκεῖνος μᾶς ἐγνώρισε αὐτόν»[2]. Καὶ πάλι· «Ὄχι βέβαια ὅτι ἔχει δεῖ κάποιος τὸν Πατέρα, ἀλλὰ μόνο ἐκεῖνος ποὺ βρίσκεται πλησίον τοῦ Θεοῦ, αὐτὸς ἔχει δεῖ τὸν Πατέρα»[3]. Καὶ στὸ Μωϋσῆ ὁ ἴδιος ὁ Θεὸς λέγει· «Δὲν ὑπάρχει κανένας ποὺ θὰ δεῖ τὸ πρόσωπό μου καὶ θὰ ζήσει»[4]. Πῶς λοιπὸν αὐτὸς λέγει, ὅτι ἔχει δεῖ τὸν Κύριο; Διότι, λέγει, «Εἶδα τὸν Κύριο». Δὲν εἶναι αὐτὰ ποὺ λέγει ἀντίθετα μὲ τὰ ὅσα λέγει ὁ Χριστός, ἀλλ' εἶναι πάρα πολὺ σύμφωνα μὲ αὐτά. Διότι ὁ μὲν Χριστὸς ὁμιλεῖ γιὰ τὴν ἀκριβὴ γνώση τοῦ Θεοῦ, τὴν ὁποία κανένας δὲν ἔχει· καθόσον κανένας δὲν εἶδε γυμνὴ τὴ θεότητα καὶ ὁλοκάθαρη τὴν οὐσία αὐτοῦ, ἐκτὸς ἀπὸ τὸ Μονογενὴ Υἱό του, ἐνῶ ὁ προφήτης ὁμιλεῖ γιὰ τὸ πῶς μπόρεσε ὁ ἴδιος νὰ δεῖ αὐτόν. Διότι οὔτε αὐτὸς μπόρεσε νὰ δεῖ αὐτὸ ἀκριβῶς ποὺ εἶναι ὁ Θεός, ἀλλὰ βλέπει αὐτὸν ὑπὸ κάποια μορφὴ αὐτοῦ, καὶ ἀφοῦ κατέβηκε τόσο, ὅσο ἐπέτρεπε ἡ ἀσθένεια αὐτοῦ, ποὺ τὸν ἔβλεπε, ν' ἀνεβεῖ πρὸς αὐτόν.

Πράγματι τὸ ὅτι οὔτε αὐτὸς εἶδε γυμνὴ τὴ θεότητα, οὔτε ἄλλος κανένας, γίνεται φανερὸ ἀπὸ αὐτὰ ποὺ λέγουν αὐτοί. Διότι, λέγει, «Εἶδα τὸ Θεὸ νὰ κάθεται». Ὁ Θεὸς ὅμως δὲν κάθεται, καθόσον ὁ σχηματισμὸς εἶναι γνώρισμα τῶν σωμάτων. Καὶ τὸν εἶδε ὄχι ἁπλῶς «Νὰ κάθεται», ἀλλὰ «Ἐπάνω σὲ θρόνο». Ἀλλ' ὁ Θεὸς δὲν περικλείεται μὲ κάτι· διότι πῶς εἶναι αὐτὸ δυνατὸ σ' αὐτὸν ποὺ εἶναι παντοῦ παρὼν καὶ γεμίζει τὰ πάν-

χειρὶ τὰ πέρατα τῆς γῆς; Ὅθεν δῆλον, ὅτι συγκατάβασις ἦν τὸ δρώμενον. Οὕτω γοῦν ἕτερον προφήτης αἰνιττόμενος ἔλεγεν ἐκ προσώπου τοῦ Θεοῦ· «Ἐγὼ ὁράσεις ἐπλήθυνα», τουτέστι, διαφόρως ὤφθην. Εἰ δὲ αὐτὴ ἡ οὐσία γυμνὴ ἐφαίνετο, οὐκ ἂν διαφόρως ἐφάνη· ἀλλ' ἐπειδὴ συγκαταβαίνων, νῦν μὲν τούτῳ τῷ τρόπῳ, νῦν δὲ ἐκείνῳ τοῖς προφήταις ἑαυτὸν ἐδείκνυε, καταλλήλως τοῖς ὑποκειμένοις καιροῖς σχηματίζων τὰς ὄψεις, διὰ τοῦτό φησιν· «Ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην». Οὐχ ὥσπερ ἤμην, ἐφάνην, φησίν, ἀλλ' ὡμοιώθην πρὸς ὅπερ ἰδεῖν ἠδύναντο οἱ θεωροῦντες. Ὁρᾷς γοῦν αὐτὸν νῦν μὲν καθήμενον, νῦν δὲ ὡπλισμένον, νῦν δὲ τρίχα πολιὰν ἔχοντα, νῦν δὲ ἐν αὔρᾳ, νῦν δὲ ἐν πυρί, νῦν δὲ ἐκ τῶν ὀπισθίων φαινόμενον, νῦν δὲ ἐπὶ τῶν Χερουβίμ, καὶ πρὸς μεταλλικῶν ὑλῶν λαμπρότητα τῶν διαφανεστάτων τὴν ὄψιν ἐξεικονιζόμενον.

Τίνος μὲν οὖν ἕνεκεν νῦν μὲν ὡπλισμένος φαίνεται καὶ ᾑμαγμένος, νῦν δὲ ἐν τῷ πυρί, νῦν δὲ τὰ ὀπίσθια δεικνύς, νῦν δὲ ἐν οὐρανῷ, νῦν δὲ ἐν θρόνῳ, νῦν δὲ ἐπὶ τῶν Χερουβίμ, οὐ τοῦ παρόντος ἂν εἴη λέγειν καιροῦ, ὥστε μὴ τὸ πάρεργον τοῦ ἔργου γενέσθαι μεῖζον. Τέως δὲ ἀναγκαῖον ὑπὲρ τῆς παρούσης ὄψεως διαλεχθῆναι. Τίνος οὖν ἕνεκεν οὕτω φαίνεται νῦν ἐπὶ θρόνου καθήμενος, καὶ μετὰ τῶν Σεραφίμ; Ἀνθρώπινον ἔθος μιμεῖται, ἐπειδὴ καὶ πρὸς ἀνθρώπους ἦν ὁ λόγος αὐτῷ. Ἐπειδὴ γὰρ ἀπόφασιν ἐκφέρειν μέλλει ὑπὲρ μεγάλων πραγμάτων καὶ τῆς οἰκουμένης ἁπάσης, ἔτι δὲ καὶ περὶ τῶν Ἱεροσολύμων, καὶ διπλῆν τίθησι ψῆφον, τὴν μὲν κόλασιν τῇ πόλει φέρουσαν καὶ τῷ ἔθνει παντί, τὴν δὲ εὐεργεσίαν τῇ οἰκουμένῃ, καὶ μεγάλας ἐπαγγελλομένην ἐλπίδας

---

5. Ψαλμ. 94, 4. 6. Ὠσηὲ 12, 10. 7. Ὠσηὲ 12, 10.

τα, καὶ στὰ χέρια κρατεῖ τὰ πέρατα τῆς γῆς[5]; Ἑπομένως γίνεται φανερὸ ὅτι συγκατάβαση ἦταν ἐκεῖνο ποὺ ἔβλεπε. Κατὰ τὸν ἴδιο τρόπο λοιπὸν ἄλλος προφήτης ὑπὸ μορφὴ ὑπαινιγμοῦ ἔλεγε ἐξ ὀνόματος τοῦ Θεοῦ· «Ἐγὼ πλήθυνα τὶς ὁράσεις»[6], δηλαδὴ παρουσιάστηκα κατὰ διαφόρους τρόπους. Ἂν ὅμως φαινόταν γυμνὴ ἡ ἴδια ἡ οὐσία τοῦ Θεοῦ, δὲν θὰ παρουσιαζόταν κατὰ διαφορετικοὺς τρόπους, ἐπειδὴ ὅμως τὸ ἔκαμνε αὐτὸ κατὰ συγκατάβαση, ἄλλοτε μὲν φανέρωνε τὸν ἑαυτό του στοὺς προφῆτες μὲ αὐτὸν τὸν τρόπο, ἄλλοτε δὲ μὲ ἐκεῖνον, προσαρμόζοντας τὶς ἐμφανίσεις του σύμφωνα μὲ τὶς ἑκάστοτε περιστάσεις, γι' αὐτὸ λέγει· «Πλήθυνα τὶς ὁράσεις καὶ παρουσιάστηκα μὲ διαφορετικὸ τρόπο στὸν κάθε προφήτη»[7]. Παρουσιάστηκα, λέγει, ὄχι ὅπως ἀκριβῶς ἤμουν, ἀλλ' ἐξομοιώθηκα μὲ ἐκεῖνο ποὺ μποροῦσαν νὰ δοῦν ἐκεῖνοι ποὺ μὲ ἔβλεπαν. Βλέπεις λοιπὸν αὐτὸν ἄλλοτε μὲν νὰ κάθεται, ἄλλοτε νὰ εἶναι ὁπλισμένος, ἄλλοτε νὰ ἔχει λευκὰ μαλλιά, ἄλλοτε ὑπὸ μορφὴ ἀνέμου, ἄλλοτε ὑπὸ μορφὴ φωτιᾶς, ἄλλοτε νὰ δείχνει τὰ ὀπίσθιά του, ἄλλοτε νὰ φέρεται ἀπὸ τὰ Χερουβὶμ καὶ νὰ ἐξεικονίζεται ἡ ὄψη του μὲ τὴ λαμπρότητα τῶν πιὸ διαφανῶν μεταλλικῶν σωμάτων.

Ἀλλὰ γιὰ ποιὸ λόγο ἄλλοτε μὲν παρουσιάζεται ὁπλισμένος καὶ ματωμένος, ἄλλοτε ὑπὸ μορφὴ φωτιᾶς, ἄλλοτε δείχνει τὰ ὀπίσθιά του, ἄλλοτε ἐμφανίζεται στὸν οὐρανό, ἄλλοτε κάθεται σὲ θρόνο καὶ ἄλλοτε φέρεται ἀπὸ τὰ Χερουβίμ, δὲν θὰ ἦταν δυνατὸ νὰ ἐξηγηθεῖ στὴν περίπτωση αὐτή, γιὰ νὰ μὴ πιάσει μεγαλύτερο μέρος στὴν ὁμιλία μας αὐτὸ ποὺ ἔχει δευτερεύουσα σημασία. Τώρα εἶναι ἀνάγκη νὰ ἐξηγήσουμε τὴν ἐμφάνιση αὐτὴ τοῦ Θεοῦ στὸν προφήτη. Γιὰ ποιὸ λόγο λοιπὸν παρουσιάζεται τώρα νὰ κάθεται ἐπάνω σὲ θρόνο καὶ γύρω του νὰ στέκονται τὰ Σεραφίμ; Μιμεῖται ἀνθρώπινη συνήθεια, ἐπειδὴ καὶ ὁ λόγος του ἀπευθυνόταν πρὸς ἀνθρώπους. Ἐπειδὴ δηλαδὴ πρόκειται νὰ ἀνακοινώσει τὴν ἀπόφασή του γιὰ σπουδαῖα πράγματα καὶ γιὰ ὁλόκληρη τὴν οἰκουμένη καὶ γιὰ τὰ Ἱεροσόλυμα, ἀνακοινώνει διπλὴ ἀπόφασή του, ποὺ ἡ μὲν μία περιέχει τιμωρία

καὶ τιμὰς ἀθανάτους. Ἔθος δὲ τοῖς δικάζουσι ταῦτα ποιεῖν μὴ λάθρᾳ, ἀλλ' ἐφ' ὑψηλοῦ τοῦ βήματος καθημένους, παρεστώτων ἁπάντων, καὶ παραπετασμάτων συνελκομένων τοῦτο ποιεῖν. Τούτους καὶ αὐτὸς μιμούμενος παρέστησεν αὐτῷ τὰ Σεραφίμ, καὶ ἐφ' ὑψηλοῦ κάθηται θρόνου, καὶ οὕτω τὴν ἀπόφασιν ταύτην ἐκφέρει.

2. Καὶ ἵνα μάθῃς, ὅτι οὐχ ὑποψία τὸ πρᾶγμα, ἀλλὰ τοῦτο ἔθος αὐτῷ, καὶ ἐξ ἑτέρου προφήτου τοῦτο πειράσομαι ποιῆσαι φανερόν. Καὶ γὰρ ἐπὶ τοῦ Δανιήλ, ἐπειδὴ καὶ ἐκεῖ ψῆφόν τινα μεγάλην ἐκφέρειν ἔμελλε περὶ κολάσεων καὶ τιμωριῶν Ἰουδαϊκῶν καὶ τῶν ἀγαθῶν τῶν μελλόντων τῇ οἰκουμένῃ δίδοσθαι, κἀκεῖ θρόνος φαίνεται λαμπρὸς καὶ περιφανής, καὶ δῆμος ἀγγέλων παρεστηκώς, καὶ ἔθνη ἀρχαγγέλων, καὶ ὁ Μονογενὴς συγκαθήμενος, καὶ βίβλοι ἀνοίγονται, καὶ ποταμοὶ πυρὸς ἕλκονται, καὶ πάντοθεν σχῆμα δικαστηρίου συνίσταται. Καὶ ἔστι κἀκεῖνα συγγενῆ τοῖς ἐνταῦθα λεγομένοις ἅπαντα, ἢ καὶ σαφέστερον ἐκεῖνος αὐτὰ ἀπαγγέλλει, ἅτε τῶν χρόνων ἐγγύτερον γινομένων, καὶ πρὸς αὐτὰς λοιπὸν τὰς θύρας τῆς προφητείας ἀφικνουμένης. Ἀλλὰ ταῦτα τοῖς φιλοπόνοις ἀφέντες συναγαγεῖν καὶ παρατιθέναι, καὶ τὴν ἑκατέρας τῆς προφητείας κοινωνίαν καταμανθάνειν, ὅπερ ἔφην, τῆς προκειμένης ἡμεῖς ἁψώμεθα μετὰ ἀκριβείας, ὡς ἂν οἷόν τε ᾖ ῥῆσιν ἑκάστην ἐξηγούμενοι. Οὕτω γὰρ καὶ ἡμῖν καὶ ὑμῖν σαφέστερα ἔσται τὰ εἰρημένα.

Τί οὖν φησιν; «Εἶδον τὸν Κύριον καθήμενον». Τὸ καθῆσθαι ἐπὶ θρόνου σύμβολον ἀεὶ κρίσεώς ἐστιν, ὥσπερ ὁ Δαυὶδ φησιν· «Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην»· καὶ ὁ Δανιήλ· «Θρόνοι ἐτέθησαν, καὶ κριτήριον ἐκάθισε». Τὸ δὲ ἁπλῶς καθῆσθαι ἑτέρου σύμβολον εἶναί φησιν ὁ

---

8. Πρβλ. Δαν. κεφ. 7 ἑ. 9. Ψαλμ. 9, 5. 10. Δαν. 7, 9-10.

γιὰ τὴν πόλη καὶ ὁλόκληρο τὸ ἔθνος, ἡ δὲ ἄλλη εὐεργεσία γιὰ τὴν οἰκουμένη, καὶ ἀποτελεῖ ὑπόσχεση γιὰ μεγάλες ἐλπίδες καὶ ἀθάνατες τιμές. Ἀποτελεῖ συνήθεια στοὺς δικαστὲς νὰ κάμνουν αὐτὰ ὄχι κρυφά, ἀλλὰ νὰ τὰ κάμνουν καθισμένοι ἐπάνω σὲ ὑψηλὸ βῆμα καὶ ἐνῶ ὅλοι εἶναι παρόντες καὶ τὰ παραπετάσματα ἀνοιχτά. Αὐτοὺς μιμούμενος καὶ αὐτὸς τοποθέτησε τὰ Σεραφὶμ γύρω του, κάθεται ἐπάνω σὲ ὑψηλὸ θρόνο καὶ ἀνακοινώνει μὲ τὸν τρόπο αὐτὸ τὴν ἀπόφασή του αὐτή.

2. Καὶ γιὰ νὰ μάθεις, ὅτι τὸ πράγμα αὐτὸ δὲν εἶναι φανταστικό, ἀλλ' ὅτι αὐτὸ ἀποτελεῖ συνήθεια τοῦ Θεοῦ, θὰ προσπαθήσω νὰ τὸ ἀποδείξω αὐτὸ καὶ ἀπὸ ἄλλον προφήτη. Καθόσον καὶ στὴν περίπτωση τοῦ Δανιήλ, ἐπειδὴ καὶ ἐκεῖ ἐπρόκειτο ὁ Θεὸς ν' ἀνακοινώσει κάποια μεγάλη ἀπόφασή του γιὰ κολάσεις καὶ τιμωρίες τῶν Ἰουδαίων καὶ γιὰ τὰ ἀγαθὰ ποὺ ἐπρόκειτο νὰ δοθοῦν στὴν οἰκουμένη, καὶ ἐκεῖ φαίνεται θρόνος λαμπρὸς καὶ ἔνδοξος, πλῆθος ἀγγέλων νὰ στέκεται τριγύρω του καὶ τάξεις ἀρχαγγέλων, ὁ Μονογενὴς Υἱός του νὰ κάθεται κοντά του, βιβλία ν' ἀνοίγονται καὶ πύρινα ποτάμια νὰ τρέχουν, καὶ ἀπὸ παντοῦ νὰ προβάλλει ἡ εἰκόνα τοῦ δικαστηρίου[8]. Καὶ ὅλα ἐκεῖνα εἶναι ἀνάλογα μὲ ἐκεῖνα ποὺ λέγονται ἐδῶ, μᾶλλον δὲ ἐκεῖνος ἐκθέτει αὐτὰ σαφέστερα, ἐπειδὴ τὰ χρόνια ἐκπληρώσεως αὐτῶν ἦταν πλησιέστερα καὶ ἡ προφητεία εἶχε φθάσει πλέον στὰ πρόθυρα πραγματοποιήσεώς της. Ἀλλ' αὐτά, ἀφοῦ τὰ ἀφήσουμε νὰ τὰ συγκεντρώσουν καὶ νὰ τὰ ἐξηγήσουν οἱ φιλόπονοι, καὶ νὰ διαπιστώσουν τὴ σχέση τῆς κάθε μιᾶς προφητείας μὲ τὴν ἄλλη, ὅπως εἶπα, ἐμεῖς ἂς ἐξετάσομε μὲ προσοχὴ τὴν προφητεία αὐτή, ἐξηγώντας ὅσο ἐπιτρέπουν οἱ δυνάμεις μας τὸν κάθε λόγο αὐτῆς, διότι ἔτσι θὰ γίνουν καὶ σ' ἐμένα καὶ σὲ σᾶς σαφέστερα τὰ ὅσα ἔχουν λεχθεῖ σ' αὐτήν.

Τί λοιπὸν λέγει; «Εἶδα τὸν Κύριο νὰ κάθεται». Τὸ νὰ κάθεται ἐπάνω στὸ θρόνο εἶναι πάντοτε σύμβολο κρίσεως, ὅπως ἀκριβῶς λέγει ὁ Δαυίδ· «Κάθισες ἐπάνω στὸ θρόνο σὺ ποὺ δικάζεις καὶ ἀποδίδεις δικαιοσύνη»[9]· καὶ ὁ Δανιὴλ λέγει· «Θρόνοι τοποθετήθηκαν καὶ στήθηκε τὸ δικαστήριο»[10]. Ἐνῶ τὸ νὰ κά-

προφήτης. Τίνος δὲ τούτου; Τοῦ παγίου, τοῦ μονίμου, τοῦ βεβηκότος, τοῦ ἀτρέπτου, τοῦ ἀτελευτήτου, τῆς ζωῆς τῆς ἀπεράντου. Διὰ τοῦτό φησι· «Σὺ καθήμενος εἰς τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι εἰς τὸν αἰῶνα». Σύ, φησί, μένων, ὤν, ζῶν, ἀεὶ ὡσαύτως ὤν. Ὅτι γὰρ οὐ περὶ καθέδρας ἔλεγεν, ἡ ἀντιδιαστολὴ δῆλον ἐποίησεν. Οὐ γὰρ εἶπεν, ἡμεῖς ἑστῶτες, ἀλλά, ἀπολλύμενοι. Τὸ δὲ ἐπὶ θρόνου καθῆσθαι τὸ κρίνειν ἐστί. Διὰ τοῦτο αὐτὸν οὕτως ὁρᾷ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ἢ ἕτερον μὲν τοῦτο, ἕτερον δὲ ἐκεῖνο αἰνίττεται. Καὶ γὰρ ὑψηλὸς ἦν ὁ θρόνος, τουτέστι, μέγας καὶ ὑπερμήκης· καὶ ἐπηρμένος, τουτέστι, καὶ ἐν ὕψει φαινόμενος ἀφάτῳ, καὶ μετέωρος.

«Καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ». Ποῖος οἶκος; εἰπέ μοι. Ὁ ναός. Ἐπειδὴ γὰρ ἐκεῖθεν ἡ ἔχθρα, εἰκότως καὶ ἐν τῇ ὄψει τῇ θαυμασίᾳ ταύτῃ ἐκεῖ καθήμενος φαίνεται. Δόξαν δὲ ἐνταῦθά φησι λαμπρότητα, φῶς ἀπρόσιτον, ὅπερ ἑρμηνεῦσαι τῷ λόγῳ μὴ δυνάμενος, δόξαν ἐκάλεσε, καὶ οὐχ ἁπλῶς δόξαν, ἀλλὰ Θεοῦ δόξαν.

«Καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ». Τίνα λέγει ταῦτα τὰ Σεραφίμ; Δυνάμες ἀσωμάτους τῶν ἄνω δήμων, ὧν τὴν ἀρετὴν καὶ τὴν μακαριότητα καὶ ἀπὸ τῆς προσηγορίας ἔστιν ἰδεῖν. Τῇ γὰρ Ἑβραίων γλώττῃ ἔμπυρα στόματα ἑρμηνεύεται τὰ Σεραφίμ. Τί οὖν ἐκ τούτου μανθάνομεν; Τὸ καθαρὸν τῆς οὐσίας, τὸ ἄγρυπνον, τὸ διεγηγερμένον, τὸ γοργόν, τὸ ἐνεργητικόν, τὸ ἀκηλίδωτον. Οὕτω γοῦν καὶ ὁ προφήτης Δαυὶδ τῶν ἄνω δυνάμεων τὴν ἀπαραπόδιστον διακονίαν βουλόμενος ἡμῖν ἐνδείξασθαι, καὶ τὸ ταχὺ τῆς ὑπηρεσίας καὶ σφόδρα ἐνεργές, ἔλεγεν, «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα»,

---

11. Ψαλμ. 103, 4.

θεται ἁπλῶς λέγει ὁ προφήτης ὅτι εἶναι σύμβολο κάτι ἄλλου. Ποιὸ πράγμα εἶναι αὐτὸ ποὺ συμβολίζει; Τὸ σταθερό, τὸ μόνιμο, τὸ στερεό, τὸ ἀμετάβλητο, τὸ ἀθάνατο, τὴ ζωὴ τὴν ἀπέραντη. Γι' αὐτὸ λέγει· «Σὺ μένεις στὸν αἰώνα, ἐνῶ ἐμεῖς χανόμαστε αἰώνια». Σύ, λέγει, μένεις αἰώνια, ὑπάρχεις, ζεῖς καὶ εἶσαι πάντοτε ὁ ἴδιος. Τὸ ὅτι βέβαια δὲν ἐννοοῦσε θρόνο, μᾶς τὸ φανέρωσε ἡ σύγκριση ποὺ ἔκανε. Διότι δὲν εἶπε, 'ἐμεῖς μένομε αἰώνια', ἀλλὰ 'χανόμαστε'. Ἐνῶ τὸ νὰ κάθεται ἐπάνω στὸ θρόνο συμβολίζει τὸ δικαστήριο. Γι' αὐτὸ βλέπει αὐτὸν ἔτσι «νὰ κάθεται ἐπάνω σὲ θρόνο ὑψηλὸ καὶ μεγαλοπρεπή», ἢ ἄλλο μὲν ὑπαινίσσεται αὐτό, ἄλλο δὲ ἐκεῖνο. Καθόσον «ὑψηλὸς ἦταν ὁ θρόνος», δηλαδὴ μεγάλος καὶ ὑπερμεγέθης, καὶ «ἐπηρμένος», δηλαδὴ φαινόταν ἀπερίγραπτα ὑψηλὸς καὶ μετέωρος.

«Καὶ νὰ εἶναι ὁ οἶκος αὐτοῦ γεμάτος ἀπό δόξα». Πές μου, ποιὸς οἶκος; Ὁ ναός. Ἐπειδὴ δηλαδὴ ἀπὸ ἐκεῖ προερχόταν ἡ ἔχθρα, πολὺ σωστὰ καὶ κατὰ τὴ θαυμάσια αὐτὴ ἐμφάνισή του ἐκεῖ παρουσιάζεται καθισμένος. Δόξα δὲ ἀδῶ ὀνομάζει τὴ λαμπρότητα, τὸ φῶς τὸ ἀκατανόητο καὶ ἀπλησίαστο, τὸ ὁποῖο, ἐπειδὴ δὲν μπορεῖ νὰ τὸ ἑρμηνεύσει μὲ λόγια, τὸ ὀνόμασε δόξα, καὶ ὄχι ἁπλῶς δόξα, ἀλλὰ δόξα Θεοῦ.

«Καὶ γύρω ἀπὸ αὐτὸν στέκονταν τὰ Σεραφίμ». Ποιά εἶναι αὐτὰ ποὺ τὰ ὀνομάζει Σεραφίμ; Εἶναι οἱ ἀσώματες δυνάμεις τῶν οὐρανίων κόσμων, τῶν ὁποίων τὴν ἀρετὴ καὶ τὴ μακαριότητα μπορεῖ κανεὶς νὰ διαπιστώσει καὶ ἀπὸ τὴν ὀνομασία αὐτῶν. Διότι στὴν ἑβραϊκὴ γλώσσα τὰ Σεραφὶμ ἑρμηνεύονται στόματα φλογισμένα. Τί λοιπὸν διδασκόμαστε ἀπ' αὐτό; Τὸ καθαρὸ τῆς οὐσίας τους, τὸ ἄγρυπνο, τὴν ὑπερβολικὴ προσοχή τους, τὴν ταχύτητά τους, τὴν ἔντονη δράση τους καὶ τὴν καθαρότητά τους. Κατὰ τὸν ἴδιο τρόπο λοιπὸν καὶ ὁ προφήτης Δαυίδ, θέλοντας νὰ μᾶς δείξει τὴν τελείως ἐλεύθερη διακονία τῶν οὐρανίων δυνάμεων, τὴν ταχύτητα τῆς ὑπηρεσίας τους καὶ τὴν ὑπερβολικὴ καθαρότητά τους, ἔλεγε· «Αὐτὸς ποὺ κάμνει τοὺς ἀγγέλους ταχεῖς σὰν τοὺς ἀνέμους καὶ αὐτοὺς ποὺ τὸν ὑπηρετοῦν σὰν τὴ φλόγα τοῦ πυρός»[11], δείχνοντας μὲ τὰ στοι-

τὸ ταχύ, τὸ κοῦφον, τὸ δραστήριον ἡμῖν διὰ τῶν στοιχείων τούτων ἐνδεικνύμενος. Τοιαῦτα καὶ αἱ δυνάμεις αὐταί, καθαροῖς στόμασιν ἀνυμνοῦσαι τὸν Δεσπότην, ἔργον τοῦτο ἔχουσαι διηνεκῶς, εὐφημίας ἀναφέρουσαι, λειτουργίαν ἀδιάλειπτον. Δείκνυσι δὲ αὐτῶν τὸ ἀξίωμα τὸ πλησίον εἶναι τοῦ θρόνου. Καθάπερ γὰρ ἐπὶ τῶν βασιλέων τῶν ἐπὶ γῆς οἱ ἐν μείζονι ἀξιώμασιν ὄντες, παρ' αὐτὸν ἑστήκασι τὸν θρόνον τὸν βασιλικόν, οὕτω δὴ καὶ αὗται αἱ δυνάμεις διὰ τὴν ὑπερβάλλουσαν ἀρετὴν τὸν ἄνω θρόνον κυκλοῦσι, τῆς ἀπορρήτου μακαριότητος ἀπολαύουσαι διηνεκῶς, καὶ ἐντρυφῶσαι τῇ μακαρίᾳ λήξει τῆς λειτουργίας ταύτης.

«Ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί. Καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τοὺς πόδας ἑαυτῶν, ταῖς δὲ δυσὶ κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν, καὶ ταῖς δυσὶν ἐπέταντο. Καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ. Πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ». Τί βούλεται ἡμῖν ταῦτα τὰ πτερά, καὶ τί αἰνίττονται ἡμῖν αἱ πτέρυγες; Οὐ γὰρ δὴ πτερὰ ἐπὶ τὰς ἀσωμάτους δυνάμεις ἐκείνας, ἀλλὰ πάλιν διὰ παχυτέρων σχημάτων ἀπόρρητά τινα ἡμῖν ὁ προφήτης παραδηλοῖ, συγκαταβαίνων μὲν τῇ ἀσθενείᾳ τῶν τότε ἀκροωμένων, ὅμως δὲ καὶ διὰ τῆς συγκαταβάσεως πᾶσαν διάνοιαν ὑπερβαίνοντα νοήματα μετὰ ἀκριβείας ἡμῖν ἐνδεικνύμενος.

3. Τί οὖν αἰνίττονται αἱ πτέρυγες; Τὸ ὑψηλὸν καὶ μετάρσιον τῶν δυνάμεων τούτων. Οὕτω καὶ ὁ Γαβριὴλ πετόμενος, καὶ ἐκ τῶν οὐρανῶν καταβαίνων φαίνεται, ἵνα μάθῃς τὸ ταχὺ καὶ κοῦφον. Καὶ θαυμάζεις, εἰ ἐπὶ τῶν λειτουργικῶν δυνάμεων ταύταις ταῖς λέξεσι κέχρηται, ὅπου γε καὶ ἐπ' αὐτοῦ τοῦ τῶν ὅλων Θεοῦ οὐ παρῃτήσατο ταύτην μεταχειρίσασθαι τὴν συγκατάβασιν; Βουλόμενος γὰρ αὐτοῦ δεῖξαι ἢ τὸ ἀσώματον, ἢ τὸ ταχὺ τῆς πανταχοῦ παρουσίας, φησὶν ὁ

χεῖα αὐτὰ τὴν ταχύτητα, τὴν ἐλαφρότητα καὶ τὴ δραστηριότητα αὐτῶν. Μὲ τέτοιους ὕμνους ἀνυμνοῦν τὸν Κύριο καὶ οἱ δυνάμεις αὐτὲς μὲ καθαρὰ στόματα, ἔχοντας συνέχεια ἔργο αὐτό, νὰ ἀναπέμπουν πρὸς αὐτὸν ὕμνους δοξολογίας καὶ ἀδιάκοπη ὑπηρεσία. Δείχνει δὲ ὅτι ἀξίωμα αὐτῶν εἶναι τὸ νὰ βρίσκονται κοντὰ στὸ θρόνο αὐτοῦ. Διότι ὅπως ἀκριβῶς στὴν περίπτωση τῶν βασιλέων τῆς γῆς ἐκεῖνοι ποὺ κατέχουν τὰ ἀνώτερα ἀξιώματα στέκονται κοντὰ στὸ βασιλικὸ θρόνο, ἔτσι λοιπὸν καὶ αὐτὲς οἱ δυνάμεις περιβάλλουν τὸν οὐράνιο θρόνο ἐξ αἰτίας τῆς ὑπερβολικῆς ἀρετῆς τους, ἀπολαμβάνοντας συνέχεια τὴν ἀπόρρητη μακαριότητα καὶ νιώθοντας ἀπερίγραπτη χαρὰ μὲ τὸ μακάριο ἀποτέλεσμα τῆς λειτουργίας αὐτῆς.

«Ἕξι φτεροῦγες εἶχε τὸ ἕνα καὶ ἕξι φτεροῦγες τὸ ἄλλο. Καὶ μὲ τὶς δύο κάλυπταν τὰ πόδια τους, μὲ τὶς ἄλλες δύο κάλυπταν τὰ πρόσωπά τους, καὶ μὲ τὶς ἄλλες δύο πετοῦσαν. Καὶ μὲ φωνὴ δυνατη ἔλεγε ὁ ἕνας πρὸς τὸν ἄλλο· ἅγιος, ἅγιος, ἅγιος εἶναι ὁ Κύριος τῶν δυνάμεων, ἡ δὲ γῆ εἶναι γεμάτη ἀπὸ τὴ δόξα του». Τί θέλει νὰ μᾶς πεῖ μὲ αὐτὰ τὰ φτερὰ καὶ τί μᾶς ὑπαινίσσονται οἱ φτεροῦγες; Διότι βέβαια δὲν ὑπάρχουν φτερὰ στὶς ἀσώματες ἐκεῖνες δυνάμεις, ἀλλὰ πάλι ὁ προφήτης μὲ τὰ ἀνθρωποπαθὴ αὐτὰ σχήματα θέλει νὰ μᾶς δείξει ὁρισμένα ἀπόρρητα πράγματα, δείχνοντας συγκατάβαση στὴν ἀδυναμία τῶν τότε ἀκροατῶν του, ἀλλὰ καὶ γιὰ νὰ μᾶς διδάξει μὲ τὴ συγκατάβασή του αὐτὴ μὲ ἀκρίβεια νοήματα ποὺ ὑπερβαίνουν κάθε ἀνθρώπινη σκέψη.

3. Τί λοιπὸν ὑπαινίσσονται οἱ φτεροῦγες; Τὸ ὑψηλὸ καὶ ὑπερκόσμιο τῶν δυνάμεων αὐτῶν. Ἔτσι καὶ ὁ Γαβριὴλ παρουσιάζεται νὰ κατεβαίνει ἀπὸ τὸν οὐρανὸ πετώντας, γιὰ νὰ μάθεις τὴν ταχύτητα καὶ ἐλαφρότητα αὐτοῦ. Καὶ ἀπορεῖς ἐὰν χρησιμοποιεῖ αὐτὲς τὶς λέξεις γιὰ τὶς λειτουργικὲς δυνάμεις, τὴ στιγμὴ βέβαια ποὺ δὲν δίστασε νὰ χρησιμοποιήσει αὐτὴ τὴ συγκατάβαση καὶ γι' αὐτὸν τὸν ἴδιο τὸ Θεό; Διότι, θέλοντας νὰ δείξει ἢ τὸ ἀσώματο αὐτοῦ, ἢ τὴν ταχύτητα τῆς πανταχοῦ παρουσίας του, λέγει ὁ Δαυίδ· «Ὁ ὁποῖος βαδίζει ἐπάνω στὶς φτε-

Δαυίδ· «Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων». Καίτοι γε οὔτε ἄνεμοι πτέρυγας ἔχουσιν, οὔτε αὐτὸς ἐπὶ πτερύγων περιπατεῖ. Πῶς γάρ, ὁ πανταχοῦ παρών; Ἀλλ' ὅπερ ἔφθην εἰπών, τῇ ἀσθενείᾳ τῶν ἀκουόντων συγκαταβαίνων, ἀπὸ τῶν ἐγχωρούντων ἀνῆγεν αὐτῶν τὴν διάνοιαν. Καὶ πάλιν τὴν βοήθειαν αὐτοῦ βουλόμενος καὶ τὴν ἐκ ταύτης ἀσφάλειαν ἐνδείξασθαι, ταῖς αὐταῖς κέχρηται λέξεσιν, οὕτω λέγων· «Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με».

Ἐνταῦθα μέντοι οὐ τὸ μετάρσιον καὶ κοῦφον ἡμῖν αἰνίττεται μόνον ὁ προφήτης διὰ τῶν πτερύγων τούτων, ἀλλὰ καὶ ἕτερόν τι φρικῶδες. Δείκνυσι γάρ, ὅτι εἰ καὶ συγκατάβασις ἦν τὸ ὁρώμενον, ὥσπερ οὖν καὶ ἦν, οὐδὲ αἱ ἄνω δυνάμεις πρὸς τὸ μέτρον τοῦτο χωρῆσαι ἠδύναντο. Τὸ γὰρ καλύπτειν τοὺς πόδας, καὶ καλύπτειν τὰ νῶτα, ἐκπληττομένων ἦν, τρεμουσῶν τὴν ἀστραπήν, οὐ φερουσῶν τὴν ἀπὸ τοῦ θρόνου πηδῶσαν ἀστραπήν. Διὰ τοῦτο, καθάπερ τινὶ τειχίῳ, τῇ τῶν πτερύγων προβολῇ συνεσκίαζον τὰς ἑαυτῶν ὄψεις, καὶ ὅπερ ἡμεῖς πάσχειν εἰώθαμεν, ἢ βροντῶν καταρρηγνυμένων, ἢ ἀστραπῶν φαινομένων, ἐπὶ τὸ ἔδαφος κλινόμενοι, τοῦτο δὴ καὶ ἐκεῖναι ἔπασχον. Εἰ δὲ τὰ Σεραφίμ, αἱ μεγάλαι καὶ θαυμάσιαι δυνάμεις ἐκεῖναι, Θεὸν καθήμενον, καὶ ἐπὶ θρόνου καθήμενον ἰδεῖν ἀδεῶς οὐκ ἠδυνήθησαν, ἀλλὰ καὶ τὰς ὄψεις καὶ τοὺς πόδας ἐκάλυπτον, τίς ἂν παραστήσειε λόγος τὴν μανίαν τῶν αὐτὸν τὸν Θεὸν εἰδέναι σαφῶς λεγόντων, καὶ τὴν ἀκήρατον ἐκείνην περιεργαζομένων οὐσίαν;

«Ταῖς δυσὶν ἐπέταντο, καὶ ἐκέκραγον». Τί ποτέ ἐστι τοῦτο τό, «Ἐπέταντο», καὶ τί παρασημᾶναι βούλεται; Ὅτι διηνεκῶς περὶ τὸν Θεόν εἰσι, καὶ παρ' αὐτοῦ ἀφίστανται, ἀλλ' αὐτὴ αὐτοῖς ἡ πολιτεία, τὸ διηνεκῶς εἰς αὐτὸν ᾄδειν, τὸ

12. Ψαλμ. 103, 3. 13. Ψαλμ. 16, 8.

ρούγες τῶν ἀνέμων»[12]. Ἂν καὶ βέβαια οἱ ἄνεμοι δὲν ἔχουν φτερούγες, οὔτε ὁ Θεὸς βαδίζει ἐπάνω σὲ φτερούγες. Διότι πῶς θὰ μποροῦσε νὰ συμβεῖ αὐτὸ σ' αὐτὸν ποὺ εἶναι παντοῦ παρών; Ἀλλά, ὅπως προανέφερα, δείχνοντας συγκατάβαση στὴν πνευματικὴ ἀδυναμία τῶν ἀκροατῶν, ἀνύψωνε τὴ διάνοια αὐτῶν μὲ ἐκεῖνα ποὺ μποροῦσαν νὰ κατανοήσουν. Καὶ πάλι θέλοντας νὰ δείξει τὴ βοήθεια αὐτοῦ καὶ τὴν ἀσφάλεια ποὺ πηγάζει ἀπ' αὐτήν, χρησιμοποιεῖ τὶς ἴδιες λέξεις, λέγοντας τὰ ἑξῆς· «Θὰ μὲ σκεπάσεις καὶ θὰ μὲ προστατέψεις κάτω ἀπὸ τὰ προστατευτικὰ φτερά σου»[13].

Ἐδῶ βέβαια ὁ προφήτης μὲ τὶς φτεροῦγες αὐτὲς δὲν ὑπαινίσσεται μόνο τὸ ὑπερκόσμιο καὶ ἀνάλαφρο αὐτοῦ, ἀλλὰ καὶ κάτι ἄλλο φρικιαστικό. Δείχνει δηλαδή, ὅτι, ἂν καὶ ἀποτελοῦσε συγκατάβαση αὐτὸ ποὺ ἔβλεπε, ὅπως βέβαια καὶ ἦταν, ὅμως οὔτε οἱ οὐράνιες δυνάμεις μποροῦσαν νὰ φθάσουν σ' αὐτὴν τὴν ἀξία. Διότι τὸ ὅτι κάλυπταν τὰ πόδια τους καὶ τὰ νῶτα τους, εἶναι δεῖγμα ὅτι ἦταν κυριευμένες ἀπὸ ἔκπληξη, ὅτι ἔτρεμαν τὴν ἀστραπὴ καὶ δὲν ὑπέφεραν τὴ λαμπρότητα ποὺ πήγαζε ἀπὸ τὸ θρόνο. Γι' αὐτὸ σὰν ἀκριβῶς μὲ κάποιο τεῖχος σκέπαζαν τὰ πρόσωπά τους μὲ τὰ ἀνοιχτὰ φτερά τους, καὶ ἐκεῖνο ἀκριβῶς ποὺ συνήθως παθαίνομε ἐμεῖς, κλίνοντας πρὸς τὸ ἔδαφος ὅταν ξεσποῦν βροντὲς ἢ ἐμφανίζονται ἀστραπές, αὐτὸ λοιπὸν ἔπασχαν καὶ ἐκεῖνες. Ἐὰν δὲ τὰ Σεραφίμ, οἱ μεγάλες καὶ θαυμάσιες ἐκεῖνες δυνάμεις, δὲν μπόρεσαν ἄφοβα νὰ δοῦν τὸ Θεὸ νὰ κάθεται καὶ μάλιστα νὰ κάθεται ἐπάνω σὲ θρόνο, ἀλλὰ κάλυπταν καὶ τὰ πρόσωπά τους καὶ τὰ πόδια τους, ποιὸς λόγος θὰ μποροῦσε νὰ παραστήσει τὴ μανία ἐκείνων ποὺ λέγουν ὅτι γνωρίζουν μὲ ἀκρίβεια τὸν ἴδιο τὸ Θεὸ καὶ περιεργάζονται τὴν ἀμόλυντη ἐκείνη οὐσία;

«Μὲ τὶς δυὸ φτεροῦγες πετοῦσαν καὶ ἔκραζαν δυνατά». Τί τέλος πάντων σημαίνει τὸ «Πετοῦσαν», καὶ τί θέλει νὰ δείξει μ' αὐτό; Ὅτι διαρκῶς βρίσκονται γύρω ἀπὸ τὸ Θεὸ καὶ δὲν ἀπομκρύνονται ἀπ' αὐτόν, ἀλλ' αὐτὸ εἶναι τὸ ἔργο αὐτῶν, τὸ νὰ ψάλλουν ἀκατάπαυστα πρὸς αὐτὸν καὶ νὰ δοξολογοῦν παντο-

διαπαντὸς εὐφημεῖν τὸν ποιήσαντα. Οὐ γὰρ εἶπεν, 'ἐκέκραξαν', ἀλλ' «Ἐκέκραγον», τουτέστι, διηνεκῶς τοῦτο ἔργον ἔχουσιν.

«Ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος». Τοῦτο τὴν παναρμόνιον αὐτῶν συμφωνίαν δηλοῖ, καὶ τὴν μετὰ πολλῆς ὁμονοίας εὐφημίαν. Οὗτος ὁ ὕμνος οὐκ εὐφημία μόνον ἐστίν, ἀλλὰ καὶ προφητεία τῶν καταληψομένων τὴν οἰκουμένην ἀγαθῶν, καὶ δογμάτων ἀκρίβεια. Τίνος δὲ ἕνεκεν οὐκ εἶπον ἅπαξ, καὶ ἐσίγησαν, οὐδὲ δεύτερον, καὶ ἔστησαν, ἀλλὰ τρίτον καὶ προσέθηκαν; Οὐκ εὔδηλον, ὅτι τῇ Τριάδι τὸν ὕμνον ἀναφέρουσαι τοῦτο ἐποίουν; Διά τοι τοῦτο ὁ μὲν Ἰωάννης περὶ τοῦ Υἱοῦ φησιν εἰρῆσθαι, ὁ δὲ Λουκᾶς περὶ τοῦ Πνεύματος, ὁ δὲ προφήτης περὶ τοῦ Πατρός. Καὶ τὰ ἑξῆς δὲ ταύτην ἡμῖν ἐμφαίνει τὴν ἔννοιαν. Μετὰ γὰρ τὸν ὕμνον ἐπήγαγον· «Πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ». Ὅπερ ἦν προφητείας ἀκριβοῦς, τὴν μέλλουσαν γνῶσιν προαναφωνοῦσι, δι' ἧς ἡ οἰκουμένη τῆς δόξης ἐνεπλήσθη τοῦ Θεοῦ· ὡς τό γε παλαιόν, καὶ ἡνίκα ταῦτα ἐλέγετο, οὐ μόνον τὸ λοιπὸν τῆς οἰκουμένης μέρος, ἀλλὰ καὶ αὐτὴ τῆς Ἰουδαίας ἡ χώρα πολλῆς ἀσεβείας ἦν ἐμπεπλησμένη, καὶ οὐδεὶς οὐδαμοῦ τὸν Θεὸν ἐδόξαζε. Καὶ μάρτυς αὐτὸς ὁ προφήτης λέγων, ὅτι «Δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι». Πότε οὖν πλήρης ἐγένετο ἡ γῆ τῆς δόξης αὐτοῦ; Ὅτε ὁ ὕμνος οὗτος εἰς τὴν γῆν κατηνέχθη, καὶ συγχορευταὶ τῶν ἄνω δυνάμεων οἱ κάτω γεγόνασιν ἄνθρωποι, καὶ μίαν τὴν μελῳδίαν ἀνήγαγον, καὶ κοινὴν τὴν εὐφημίαν ἐποιήσαντο. Εἰ δὲ ἀναισχυντεῖ πρὸς ταῦτα Ἰουδαῖος, δειξάτω πότε πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ πλήρης ἐγένετο, ταύτης τῆς ἀπὸ τῆς γνώσεως; Ἀλλ' οὐκ ἂν ἔχοι δεῖξαι, κἂν μυριάκις ἀναισχυντῇ.

---

14. Ἠσ. 52, 5.

τινὰ τὸν δημιουργό. Διότι δὲν εἶπε, 'ἔκραξαν', ἀλλ', «Ἔκραζαν», δηλαδή, διαρκῶς αὐτὸ ἔχουν σὰν ἔργο τους.

«Ὁ ἕνας ἔψαλλε πρὸς τὸν ἄλλο καὶ ἔλεγαν· ἅγιος, ἅγιος, ἅγιος». Αὐτὸ φανερώνει τὴν ἁρμονικὴ συμφωνία τους καὶ τὴν ἐξύμνηση αὐτοῦ ποὺ γίνεται μὲ μεγάλη ὁμόνοια. Αὐτὸς ὁ ὕμνος δὲν εἶναι μόνο δοξολογία, ἀλλὰ καὶ προφητεία γιὰ τὰ ἀγαθὰ ποὺ θὰ δοθοῦν στὴν οἰκουμένη, καθὼς καὶ ἀκριβὴς φανέρωση τῶν ὑψηλῶν ἀληθειῶν. Γιὰ ποιὸ λόγο δὲ δὲν εἶπαν μιὰ φορὰ «ἅγιος, καὶ σώπασαν, οὔτε δυὸ φορές, καὶ σταμάτησαν, ἀλλὰ πρόσθεσαν καὶ τρίτη φορά; Δὲν εἶναι ὁλοφάνερο ὅτι αὐτὸ τὸ ἔκαμναν ἀναπέμποντας ὕμνο στὴν Τριάδα; Γι' αὐτὸ βέβαια ὁ μὲν Ἰωάννης λέγει ὅτι ἔχει λεχθεῖ γιὰ τὸν Υἱό, ὁ Λουκᾶς γιὰ τὸ ἅγιο Πνεῦμα, ὁ δὲ προφήτης γιὰ τὸν Πατέρα. Καὶ τὰ λεγόμενα στὴ συνέχεια φανερώνουν τὴν ἴδια ἔννοια. Διότι μετὰ τὸν ὕμνο πρόσθεσαν· «Ὁλόκληρη ἡ γῆ εἶναι γεμάτη ἀπὸ τὴ δόξα αὐτοῦ». Αὐτὸ ἀκριβῶς ποὺ συνιστᾶ τὸ ἀκριβὲς γνώρισμα τῆς προφητείας, αὐτὸ προλέγουν, δηλαδὴ τὴ μέλλουσα γνώση, μὲ τὴν ὁποία ἡ οἰκουμένη γέμισε ἀπὸ τὴ δόξα τοῦ Θεοῦ· διότι τὴν παλιὰ ἐποχὴ καὶ μάλιστα ὅταν λέγονταν αὐτά, ὄχι μόνο τὸ ὑπόλοιπο μέρος τῆς οἰκουμένης, ἀλλὰ καὶ ἡ ἴδια ἡ χώρα τῆς Ἰουδαίας ἦταν γεμάτη ἀπὸ πολλὴ ἀσέβεια καὶ κανένας πουθενὰ δὲν δόξαζε τὸ Θεό. Καὶ μάρτυρας εἶναι ὁ ἴδιος ὁ προφήτης ποὺ λέγει, ὅτι «Ἐξ αἰτίας σας βλασφημεῖται τὸ ὄνομά μου στὰ ἔθνη»[14]. Πότε λοιπὸν γέμισε ἡ γῆ ἀπὸ τὴ δόξα αὐτοῦ; Ὅταν ὁ ὕμνος αὐτὸς ἀκούστηκε ἀπὸ τὸν οὐρανὸ στὴ γῆ καὶ ἔλαβαν μέρος οἱ ἄνθρωποι τῆς γῆς στὸ χόρο τῶν οὐράνιων δυνάμεων, καὶ ἀνέπεμψαν μία καὶ τὴν αὐτὴ μελωδία πρὸς τὸ Θεὸ καὶ πρόσφεραν κοινὴ δοξολογία πρὸς αὐτόν. Ἐὰν δὲ ὁ Ἰουδαῖος δείχνει ἀδιαντροπιὰ πρὸς ὅλα αὐτά, ἂς μᾶς δείξει πότε ὁλόκληρη ἡ γῆ γέμισε ἀπὸ τὴ δόξα αὐτοῦ, ἀπὸ τὴ δόξα ποὺ πήγασε ἀπὸ τὴ γνώση αὐτοῦ; Ἀλλὰ δὲν μπορεῖ νὰ μᾶς τὸ δείξει καὶ ἂν ἀκόμα δείχνει ὑπερβολικὴ ἀδιαντροπιά.

3. «Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ φωνῆς, ἧς ἐκέκραγον». Εἶδες προφητείας εὐκολίαν, τὰ πράγματα ἀλλήλων ἐχόμενα; Μετὰ γὰρ τὸν ὕμνον τοῦτον, καὶ τὸ πληρωθῆναι τὴν γῆν τῆς δόξης αὐτοῦ, ἐπαύσατο τὰ Ἰουδαϊκὰ ἅπαντα, ὅπερ καὶ αὐτὸ διὰ τοῦ ἐπαρθῆναι τὸ ὑπέρθυρον ἐδήλωσεν. Ἐρημώσεως γὰρ τουτὶ τὸ σημεῖον ἦν, καὶ ἀνατροπῆς τοῦ ναοῦ· τοῦ ναοῦ δὲ ἀφανισθέντος, καὶ τἄλλα κατελύοντο πάντα. Καὶ ἵνα μάθῃς, ὅτι ἡ Καινὴ τὴν Παλαιὰν ἔπαυσεν, «Ἀπὸ τῆς φωνῆς», φησίν, «ἐπήρθη τὸ ὑπέρθυρον»· τουτέστιν, ἀπὸ τοῦ παραγενέσθαι τὴν δοξολογίαν ταύτην, καὶ λάμψαι τὴν χάριν, καὶ τὴν δόξαν ἐκχυθῆναι πανταχοῦ τῆς οἰκουμένης, τὰ τῆς σκιᾶς ἐκποδὼν γέγονε. «Καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ». Ἐμοὶ καὶ τοῦτο δοκεῖ σημεῖον εἶναι τῆς ἁλώσεως τῆς αὐτὸν καταληψομένης, καὶ τοῦ βαρβαρικοῦ πυρός, καὶ τοῦ χαλεπωτάτου ἐμπρησμοῦ.

«Καὶ εἶπον· ὢ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων, καὶ ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, καὶ τὸν Κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου». Ἐξέπληξε τὸν προφήτην ἡ ὄψις, διανέστησεν, εἰς πολὺν τὸν φόβον ἐνέβαλε, πρὸς ἐξομολόγησιν ἐκείνησεν, ἀκριβέστερον τὴν εὐτέλειαν τῆς οἰκείας οὐσίας ἐπιγνῶναι παρεσκεύασε. Τοιοῦτοι γὰρ οἱ ἅγιοι πάντες· ἐπειδὰν μείζονος ἀπολαύσωσι τιμῆς, τότε ταπεινοῦνται μειζόνως. Οὕτω καὶ ὁ Ἀβραὰμ τῷ Θεῷ διαλεγόμενος, γῆν καὶ σποδὸν ἑαυτὸν ἐκάλει· οὕτω καὶ Παῦλος, ὅτε τῆς ὄψεως ἐκείνης κατηξιώθη, τότε ἔκτρωμα ἑαυτὸν ὠνόμασεν· οὕτω δὴ καὶ οὗτος ταλανίζει ἑαυτόν, πρότερον ἀπὸ τῆς φύσεως λέγων· «Ὢ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν»· εἶτα ἀπὸ τῆς γνώμης, «Καὶ ἀκάθαρτα χείλη ἔχων». Ἀκάθαρτα αὐτοῦ τὰ χείλη ἐκάλεσεν, ὡς ἐγω-

---

15. Πρβλ. Γέν. 18, 27. 16. Πρβλ. Α' Κορ. 15, 8.

3. «Καὶ ἀπὸ τὴ δύναμη τῆς φωνῆς μὲ τὴν ὁποία κραύγαζαν σηκώθηκε τὸ γεῖσο τῆς θύρας». Εἶδες εὐκολία προφητείας κατὰ τὴν ὁποία τὰ γεγονότα ἀκολουθοῦν τὸ ἕνα τὸ ἄλλο; Διότι μετὰ ἀπὸ τὸν ὕμνο αὐτὸ καὶ ἀφοῦ γέμισε ἡ γῆ ἀπὸ τὴ δόξα αὐτοῦ, ἔπαυσε ἡ ἰσχὺς ὅλων τῶν ἰουδαϊκῶν, πράγμα ποὺ καὶ αὐτὸ τὸ φανέρωσε μὲ τὸ ὅτι σηκώθηκε τὸ γεῖσο τῆς θύρας. Διότι τὸ σημάδι αὐτὸ ἦταν δείγμα τῆς ἐρημώσεως καὶ τῆς ἀνατροπῆς τοῦ ναοῦ, καὶ ἀφοῦ θὰ καταστρεφόταν ὁ ναός, θὰ διαλύονταν καὶ ὅλα τὰ ἄλλα. Καὶ γιὰ νὰ μάθεις, ὅτι ἡ Καινὴ Διαθήκη ἔπαυσε τὴν ἰσχὺ τῆς Παλαιᾶς, «Ἀπὸ τὴ δύναμη», λέγει, «τῆς φωνῆς τους σηκώθηκε τὸ γεῖσο τῆς θύρας», δηλαδὴ ἀπὸ τὸ ἄκουσμα τῆς δοξολογίας αὐτῆς, τὴ λάμψη τῆς χάριτος καὶ τὴ δόξα ποὺ χύθηκε σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης, ἐξαφανίστηκαν ὅλα τὰ πράγματα τῆς σκιᾶς. «Καὶ ὅλος ὁ ναὸς γέμισε ἀπὸ καπνό». Ἐμένα μοῦ φαίνεται ὅτι καὶ αὐτὸ εἶναι σημάδι τῆς ἁλώσεως ποὺ ἐπρόκειτο νὰ συμβεῖ σ' αὐτόν, καὶ τῆς βαρβαρικῆς φωτιᾶς καὶ τοῦ τρομεροῦ ἐμπρησμοῦ αὐτοῦ.

«Καὶ εἶπα· ἐγὼ ὁ ταλαίπωρος, εἶμαι βαθιὰ συγκλονισμένος, διότι, ἐνῶ εἶμαι ἄνθρωπος καὶ ἔχω ἀκάθαρτα χείλη καὶ κατοικῶ ἀνάμεσα σὲ λαὸ ποὺ ἔχει ἀκάθαρτα χείλη, ὅμως ἀξιώθηκα νὰ δῶ μὲ τὰ μάτια μου τὸν Κύριο τῶν δυνάμεων». Ἐξέπληξε τὸν προφήτη τὸ θέαμα, τὸν συγκλόνισε, τὸν γέμισε ἀπὸ πολὺ φόβο, τὸν παρακίνησε σὲ ἐξομολόγηση, καὶ τὸν προετοίμασε ν' ἀντιληφθεῖ ἀκριβέστερα τὴν εὐτέλεια τῆς ὑπάρξεώς του. Διότι τέτοιοι εἶναι ὅλοι οἱ ἅγιοι· ὅταν ἀπολαύσουν μεγαλύτερη τιμή, τότε δείχνουν μεγαλύτερη ταπείνωση. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ Ἀβραάμ, συνομιλώντας μὲ τὸ Θεό, ἀποκαλοῦσε τὸν ἑαυτό του χῶμα καὶ στάχτη[15]· ἔτσι καὶ ὁ Παῦλος, ὅταν καταξιώθηκε νὰ δεῖ ἐκεῖνο τὸ θέαμα, τότε ὀνόμασε τὸν ἑαυτό του ἔκτρωμα[16]· ἔτσι λοιπὸν καὶ αὐτὸς ταλανίζει τὸν ἑαυτό του, κάμνοντας λόγο πρῶτα ἀπὸ τὴ φύση του καὶ λέγοντας· «Ἐγὼ ὁ ταλαίπωρος, εἶμαι βαθιὰ συγκλονισμένος, διότι, ἐνῶ εἶμαι ἄνθρωπος»· ἔπειτα ἀπὸ τὴν ψυχικὴ διάθεση· «Καὶ ἔχω ἀκάθαρτα χείλη». Ἀκάθαρτα ὀνόμασε τὰ χείλη του, ὅπως ἐγὼ

γε οἶμαι, πρὸς τὴν παράθεσιν τῶν ἐμπύρων στομάτων ἐκείνων τῶν καθαρῶν δυνάμεων, τῆς ἀκριβεστάτης λειτουργίας ἐκείνης. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ ὑπὲρ τοῦ λαοῦ παντὸς ἐξομολογεῖται, ἐπάγων καὶ λέγων· «Ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ».

Καὶ τίνος ἕνεκεν χείλη ἐνταῦθα αἰτιᾶται; Τὸ ἀπαρρησίαστον ἐμφαίνων. Ἐπεὶ καὶ οἱ παῖδες οἱ τρεῖς τοῦτο αὐτὸ ἔλεγον σχεδόν, ἐν τῇ καμίνῳ ὄντες· «Οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα». Καὶ νῦν, ἐπειδὴ ὑμνῳδίας ἦν καιρὸς καὶ εὐφημίας, καὶ τὰς ἄνω δυνάμεις ἑώρα τοῦτο ποιούσας, εἰκότως ἐπὶ τὰ χείλη τρέπει τὸν λόγον, τὰ μάλιστα πρὸς τὴν τοιαύτην διακονίαν καλούμενα. Ἀλλὰ τὰ μὲν αὐτοῦ διὰ τοῦτο ἀκάθαρτα ἐκάλεσε, τὰ δὲ τοῦ λαοῦ οὐχ οὕτως, ἀλλ' ἐπειδὴ πολλῆς ἀνομίας ἦσαν ἐμπεπλησμένοι.

«Καὶ τὸν βασιλέα Κύριον εἶδον τοῖς ὀφθαλμοῖς μου». Διὰ τοῦτο στένω καὶ θρηνῶ, φησίν, ὅτι τοσαύτης ἠξιώθην τιμῆς ἀνάξιος ὤν, ὑπερβαινούσης μου τὴν ἀξίαν, ἀναβεβηκυίας μου τὴν φύσιν. Ὅταν δὲ λέγῃ, «Εἶδον», μὴ τὴν ἀκριβῆ κατανόησιν νόμιζε, ἀλλὰ τὴν αὐτῷ δυνατήν. Καὶ σκόπει πόσον τῆς ἐξομολογήσεως τὸ κέρδος. Κατηγόρησεν ἑαυτοῦ, καὶ εὐθέως ἐκαθάρθη. Ἐπειδὴ γὰρ ταῦτα εἶπε τὰ ῥήματα, «Ἀπεστάλη πρός με», φησίν, «ἓν τῶν Σεραφίμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου. Καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν· ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ». Τινὲς μὲν τῶν μυστηρίων τῶν μελλόντων σύμβολα ταῦτα εἶναί φασι, τὸ θυσιαστήριον, τὸ πῦρ τὸ ἐπικείμενον, τὴν διακονουμένην δύναμιν, τὸ ἐν τῷ στόματι δίδοσθαι, τὸ καθαίρειν τὰ ἁμαρτήμα-

---

17. Δαν. 3, 9.
18. Πρβλ. Ἠσ. 1, 25-26. Ἀριθμ. 31, 23 καὶ Μαλ. 32.

τουλάχιστο νομίζω, συγκρίνοντάς τα μὲ τὰ φλογερὰ ἐκεῖνα στόματα τῶν καθαρῶν δυνάμεων καὶ τὴν ἀνεκτίμητη ἐκείνη ὑπηρεσία τους. Καὶ οὔτε ἐδῶ σταμάτησε, ἀλλὰ καὶ ἐξομολογεῖται ὑπὲρ ὁλοκλήρου λαοῦ, προσθέτοντας καὶ λέγοντας· «Καὶ κατοικῶ ἀνάμεσα σὲ λαὸ ποὺ ἔχει ἀκάθαρτα χείλη».

Καὶ γιὰ ποιὸ λόγο ἐδῶ κατηγορεῖ τὰ χείλη; Γιὰ νὰ δείξει τὴν ἔλλειψη παρρησίας. Καθόσον καὶ τὰ τρία παιδιὰ αὐτὸ σχεδὸν ἔλεγαν βρισκόμενα μέσα στὴν κάμινο· «Δὲν μποροῦμε ν' ἀνοίξομε τὸ στόμα μας»[17]. Καὶ τώρα, ἐπειδὴ ἦταν καιρὸς ἐξυμνήσεως καὶ δοξολογίας καὶ ἔβλεπε τὶς οὐράνιες δυνάμεις νὰ κάμνουν αὐτό, πολὺ σωστὰ μεταφέρει τὸ λόγο πρὸς τὰ χείλη, ποὺ αὐτὰ κατ' ἐξοχὴ καλοῦνται πρὸς τὴν ὑπηρεσία αὐτή. Ἀλλὰ τὰ μὲν χείλη του γι' αὐτὸ τὰ ὀνόμασε ἀκάθαρτα, ἐνῶ τοῦ λαοῦ ὄχι γι' αὐτό, ἀλλ' ἐπειδὴ ἦταν γεμάτα ἀπὸ πολλὴ παρανομία.

«Καὶ ὅμως εἶδα μὲ τὰ μάτια μου τὸν βασιλιὰ καὶ Κύριο». Γι' αὐτό, λέγει, στενάζω καὶ θρηνῶ, διότι, ἐνῶ εἶμαι ἀνάξιος, ἀξιώθηκα τόσης μεγάλης τιμῆς, ποὺ ξεπερνᾶ τὴν ἀξία μου καὶ ἔχει ἐξυψώσει τὴν ὕπαρξή μου. Ὅταν δὲ λέγει, «Εἶδα», νὰ μὴ νομίζεις ὅτι ἐννοεῖ τὴν ἀκριβὴ κατανόηση τοῦ Θεοῦ, ἀλλ' ἐκείνη ποὺ ἦταν δυνατὴ σ' αὐτόν. Καὶ πρόσεχε πόσο εἶναι τὸ κέρδος τῆς ἐξομολογήσεώς του. Κατηγόρησε τὸν ἑαυτό του καὶ ἀμέσως καθαρίσθηκε. Διότι, ἀφοῦ εἶπε αὐτὰ τὰ λόγια, «Στάλθηκε πρὸς ἐμένα ἕνα ἀπὸ τὰ Σεραφὶμ κρατώντας στὸ χέρι του ἄνθρακα ἀναμμένο τὸν ὁποῖο πῆρε μὲ τὴ λαβίδα ἀπὸ τὸ θυσιαστήριο. Καὶ ἄγγισε τὸ στόμα μου καὶ εἶπε· νά, αὐτὸ ἄγγισε τὰ χείλη σου καὶ θ' ἀφαιρέσει τὶς ἀνομίες σου καὶ θὰ καθαρίσει τὶς ἁμαρτίες σου»[18]. Μερικοὶ μὲν λέγουν ὅτι αὐτὰ εἶναι σύμβολα τῶν μελλοντικῶν μυστηρίων, τὸ θυσιαστήριο δηλαδή, ἡ φωτιὰ ἡ ὑπάρχουσα ἐπάνω σ' αὐτό, ἡ δύναμη ποὺ δέχεται τὴ διακονία, ἡ δόση τῆς φωτιᾶς στὸ στόμα, καὶ τὸ καθάρισμα τῶν ἁμαρτημάτων, ἐμεῖς ὅμως κατ' ἀρχὴ θὰ ἐξετάσομε τὴν ἱστορία

τα, ἡμεῖς δὲ τέως τῆς ἱστορίας ἐχόμεθα, καὶ λέγομεν, τίνος ἕνεκεν τοῦτο γεγένηται. Μέλλει πέμπεσθαι πρὸς τὸν δῆμον τὸν Ἰουδαϊκόν, φοβερά τινα ἀπαγγέλλων καὶ ἀφόρητα.

Πέμπεται τοίνυν τὰ Σεραφίμ, ὥστε φόβου καὶ παρρησίας αὐτὸν ἐμπλῆσαι. Καὶ ἵνα μὴ προβάλληται, καθάπερ Μωϋσῆς, λέγων ἰσχνόφωνος εἶναι, καὶ Ἰερεμίας, νεώτερος εἶναι, οὕτω καὶ οὗτος ἀκάθαρτα χείλη ἔχειν, καὶ μὴ δυνασθαι διακονῆσαι τοῖς λεγομένοις, ἔρχεται τὰ Σεραφὶμ ἐκκαθαίροντα αὐτοῦ τὰ ἁμαρτήματα, οὐκ οἰκείᾳ δυνάμει (τοῦτο γὰρ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος μόνον), ἀλλ' ἐπιτάγματι, καὶ δόσει τῶν ἀνθράκων. Οὐ γὰρ εἶπεν, ἰδοὺ ἀφαιρῶ ἐγώ, ἀλλ', «Ἰδοὺ τοῦτο ἀφαιρεῖται τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ», διὰ τὸ ἐπίταγμα τοῦ πέμψαντος. Τίνος δὲ ἕνεκεν ἐν τῇ λαβίδι τὰ Σεραφὶμ ἔλαβε τὸν ἄνθρακα; Οὐ γὰρ δὴ ἡ ἀσώματος δύναμις ἐγκατακαίεσθαι ἔμελεν ὑπὸ τῶν ἀνθράκων. Τίνος ἕνεκεν ταῦτα γεγένηται; Διὰ πολλὴν συγκατάβασιν. Διὰ δὴ τοῦτο καὶ ἀπὸ τοῦ θυσιαστηρίου λαμβάνει, ἔνθα αἱ θυσίαι προσεφέροντο, καὶ οἱ καθαρμοὶ τῶν ἁμαρτημάτων. Εἰ δὲ λέγοις, πῶς τὸ στόμα οὐ κατεκάη τοῦ προφήτου; Μάλιστα μὲν ὅτι οὐδὲ πῦρ αἰσθητὸν ἦν τὸ φαινόμενον· ἄλλως δέ, ὅταν ὁ Θεὸς ἐργάζηταί τι, μὴ πολυπραγμόνει, μηδὲ περιεργάζου. Καὶ γὰρ ἐνεργοῦν καὶ αἰσθητὸν πῦρ σώμασιν ὁμιλῆσαν, τὰ τοῦ πυρὸς οὐκ ἐπεδείξατο. Εἰ δὲ ἔνθα κληματίδες καὶ πίσσα, τῆς οἰκείας ἐπελάθετο φύσεως ἡ φλόξ, τί θαυμάζεις, εἰ νῦν τοσαύτης παραδοξοποιίας γενομένης ἐκάθηρεν, ἀλλ' οὐκ ἔκαυσε, τουτὶ τὸ πῦρ;

4. «Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· τίνα ἀποστελῶ, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον;». Ὁρᾷς πόσον ἤνυσεν ἡ ὄψις, πόσον κατώρθωσεν ὁ φόβος; Καίτοι

19. Πρβλ. Ἐξ. 4, 10. 20. Ἱερ. 1, 6.

καὶ θὰ ἐξηγήσομε γιὰ ποιὸ λόγο συνέβηκε αὐτό. Πρόκειται νὰ σταλεῖ πρὸς τὸν ἰουδαϊκὸ λαὸ γιὰ ν' ἀναγγείλει ὁρισμένα φοβερὰ καὶ ἀνυπόφορα πράγματα.

Στέλνονται λοιπὸν τὰ Σεραφίμ, ὥστε νὰ κυριευθεῖ ἀπὸ φόβο καὶ παρρησία. Καὶ γιὰ νὰ μὴ προβάλλει σὰν δικαιολογία, ὅπως ἀκριβῶς ὁ Μωϋσῆς, λέγοντας ἰσχνόφωνος εἶμαι[19] καὶ ὅπως ὁ Ἱερεμίας, λέγοντας εἶμαι πολὺ νέος[20], ἔτσι καὶ αὐτὸς λέγοντας 'ἔχω ἀκάθαρτα χείλη καὶ δὲν μπορῶ νὰ πραγματοποιήσω τὰ λεγόμενα', ἔρχονται τὰ Σεραφὶμ καθαρίζοντας τὰ ἁμαρτήματά του, ὄχι μὲ τὴ δύναμή τους (διότι αὐτὸ εἶναι γνώρισμα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος), ἀλλὰ μὲ προσταγὴ τοῦ Θεοῦ καὶ τὴ δόση τῶν ἀναμμένων ἀνθράκων. Διότι δὲν εἶπε, νά, σοῦ τὰ ἀφαιρῶ ἐγώ, ἀλλά, «Νά, αὐτὸ θ' ἀφαιρέσει τὶς ἀνομίες σου καὶ θὰ καθαρίσει τὶς ἁμαρτίες σου», ἐξ αἰτίας τῆς προσταγῆς ἐκείνου ποὺ μὲ ἔστειλε. Γιὰ ποιὸ λόγο δὲ ἔλαβαν τὰ Σεραφεὶμ τὸν ἀναμμένο ἄνθρακα μὲ τὴ λαβίδα; Διότι βέβαια δὲν ἐπρόκειτο νὰ καεῖ ἡ ἀσώματη δύναμη ἀπὸ τοὺς ἀναμμένους ἄνθρακες. Γιὰ ποιὸ λόγο γίνονται αὐτά; Γίνονται ἀπὸ μεγάλη συγκατάβαση. Γι' αὐτὸ λοιπὸν καὶ παίρνει τὸν ἀναμμένο ἄνθρακα ἀπὸ τὸ θυσιαστήριο, ὅπου προσφέρονταν οἱ θυσίες καὶ γινόταν τὸ καθάρισμα τῶν ἁμαρτημάτων. Ἐὰν δὲ ἤθελες ἐρωτήσει, πῶς δὲν κατακάηκε τὸ στόμα τοῦ προφήτη; Γιὰ τὸν λόγο βέβαια ὅτι δὲν ἦταν αἰσθητὴ φωτιὰ αὐτὸ ποὺ φαινόταν· ἄλλωστε δέ, ὅταν ὁ Θεὸς ἐργάζεται κάτι, μὴ τὸ πολυεξετάζεις, οὔτε νὰ τὸ περιεργάζεσαι. Καθόσον φωτιὰ αἰσθητὴ καὶ βρισκόμενη σὲ δράση, ὅταν ἦρθε σὲ ἐπαφὴ μὲ σώματα, δὲν παρουσίασε τὰ γνωρίσματα τῆς φωτιᾶς. Ἐὰν δὲ ὅπου ὑπῆρχαν κληματίδες καὶ πίσσα ἡ φλόγα λησμόνησε τὴ φυσική της ἰδιότητα, τί ἀπορεῖς, ἐὰν τώρα, ποὺ συνέβηκε τόσο παράδοξο γεγονός, καθάρισε αὐτὴ ἡ φωτιὰ καὶ δὲν ἔκαψε τὸ στόμα τοῦ προφήτη;

4. «Καὶ ἄκουσα τὴ φωνὴ τοῦ Κυρίου ποὺ ἔλεγε· ποιὸν νὰ στείλω καὶ ποιὸς θὰ μεταβεῖ πρὸς τὸ λαὸ αὐτό;». Βλέπεις πόσα ἐπέτυχε τὸ θέαμα αὐτό, πόσα κατόρθωσε ὁ φόβος; Ἂν καὶ βέ-

γε καὶ ἐπὶ Μωϋσέως τοιοῦτόν τι γέγονεν· εἰ γὰρ μὴ Σεραφὶμ ἐφάνη, μηδὲ αὐτὸς ἐπὶ θρόνου καθήμενος, ἀλλ' ὅμως ἕτερον παράδοξον θέαμα τότε ἐδείχθη τῷ προφήτῃ, καὶ τοιοῦτον, ὡς μηδένα ἀντιβλέψαι δυνηθῆναι τῷ φαινομένῳ. «Ἡ γὰρ βάτος ἐκαίετο», φησί, «καὶ οὐ κατεκαίετο». Ἀλλ' ὅμως καὶ μετ' ἐκεῖνα καὶ τὴν πολλὴν τοῦ Θεοῦ παραίνεσιν ὁ μέγας ἀναδύεται Μωϋσῆς, καὶ σκήπτεται, καὶ μυρίας ἐπινοεῖ προφάσεις παραιτήσεως, λέγων· «Ἰσχνόφωνός εἰμι καὶ βραδύγλωσσος», καί, «Προχείρισαι σὺ ἄλλον, ὃν ἐξαποστελεῖς». Καὶ Ἰερεμίας δὲ τὴν ἡλικίαν προβάλλεται. Καὶ Ἰεζεκιὴλ δὲ μετὰ τὸ κελευσθῆναι, ἑπτὰ διατρίβει περὶ τὸν ποταμὸν ἡμέρας, ἀναδυόμενος καὶ ὀκνῶν. Διὸ καὶ τὴν παραβολὴν ἐκείνην προσέθηκεν ὁ Θεὸς λέγων· «Σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ», καί, ὅτι «Τὴν ψυχὴν αὐτῶν ἐκ χειρός σου ἐκζητήσω». Ἰωνᾶς δὲ οὐ μόνον παρῃτήσατο, ἀλλὰ καὶ ἐδραπέτευσε. Τί οὖν; τολμηρότερος πάντων ὁ Ἡσαΐας, καὶ Μωϋσέως τοῦ μεγάλου; Καὶ τίς ἂν τοῦτο εἴποι; Πόθεν οὖν κελευόμενος ἐκεῖνος ἀνεδύετο, οὗτος δὲ μὴ φανερῶς ἐπιταγεὶς εἰσεπήδησεν; Οὐδὲ γὰρ εἶπεν, ἄπελθε, ἀλλὰ τοῦ Θεοῦ λέγοντος, «Τίνα ἀποστελῶ;», ἥρπασε τὸ ἐπίταγμα.

Τινὲς μὲν οὖν φασιν, ὅτι ἐπειδὴ ἥμαρτε, τὸν Ὀζίαν οὐκ ἐλέγξας κατατολμῶντα τῶν ἀδύτων, ὑπὲρ ἐκείνης βουλόμενος ἀπολογήσασθαι τῆς ἁμαρτίας, τῇ μετὰ ταῦτα προθυμίᾳ τῆς ὑπακοῆς ἐπεπήδησε ταχέως, ὥστε ἐξιλεώσασθαι τὸν Θεόν. Διὰ γὰρ τοῦτο καὶ ἀκάθαρτα τὰ χείλη αὐτοῦ ἔλεγεν εἶναι, διὰ τὸ ἀπαρρησίαστον. Ἀλλ' οὐκ ἂν ἀνασχοίμην τῶν ταῦτα λεγόντων· ἀξιοπιστότερος γὰρ αὐτῶν ὁ Παῦλος, ὁ τολμήτην αὐτὸν καλῶν καὶ λέγων· «Ἡσαΐας δὲ ἀποτολμᾷ

21. Ἐξ. 3, 2.
22. Ἐξ. 4, 10 καὶ 13.
23. Πρβλ. Ἰερ. 1, 6.
24. Ἰεζ. 3, 17.
25. Ἰεζ. 3, 18.
26. Ἰω. 1, 3.
27. Ρωμ. 10, 20.

βαια κάτι παρόμοιο συνέβηκε καὶ στὴν περίπτωση τοῦ Μωϋσέως· διότι, ἂν καὶ δὲν παρουσιάσθηκαν Σεραφίμ, οὔτε ὁ ἴδιος ὁ Θεὸς καθισμένος ἐπάνω στὸ θρόνο, ἀλλ' ὅμως ἄλλο παράδοξο θέαμα δείχθηκε τότε στὸν προφήτη, καὶ τέτοιο, ὥστε κανένας νὰ μὴ μπορέσει ν' ἀντικρύσει τὸ φαινόμενο ἐκεῖνο. Διότι, λέγει, ἡ βάτος ἦταν ζωσμένη ἀπὸ φλόγες καὶ ὅμως δὲν καιγόταν»[21]. Καὶ ὅμως, καὶ μετὰ ἀπὸ ὅλα ἐκεῖνα καὶ τὴ μεγάλη προτροπὴ τοῦ Θεοῦ, ὁ μέγας Μωϋσῆς προβάλλει τὶς ἀρνήσεις του καὶ τοὺς ἰσχυρισμούς του καὶ ἐπινοεῖ ἀμέτρητες προφάσεις παραιτήσεως, λέγοντας· «Εἶμαι ἰσχνύφωνος καὶ βραδύγλωσσος», καί, «διάλεξε ἄλλον καὶ στεῖλε ἐκεῖνον»[22]. Καὶ ὁ Ἰερεμίας δὲ προβάλλει σὰν δικαιολογία τὴν ἡλικία[23]. Ἀλλὰ καὶ ὁ Ἰεζεκιὴλ μετὰ τὴν ἐντολὴ ποὺ ἔλαβε περνᾶ ἑφτὰ ἡμέρες κοντὰ στὸν ποταμό, προβάλλοντας ἀρνήσεις καὶ δισταγμούς. Γι' αὐτὸ καὶ ὁ Θεὸς πρόσθεσε ἐκείνη τὴν παραβολή, λέγοντας· «Σὲ παρέδωσα φρουρὸ στὸν οἶκο τοῦ Ἰσραήλ»[24], καὶ ὅτι «Ἀπὸ τὰ χέρια σου θὰ ζητήσω τὴν ψυχὴ αὐτῶν»[25]. Ὁ δὲ Ἰωνᾶς ὄχι μόνο ἀρνήθηκε, ἀλλὰ καὶ δραπέτευσε[26]. Τί λοιπόν; ὁ Ἠσαΐας ὑπῆρξε τολμηρότερος ἀπὸ ὅλους, καὶ ἀπὸ τὸν Μωϋσῆ τὸν μεγάλο; Καὶ ποιὸς θὰ μποροῦσε νὰ τὸ πεῖ αὐτό; Γιὰ ποιὸ λόγο λοιπὸν ἐκεῖνος, ἂν καὶ ἔπαιρνε ἐντολὴ ἀπὸ τὸ Θεό, ἀρνοῦνταν, ἐνῶ αὐτός, χωρὶς νὰ ἔλαβε φανερὴ ἐντολὴ ἀπ' αὐτόν, ἀνέλαβε τὸ ἔργο αὐτό; Διότι δὲν τοῦ εἶπε, πήγαινε, ἀλλά, λέγοντας ὁ Θεός, «Ποιὸν νὰ στείλω;», ἐξέλαβε αὐτὸ σὰν ἐντολή.

Μερικοὶ βέβαια λέγουν, ὅτι, ἐπειδὴ ἁμάρτησε, γιὰ τὸν λόγο ὅτι δὲν ἔλεγξε τὸν Ὀζία ποὺ τόλμησε νὰ εἰσέλθει στὰ ἄδυτα τοῦ ναοῦ, θέλοντας νὰ δικαιολογηθεῖ γιὰ τὴν ἁμαρτία του ἐκείνη, ἀμέσως στὴ συνέχεια ὑπάκουσε στὰ λόγια τοῦ Θεοῦ μὲ πολὺ μεγάλη προθυμία, ὥστε νὰ ἐξιλεώσει τὸ Θεό. Γι' αὐτὸ βέβαια καὶ ἔλεγε ὅτι εἶναι ἀκάθαρτα τὰ χείλη του, ἐπειδὴ τοῦ ἔλειπε ἡ παρρησία. Ἀλλ' ὅμως δὲν θὰ μποροῦσα ν' ἀνεχθῶ ἐκείνους ποὺ λέγουν αὐτά, διότι ὁ Παῦλος, ποὺ εἶναι πιὸ ἀξιόπιστος ἀπὸ αὐτούς, ὀνομάζει αὐτὸν τολμηρὸ καὶ λέγει· «Ὁ δὲ Ἠσαΐας τολμᾶ καὶ λέγει»[27]. Γι' αὐτὸ λοιπόν, ὅπως λέγουν, δὲν

καὶ λέγει». Διὰ γοῦν τοῦτο οὐδὲ τῷ κοινῷ, ὥς φασι, νόμῳ τὴν ζωὴν κατέλυσεν, ἀλλὰ χαλεπωτάτην ὑπέστη τιμωρίαν, τῶν Ἰουδαίων οὐκ ἐνεγκόντων αὐτοῦ τὴν παρρησίαν. Χωρὶς δὲ τούτων οὐδέ φησιν ἡ Γραφή που, ὅτι παρῆν, ἡνίκα τὰ κατὰ τὸν Ὀζίαν ἐγένετο, καὶ παρὼν ἐσίγα, ἀλλ' οἴκοθεν καὶ παρ' ἑαυτῶν ταῦτα οἱ λέγοντες στοχάζονται. Τί οὖν ἐστιν εἰπεῖν; Ὅτι οὐκ ἦν ἴσον τὸ Μωϋσέως, καὶ τοῦτο. Ὁ μὲν γὰρ εἰς ἀλλοτρίαν ἐπέμπετο καὶ εἰς βάρβαρον χώραν, καὶ πρὸς τύραννον, καὶ μαινόμενον, καὶ λυττῶντα, οὗτος δὲ πρὸς τοὺς οἰκείους, καὶ πολλάκις ἀκηκοότας, καὶ ἐν πολλῷ παιδευθέντας χρόνῳ· καὶ οὐ τῆς αὐτῆς ἀνδρείας ἦν τὸ ὑπακοῦσαι ἐκεῖ τε καὶ ἐνταῦθα.

Τινὲς δέ φασιν, ὅτι καὶ ἕτερόν τι αὐτῷ τὴν προθυμίαν ἐποίησε ταύτην. Ἐπειδὴ γὰρ ὑπέρ τε ἑαυτοῦ καὶ τοῦ λαοῦ ἐξωμολογήσατο, καὶ τὰ Σεραφὶμ εἶδεν ἀποσταλέντα, καὶ ἐκκαθάραντα αὐτοῦ τὰ χείλη, προσδοκήσας, ὅτι καὶ τῷ λαῷ ταῦτα συμβήσεται, καὶ ταῦτα ἀπελεύσεται ἀπαγγέλλων, προθύμως ἥρπασε τὸ λεχθέν. Ὥσπερ γὰρ ἦσαν φιλόθεοι, οὕτω καὶ φιλόστοργοι μάλιστα πάντων ἀνθρώπων οἱ ἅγιοι. Ἐλπίσας οὖν λύσιν τινὰ τῶν κακῶν ἀπαγγελεῖν, ἐπεπήδησε ταχέως, καί φησιν· «Ἰδού εἰμι, ἀπόστειλόν με». Ἄλλως δὲ καὶ ψυχὴν σφόδρα πρὸς κινδύνους παρατεταγμένην εἶχε· καὶ δῆλον αὐτοῦ τοῦτο τὸ ἦθος διὰ πάσης τῆς προφητείας ἐστίν. Ἐπεὶ οὖν ὑπέσχετο ἀπελεύσεσθαι, καὶ οὐκ ἐτόλμα λοιπὸν ἀνανεῦσαι, τότε ἀκούει τὰ λυπηρά. Καὶ γὰρ καὶ ὁ Θεὸς αὐτὸν σοφῶς μετεχείρισεν. Οὐ γὰρ ἐξ ἀρχῆς εἶπε, πορεύθητι, καὶ εἰπέ, ἀλλὰ πρότερον μετέωρον ποιήσας τὸ ἐπίταγμα, καὶ ἄδηλον τῆς ἀποστολῆς τὸν τρόπον. Ἐπειδὴ ῥᾳδίως ὑπήκουσε, λέγει τὰ καταληψόμενα τοὺς Ἰουδαίους κακά.

Τίνα δὲ ταῦτα ἦν; «Πορεύθητι», φησί, «καὶ εἰπὲ τῷ λαῷ τούτῳ· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες

τέλειωσε τὴ ζωή του μὲ τὸν κοινὸ νόμο τοῦ θανάτου, ἀλλ' ὑπέστη φοβερότατη τιμωρία ἐπειδὴ οἱ Ἰουδαῖοι δὲν ὑπέφεραν τοὺς χωρὶς φόβο ἐλέγχους του. Ἐκτὸς δὲ ἀπὸ αὐτὰ πουθενὰ δὲν λέγει ἡ Γραφή, ὅτι ἦταν παρών, ὅταν συνέβαιναν τὰ σχετικὰ μὲ τὸν Ὀζία, καὶ ὅτι σιωποῦσε ἂν καὶ ἦταν παρών, ἀλλ' αὐτοὶ ποὺ τὰ λέγουν αὐτὰ τὰ ἐπινοοῦν αὐτοὶ οἱ ἴδιοι καὶ ἐντελῶς αὐθαίρετα. Τί λοιπὸν μποροῦμε νὰ ποῦμε; Ὅτι δὲν ἦταν τὸ ἴδιο ἐκεῖνο ποὺ συνέβηκε μὲ τὸν Μωϋσῆ καὶ αὐτό. Διότι ὁ μὲν Μωϋσῆς στελλόταν σὲ ξένη καὶ βαρβαρικὴ χώρα, καὶ πρὸς τύραννο, μανιακὸ καὶ λυσσασμένο βασιλιά, ἐνῶ αὐτὸς πρὸς τοὺς δικούς του, ποὺ πολλὲς φορὲς εἶχαν ἀκούσει καὶ εἶχαν διδαχθεῖ πολὺ χρόνο μὲ τὸ λόγο τοῦ Θεοῦ· ἀλλὰ καὶ δὲν χρειαζόταν ἡ ἴδια ἀνδρεία στὴν περίπτωση ἐκείνη καὶ σ' αὐτήν.

Μερικοὶ δὲ λέγουν, ὅτι καὶ κάτι ἄλλο δημιούργησε σ' αὐτὸν αὐτὴν τὴν προθυμία. Ἐπειδὴ δηλαδὴ ἐξομολογήθηκε γιὰ τὸν ἑαυτό του καὶ τὸ λαὸ καὶ εἶδε τὰ Σεραφὶμ νὰ στέλλλονται καὶ νὰ καθαρίζουν τὰ χείλη του, ἐπειδὴ περίμενε, ὅτι αὐτὰ θὰ συμβοῦν καὶ στὸ λαὸ καὶ ὅτι θὰ μεταβεῖ αὐτὰ ν' ἀνακοινώσει σ' αὐτόν, γι' αὐτὸ μὲ προθυμία δέχθηκε τὰ λεχθέντα. Διότι ὅπως ἀκριβῶς οἱ ἅγιοι ἦταν φιλόθεοι, ἔτσι ἦταν καὶ φιλόστοργοι περισσότερο ἀπ' ὅλους τοὺς ἀνθρώπους. Ἐπειδὴ λοιπὸν ἔλπισε ὅτι θ' ἀνακοινώσει κάποια ἀπαλλαγὴ ἀπὸ τὰ κακά, ἀποδέχθηκε ἀμέσως τὰ λεχθέντα καὶ λέγει· «Νὰ ἐγὼ εἶμαι πρόθυμος· στεῖλε ἐμένα». Ἐξ ἄλλου δὲ εἶχε καὶ ψυχὴ ὑπερβολικὰ πρόθυμη γιὰ τοὺς κινδύνους, καὶ αὐτὸς ὁ χαρακτήρας αὐτοῦ γίνεται φανερὸς μὲ ὅλες τὶς προφητεῖες του. Ἀφοῦ λοιπὸν ὑποσχέθηκε ὅτι θὰ μεταβεῖ καὶ δὲν τολμοῦσε στὴ συνέχεια ν' ἀρνηθεῖ, τότε ἀκούει τὰ λυπηρά. Καθόσον καὶ ὁ Θεὸς χρησιμοποίησε αὐτὸν μὲ τρόπο σοφό. Διότι δὲν εἶπε ἀπὸ τὴν ἀρχή, πήγαινε καὶ πές, ἀλλὰ στὴν ἀρχὴ ἄφησε ἀβέβαια τὴν προσταγὴ καὶ μὴ φανερὸ τὸν τρόπο τῆς ἀποστολῆς. Ἐπειδὴ ὅμως ὑπάκουσε μὲ εὐκολία, λέγει καὶ τὰ κακὰ ποὺ θὰ συμβοῦν στοὺς Ἰουδαίους.

Ποιὰ δὲ ἦταν αὐτά; Πήγαινε, λέγει, «καὶ κήρυξε στὸ λαὸ αὐτό· συνέχεια θ' ἀκοῦτε καὶ δὲν θὰ ἐννοεῖτε, θὰ βλέπετε γεγο-

βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς». Ταῦτα οὐδὲ ἑρμηνείας οἶμαι δεῖσθαι, τῶν ἀκριβῶς ταῦτα ἐπισταμένων, προλαβόντων καὶ ἐξηγησαμένων αὐτά, Ἰωάννου τε τοῦ υἱοῦ τῆς βροντῆς, καὶ Παύλου τοῦ τὰ παλαιὰ καὶ καινὰ μετὰ ἀκριβείας εἰδότος. Ὁ μὲν γὰρ ἐν τῇ Ρώμῃ πρὸς τοὺς συνελθόντας μέν, ἀποπηδήσαντας δέ, καὶ οὐκ ἀνασχομένους τῶν λεγομένων, δημηγορῶν ἔλεγε· «Καλῶς εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε». Ὁ δὲ τῆς βροντῆς υἱός, ἐπειδὴ θαύματα ἑώρων, καὶ οὐκ ἐπίστευον, καὶ δογμάτων ἤκουον, καὶ οὐ προσεῖχον (ἀνέστησε γὰρ Λάζαρον ὁ Χριστός, καὶ ἀνελεῖν αὐτὸν ἐπεχείρουν· δαίμονας ἤλαυνε, καὶ δαιμονῶντα ἐκάλουν· τῷ Πατρὶ προσῆγε, καὶ πλάνον ὠνόμαζον, καὶ τὰς ἐναντίας ἐδέχοντο δόξας), μνημονεύει τῆς προφητείας ταύτης λέγων· «Καλῶς εἶπεν Ἡσαΐας ὁ προφήτης, ὅτι Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε».

Ἐπειδὴ γὰρ τὰ ἔνδον ὄμματα τῆς διανοίας πεπήρωντο, οὐδὲν ὄφελος ἦν αὐτοῖς τῶν ἔξωθεν ὀφθαλμῶν, τοῦ κριτηρίου τῆς διανοίας διεφθαρμένου. Διὰ τοῦτο βλέποντες οὐκ ἔβλεπον, καὶ ἀκούοντες οὐκ ἤκουον· καὶ τὴν αἰτίαν προστίθησιν, ὅτι οὐχὶ τὰ αἰσθητήρια ἦν διεφθαρμένα, οὐδὲ ἡ φύσις λελωβημένη, ἀλλὰ ἡ καρδία πεπηρωμένη· «Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου», φησι· πάχος δὲ διανοίας γίνεται ἀπό τε ἁμαρτημάτων, ἀπό τε βιωτικῆς ἐπιθυμίας. Καὶ ταύτην ἐξηγούμενος τὴν παχύτητα ὁ Παῦλος ἔλεγεν· «Οὐκ ἠδυ-

---

28. Πρβλ. Ματθ. 8, 10-17. Μαρκ. 4, 10-12.
29. Πρβλ. Μαρκ. 3, 17.
30. Πράξ. 28, 25-26.

νότα καὶ θὰ εἶναι σὰν νὰ μὴ τὰ βλέπετε. Διότι σκληρύνθηκε ἡ καρδιὰ τοῦ λαοῦ αὐτοῦ καὶ ἄκουσαν μὲ δυσφορία αὐτά, ἔκλεισαν τὰ μάτια τους, γιὰ νὰ μὴ τὰ δοῦν μὲ τὰ μάτια τους, νὰ μὴ τὰ ἀκούσουν μὲ τὰ αὐτιά τους καὶ τὰ κατανοήσουν, ὥστε νὰ συμβεῖ νὰ ἐπιστρέψουν καὶ νὰ τοὺς θεραπεύσω»[28]. Αὐτὰ νομίζω δὲν χρειάζονται οὔτε ἑρμηνεία, ἀφοῦ πρόλαβαν καὶ ἐξήγησαν αὐτὰ ἐκεῖνοι ποὺ μὲ ἀκρίβεια τὰ γνώριζαν, καὶ ὁ Ἰωάννης ὁ υἱὸς τῆς βροντῆς[29], καὶ ὁ Παῦλος ποὺ μὲ ἀκρίβεια γνώριζε τὰ παλαιὰ καὶ τὰ καινούργια. Διότι ὁ μὲν Παῦλος μιλώντας στὴ Ρώμη πρὸς ἐκείνους ποὺ συγκεντρώθηκαν μὲν ἐκεῖ, ἀλλ' ἀπομακρύνθηκαν στὴ συνέχεια ἐπειδὴ δὲν μποροῦσαν ν' ἀνεχθοῦν τὰ λεγόμενα, ἔλεγε· «Πολὺ καλὰ εἶπε τὸ Πνεῦμα τὸ ἅγιο· Θ' ἀκοῦτε συνέχεια καὶ δὲν θὰ τὰ ἐννοεῖτε»[30]. Ὁ δὲ υἱὸς τῆς βροντῆς, ἐπειδὴ ἔβλεπαν θαύματα καὶ δὲν πίστευαν, καὶ ἄκουαν ἀλήθειες ὑψηλὲς καὶ δὲν τὶς πρόσεχαν (διότι ἀνέστησε ὁ Χριστὸς τὸ Λάζαρο καὶ ἐπιχειροῦσαν νὰ τὸν φονεύσουν· δαίμονες ἀπομάκρυνε καὶ τὸν ἀποκαλοῦσαν δαιμονισμένο· στὸν Πατέρα ὁδηγοῦσε τὰ πλήθη καὶ τὸν ὀνόμαζαν πλάνο, δεχόμενοι τὶς ἀντίθετες δοξασίες), μνημονεύει τὴν προφητεία αὐτὴ λέγοντας· «Πολὺ καλὰ εἶπε ὁ προφήτης Ἠσαΐας, ὅτι θ' ἀκοῦτε συνέχεια τὸ λόγο τοῦ Θεοῦ καὶ δὲν θὰ τὸν ἐννοεῖτε, καὶ θὰ βλέπετε ἐκεῖνα ποὺ θὰ γίνονται καὶ θὰ εἶναι σὰν νὰ μὴ τὰ βλέπετε».

Ἐπειδὴ δηλαδὴ τὰ ἐσωτερικὰ μάτια τῆς ψυχῆς ἦταν τυφλά, δὲν ὑπῆρχε σ' αὐτοὺς καμιὰ ὠφέλεια ἀπὸ τὰ ἐξωτερικὰ μάτια, ἀφοῦ τὸ κριτήριο τῆς σκέψεώς τους ἦταν διεφθαρμένο. Γι' αὐτό, ἐνῶ ἔβλεπαν, ἦταν σὰν νὰ μὴ ἔβλεπαν, καὶ ἐνῶ ἄκουαν, ἦταν σὰν νὰ μὴ ἄκουαν· καὶ προσθέτει καὶ τὴν αἰτία, διότι δὲν ἦταν καταστραμμένα τὰ αἰσθητήριά τους, οὔτε βλαμμένη ἡ φύση τους, ἀλλ' ἡ καρδιά τους ἦταν διεφθαρμένη· διότι λέγει, «Σκληρύνθηκε ἡ καρδιὰ τοῦ λαοῦ αὐτοῦ»· σκλήρυνση δὲ τῆς διάνοιας δημιουργεῖται ἀπὸ τὰ ἁμαρτήματα καὶ τὶς βιωτικὲς ἐπιθυμίες. Καὶ αὐτὴν τὴν παχύτητα ἐξηγώντας ὁ Παῦλος, ἔλεγε· «Δὲν μπόρεσα νὰ σᾶς μιλήσω σὰν ἀνθρώπους πνευματικὰ ὥριμους, διότι δὲν μπορούσατε ἀκόμα νὰ τὰ ἐννοήσετε,

νήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς· οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὐδ' ἔτι δύνασθε. Καὶ τὴν αἰτίαν προστίθησι λέγων· «Ὅπου γὰρ ἐν ὑμῖν ἔρεις καὶ ζῆλοι καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε;». Ἐπεὶ οὖν κἀκεῖνοι φθόνῳ πολλῷ καὶ βασκανίᾳ τηκόμενοι, καὶ ἑτέροις μυρίοις πολιορκούμενοι πάθεσι, παχὺ τὸ ὄμμα τῆς διανοίας εἰργάσαντο, καθαρὰ βλέπειν οὐκ ἔτι λοιπὸν ἠδύναντο. Διὸ ἑτέρας περὶ τῶν δρωμένων δόξας ἐλάμβανον, καὶ τὰς ἐναντίας. Ταῦτα οὖν μετὰ ἀκριβείας ὁρῶν ὁ προφήτης, προανεφώνησε καὶ τοῦ νοσήματος τὴν αἰτίαν. Σὺ δέ μοι σκόπει, ὡς δυοῖν προφητειῶν οὐσῶν, τὴν μὲν περὶ τῆς Ἐκκλησίας καὶ τῶν τῆς οἰκουμένης ἀγαθῶν τὰ Σεραφὶμ ἐδέξαντο λέγοντα, «Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ», τὴν δὲ περὶ τῆς ἁλώσεως καὶ τῶν τιμωριῶν τῶν Ἰουδαϊκῶν τῷ προφήτῃ κατέλειπον, ἵνα κἀντεῦθεν μάθῃς τῆς Ἐκκλησίας τὴν ὑπεροχήν.

5. Καὶ εἶπον· ἕως πότε, Κύριε;». Ὁρᾷς ὡς οὐ μάτην οὐδὲ εἰκῇ ἐστοχασάμεθα τῆς ὑπακοῆς τοῦ προφήτου τῆς μετὰ πολλῆς προθυμίας γεγενημένης; Ἐπειδὴ γοῦν τἀναντία ὧν προσεδόκησεν ἤκουσεν, ἐρημίαν, πανωλεθρίαν, ἀξιοῖ τὸ γοῦν μέτρον μαθεῖν τῆς τιμωρίας· οὐδὲ γὰρ ἐτόλμα ὁλοκλήρου τῆς ὀργῆς αὐτοὺς ἐξαρπάσαι, διὰ τὸ προλαβόντα τὸν Θεὸν δεῖξαι ἀσύγγνωστα ἁμαρτάνοντας. Οὐ γὰρ συναρπαγῆς ἦν αὐτῶν τὰ τολμήματα, οὐδὲ γνώμης ἐπηρεαζομένης, ἀλλὰ ψυχῆς ἔργον ποιουμένης τὴν παρακοήν, καὶ διανοίας φιλονείκου, καθάπερ ἐκ μελέτης τινὸς καὶ σπουδῆς, ἀνθισταμένης τοῖς ὑπὸ τοῦ Θεοῦ γινομένοις. Τοῦτο γοῦν αἰνιττόμενος ἔλεγε· «Μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς». Ὡσανεὶ δεδοικότες γάρ, φησί, μήποτέ τι τῶν δεόντων μάθωσιν,

31. Α' Κορ. 3, 1-2. 32. Α' Κορ. 3, 3.

ἀλλ' οὔτε καὶ τώρα μπορεῖτε»[31]. Καὶ τὴν αἰτία προσθέτει, λέγοντας· «Τὴ στιγμὴ λοιπὸν ποὺ ὑπάρχουν ἀνάμεσά σας φιλονεικίες καὶ ζήλιες καὶ διαφωνίες, δὲν δείχνει αὐτὸ ὅτι εἶστε σαρκικοί;»[32]. Ἐπειδὴ λοιπὸν καὶ ἐκεῖνοι ἔλειωναν ἀπὸ τὸν μεγάλο φθόνο καὶ τὴ ζήλια τους καὶ πολιορκοῦνταν ἀπὸ ἀμέτρητα ἄλλα πάθη, κατέστησαν τὰ μάτια τῆς διανοίας τους παχιὰ καὶ δὲν μποροῦσαν πλέον στὸ ἑξῆς νὰ βλέπουν καθαρά. Γι' αὐτὸ διατύπωναν διαφορετικὲς γνῶμες γιὰ τὰ ὅσα ἔβλεπαν καὶ ἐντελῶς ἀντίθετες ἀπὸ τὴν πραγματικότητα. Αὐτὰ λοιπὸν βλέποντας ὁ προφήτης μὲ προσοχή, προδιατύπωσε καὶ τὴν αἰτία τῆς ἀσθενείας τους. Σὺ ὅμως σὲ παρακαλῶ πρόσεχε τὸ ὅτι, ἐνῶ ὑπῆρχαν δύο προφητεῖες, τὴν μὲν μία ποὺ ἀναφερόταν στὴν Ἐκκλησία καὶ τὰ ἀγαθὰ τῆς οἰκουμένης τὴν δέχτηκαν καὶ τὴν ἀνέφεραν τὰ Σεραφὶμ λέγοντας, «Ἅγιος, ἅγιος, ἅγιος εἶναι ὁ Κύριος τῶν δυνάμεων, ὁλόκληρη δὲ ἡ γῆ εἶναι γεμάτη ἀπὸ τὴ δόξα αὐτοῦ», τὴν ἄλλη δὲ ποὺ ἀναφερόταν στὴν ἅλωση καὶ τὶς ἰουδαϊκὲς τιμωρίες τὴν ἄφησαν νὰ τὴν ἀνακοινώσει ὁ προφήτης, γιὰ νὰ μάθεις καὶ ἀπὸ ἐδῶ τὴν ὑπεροχὴ τῆς Ἐκκλησίας.

5. «Καὶ εἶπα· μέχρι πότε, Κύριε;». Βλέπεις ὅτι δὲν ἐξετάσαμε ἄσκοπα καὶ στὰ χαμένα τὴν ὑπακοὴ τοῦ προφήτη τὴν ὁποία ἔδειξε μὲ μεγάλη προθυμία; Ἐπειδὴ δηλαδὴ ἄκουσε τὰ ἀντίθετα ἀπὸ ἐκεῖνα ποὺ περίμενε, ὅπως ἐρήμωση καὶ πανωλεθρία, ζητᾶ λοιπὸν νὰ μάθει τὸ μέγεθος τῆς τιμωρίας· διότι δὲν τολμοῦσε νὰ τοὺς ἀπαλλάξει ἀπὸ ὁλόκληρη τὴν ὀργὴ τοῦ Θεοῦ, ἐπειδὴ πρόλαβε ὁ Θεὸς καὶ ἔδειξε ὅτι ἦταν ἀσυγχώρητα τὰ ἁμαρτήματα ποὺ διέπραξαν. Διότι δὲν διέπραξαν τὶς τολμηρὲς αὐτὲς πράξεις ὑπὸ τὴν πίεση βίας, οὔτε ἀπὸ γνώμη ποὺ ἐπηρεάσθηκε, ἀλλ' αὐτὲς ἦταν ἔργο ψυχῆς ἀνυπάκοης καὶ διάνοιας ποὺ εὐχαριστεῖται μὲ τὶς φιλονεικίες, καὶ ποὺ ἀντιστέκεται στὰ συμβαίνοντα ἀπὸ τὸ Θεὸ μὲ πολλὴ φροντίδα καὶ προθυμία. Αὐτὸ λοιπὸν ὑπαινισσόμενος ἔλεγε· «Μήπως συμβεῖ καὶ δοῦν μὲ τὰ μάτια τους καὶ ἐννοήσουν τὰ συμβαίνοντα, ὥστε νὰ ἐπιστρέψουν καὶ νὰ τοὺς θεραπεύσω». Σὰν νὰ φοβοῦνται, λέγει,

οὕτω μετὰ πολλῆς τῆς σπουδῆς τὴν διάνοιαν αὐτῶν ἐπήρωσαν. Ἐπεὶ οὖν καὶ ἡ κατηγορία βαρυτάτη, καὶ ἡ τιμωρία ἀπαραίτητος, ὅπερ ἦν λειπόμενον, τοῦτο ζητεῖ μαθεῖν· ἀλλ' ἐν τάξει τοῦ μαθεῖν, ἱκετηρίαν εἰσάγει.

Ἐπειδὴ δὲ οὐδὲ ὑπὲρ τούτου φανερῶς ἱκετεῦσαι ἐτόλμα, διὰ τοῦτο μαθήσεως προσχήματι ἐρώτησιν ἐπινοεῖ λέγων· «Ἕως πότε, Κύριε; Καὶ εἶπεν· ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους· καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ καταλειφθέντες ἐπὶ τῆς γῆς, καὶ ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον. Καὶ πάλιν ἔσται εἰς προνομὴν ὡς τερέβινθος, καὶ ὡς βάλανος, ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς. Σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς». Τὴν προφητείαν ἀπαρτίσας ἐκείνην, ἐπὶ τὴν ἱστορίαν πάλιν ἐξάγει τὸν λόγον, τήν τε ἅλωσιν τῶν δέκα φυλῶν προαναφωνῶν, τήν τε διὰ τὴν αἰχμαλωσίαν ἐκείνην ἐπὶ ταῖς δύο φυλαῖς μακροθυμίαν γεγενημένην· εἶτα καὶ τὴν τούτων αὐτῶν ἀπαγωγήν, ἐπειδὴ εἰς οὐδὲν δέον ἐχρήσαντο τῇ μακροθυμίᾳ· καὶ τὴν ἐκ τοῦ λειψάνου πάλιν ἀναφθησομένην αὐτοῖς εὐημερίαν. Ὅταν μὲν γὰρ λέγῃ, «Ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι», τῶν δέκα φυλῶν τὴν αἰχμαλωσίαν αἰνίττεται. Καὶ γὰρ ἄρδην ἠφανίσθησαν ἅπαντες, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ἀνάρπαστοι γενόμενοι, πάντες εἰς τὴν ἀλλοτρίαν ἀπηνέχθησαν, ὡς καὶ τὰς πόλεις ἁπάσας ἑστάναι κενὰς ἀνθρώπων, καὶ τὴν γῆν ἔρημον τῶν θεραπευσόντων αὐτὴν εἰς ὠφέλειαν τῶν ὑπολειφθησομένων.

Ὅταν μὲν οὖν λέγῃ, «Ἕως ἐρημωθῶσι πόλεις παρὰ τὸ

33. Πρόκειται γιὰ τὴν κατάλυση τοῦ βασιλείου τοῦ Ἰσραὴλ ἀπὸ τὸ βασιλιὰ τῶν Ἀσσυρίων Σαργὼν Β' (722-705).

34. Πρόκειται γιὰ τὴν ἅλωση τῆς Ἰερουσαλὴμ ἀπὸ τοὺς Βαβυλωνίους, κατὰ

μὴ τυχὸν καὶ μάθουν κάτι ἀπὸ τὰ ὀρθά, ἔτσι μὲ μεγάλη προθυμία κατέβλαψαν τὴ διάνοιά τους. Ἐπειδὴ λοιπὸν καὶ ἡ κατηγορία ἦταν πάρα πολὺ βαρειὰ καὶ ἡ τιμωρία ἀπαραίτητη, ἐκεῖνο ἀκριβῶς ποὺ ὑπολειπόταν, αὐτὸ ζητᾶ νὰ μάθει, καὶ στὴν προσπάθειά του νὰ μάθει αὐτό, ὑποβάλλει τὴν παράκλησή του.

Ἐπειδὴ ὅμως οὔτε γι' αὐτὸ δὲν τολμοῦσε φανερὰ νὰ παρακαλέσει, γι' αὐτὸ μὲ τὴ δικαιολογία τῆς μαθήσεως ἐπινοεῖ ἐρώτηση, λέγοντας· «Μέχρι πότε, Κύριε; Καὶ εἶπε· μέχρι ποὺ νὰ ἐρημωθοῦν οἱ πόλεις ἐξ αἰτίας τῆς ἐλλείψεως κατοίκων, καθὼς καὶ τὰ σπίτια αὐτῶν ἐξ αἰτίας τῆς ἐλλείψεως ἀνθρώπων· καὶ ἡ γῆ δὲ θὰ ἐγκαταλειφθεῖ καὶ θὰ ἐρημωθεῖ. Καὶ μετὰ ἀπὸ αὐτὰ θ' αὐξήσει ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ θὰ πληθύνουν ἐκεῖνοι ποὺ θ' ἀπομείνουν στὴ χώρα. Καὶ τώρα ἀκόμα ὑπάρχει στὴ χώρα τους τὸ δέκατο τοῦ πληθυσμοῦ της ἀλλὰ καὶ αὐτὸ πάλι θὰ ὑποστεῖ ἐχθρικὴ ἐπιδρομὴ καὶ θὰ λεηλατηθεῖ ὅπως ἡ τερέβινθος καὶ τὸ βαλανίδι ὅταν πέσει καὶ βγεῖ ἀπὸ τὴ θήκη του. Σπέρμα ἅγιο εἶναι ὁ κορμὸς αὐτῆς». Ἀφοῦ ὁλοκλήρωσε τὴν προφητεία, στὴν ἱστορία πάλι μεταφέρει τὸ λόγο, προλέγοντας καὶ τὴν ἅλωση τῶν δέκα φυλῶν[33] καὶ τὴν μακροθυμία ποὺ ἐπιδείχτηκε γιὰ τὶς δύο φυλὲς κατὰ τὴν αἰχμαλωσία ἐκείνη· ἔπειτα προλέγει καὶ τὴν αἰχμαλωσία αὐτῶν[34], ἐπειδὴ πρὸς κανένα ὄφελός τους δὲν χρησιμοποίησαν τὴ μακροθυμία ἐκείνη τοῦ Θεοῦ, καὶ ἀκόμα προλέγει καὶ τὴν εὐημερία ποὺ θὰ συμβεῖ στὸ ὑπόλοιπο ἐκεῖνο ποὺ θ' ἀπομείνει. Διότι ὅταν λέγει, «Μέχρι ποὺ νὰ ἐρημωθοῦν οἱ πόλεις τους ἐξ αἰτίας τῆς ἐλλείψεως τῶν κατοίκων τους», ὑπαινίσσεται τὴν αἰχμαλωσία τῶν δέκα φυλῶν. Καθόσον μονομιᾶς ἐξαφανίστηκαν ὅλοι καὶ ἀφοῦ ἁρπάχτηκαν μὲ ὑπερβολικὴ βία, ὁδηγήθηκαν ὅλοι στὴν ξένη χώρα, ὥστε ὅλες οἱ πόλεις νὰ μείνουν ἄδειες ἀπὸ ἀνθρώπους, καὶ ἡ γῆ νὰ μείνει ἔρημη ἀπὸ τοὺς καλλιεργητές της, πρὸς ὠφέλεια ἐκείνων ποὺ εἶχαν ἐναπομείνει.

Ὅταν λοιπὸν λέγει, «Μέχρι ποὺ νὰ ἐρημωθοῦν οἱ πόλεις

τὴν ὁποία οἱ Ἰουδαῖοι ὁδηγήθηκαν αἰχμάλωτοι στὴ Βαβυλώνα τὸ 586 π.Χ. καὶ ἔμειναν μέχρι τὸ 538 π.Χ.

μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους», τότε λέγει καὶ τὴν αἰχμαλωσίαν. Ὅταν δὲ λέγῃ, ὅτι «Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους», ἢ τὴν ὁλοσχερῆ πάντων εὐπραγίαν αἰνίττεται, ἢ τὴν μετὰ τὴν ἀπαγωγὴν τῶν δέκα φυλῶν γενομένην ταῖς δύο φυλαῖς εὐημερίαν. Ἀπαλλαγέντες γὰρ τοῦ Σεναχειρὶμ καὶ τοῦ βαρβαρικοῦ στρατοπέδου, καὶ τῆς παραδόξου νίκης ἀπολαύσαντες, εἰς πλῆθος πάλιν ἐπέδοσαν, καὶ εἰς βίου μῆκος, οὐδενὸς πολέμου θορυβοῦντος αὐτούς. Ὅταν δὲ εἴπῃ, ὅτι «Μακρυνεῖ», ἢ τὸ πλῆθος τῶν ἀνθρώπων, ἢ τὸ μῆκος τῶν ἐτῶν αἰνίττεται. Καὶ ἵνα μάθῃς, ὅτι περὶ τῶν δύο φυλῶν ταῦτά φησιν, ἐπήγαγεν, ὅτι «Ἐπ᾽ αὐτῆς ἐστι τὸ ἐπιδέκατον, ἐπιδέκατον λέγων τὸ ἐπάνω τῶν δέκα, τὸ περισσὸν τῶν δέκα, ὅπερ ἦσαν αἱ δύο φυλαί. Ταύτῃ καὶ Παῦλος τῇ λέξει κέχρηται λέγων, «Ἐπάνω πεντακοσίοις ἀδελφοῖς», τουτέστι, πλείονι πεντακοσίων.

«Καὶ πάλιν ἔσται εἰς προνομὴν ὡς τερέβινθος». Τουτέστι, αἱ δύο φυλαί. «Καὶ ὡς βάλανος, ὅταν ἐκπέσῃ τῆς θήκης αὐτῆς». Ὥσπερ γὰρ ἀτερπὴς ἐκεῖνος ὁ καρπὸς ἐκπεσὼν τῆς θήκης, οὕτω καὶ οὗτοι καταγέλαστοι καὶ ἐπονείδιστοι ἔσονται τῆς πόλεως ἐκπεσόντες, καὶ τῆς δόξης ἐκείνης γυμνωθέντες ἅπαντες.

«Σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς». Οὐ μὴν ἀνίατα τὰ κακὰ ἔσται, φησίν, οὐδὲ ἀτελεύτητα, ἀλλὰ τὸ σπέρμα αὐτῆς ἅγιον ἔσται, καὶ «Στήλωμα», τουτέστι, βέβαιον, πεπηγός, ἀκίνητον, ἀναμένον τὴν τῶν πραγμάτων μεταβολήν. Τῆς μὲν γὰρ εὐπραγίας ἐκπεσοῦνται, αὐτοὶ δὲ οὐ πανωλεθρίαν ὑποστήσονται, ἀλλὰ μενοῦσι καὶ στήσονται, ἕως ἂν ἀπολάβωσι τὴν προτέραν πολιτείαν πάλιν, καὶ ἐπὶ τὴν προτέραν ἐπανέλθωσιν ἁγιστείαν.

35. Α' Κορ. 15, 6.

τοὺς ἐξ αἰτίας τῆς ἐλλείψεως τῶν κατοίκων τους, καθὼς καὶ τὰ σπίτια τους ἐξ αἰτίας τῆς ἐλλείψεως ἀνθρώπων», μὲ τὰ λόγια αὐτὰ προλέγει τὴν αἰχμαλωσία. Ὅταν δὲ λέγει, ὅτι «Μετὰ ἀπὸ ὅλα αὐτὰ θ' αὐξήσει ὁ Θεὸς τοὺς ἀνθρώπους», ἢ ὑπαινίσσεται τὴν ὁλοκληρωτικὴ εὐημερία ὅλων, ἢ τὴν εὐημερία ποὺ συνέβηκε στὶς δύο φυλὲς μετὰ τὴν αἰχμαλωσία τῶν δέκα φυλῶν. Διότι, ἀφοῦ ἀπαλλάχτηκαν ἀπὸ τὸν Σεναχειρὶμ καὶ τὸ βαρβαρικὸ στρατὸ καὶ ἀπόλαυσαν τὴν παράδοξη ἐκείνη νίκη, αὐξήθηκαν πάλι σὲ πλῆθος καὶ σὲ μακροημερότητα, χωρὶς κανένας πόλεμος νὰ τοὺς ἀνησυχεῖ. Ὅταν δὲ λέγει, ὅτι «θὰ τοὺς μακρύνει», ἢ ὑπαινίσσεται τὸ πλῆθος τῶν ἀνθρώπων, ἢ τὸ μῆκος τῶν ἐτῶν. Καὶ γιὰ νὰ μάθεις, ὅτι αὐτὰ τὰ λέγει γιὰ τὶς δύο φυλές, πρόσθεσε, ὅτι «Ἐπάνω σ' αὐτὴν θὰ μείνει τὸ ἐπιδέκατο», ἐννοώντας σὰν ἐπιδέκατο τὸ ἐπάνω ἀπὸ τὸ δέκα, τὸ περισσότερο ἀπὸ τὸ δέκα, πράγμα ποὺ ἦταν οἱ δύο φυλές. Αὐτὴ τὴν ἔκφραση χρησιμοποιεῖ καὶ ὁ Παῦλος, λέγοντας, «Ἐπάνω ἀπὸ πεντακόσιους ἀδελφούς»[35], δηλαδή, περισσότεροι ἀπὸ πεντακόσιοι.

«Καὶ πάλι αὐτοὶ θὰ ὑποστοῦν ἐχθρικὴ ἐπίθεση καὶ θὰ καταστραφοῦν ὅπως ἡ τερέβινθος». Δηλαδὴ οἱ δύο φυλές. «Καὶ ὅπως τὸ βελανίδι, ὅταν πέσει καὶ βγεῖ ἀπὸ τὴ θήκη του». Ὅπως ἀκριβῶς δηλαδὴ ὁ καρπὸς ἐκεῖνος εἶναι ἄχαρος ὅταν πέσει καὶ βγεῖ ἀπὸ τὴ θήκη του, ἔτσι καὶ αὐτοὶ θὰ καταντήσουν ἄξιοι γιὰ γέλια καὶ γιὰ χλευασμὸ ὅταν θὰ χάσουν τὴν πόλη τους καὶ θὰ στερηθοῦν ὅλη ἐκείνη τὴ δόξα τους.

«Σπέρμα ἅγιο θὰ εἶναι τὸ στήλωμα αὐτῆς». Ὅμως, λέγει, δὲν θὰ εἶναι ἀθεράπευτα τὰ κακά, οὔτε χωρὶς τέλος, ἀλλὰ τὸ σπέρμα αὐτῆς θὰ εἶναι ἅγιο καὶ «Στήλωμα», δηλαδή, βέβαιο, σταθερό, ἀκίνητο, περιμένοντας τὴ μεταβολὴ τῶν πραγμάτων. Τὴν μὲν δηλαδὴ εὐημερία θὰ τὴν χάσουν, οἱ ἴδιοι ὅμως δὲ θὰ ὑποστοῦν τέλεια καταστροφή, ἀλλὰ θὰ μείνουν καὶ θὰ διατηρηθοῦν μέχρι ποὺ ν' ἀπολαύσουν καὶ πάλι τὸν προηγούμενο τρόπο ζωῆς καὶ νὰ ξαναγυρίσουν στὶς προηγούμενες ἱεροτελεστίες τους.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

«Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωαθὰν τοῦ Ὀζίου βασιλέως Ἰούδα».

1. Ὅπερ πολλάκις εἶπον, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι τὸ παλαιὸν αἱ προφητεῖαι οὐ διὰ τοῦτο ἐγίνοντο, ἵνα ἁπλῶς οἱ Ἰουδαῖοι τὰ μέλλοντα μάθωσιν, ἀλλ' ἵνα μαθόντες, ἐντεῦθεν κερδάνωσι, καὶ τῷ φόβῳ τῆς ἀπειλῆς γένωνται σωφρονέστεροι, καὶ τῇ τῶν ἀγαθῶν ὑποσχέσει προθυμότεροι περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν, ἑκατέρωθεν μανθάνοντες τοῦ Θεοῦ τήν τε δύναμιν, καὶ τὴν περὶ αὐτοὺς κηδεμονίαν. Καὶ γὰρ ταύτης ἕνεκεν τῆς αἰτίας προελέγετο τὰ λεγόμενα, καὶ ἵνα μὴ νομίσωσιν ἁπλῶς καὶ ὡς ἔτυχε τὰ συμβαίνοντα ἐπιέναι, κατά τινα ἀκολουθίαν φύσεως, ἢ πραγμάτων φοράν, ἀλλὰ ἴδωσιν, ὅτι ἄνωθεν καὶ ἐκ τῆς τοῦ Θεοῦ ψήφου ταῦτα ἑκάτερα γίγνεται· ὅπερ αὐτοὺς τὰ μέγιστα εἰς θεογνωσίαν ὠφέλει. Ἀλλ' ἐπειδή, καθάπερ καὶ ἔμπροσθεν ἔφθην εἰπών, ἡ προφητεία οὐκ ἐν αὐτῷ τῷ καιρῷ τὴν ἀπόδειξιν εἶχεν, ἀλλὰ τὰ μὲν ῥήματα τότε ἐλέγετο, τὰ δὲ πράγματα μακροῖς ὕστερον ἔμελλον ἐκβήσεσθαι χρόνοις, ἐνίων τῶν ἀκουόντων πολλάκις καὶ προαπερχομένων, καὶ οὐ δυναμένων δικάσαι τῇ τῶν λεγομένων ἀκολουθίᾳ, ὅρα τί ποιεῖ καὶ πραγματεύεται ὁ Θεός. Προφητείαν προφητείαις συνάπτει, μακροτέραις ἐγγυτέραν, τὴν ἐπὶ τῆς γενεᾶς αὐτῶν γειναμένην τῶν μακρὸν ὕστερον ἐσομένων μεγίστην ἀπόδειξιν παρεχόμενος.

ΚΕΦΑΛΑΙΟ Ζ'.

«Καὶ κατὰ τὶς ἡμέρες τοῦ βασιλιᾶ Ἄχαζ τοῦ υἱοῦ τοῦ Ἰωάθαμ, ὁ ὁποῖος ἦταν υἱὸς τοῦ Ὀζία τοῦ βασιλιᾶ τοῦ Ἰούδα»

1. Ἐκεῖνο ποὺ πολλὲς φορὲς εἶπα, αὐτὸ καὶ τώρα θὰ πῶ, ὅτι δηλαδὴ τὴν παλιὰ ἐποχὴ οἱ προφητεῖες δὲν συνέβαιναν γι' αὐτό, γιὰ νὰ μάθουν ἁπλῶς οἱ Ἰουδαῖοι τὰ μέλλοντα, ἀλλ', ἀφοῦ τὰ μάθουν, νὰ ὠφεληθοῦν ἀπὸ αὐτά, καὶ ἔτσι ἐξ αἰτίας μὲν τοῦ φόβου τῆς ἀπειλῆς νὰ γίνουν περισσότερο σώφρονες, ἐξ αἰτίας δὲ τῆς ὑποσχέσεως τῶν ἀγαθῶν νὰ γίνουν προθυμότεροι στὴν ἄσκηση τῆς ἀρετῆς, διδασκόμενοι καὶ ἀπὸ τὰ δύο καὶ τὴ δύναμη τοῦ Θεοῦ καὶ τὴ φροντίδα του πρὸς αὐτούς. Καθόσον γι' αὐτὸ τὸ λόγο προλέγονταν ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν στὸ μέλλον, καὶ γιὰ νὰ μὴ νομίσουν ὅτι τὰ γεγονότα συμβαίνουν ἔτσι ἁπλὰ καὶ στὴν τύχη, σὰν κάποιο δηλαδὴ ἀποτέλεσμα τῆς φύσεως ἢ σὰν ἐνέργεια τῶν πραγμάτων, ἀλλὰ γιὰ νὰ γνωρίσουν, ὅτι καὶ τὰ δύο αὐτὰ συμβαίνουν σύμφωνα μὲ τὸν οὐράνιο νόμο καὶ τὴν ἀπόφαση τοῦ Θεοῦ, πράγμα ποὺ τοὺς ὠφελοῦσε ὑπερβολικὰ στὸ νὰ γνωρίσουν τὸ Θεό. Ἀλλ' ἐπειδή, ὅπως ἀκριβῶς καὶ προηγουμένως ἀνέφερα, ἡ προφητεία δὲν ἐκπληρωνόταν κατὰ τὸ χρόνο ποὺ λεγόταν, ἀλλὰ τὰ μὲν λόγια λέγονταν τότε, ἐνῶ τὰ γεγονότα ἐπρόκειτο νὰ συμβοῦν ὕστερα ἀπὸ μεγάλα χρονικὰ διαστήματα, μερικοὶ δὲ ἀπὸ ἐκείνους ποὺ τὴν εἶχαν ἀκούσει πολλὲς φορὲς πέθαιναν πρὶν ἀπὸ τὴν πραγματοποίησή της καὶ δὲν μποροῦσαν νὰ διαπιστώσουν τὴν ἐπαλήθευση τῶν λεγομένων, πρόσεχε τί κάμνει καὶ τί πραγματεύεται ὁ Θεός. Τὴν μιὰ προφητεία συνενώνει μὲ ἄλλες προφητεῖες, τὴν ἐγγύτερη μὲ τὶς μακρότερες, παρέχοντας μέγιστη ἀπόδειξη γιὰ ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν πολὺ μεταγενέστερα, μὲ ἐκείνη ποὺ πραγματοποιήθηκε στὶς ἡμέρες τους.

Ἐπὶ δὲ τῶν εὐαγγελίων καὶ ἑτέρως μεθοδεύει τουτὶ τῆς ὠφελείας τὸ εἶδος, θαύματα προφητείαις συνάπτων, καὶ θάτερον θατέρῳ κατασκευάζων. Οἷόν τι λέγω· προσῆλθεν αὐτῷ ὁ λεπρός ποτε, καὶ ἐκαθάρθη, καὶ μετ' ἐκεῖνον πάλιν ὁ τοῦ ἑκατοντάρχου παῖς ἀπηλλάγη τῆς χαλεπῆς ἀρρωστίας ἐκείνης, καὶ σημεῖα ταῦτα μεγάλα ἦν· ἀλλ' ὅμως οὐκ ἔστη μέχρι τῶν σημείων, ἀλλὰ καὶ προφητείαν προστέθεικεν. Ἐπειδὴ γὰρ ὁ ἑκατόνταρχος τὴν θαυμαστὴν ἐκείνην καὶ μεγάλην ἐπεδείξατο πίστιν, δι' ἧς τὸν παῖδα ἀπήλλαξε τῆς ἀρρωστίας, ἐπήγαγεν ὁ Χριστὸς λέγων· «Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται ἔξω». Ταῦτα δὲ ἔλεγε, καὶ τὴν τῶν ἐθνῶν Ἐκκλησίαν καὶ τὴν τῶν Ἰουδαίων ἀποβολὴν προαναφωνῶν, ὃ δὴ νῦν ἐπὶ τῶν ἔργων ἐξέβη, καὶ τοῦ ἡλίου φανερώτερον ἅπασι δείκνυται· ἀλλὰ τότε τέως ἄδηλον ἦν, καὶ τοῖς ἀπίστοις οὐκ εὐπαράδεκτον. Διὰ δὴ τοῦτο σημεῖον προέλαβε τὸ τότε ἐκβάν, τῷ μετὰ ταῦτα συμβησομένῳ πολλὴν προαποτιθέμενον τὴν πίστιν· ὥσπερ οὖν καὶ αὐτὴ ἡ προφητεία, ἐπὶ τῶν ἔργων φαινομένη νῦν, τῷ σημείῳ τῷ τότε γενομένῳ πολλὴν παρέχει τὴν βεβαίωσιν. Τί γὰρ ἂν εἴποι ὁ ἄπιστος; ὅτι οὐκ ἐκαθάρθη ὁ λεπρός; Βλεπέτω τῆς προφητείας τὴν ἀλήθειαν, καὶ ἀπὸ ταύτης καὶ τῷ σημείῳ πιστευέτω. Τί δὲ ἂν εἴποιεν οἱ τότε Ἰουδαῖοι; ὅτι ἃ προλέγει οὐκ ἔστιν ἀληθῆ; Ὁράτωσαν τὸν λεπρὸν καθαιρόμενον, καὶ ἀπὸ τῶν ἐπ' ἐκείνου γενομένων καὶ περὶ τῶν μελλόντων μὴ ἀπιστείτωσαν, μέγιστον λαμβάνοντες ἐνέχυρον ἐκεῖνοι μὲν τῆς προφητείας τὸ σημεῖον, οἱ δὲ νῦν τοῦ σημείου τὴν προφητείαν. Εἶδες πῶς θάτερον διὰ θατέρου κατασκευάζεται;

1. Ματθ. 8, 2-4.
2. Ματθ. 8, 11.

Στὰ εὐαγγέλια ὅμως καὶ μὲ ἄλλο τρόπο μεθοδεύει αὐτὸ τὸ εἶδος τῆς ὠφέλειας, συνδέοντας θαύματα μὲ προφητεῖες καὶ ἀποδεικνύοντας τὸ ἕνα μὲ τὸ ἄλλο. Μὲ αὐτὸ ποὺ λέγω ἐννοῶ τὸ ἑξῆς· Πλησίασε κάποτε τὸν Κύριο ὁ λεπρὸς καὶ καθαρίσθηκε[1], καὶ μετὰ ἀπὸ ἐκεῖνον πάλι ὁ δοῦλος τοῦ ἑκατόνταρχου ἀπαλλάχτηκε ἀπὸ τὴ φοβερὴ ἐκείνη ἀρρώστια του, καὶ αὐτὰ μὲν ἦταν μεγάλα θαύματα, ἀλλὰ πρόσθεσε καὶ προφητεία. Ἀφοῦ δηλαδὴ ὁ ἑκατόνταρχος φανέρωσε τὴ θαυμαστὴ ἐκείνη καὶ μεγάλη πίστη του, μὲ τὴν ὁποία ἀπάλλαξε τὸ δοῦλο του ἀπὸ τὴν ἀρρώστια του, πρόσθεσε ὁ Χριστὸς καὶ εἶπε· «Πολλοὶ θὰ ἔρθουν ἀπὸ τὴν ἀνατολὴ καὶ τὴ δύση καὶ θὰ καθίσουν στὸ τραπέζι μαζὶ μὲ τὸν Ἀβραάμ, τὸν Ἰσαάκ καὶ τὸν Ἰακώβ, ἐνῶ τὰ παιδιὰ τῆς βασιλείας θὰ ριχτοῦν ἔξω ἀπ' αὐτήν»[2]. Αὐτὰ δὲ τὰ ἔλεγε προλέγοντας καὶ τὴν Ἐκκλησία τῶν Ἐθνῶν καὶ τὴν ἀποβολὴ τῶν Ἰουδαίων ἀπ' αὐτήν, πράγμα βέβαια ποὺ τώρα βρῆκε τὴν πραγματοποίησή του καὶ σ' ὅλους γίνεται πιὸ φανερὸ καὶ ἀπὸ τὴν ἥλιο· τότε ὅμως στὴν ἀρχὴ δὲν ἦταν φανερὸ καὶ δὲν γινόταν εὔκολα ἀποδεκτὸ ἀπὸ τοὺς ἀπίστους. Γι' αὐτὸ λοιπὸν πραγματοποίησε τὸ θαῦμα ποὺ συνέβηκε τότε, παρέχοντας ἐκ τῶν προτέρων μεγάλη πίστη γιὰ ἐκεῖνο ποὺ ἐπρόκειτο νὰ συμβεῖ ἀργότερα, ὅπως βέβαια καὶ αὐτὴ ἡ προφητεία, πραγματοποιούμενη τώρα, παρέχει μεγάλη ἐπιβεβαίωση γιὰ τὸ θαῦμα ποὺ ἔγινε τότε. Διότι τί θὰ μποροῦσε νὰ πεῖ ὁ ἄπιστος; ὅτι δὲν καθαρίσθηκε ὁ λεπρός; Ἂς βλέπει τὴν ἀλήθεια τῆς προφητείας, καὶ ἀπὸ αὐτὴν ἂς πιστεύει καὶ στὸ θαῦμα. Τί δὲ θὰ μποροῦσαν νὰ ποῦν οἱ τότε Ἰουδαῖοι; ὅτι δὲν ἦταν ἀληθινὰ ἐκεῖνα ποὺ προλέγει; Ἂς ἔβλεπαν τὸ λεπρὸ ποὺ εἶχε καθαρισθεῖ καὶ ἀπὸ ἐκεῖνα ποὺ εἶχαν συμβεῖ σ' ἐκεῖνον ἂς παρακινοῦνταν νὰ μὴ δείξουν ἀπιστία καὶ γιὰ ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν στὸ μέλλον, λαμβάνοντας μεγίστη ἐγγύηση ἐκεῖνοι μὲν τὸ θαῦμα γιὰ τὴν προφητεία, οἱ δὲ σημερινοὶ τὴν προφητεία γιὰ τὸ θαῦμα. Εἶδες πῶς ἀποδεικνύει τὸ ἕνα μὲ τὸ ἄλλο;

Τοῦτο καὶ ἐπὶ τῆς Παλαιᾶς γινόμενον ἴδοι τις ἄν. Ἐπεὶ γὰρ καὶ ὁ Ἱεροβοὰμ τὴν χαλεπὴν ἐκείνην ἐμάνη μανίαν, καὶ δαμάλεις ἔστησε χρυσᾶς, ἐλθὼν ὁ προφήτης τά τε μέλλοντα προανεφώνησε, καὶ σημεῖον εὐθέως ἔδωκεν. Ἵνα γὰρ μηδεὶς ἀπιστῇ τοῖς μετὰ τριακόσια συμβησομένοις ἔτη, τὸν βωμὸν ἔρρηξε, καὶ τὴν πιότητα ἐξέχεε, καὶ τὴν χεῖρα τοῦ βασιλέως ἐξήρανεν, ἀπὸ τῶν πρὸ τῶν ὀφθαλμῶν γινομένων τῶν μετὰ πολὺν χρόνον συμβησομένων σαφῆ παρεχόμενος τὴν ἀπόδειξιν. Καὶ τοιαῦτα ἴδοι τις ἂν καὶ ἐν τῇ Καινῇ καὶ ἐν τῇ Παλαιᾷ γινόμενα, τοῦ Θεοῦ διαφόρως τὴν ἡμετέραν οἰκονομοῦντος σωτηρίαν, ὃ δὴ καὶ ἐνταῦθα γέγονε, καὶ μετὰ πλείονος τῆς περιουσίας· οὐ γὰρ δὴ σημεῖον μόνον, ἀλλὰ καὶ προφητείαν ὁμοῦ καὶ σημεῖον συνέπλεξεν. Ἀλλ' ὥστε σαφέστερα γενέσθαι τὰ λεγόμενα, αὐτὴν μετὰ ἀκριβείας τὴν ἱστορίαν διέλθωμεν.

«Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωαθὰν τοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ρασὴμ βασιλεὺς Ἀράμ, καὶ Φακὲς υἱὸς Ρωμελίου βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἱερουσαλήμ, πολεμῆσαι αὐτήν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. Καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαυὶδ λεγόντων· συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ». Ἔστι μὲν ἱστορία τὰ εἰρημένα, καὶ πραγμάτων διήγησις, ἀλλ' ὁ νοῦν ἔχων, καὶ ὀξὺ βλέπων, πολὺ καὶ ἐντεῦθεν καρπώσεται τὸ κέρδος, τοῦ Θεοῦ τὴν πολλὴν σοφίαν, καὶ τὴν ὑπὲρ τῶν Ἰουδαίων κηδεμονίαν καταμανθάνων. Οὔτε γὰρ ἐκ προοιμίων τὸν πόλεμον ἀνεχαίτισεν, οὔτε ἐπελθόντα κρατῆσαι τῆς πόλεως συνεχώρησεν, ἀλλὰ τὴν ἀπειλὴν ἀφεὶς γενέσθαι τὴν διὰ τῶν ρημάτων, τὴν πεῖραν ἐκώλυσεν, ὁμοῦ μὲν ἐκείνους ἀφυπνίζων καὶ τῆς

---

3. Ἱεροβοάμ· ὑπῆρξε βασιλιὰς τοῦ βορείου βασιλείου ἀπὸ τὸ 926-911 π.Χ. (Γ' Βασιλ. 11, 12 ἑ.).
4. Γ' Βασιλ. 12, 28 ἑ.
5. Δηλαδὴ μὲ τὸ βόρειο βασίλειο τοῦ Ἰσραήλ.

Αὐτὸ θὰ μποροῦσε νὰ διαπιστώσει κάποιος ὅτι συμβαίνει καὶ στὴν Παλαιὰ Διαθήκη. Ὅταν δηλαδὴ καὶ ὁ Ἱεροβοὰμ[3] κυριεύθηκε ἀπὸ τὴ φοβερὴ ἐκείνη μανία καὶ ἔστησε χρυσὰ μοσχάρια γιὰ προσκύνηση, ἀφοῦ ἦρθε ὁ προφήτης καὶ προεῖπε ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν στὸ μέλλον, ἀμέσως πραγματοποίησε καὶ θαῦμα[4]. Γιὰ νὰ μὴ ἀπιστεῖ δηλαδὴ κανένας γιὰ ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν μετὰ ἀπὸ τριακόσια χρόνια, καὶ τὸ βωμὸ κατέστρεψε, καὶ τὰ τῆς θυσίας σκόρπισε κάτω, καὶ τὸ χέρι τοῦ βασιλιᾶ ξήρανε, παρέχοντας ὁλοκάθαρη ἀπόδειξη ἀπὸ ἐκεῖνα ποὺ συνέβηκαν μπροστὰ στὰ μάτια τους γιὰ ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν μετὰ ἀπὸ πολὺ χρόνο. Καὶ πολλὰ τέτοια θὰ μποροῦσε κανεὶς νὰ δεῖ νὰ συμβαίνουν καὶ στὴν Καινὴ Διαθήκη καὶ στὴν Παλαιά, καθόσον ὁ Θεὸς μὲ διαφόρους τρόπους ρυθμίζει τὰ σχετικὰ μὲ τὴ σωτηρία μας, πράγμα βέβαια ποὺ συνέβηκε καὶ ἐδῶ, καὶ μάλιστα μὲ μεγαλύτερη ἀφθονία· διότι δὲν συνέβηκε μόνο θαῦμα, ἀλλὰ συγχρόνως συνένωσε μαζὶ τὴν προφητεία μὲ τὸ θαῦμα. Ἀλλ' ὅμως γιὰ νὰ γίνουν σαφέστερα τὰ λεγόμενα, ἂς ἐξετάσομε τὴν ἴδια τὴν ἱστορία μὲ λεπτομέρεια.

«Κατὰ τὶς ἡμέρες τοῦ Ἄχαζ τοῦ υἱοῦ τοῦ Ἰωαθὰν τοῦ υἱοῦ τοῦ Ὀζία βασιλιᾶ τοῦ Ἰούδα, ἐκστράτευσε ὁ Ρασὴμ ὁ βασιλιὰς τοῦ Ἀράμ, καὶ ὁ Φακὲς ὁ υἱὸς τοῦ Ρωμελίου, ποὺ ἦταν βασιλιὰς τοῦ Ἰσραήλ, ἐναντίον τῆς Ἱερουσαλὴμ γιὰ νὰ πολεμήσουν καὶ νὰ τὴν κυριεύσουν, καὶ δὲν μπόρεσαν νὰ τὴν κυριεύσουν. Καὶ ἀναγγέλθηκε στὸν οἶκο τοῦ Δαυὶδ ὅτι οἱ Ἀραμαῖοι συμμάχησαν μὲ τὸν Ἐφραΐμ»[5]. Τὰ ὅσα ἔχουν λεχθεῖ ἐδῶ ἀποτελοῦν ἱστορία καὶ διήγηση γεγονότων, ἀλλ' ἐκεῖνος ποὺ ἔχει νοῦ καὶ ὀξὺ βλέμμα, θ' ἀποκομίσει καὶ ἀπὸ ἐδῶ μεγάλη ὠφέλεια, γνωρίζοντας τοῦ Θεοῦ τὴ μεγάλη σοφία καὶ τὴ φροντίδα του ὑπὲρ τῶν Ἰουδαίων. Διότι οὔτε ἐμπόδισε ἀπὸ τὴν ἀρχὴ τὸν πόλεμο, οὔτε ἐπέτρεψε, ὅταν ξέσπασε ὁ πόλεμος, νὰ κυριευθεῖ ἡ πόλη, ἀλλ' ἄφησε νὰ λάβει χώρα ἡ ἀπειλὴ μέσω τῶν λόγων, ἐμπόδισε ὅμως τὴν πραγματοποίηση αὐτῆς, ἀφ' ἑνὸς μὲν ἀφυπνίζοντας ἐκείνους καὶ ἀπαλλάσσοντάς τους ἀπὸ τὴν ἀδιαφο-

ρᾳθυμίας ἀπαλλάττων, ὁμοῦ δὲ τὴν ἑαυτοῦ δύναμιν ἐνδεικνύμενος, ὅτι δυνατὸν αὐτῷ καὶ πρὸς αὐτὸ τῶν δεινῶν τὸ τέλος ἐλθόντων, ὥσπερ οὐδὲ ἀρχὴν εἰληφότων, οὕτω τοὺς ἐμπίπτοντας ἀκεραίους διατηρῆσαι. Ὃ πολλαχοῦ ποιοῦντα αὐτόν ἐστιν ἰδεῖν· οἷον ἐπὶ τῆς καμίνου τῆς Βαβυλωνίας, ἐπὶ τοῦ λάκκου τῶν λεόντων, καὶ ἐφ' ἑτέρων μυρίων πραγμάτων. Καὶ γὰρ ἦλθον οὗτοι, καὶ ἐπολιόρκησαν, καὶ τῶν τειχῶν ἀψάμενοι, καὶ τὴν διάνοιαν τῶν ἔνδον οἰκούντων κατασείσαντες, οὐδὲν ἴσχυσαν περαιτέρω.

2. Ἔστι δὲ κἀντεῦθεν ἰδεῖν τῶν δέκα φυλῶν τὴν παρανομίαν, ὅτι οὐ μόνον ἐμφύλιον εἵλοντο πόλεμον, οὐδ' ὅτι πρὸς τοὺς ἀδελφοὺς ἐστασίασαν, ἀλλ' ὅτι καὶ ἀλλοφύλοις καὶ ἀλλογενέσιν ἑαυτοὺς συνῆψαν, καὶ οἱ μηδὲ ἁπλῶς κοινωνεῖν αὐτοῖς ἐπιτραπέντες, καὶ συμμάχους ἐκάλουν, καὶ συνεφράττοντο, καὶ κατὰ τῆς πόλεως ἵσταντο. Τὸν γὰρ Ρασὴν ἀλλόφυλον ὄντα κατὰ τῆς μητροπόλεως ἤγειρον. Καὶ ἦν τὰ τῆς μάχης ἀνώμαλα. Παρὰ μὲν γὰρ ἐκείνοις πλῆθος ἄπειρον, καὶ πόλεις, καὶ ἔθνη, καὶ δῆμοι, ἐνταῦθα δὲ τούτων οὐδέν, ἀλλὰ πόλις μία ἡ μητρόπολις, ὥστε ἐκ περιουσίας φανῆναι τοῦ Θεοῦ τὴν ἰσχύν. Οὐδενὸς γὰρ ὅπλα κινοῦντος, οὐδὲ ἐξιόντος καὶ παρατατομένου, ἐξέπιπτον ἐκεῖνοι τῶν πονηρῶν τούτων ἐγχειρημάτων. «Οὐ γὰρ ἠδυνήθησαν», φησί, «πολιορκῆσαι αὐτήν». Καίτοι τί τὸ κωλῦον ἦν; Οὐδὲν ἕτερον, ἀλλ' ἡ τοῦ Θεοῦ χεὶρ ἀοράτως αὐτοὺς ἀποκρουομένη. Πλὴν ἀλλ', ὅπερ εἶπον, τὸν μὲν πόλεμον ἀπεκρούσατο, τὸν δὲ φόβον οὐκ εὐθέως ἀνεῖλεν.

«Ἀνηγγέλη» γάρ, φησίν, «εἰς τὸν οἶκον Δαυίδ, ὅτι συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ. Καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ». Ὅταν μέλλῃ τι παράδοξον ὁ Θεὸς ποιεῖν, οὐκ εὐθέως ἐπάγει τὸ θαῦμα, ἀλλὰ πρό-

ρία, ἀφ' ἑτέρου δὲ παρουσιάζοντας τὴ δύναμή του, ὅτι δηλαδὴ ἔχει τὴ δύναμη, καὶ ἂν ἀκόμα φθάσουν στὸ ἀποκορύφωμα τῶν κακῶν, σὰν ἀκριβῶς νὰ μὴ συνέβηκαν αὐτά, ἔτσι νὰ διαφυλάξει σώους ἐκείνους ποὺ ὑπέπεσαν μέσα σ' αὐτά. Καὶ αὐτὸ ἀκριβῶς μπορεῖ κανεὶς νὰ δεῖ νὰ κάμνει αὐτὸς σὲ πολλὲς περιπτώσεις, ὅπως στὴν περίπτωση τῆς Βαβυλώνιας καμίνου, στὸ λάκκο τῶν λεονταριῶν, καὶ σὲ ἀμέτρητες ἄλλες περιπτώσεις. Καθόσον ἦρθαν αὐτοὶ καὶ πολιόρκησαν τὴν πόλη, καὶ ἄγγισαν τὰ τείχη της, καὶ γέμισαν μὲ ἀνησυχία τὴ σκέψη τῶν κατοίκων της, ἀλλ' ὅμως τίποτε παραπάνω δὲν κατόρθωσαν.

2. Μπορῦμε δὲ καὶ ἀπὸ ἐδῶ νὰ δοῦμε τὴν παρανομία τῶν δέκα φυλῶν, ὅτι δηλαδὴ ὄχι μόνο προτίμησαν ἐμφύλιο πόλεμο, οὔτε ὅτι ἐξεγέρθηκαν ἐναντίον τῶν ἀδελφῶν τους, ἀλλ' ὅτι καὶ συμμάχησαν μὲ ἀλλόφυλους καὶ ἀλλοεθνεῖς, καὶ ἐκείνους ποὺ δὲν ἐπιτρεπόταν οὔτε κἂν νὰ τοὺς συναναστρέφονται, τοὺς ὀνόμαζαν συμμάχους καὶ παρατάσσονταν μαζὶ μὲ αὐτοὺς σὲ μάχη καὶ πολιορκοῦσαν τὴν πόλη. Πράγματι τὸν Ρασείν, ἂν καὶ ἦταν ἀλλόφυλος, τὸν ἐξήγειραν ἐναντίον τῆς μητροπόλεως. Καὶ ἦταν ἄνισα τὰ πράγματα τῆς μάχης. Διότι μὲ τὸ μέρος ἐκείνων ὑπῆρχε πλῆθος ἄπειρο, καὶ πόλεις, καὶ ἔθνη, καὶ λαοί, ἐνῶ αὐτοὶ δὲν εἶχαν τίποτε ἀπὸ αὐτά, ἀλλὰ μία μόνο πόλη ἀγωνιζόταν, ἡ μητρόπολη, ὥστε μὲ τὸν τρόπο αὐτὸ νὰ φανεῖ μὲ ὑπεραφθονία ἡ δύναμη τοῦ Θεοῦ. Πράγματι χωρὶς κανένας νὰ ἔλαβε ὅπλα στὰ χέρια του, οὔτε καὶ νὰ πῆγε καὶ νὰ παρατάχθηκε σὲ μάχη, ἀποτύγχαναν ἐκεῖνοι στὴν πραγματοποίηση τῶν κακῶν αὐτῶν ἐγχειρημάτων τους. Διότι, λέγει, «Δὲν μπόρεσαν νὰ τὴν κυριεύσουν». Ἂν καὶ βέβαια ποιὸ ἦταν τὸ ἐμπόδιο; Κανένα ἄλλο, παρὰ τὸ χέρι τοῦ Θεοῦ ποὺ ἀπέκρουε αὐτοὺς ἀόρατα. Πλὴν ὅμως, ὅπως προανέφερα, τὸν μὲν πόλεμο τὸν ἀπέκρουσε, ἐνῶ τὸ φόβο δὲν τὸν ἐξαφάνισε ἀμέσως.

Πράγματι, λέγει, «Ἀναγγέλθηκε στὸν οἶκο τοῦ Δαυΐδ, ὅτι συμμάχησαν τὸ Ἀραμαϊκὸ κράτος μὲ τὸ βασίλειο τοῦ Ἰσραήλ. Καὶ κυριεύθηκε ἀπὸ ταραχὴ ἡ ψυχὴ αὐτοῦ καθὼς καὶ ἡ ψυχὴ τοῦ λαοῦ του». Ὅταν πρόκειται ὁ Θεὸς νὰ κάνει κάτι τὸ

τερον τοὺς μέλλοντας ἀπολαύειν ἐν αἰσθήσει τῶν δεινῶν ἀφήσει γενέσθαι, ἵνα μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν μηδεμίαν ἀγνωμοσύνην ἐπιδείξωνται. Ἐπειδὴ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων, τὰ μὲν ὑπὸ τύφου, τὰ δὲ ὑπὸ ῥᾳθυμίας ἐπιλανθάνονται τῶν δεινῶν μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν, ἢ μὴ ἐπιλανθανόμενοι ἑαυτοῖς λογίζεσθαι βούλονται τὰ κατορθώματα, πρότερον ἀφεὶς αὐτοὺς ὑπὸ τῶν λυπηρῶν κατασείεσθαι, τότε τὴν ἐλευθερίαν δίδωσι τῶν ἐνοχλούντων, ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. Ἀφῆκεν αὐτῶν τὰς καρδίας ἐκστῆναι, ἀφῆκεν εἰς ἀγωνίαν γενέσθαι πολλήν, καὶ τότε τὴν λύσιν ἐπήγαγε.

Τοῦτο καὶ ἐπὶ τοῦ μεγάλου πεποίηκε Δαυίδ. Ἐπειδὴ γὰρ ἤμελλεν αὐτὸν εἰς τὴν παράταξιν ἐξαγαγεῖν, καὶ τὸ λαμπρὸν ἐκεῖνο τρόπαιον ἐγείρειν διὰ τῶν ἐκείνου χειρῶν, οὐκ ἐκ προοιμίων τοῦ πολέμου τοῦτο ἐποίησεν, ἀλλ' ἀφεὶς τεσσαράκοντα ἡμέρας αὐτοὺς κατεργασθῆναι τῷ φόβῳ, ὅτε τὴν οἰκείαν ἀπέγνωσαν σωτηρίαν, καὶ μυρία ὀνειδίζοντος τοῦ βαρβάρου, οὐδὲ οὕτω τις ἐτόλμησε διεγερθῆναι, καὶ δέξασθαι τὸν ἀντίπαλον, τότε δή, τότε τῆς ἥττης αὐτῶν ὁμολογηθείσης, καὶ τῆς ἀσθενείας φανερᾶς γενομένης, ἤγαγε τὸ μειράκιον ἐπὶ τὸν πόλεμον, καὶ τὴν παράδοξον ἐκείνην νίκην εἰργάσατο. Εἰ γὰρ καὶ μετὰ ταῦτα, καὶ τὴν τοσαύτην τῆς ἀσθενείας αὐτῶν ἀπόδειξιν, ὁ σωθεὶς βασιλεύς, ὑπὸ φθόνου καὶ βασκανίας νικώμενος, ἐπεβούλευε τῷ Δαυίδ, τοῦ πάθους γενόμενος ὅλος, καὶ ἀγνώμων περὶ τὸν εὐεργέτην ἐφάνη, εἰ μὴ τοσοῦτον ἔδωκεν ἔλεγχον καὶ τῆς αὐτοῦ καὶ τοῦ στρατοπέδου παντὸς ἀνανδρίας, τί οὐκ ἂν ἐποίησε;

Τοῦτο αὐτὸ καὶ ἀλλαχοῦ πολλαχοῦ τὸν Θεὸν ποιοῦντα ἴδοι τις ἄν, ὃ δὴ καὶ ἐνταῦθα γίνεται. Ἐπειδὴ γὰρ μέλλει λύειν τὸν πόλεμον, καὶ ἀπαλλάττειν αὐτοὺς τῶν λυπηρῶν, ἀ-

6. Πρβλ. Α' Βασ. 17 ἑ.

παράδοξο, δὲν πραγματοποιεῖ ἀμέσως τὸ θαῦμα, ἀλλὰ προηγουμένως ἀφήνει ἐκείνους, ποὺ πρόκειται ν' ἀπολαύσουν αὐτό, νὰ συναισθανθοῦν τὶςσυμφορές, ὥστε μετὰ τὴν ἀπαλλαγὴ ἀπὸ τὰ κακὰ νὰ μὴ δείξουν καμιὰ ἀγνωμοσύνη. Διότι, ἐπειδὴ οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους, ἄλλοτε μὲν ἀπὸ ἀλαζονεία, ἄλλοτε δὲ ἀπὸ ἀδιαφορία, λησμονοῦν τὰ κακά, μετὰ τὴν ἀπαλλαγὴ ἀπ' αὐτά, ἤ, ὅταν δὲν τὰ λησμονοῦν, θέλουν νὰ θεωροῦν σὰν δικά τους τὰ κατορθώματα, ἀφοῦ πρῶτα τοὺς ἀφήσει νὰ καταθορυβηθοῦν ἀπὸ τὰ λυπηρὰ γεγονότα, τότε τοὺς ἐλευθερώνει ἀπὸ ἐκεῖνα ποὺ τοὺς ἐνοχλοῦν, πράγμα βέβαια ποὺ ἔκανε καὶ στὴν περίπτωση αὐτή. Ἄφησε τὶς καρδιὲς αὐτῶν νὰ κυριευθοῦν ἀπὸ φόβο, τὶς ἄφησε νὰ περιέλθουν σὲ μεγάλη ἀγωνία, καὶ τότε πρόσθεσε τὴ λύση.

Αὐτὸ ἔκανε καὶ στὴν περίπτωση τοῦ μεγάλου Δαυίδ. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ ὁδηγήσει αὐτὸν σὲ παράταξη μάχης καὶ νὰ στήσει μὲ τὰ χέρια ἐκείνου τὸ λαμπρὸ ἐκεῖνο τρόπαιο, δὲν τὸ ἔκανε αὐτὸ ἀπὸ τὴν ἀρχὴ τοῦ πολέμου, ἀλλ', ἀφοῦ τοὺς ἄφησε ἐπὶ σαράντα ἡμέρες νὰ κυριευθοῦν ἀπὸ ὑπερβολικὸ φόβο, ὅταν ἔχασαν κάθε ἐλπίδα γιὰ τὴ σωτηρία τους καί, ἐνῶ ὁ βάρβαρος ἐξαπέλυε ἐναντίον τους ἀμέτρητες ὕβρεις, καὶ ὅμως οὔτε καὶ ἔτσι τόλμησε κανένας νὰ σηκωθεῖ καὶ νὰ ἀντιμετωπίσει τὸν ἀντίπαλο, τότε λοιπόν, τότε, ἀφοῦ ἀποδείχθηκε ἡ ἧττα τους καὶ ἔγινε φανερὴ ἡ ἀδυναμία τους, ὁδήγησε τὸν νεανίσκο στὸν πόλεμο καὶ πέτυχε τὴν παράδοξη ἐκείνη νίκη[6]. Ἐὰν λοιπὸν καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ καὶ τὴν ἀπόδειξη τῆς τόσο μεγάλης ἀδυναμίας αὐτῶν, ὁ βασιλιὰς ποὺ σώθηκε, νικώμενος ἀπὸ τὸ φθόνο καὶ τὴ ζήλεια, σκεπτόταν κακὰ ἐναντίον τοῦ Δαυίδ, καὶ ἐπειδὴ κυριεύθηκε ἐξ ὁλοκλήρου ἀπὸ τὸ πάθος του, φάνηκε καὶ ἀχάριστος πρὸς τὸν εὐεργέτη του, ἐὰν δὲν παρουσίαζε τόση μεγάλη ἀπόδειξη τῆς ἀνδρείας καὶ τοῦ βασιλιᾶ καὶ ὁλοκλήρου τοῦ στρατοῦ, τί δὲν θὰ ἔκαμνε ἐναντίον του;

Αὐτὸ ἀκριβῶς θὰ μποροῦσε κανεὶς νὰ δεῖ νὰ κάμνει ὁ Θεὸς καὶ σὲ πολλὲς ἄλλες περιπτώσεις, πράγμα βέβαια ποὺ γίνεται καὶ ἐδῶ. Ἐπειδὴ δηλαδὴ πρόκειται νὰ τερματίσει τὸν πόλε-

φίησι πρότερον τῶν δεινῶν αἰσθέσθαι. «Ἐξέστη» γάρ, φησίν, «ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ». Καὶ τοῦτο προφητείας ἴδιον, τὸ τὰ ἀπόρρητα αὐτῶν εἰς μέσον ἀγαγεῖν. Τὸ γὰρ πάθος ἡμῖν ἑρμηνεύει τῆς ἑκάστου διανοίας, καὶ σαφηνείας ἕνεκεν καὶ εἰκόνα προστίθησιν, ὥστε δεῖξαι τὴν ἐπίτασιν τῆς ἀγωνίας. Διεσείσθη γὰρ αὐτῶν, φησίν, ἡ ψυχή, κατεβλήθη τὸ φρόνημα, ἀπέγνωσαν τῆς σωτηρίας, ἐν ἐσχάτοις ἐνόμιζον εἶναι, οὐδὲν χρηστὸν προσεδόκων, ἕκαστος ὑπὸ τῶν οἰκείων λογισμῶν προδεδομένος ἦν. Τί οὖν ὁ Θεός; Προλέγει τὴν ἀπαλλαγήν, καὶ τότε αὐτὴν ἐργάζεται, ἵνα μὴ ἄλλῳ τινὶ λογίσωνται πάλιν τῆς πόλεως ἐλευθερίαν, καὶ πέμπει τὸν προφήτην προαναφωνοῦντα τὰ μέλλοντα».

«Εἶπε» γάρ, φησί, «Κύριος πρὸς Ἡσαΐαν· ἔξελθε εἰς συνάντησιν τοῦ Ἄχαζ, σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου, πρὸς κολυμβήθραν τῆς ἀνόδου τοῦ ἀγροῦ τοῦ γναφέως. Καὶ ἐρεῖς αὐτῷ· φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω· μηδὲ φοβηθῇς ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων. Ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι». Τί ἐστιν, «Ἔξελθε εἰς συνάντησιν»; Ἀπὸ τοῦ φόβου καὶ τῆς ἀγωνίας οὐχ ἡσύχαζεν ὁ βασιλεύς, οὐδὲ οἴκοι μένειν ἠνείχετο, ἀλλ᾽ ὅπερ ἔθος τοῖς πολιορκουμένοις ὑπομένειν, συνεχῶς ἐξῄει, τὰ τείχη περισκοπῶν, πρὸς ταῖς πύλαις γινόμενος, περιεργαζόμενος καὶ πολυπραγμονῶν, πῶς τὰ τῶν πολεμίων διάκειται πράγματα. Διὰ τοῦτό φησιν· «Ἔξελθε εἰς συνάντησιν». Τί δέ ἐστι, «Σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου»; Ἰασοὺβ τῇ Ἑβραίων γλώττῃ ἡ ἀναστροφὴ λέγεται, καὶ ἡ διαγωγή. Διὰ τοῦτο καὶ ὁ Ἰεσσαὶ πέμπων τὸν Δαυὶδ ἔλεγε,

---

7. Ἡσ. 7, 2.

μο καὶ ν' ἀπαλλάξει αὐτοὺς ἀπὸ τὰ δυσάρεστα, τοὺς ἀφήνει προηγουμένως νὰ αἰσθανθοῦν τοὺς κινδύνους. Διότι, λέγει, «Κυριεύθηκε ἀπὸ μεγάλη ταραχὴ ἡ ψυχὴ αὐτοῦ καὶ ἡ ψυχὴ τοῦ λαοῦ του, ὅπως ταράσσονται τὰ κλαδιὰ τῶν δένδρων τοῦ δάσους ἀπὸ τὸν ἄνεμο»[7]. Καὶ αὐτὸ εἶναι γνώρισμα τῆς προφητείας, τὸ νὰ φανερώνει τὰ ἀπόρρητα αὐτῶν. Διότι μᾶς ἑρμηνεύει τὸ πάθος τῆς διάνοιας τοῦ καθενός, καὶ γιὰ νὰ γίνεται πιὸ φανερὴ προσθέτει καὶ εἰκόνα, ὥστε νὰ δείξει τὸ μέγεθος τῆς ἀγωνίας. Διότι, λέγει, κυριεύθηκε ἀπὸ ταραχὴ ἡ ψυχή τους, καταβλήθηκε τὸ φρόνημά τους, ἀπελπίσθηκαν γιὰ τὴ σωτηρία τους, νόμιζαν ὅτι διατρέχουν τὸ χειρότερο κίνδυνο, δὲν περίμεναν τίποτε τὸ καλό, ὁ καθένας ἦταν προδομένος ἀπὸ τοὺς λογισμούς του. Τί λοιπὸν κάμνει ὁ Θεός; Προλέγει τὴν ἀπαλλαγὴ καὶ τότε πραγματοποιεῖ αὐτήν, γιὰ νὰ μὴ ἀποδώσουν καὶ πάλι τὴν ἐλευθερία τῆς πόλεως σὲ κάποιον ἄλλο, καὶ στέλλει τὸν προφήτη, ὁ ὁποῖος τοὺς προλέγει τὰ μέλλοντα.

«Εἶπε», λέγει, «ὁ Κύριος στὸν Ἠσαΐα· Πήγαινε νὰ συναντήσεις τὸν Ἄχαζ, σὺ καὶ ὁ υἱός σου Ἰασοὺβ ποὺ ἀπέμεινε, κοντὰ στὴ δεξαμενὴ ποὺ βρίσκεται στὸ ἐπάνω μέρος τῆς ὁδοῦ ποὺ ὁδηγεῖ στὸν ἀγρὸ τοῦ λευκαντῆ μαλλιῶν· καὶ θὰ πεῖς σ' αὐτόν· Προφυλάξου καὶ ἡσύχασε καὶ μὴ φοβᾶσαι, οὔτε ἡ ψυχή σου ν' ἀποδυναμωθεῖ· οὔτε νὰ φοβηθεῖς ἐξ αἰτίας τῶν δύο σβησμένων αὐτῶν δαυλῶν ποὺ καπνίζουν. Διότι, ὅταν πραγματοποιηθεῖ ἡ ὀργὴ τοῦ θυμοῦ μου ἐναντίον σας, πάλι θὰ σᾶς προσφέρω τὴν προστασία μου». Τί σημαίνει, «Πήγαινε νὰ συναντήσεις»; Ἐξ αἰτίας τοῦ φόβου καὶ τῆς ἀγωνίας δὲν ἡσύχαζε ὁ βασιλιάς, οὔτε μποροῦσε νὰ μείνει στὸ ἀνάκτορο, ἀλλ' ὅπως ἀκριβῶς συνηθίζουν νὰ κάνουν οἱ πολιορκούμενοι, συνέχεια ἔβγαινε ἔξω, ἐπιθεωρώντας τὰ τείχη, ἐπισκεπτόταν τὶς πύλες, περιεργαζόμενος καὶ ἐξετάζοντας σὲ ποιὰ κατάσταση βρισκόταν τὰ πράγματα τῶν ἐχθρῶν. Γι' αὐτὸ λέγει, «Πήγαινε νὰ τὸν συναντήσεις». Τί δὲ σημαίνει, «Σὺ καὶ ὁ υἱός σου Ἰασοὺβ ποὺ σοῦ ἀπέμεινε»; Ἰασοὺβ στὴν ἑβραϊκὴ γλώσσα σημαίνει τὸν τρόπο ζωῆς καὶ τὴ διαγωγή. Γι' αὐτὸ καὶ ὁ Ἰεσσαὶ στέλλοντας τὸ Δαυὶδ ἔλεγε,

«Καὶ τὸ Ἰασοὺβ αὐτῶν λήψῃ». τουτέστι, τὴν ἀναστροφὴν αὐτῶν ἀπαγγελεῖς μοι, καὶ τί διάγουσι πράττοντες.

3. Καὶ ἐνταῦθα τοίνυν, ἐμοὶ δοκεῖ, ὁ προφήτης κελεύεται πλῆθος μεθ' ἑαυτοῦ λαβεῖν, ἵν', ὅταν ἐκβῇ τὰ γεγενημένα, μὴ ἔχῃ ἀγνωμονεῖν ὁ βασιλεύς, ὡς οὐδὲν τούτων ἀκηκοὼς παρὰ τοῦ προφήτου. Ὃ οὖν φησι, τοῦτό ἐστιν· ἔξελθε εἰς συνάντησιν, σὺ καὶ οἱ ἀναστρεφόμενοι μετὰ σοῦ, οἱ καταλειφθέντες τοῦ λαοῦ. Μὴ θαυμάσῃς δὲ εἰ υἱὸν αὐτοῦ καλεῖ τὸν λαόν· καὶ γὰρ προϊὼν φησιν· «Ἰδοὺ ἐγώ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός». Καὶ γὰρ πατέρων τάξιν ἐπεῖχον οἱ ἅγιοι, τῇ ἀγάπῃ καὶ τῇ κηδεμονίᾳ τῇ περὶ τὸν δῆμον ἐκεῖνον πάντας τοὺς τῆς φύσεως ἀποκρύπτοντες πατέρας. Καταλειφθέντας δέ φησι, διὰ τὸ πολλοὺς ἀπενηνέχθαι ὑπὸ τῶν πολεμίων.

«Ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ γναφέως». Πολλῆς μοι ἀπορίας καὶ τοῦτο εἶναι δοκεῖ, εἴ γε οἱ συγκεκλεισμένοι, καὶ πολιορκούμενοι, καὶ μηδὲ προκύψαι τολμῶντες, ἔξω πυλῶν ἐφαίνοντο. Καὶ γὰρ ἔξω τειχῶν ἡ ὁδὸς αὕτη φαίνεται νῦν οὖσα. Τίς οὖν ἡ λύσις τῆς ἀπορίας ταύτης; Ὅτι τὸ παλαιὸν ἕτερον περιεβέβλητο τεῖχος· καὶ γὰρ διπλᾶ τὰ τείχη τῇ πόλει ἦν· καὶ τοῦτο ῥᾴδιον ἐξ ἑτέρου προφήτου κατιδεῖν ἐστι τοῖς βουλομένοις προσέχειν. Ἐξελθὼν τοίνυν ἀνίστησιν αὐτῶν τὰ φρονήματα καταπεπτωκότα, καὶ κελεύει θαρσεῖν ὑπὲρ τῶν μελλόντων. «Ἡσύχασον» γάρ, φησί, «καὶ μὴ φοβοῦ»· καὶ «δαλοὺς ξύλων» καλεῖ τοὺς βασιλέας, ὁμοῦ μὲν αὐτῶν τὸ σφοδρόν, ὁμοῦ καὶ τὸ εὐχείρωτον ἐνδεικνύμενος. Καὶ γὰρ τό, «Καπνιζομένων», διὰ τοῦτο προστέθεικε, τουτέστιν, ἐγγὺς ὄντων τοῦ σβεσθῆναι λοιπόν.

Εἶτα δηλῶν, ὡς οὐ τῆς ἐκείνων δυνάμεως, ἀλλὰ τῆς

8. Πρβλ. Α' Βασ. 17 ἑ. 9. Ἠσ. 8, 18.

«Καὶ νὰ λάβεις τὸ Ἰασοὺβ αὐτῶν»[8], δηλαδὴ νὰ μοῦ γνωστοποιήσεις τὸ πῶς ζοῦν αὐτοὶ καὶ ποιὰ εἶναι τὰ ἔργα ποὺ πράττουν.

3. Καὶ ἐδῶ λοιπόν, μοῦ φαίνεται, ὁ προφήτης διατάσσεται νὰ πάρει μαζί του πλῆθος ἀνθρώπων, ὥστε, ὅταν πραγματοποιηθοῦν τὰ συμβάντα, νὰ μὴ μπορεῖ ὁ βασιλιὰς νὰ δείξει ἀχαριστία, λέγοντας τάχα ὅτι τίποτε ἀπὸ αὐτὰ δὲν ἄκουσε ἀπὸ τὸν προφήτη. Αὐτὸ λοιπὸν ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Πήγαινε νὰ τὸν συναντήσεις σὺ καὶ αὐτοὶ ποὺ σὲ συναναστρέφονται, οἱ ὁποῖοι ἀπέμειναν ἀπὸ τὸ λαό. Μὴ ἀπορεῖς δὲ ἐὰν ὀνομάζει τὸ λαὸ υἱό του· καθόσον προχωρώντας λέγει· «Νὰ ἐγὼ καὶ τὰ παδιὰ ποὺ μοῦ ἔδωσε ὁ Θεός»[9]. Διότι πράγματι οἱ ἅγιοι κατεῖχαν θέση πατέρων, ἐπισκιάζοντας μὲ τὴν ἀγάπη καὶ τὴ φροντίδα τους γιὰ τὸ λαὸ ἐκεῖνο ὅλους τοὺς φυσικοὺς πατέρες. Ἐναπομείναντες δὲ τοὺς ὀνομάζει, ἐπειδὴ πολλοὶ ὁδηγήθηκαν ἀπὸ τοὺς ἐχθροὺς στὴν αἰχμαλωσία.

«Στὸ δρόμο ποὺ ὁδηγεῖ πρὸς τὸν ἀγρὸ τοῦ λευκαντῆ μαλλιῶν». Μεγάλη ἀπορία, μοῦ φαίνεται, ὅτι προξενεῖ καὶ αὐτό, τὸ ἐὰν δηλαδὴ οἱ ἀποκλεισμένοι καὶ πολιορκούμενοι καὶ ἐκεῖνοι ποὺ δὲν τολμοῦσαν νὰ βγοῦν ἀπὸ τὰ σπίτια τους γιὰ νὰ τοὺς δοῦν, εἶχαν τὴ δύναμη νὰ βγαίνουν ἔξω απὸ τὶς πύλες. Καθόσον ὁ δρόμος αὐτὸς φαίνεται νὰ βρίσκεται σήμερα ἔξω ἀπὸ τὰ τείχη. Ποιὰ λοιπὸν εἶναι ἡ λύση τῆς ἀπορίας αὐτῆς; Ὅτι τὴν παλιὰ ἐποχὴ ὑπῆρχε καὶ ἄλλο τεῖχος ποὺ περιέβαλλε τὴν πόλη· καθόσον ὑπῆρχαν διπλὰ τείχη στὴν πόλη· καὶ αὐτὸ εἶναι εὔκολο νὰ τὸ διαπιστώσουν καὶ ἀπὸ ἄλλο προφήτη ὅσοι εἶναι προσεκτικοί. Ἀφοῦ λοιπὸν βγῆκε ἔξω ἀναπτερώνει τὸ πεσμένο ἠθικὸ αὐτῶν καὶ τοὺς παροτρύνει νὰ ἔχουν θάρρος γιὰ τὰ ὅσα πρόκειται νὰ συμβοῦν. Διότι, λέγει, «Καθησύχασε καὶ μὴ φοβᾶσαι», καὶ ὀνομάζει τοὺς βασιλεῖς «δαυλοὺς ξύλων», γιὰ νὰ δείξει ἀφ' ἑνὸς μὲν τὴ σφοδρότητα αὐτῶν, ἀφ' ἑτέρου δὲ τὸ εὐκολοκατανίκητο αὐτῶν. Καθόσον τό, «Ποὺ καπνίζουν», γι' αὐτὸ τὸ πρόσθεσε, δηλαδὴ ὅτι βρίσκονται πλέον κοντὰ στὸ νὰ σβήσουν.

Ἔπειτα γιὰ νὰ δείξει, ὅτι ἡ ἔφοδός τους δὲν ἦταν ἀποτέλε-

αὐτοῦ συγχωρήσεως ἡ ἔφοδος ἦν, φησίν· «Ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. Καὶ ὁ υἱὸς τοῦ Ἀράμ, καὶ ὁ υἱὸς τοῦ Ρωμελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηράν, Ἐφραῒμ καὶ ὁ υἱὸς τοῦ Ρωμελίου κατὰ σοῦ λέγοντες· ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν, καὶ κακώσομεν αὐτήν, καὶ συλλαλήσαντες ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσομεν αὐτῆς τὸν υἱὸν Ταβεήλ. Τάδε λέγει Κύριος Σαβαώθ· οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται· ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκός, καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ρασίν. Καὶ ἔτι ἑξήκοντα καὶ πέντε ἔτη, καὶ ἐκλείψει ἡ βασιλεία Ἐφραῒμ ἀπὸ λαοῦ. Καὶ ἡ κεφαλὴ Ἐφραῒμ Σομόρων, καὶ ἡ κεφαλὴ Σομόρων ὁ υἱὸς τοῦ Ρωμελίου. Καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε». Πάλιν ὁ προφήτης μεγίστην ἀπόδειξιν παρέχεται τῆς προφητείας. Ἐπειδὴ γὰρ ὁ φόβος κατέσεισε, καὶ πρὸ ὀφθαλμῶν ἦν τὰ δεινά, τὰ δὲ χρηστὰ ἐν ἐλπίσι, καὶ προσδοκίαν ὑπερβαίνοντα πᾶσαν, καὶ οἱ ἀκροώμενοι οὐ σφόδρα πιστοί, ὅρα τί ποιεῖ. Δίδωσι σημεῖον μέγιστον τῶν ἐκβησομένων, τὰ βουλεύματα τῶν πολεμίων εἰς μέσον ἐκφέρων. Λέγει γὰρ αὐτῶν τὴν γνώμην, μεθ' ἧς ἐπεστράτευσαν τῇ πόλει, καὶ τί πρὸς ἀλλήλους διελέχθησαν, καὶ τί συνθέντες ἐπανῆλθον, καὶ δείκνυσιν ἢ προδοσίαν τὸ πρᾶγμα ὂν («Συλλαλήσαντες» γάρ, φησίν, «αὐτοῖς, ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς»), ἢ πολλῇ τῇ ἀπονοίᾳ μεθύοντας, καὶ νομίζοντας μηδὲ ὅπλων αὐτοῖς δεῖν, μηδὲ παρατάξεως καὶ συμβολῆς εἰς τὸ τὴν πόλιν λαβεῖν. Ἀρκεῖ γὰρ ἡμῖν φανῆναι, φησί, μόνον καὶ διαλεχθῆναι, καὶ πάντας αἰχμαλώτους λαβόντας ἀπελθεῖν.

Εἶτα, ὅπερ πάσχουσιν οἱ ἀλαζόνες, ὑπὸ τῆς ἐλπίδος

σμα τῆς δυνάμεώς τους, ἀλλὰ συνέβηκε ἐπειδὴ τὸ ἐπέτρεψε ὁ Θεός, λέγει· «Διότι, ὅταν πραγματοποιηθεῖ ἡ ὀργὴ τοῦ θυμοῦ μου, πάλι θὰ δείξω τὴ φροντίδα μου γι' αὐτούς. Καὶ ὁ υἱὸς τοῦ 'Ἀρὰμ καὶ ὁ υἱὸς τοῦ Ρωμελίου ὁ 'Εφραΐμ, ἐπειδὴ ἔβαλαν στὸ νοῦ τους κακὲς σκέψεις ἐναντίον σου, λέγοντας, θὰ βαδίσομε ἐναντίον τῆς 'Ιουδαίας καὶ θὰ τὴν καταστρέψομε, καί, ἀφοῦ συνομιλήσομε μαζί τους, θὰ τοὺς πάρομε μὲ τὸ μέρος μας καὶ θὰ ἐγκαταστήσομε σ' αὐτὴν βασιλιὰ τὸν υἱὸ τοῦ Ταβεήλ. Αὐτὰ λέγει ὁ Κύριος τῶν δυνάμεων· δὲν θὰ ἐκπληρωθεῖ ἡ ἀπόφασή τους αὐτή, οὔτε θὰ ἔχει ἐπιτυχία, ἀλλ' ἡ Δαμασκὸς θὰ εἶναι ἡ πρωτεύουσα τοῦ 'Αραμαϊκοῦ κράτους, ὁ δὲ Ρασὶν θὰ εἶναι ὁ βασιλιὰς τῆς Δαμασκοῦ. 'Ως πρὸς τὸ βασίλειο δὲ τοῦ 'Ισραήλ, ἑξήντα πέντε χρόνια ἀκόμα θὰ κρατήσει καὶ θὰ ἐρημωθεῖ αὐτὸ ἀπὸ τὸ λαό του. Καὶ πρωτεύουσα τοῦ 'Ισραὴλ θὰ εἶναι μέχρι τότε ἡ Σαμάρεια, βασιλιὰς δὲ τῆς Σαμάρειας θὰ εἶναι ὁ υἱὸς τοῦ Ρωμελίου. Καὶ ἐὰν δὲν πιστέψετε, δὲν θὰ μπορέσετε νὰ κατανοήσετε τὴ δύναμη αὐτοῦ ποὺ θὰ κάνει αὐτά». Πάλι ὁ προφήτης παρέχει μέγιστη ἀπόδειξη τῆς προφητείας. Διότι, ἐπειδὴ ὁ φόβος τοὺς ἀναστάτωσε καὶ τὰ κακὰ βρισκόταν μπροστὰ στὰ μάτια τους, τὰ δὲ ἀγαθὰ στὶς ἐλπίδες τους, καὶ ξεπερνοῦσαν κάθε προσδοκία, οἱ δὲ ἀκροατὲς δὲν ἦταν πάρα πολὺ πιστοί, πρόσεχε τί κάμνει. Δίνει μέγιστη ἀπόδειξη ἐκείνων ποὺ πρόκειται νὰ συμβοῦν, ἀποκαλύπτοντας τὶς σκέψεις τῶν ἐχθρῶν. Διότι προλέγει τὴ σκέψη τους, μὲ βάση τὴν ὁποία ἐξεστράτευσαν ἐναντίον τῆς πόλεως, τί συζήτησαν ἀναμεταξύ τους, τί συμφώνησαν καὶ ἐπανῆλθαν, καὶ δείχνει ἢ ὅτι ἦταν προδοσία αὐτὸ ποὺ συνέβηκε (Διότι, λέγει, «'Αφοῦ συζητήσομε μαζί τους θὰ τοὺς πάρομε μὲ τὸ μέρος μας»), ἢ ὅτι ἦταν μεθυσμένοι ἀπὸ τὴ μεγάλη ἀλαζονεία τους καὶ θεωροῦσαν ὅτι δὲν χρειάζονται οὔτε ὅπλα, οὔτε πολεμικὴ ἀντιπαράταξη καὶ σύγκρουση γιὰ νὰ κυριεύσουν τὴν πόλη. Διότι, λέγει, μᾶς εἶναι ἀρκετὸ νὰ ἐμφανισθοῦμε μόνο καὶ νὰ συζητήσομε μαζί τους, καὶ νὰ φύγομε παίρνοντάς τους ὅλους αἰχμαλώτους.

Ἔπειτα, ἐκεῖνο ἀκριβῶς ποὺ παθαίνουν οἱ ἀλαζόνες, ἀφοῦ

ταύτης φυσηθέντες καὶ περὶ βασιλέως βουλεύονται, ὡς ἤδη τῆς πόλεως ἁλούσης, καὶ τίνα ἐπιστῆσαι δεῖ τῇ μητροπόλει. Καὶ τὰ μὲν ἐκείνων τοιαῦτα, φησί, τὰ δὲ τοῦ Θεοῦ πάντων ἐκείνων ἀναιρετικά. Διὸ καὶ ἐπήγαγε· «Τάδε λέγει Κύριος»· καὶ οὐκ ἔστη, ἀλλὰ προσέθηκε, «Σαβαώθ». Ὅταν γάρ τι μέγα ἀπαγγέλλειν μέλλῃ, τῆς δυνάμεως ἀναμιμνήσκει τοῦ Θεοῦ, καὶ τῆς βασιλείας τῆς ἄνω, καὶ θαυμαστῆς ἐκείνης ἀρχῆς καὶ παραδόξου. Τί οὖν φησιν ὁ Θεός; «Οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται, ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκός». Ἡ ἀρχὴ αὐτοῦ, φησίν, ἡ ἐξουσία αὐτοῦ ἐν Δαμασκῷ στήσεται, καὶ περαιτέρω οὐ προβήσεται. «Καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ρασίν». Καὶ ὁ ἄρχων Δαμασκοῦ, φησί, καὶ ὁ κρατῶν Ρασὶν ἔσται· τουτέστιν, ἐν τοῖς αὐτοῦ μενεῖ καὶ πλείονα οὐ προσθήσει δύναμιν αὐτῷ.

4. «Καὶ ἔτι ἑξήκοντα καὶ πέντε ἔτη, καὶ ἐκλείψει ἡ βασιλεία Ἐφραῒμ ἀπὸ λαοῦ». Μεγίστη τῆς ἀληθείας ἀπόδειξις, ὅταν καὶ τοὺς καιροὺς προλέγωσιν οἱ προφῆται, παρέχοντες τοῖς βουλομένοις ἐξετάζειν μετὰ ἀκριβείας τῆς προφητείας τὴν δύναμιν. Νῦν μὲν γάρ, φησίν, ἀποστήσονται τῆς πόλεως, μετὰ δὲ πέντε καὶ ἑξήκοντα ἔτη ὁλόκληρον ἀπολεῖται τὸ ἔθος, καὶ οἱ πολέμιοι λαβόντες αὐτούς, ἀπελάσονται πάντας. Νῦν μέντοι πρὸ τῆς ἁλώσεως ἐκείνης οὐδὲν πλέον τῶν οἰκείων λήψονται. Ἵνα γὰρ μὴ ἀκούσας ὁ βασιλεύς, ὅτι μετὰ ἑξήκοντα πέντε ἔτη ἀπολοῦνται, λέγῃ πρὸς ἑαυτόν, τί οὖν; ἐὰν νῦν ἡμᾶς λαβόντες, τότε ἀπολοῦνται, τί τὸ ὄφελος ἡμῖν; θάρρει, καὶ περὶ τῶν παρόντων. Ἁλώσονται γὰρ τότε παντελῶς, νῦν μέντοι πλέον οὐδὲν τῶν οἰκείων ἕξουσιν. Ἀλλ' ἔσται ἡ κεφαλὴ Ἐφραΐμ, τουτέστι, τῶν δέκα φυλῶν, ἡ

φούσκωσαν τὰ μυαλά τους ἀπὸ τὴν ἐλπίδα γιὰ μιὰ εὔκολη νίκη, σκέφτονται καὶ γιὰ βασιλιά, σὰν νὰ κυριεύθηκε ἤδη ἡ πόλη, καὶ ποιὸν θὰ πρέπει νὰ ἐγκαταστήσουν στὴ μητρόπολη. Καὶ ἐκείνων μὲν τὰ σχέδια, λέγει, τέτοια ἦταν, ἐνῶ τοῦ Θεοῦ ἦταν ἀνατρεπτικὰ ὅλων ἐκείνων. Γι' αὐτὸ καὶ πρόσθεσε· «Αὐτὰ λέγει ὁ Κύριος»· καὶ δὲν σταμάτησε σ' αὐτό, ἀλλὰ πρόσθεσε, «Τῶν δυνάμεων». Διότι, ὅταν πρόκειται νὰ ἀναγγείλει κάτι τὸ σπουδαῖο, ὑπενθυμίζει τὴ δύναμη τοῦ Θεοῦ, τὴν οὐράνια βασιλεία, καὶ τὴ θαυμαστὴ ἐκείνη καὶ παράδοξη ἐξουσία. Τί λοιπὸν λέγει ὁ Θεός; «Δὲν θὰ πραγματοποιηθεῖ ἡ ἀπόφασή τους αὐτή, οὔτε καὶ θὰ εὐοδωθεῖ, ἀλλὰ πρωτεύουσα τοῦ Ἀραμαϊκοῦ κράτους θὰ εἶναι ἡ Δαμασκός». Ἡ ἡγεσία, λέγει, αὐτοῦ καὶ ἡ ἐξουσία του θὰ βρίσκεται στὴ Δαμασκὸ καὶ δὲν θ' ἁπλωθεῖ πιὸ πέρα. «Καὶ βασιλιὰς τῆς Δαμασκοῦ θὰ εἶναι ὁ Ρασίν». Καὶ ὁ ἄρχοντας, λέγει, τῆς Δαμασκοῦ καὶ ὁ ἐξουσιαστὴς αὐτῆς θὰ εἶναι ὁ Ρασίν· δηλαδὴ θὰ παραμείνει στὰ ἴδια σύνορα καὶ δὲν θὰ προσθέσει δύναμη σ' αὐτό.

4. «Ἀκόμα ἑξήντα πέντε χρόνια θὰ ὑπάρξει τὸ βασίλειο τοῦ Ἰσραὴλ καὶ θὰ ἐρημωθεῖ αὐτὸ ἀπὸ τὸ λαό του». Μέγιστη ἀπόδειξη τῆς ἀλήθειας εἶναι, ὅταν οἱ προφῆτες προλέγουν τοὺς καιρούς, νὰ παρέχουν σ' ἐκείνους ποὺ θέλουν τὴ δυνατότητα νὰ ἐξετάζουν μὲ ἀκρίβεια τὴ δύναμη τῆς προφητείας. Διότι, λέγει, τώρα μὲν θ' ἀπομακρυνθοῦν ἀπὸ τὴν πόλη, ὅμως μετὰ ἀπὸ ἑξήντα πέντε χρόνια θὰ καταστραφεῖ ὁλόκληρο τὸ ἔθνος αὐτῶν, καὶ οἱ ἐχθροί, ἀφοῦ τοὺς αἰχμαλωτίσουν, θὰ τοὺς ἀπελάσουν ὅλους. Τώρα ὅμως πρὶν ἀπὸ τὴν ἅλωση ἐκείνη δὲν θὰ κατακτήσουν τίποτε περισσότερο ἀπὸ τὰ δικά τους. Γιὰ νὰ μὴ λέγει λοιπὸν ὁ βασιλιὰς μονολογώντας, ὅταν ἀκούσει ὅτι μετὰ ἀπὸ ἑξήντα πέντε χρόνια θὰ καταστραφοῦν, τί λοιπόν; Ποιὸ τὸ ὄφελος σ' ἐμᾶς, ἐὰν μᾶς ὑποτάξουν τώρα καὶ καταστραφοῦν τότε; ἔχε θάρρος, λέγει, καὶ γιὰ τὰ παρόντα. Διότι τότε μὲν θὰ ὑποστοῦν ὁλοκληρωτικὴ ὑποταγή, τώρα ὅμως τίποτε περισσότερο ἀπὸ τὰ δικά τους δὲν θὰ κατακτήσουν. Ἀλλὰ θὰ εἶναι πρωτεύουσα τοῦ Ἐφραΐμ, δηλαδὴ τῶν δέκα φυλῶν, ἡ Σαμά-

Σαμαρεία (ἐκεῖ γὰρ ἦν αὐτοῖς ἡ βασιλεία), καὶ οὐκ ἐκταθήσεται περαιτέρω. Καὶ ἡ κεφαλὴ Σαμαρείας ὁ βασιλεὺς τοῦ Ἰσραήλ. Ὅπερ ἐπὶ τοῦ Δαμασκηνοῦ ἔλεγε, τοῦτο καὶ ἐνταῦθα δηλῶν, ὅτι οὐδὲν πλέον ἕξουσιν, ἢ ταῦτα ἃ νῦν κατέχουσιν.

Εἶτα, ἐπειδὴ πράγματα εἶπεν ὑπερβαίνοντα λόγον ἀνθρώπινον, καὶ ἀνώτερα τῆς τῶν λογισμῶν ἀκολουθίας, καὶ προφητεία τὸ λεγόμενον ἦν, εἰκότως ἐπήγαγεν· «Ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε». Μὴ ζήτει, φησί, πῶς καὶ τίνι τρόπῳ ταῦτα ἔσται· Θεὸς γάρ ἐστιν ὁ ἐργαζόμενος, καὶ πίστεώς σοι δεῖ μόνης, καὶ ἐννοήσεις τοῦ ποιοῦντος τὴν δύναμιν· πᾶσαν ἔλαβες τῶν εἰρημένων τὴν ἀπόδειξιν. Διὸ καὶ ὁ προφήτης Δαυὶδ ἔλεγεν· «Ἐπίστευσα, διὸ ἐλάλησα». Καὶ ὁ παῦλος εἰκότως, ἐπιλαβόμενος τῆς ῥήσεως ταύτης, ἐπὶ μείζονα αὐτὴν εἵλκυσε πράγματα λέγων· «Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον, 'Ἐπίστευσα, διὸ καὶ ἐλάλησα', καὶ ἡμεῖς πιστεύομεν διὸ καὶ λαλοῦμεν». Εἰ γὰρ τὰ παλαιὰ πίστεως ἔχρῃζε, τοσοῦτον ἀπέχοντα τῶν ἐν τῇ Καινῇ, ὅσον ἡ γῆ τῶν οὐρανῶν, πολλῷ μᾶλλον ἡ τῶν οὕτως ὑψηλῶν δογμάτω γνῶσις καὶ οὐδὲ εἰς νοῦν ἐλθόντων τινί ποτε. Ὅπερ οὖν καὶ αὐτὸς δηλῶν ἔλεγεν· «Ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».

«Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων· αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου, εἰς βάθος ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἄχαζ· οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον. Καὶ εἶπεν Ἡσαΐας· ἀκούσατε δή, οἶκος Δαυίδ· μὴ μικρὸν ὑμῖν, ἀγῶνα παρέχειν ἀνθρώποις; Καὶ πῶς Κυ-

---

10. Ψαλμ. 115, 1. 11. Β' Κορ. 4, 13. 12. Α' Κορ. 2, 9.

ρεια (διότι ἐκεῖ βρισκόταν τὸ βασίλειο αὐτῶν), καὶ δὲν θὰ ἐπεκταθεῖ παρὰ πέρα. Καὶ ὁ ἄρχοντας τῆς Σαμάρειας θὰ εἶναι ὁ βασιλιὰς τοῦ Ἰσραήλ. Ἐκεῖνο ἀκριβῶς ποὺ ἔλεγε γιὰ τὴ Δαμασκό, αὐτὸ καὶ ἐδῶ δηλώνει, ὅτι δηλαδὴ τίποτε περισσότερο δὲν θὰ κατακτήσουν, παρὰ αὐτὰ ποὺ τώρα κατέχουν.

Ἔπειτα, ἐπειδὴ εἶπε πράγματα ποὺ ὑπερβαίνουν τὸν ἀνθρώπινο λόγο, εἶναι ἀνώτερα τοῦ εἱρμοῦ τῶν σκέψεων, καὶ ἦταν προφητεία αὐτὸ ποὺ ἔλεγε, πολὺ σωστὰ πρόσθεσε· «Ἐὰν δὲν πιστέψετε στὰ λόγια τοῦ Κυρίου, δὲν θὰ τὰ κατανοήσετε ὅλα αὐτά». Μὴ ζητᾶς, λέγει, πῶς καὶ μὲ ποιὸ τρόπο θὰ συμβοῦν αὐτά· διότι ὁ Θεὸς εἶναι αὐτὸς ποὺ πραγματοποιεῖ αὐτά, καὶ χρειάζεται μόνο ἡ πίστη σου, καὶ θὰ κατανοήσεις τὴ δύναμη ἐκείνου ποὺ κάμνει αὐτά· ἔλαβες κάθε ἀπόδειξη γιὰ τὰ ὅσα ἔχουν λεχθεῖ. Γι' αὐτὸ καὶ ὁ προφήτης Δαυὶδ ἔλεγε· «Πίστεψα καὶ γι' αὐτὸ μίλησα»[10]. Καὶ ὁ Παῦλος πολὺ σωστά, ἀναφερόμενος στὰ λόγια αὐτά, τὰ ἔδωσε ἀκόμα πιὸ εὐρύτερη ἔννοια, λέγοντας· «Ἔχοντας δὲ τὸ ἴδιο φρόνημα τῆς πίστεως σύμφωνα μὲ ἐκεῖνο ποὺ ἔχει γραφεῖ, 'Πίστεψα καὶ γι' αὐτὸ μίλησα', καὶ ἐμεῖς πιστεύομε, καὶ γι' αὐτὸ κηρύττομε»[11]. Ἐὰν λοιπὸν τὰ παλιὰ χρειάζονταν πίστη, τὰ ὁποῖα ἀπέχουν ἀπὸ τὰ τῆς Καινῆς Διαθήκης τόσο πολύ, ὅσο ἡ γῆ ἀπὸ τὸν οὐρανό, πολὺ περισσότερο χρειάζεται πίστη ἡ γνώση τῶν τόσο ὑψηλῶν δογμάτων, ποὺ οὔτε στὴ σκέψη κάποιου ἦρθαν ποτέ. Αὐτὸ ἀκριβῶς λοιπὸν γὰ νὰ δηλώσει καὶ αὐτὸς ἔλεγε· «Ἐκεῖνα ποὺ μάτι ἀνθρώπου δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ σὲ καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν, τὰ ὁποῖα ἑτοίμασε ὁ Θεὸς γιὰ ἐκείνους ποὺ ἀγαποῦν αὐτόν»[12].

«Καὶ μίλησε καὶ πάλι ὁ Κύριος πρὸς τὸν Ἄχαζ καὶ εἶπε· Γιὰ νὰ πιστέψεις ζήτησε νὰ γίνει κάποιο θαῦμα ἀπὸ τὸν Κύριο τὸ Θεό σου εἴτε στὴ γῆ εἴτε στὸν οὐρανό. Καὶ εἶπε ὁ Ἄχαζ· Δὲν θὰ ζητήσω, οὔτε θὰ θέσω σὲ πειρασμὸ στὸν Κύριο. Καὶ εἶπε ὁ Ἠσαΐας· Ἀκοῦστε λοιπὸν ὅλοι οἱ ἄνθρωποι τῆς βασιλικῆς οἰκογένειας τοῦ Δαυίδ· μήπως εἶναι μικρὸ πράγμα τὸ νὰ στενοχωρεῖτε τοὺς ἀνθρώπους; Καὶ πῶς τολμᾶτε νὰ στενοχωρεῖτε

ρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ».

Πολλὴ τοῦ Θεοῦ συγκατάβασις, καὶ τοῦ βασιλέως ἡ ἀγνωμοσύνη. Ἔδει μὲν γὰρ αὐτὸν ἀκούσαντα τοῦ προφήτου μηδὲν ἀμφιβάλλειν περὶ τῶν εἰρημένων· εἰ δὲ καὶ ἀμφέβαλλε, κἂν σημεῖον λαβόντα πιστεῦσαι, ὅπερ πολλοὶ τῶν παρὰ Ἰουδαίοις πεποιήκασι. Καὶ γὰρ ὁ Θεός, φιλάνθρωπος ὤν, οὐδὲ τοῦτο παρῃτήσατο παρασχεῖν πολλάκις τοῖς παχυτέροις καὶ χαμαὶ συρομένοις, καὶ τῇ γῇ προσηλωμένοις, οἷον ἐποίησεν ἐπὶ τοῦ Γεδεών. Ἐπειδὴ γὰρ πάντων καταδεέστερος ἦν καὶ παχύτατος, ὅρα ποῦ καταβαίνει πάλιν ὁ Θεός. Αὐτὸς αὐτὸν ἐφέλκεται, καὶ προτρέπει πρὸς τὸ σημεῖον αἰτῆσαι· καίτοι γε οὐδὲ μικρὸν τοῦτο σημεῖον ἦν, τὸ ἐλέγξαι αὐτοῦ τὰ ἀπόρρητα, καὶ εἰς μέσον ἀγαγεῖν αὐτοῦ τὴν γνώμην ἅπασαν, καὶ τὴν ὑπόκρισιν διελέγξαι πᾶσαν.

Ἐπειδὴ γὰρ ὁ μὲν προφήτης εἶπεν, «Αἴτησαι σεαυτῷ σημεῖον», ἐκεῖνος δὲ τὸν σφόδρα πιστὸν ὑποκρινόμενος ἔλεγεν, «Οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον», ὅρα πῶς μετὰ πολλῆς τῆς σφοδρότητος ἐπάγει τὴν τομὴν ὁ προφήτης, εἰκότως μετὰ τὴν ἀπόδειξιν τῆς ὑποκρίσεως βαρυτέραν ποιούμενος τὴν κατηγορίαν. Διὰ δὴ τοῦτο ἐκεῖνον μὲν οὐδὲ ἀποκρίσεως ἀξιοῖ, πρὸς δὲ τὸν δῆμον ἀποστρέφεται λέγων· «Ἀκούσατε, οἶκος Δαυίδ· μὴ μικρὸν ὑμῖν, ἀγῶνα παρέχειν ἀνθρώποις; Καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα;». Ἀσαφὲς τὸ εἰρημένον· διὸ δὴ δεῖ τὴν ῥῆσιν ἀναπτύξαι μετὰ ἀκριβείας. Ὃ γὰρ λέγει, τοῦτό ἐστι· μὴ γὰρ ἐμὰ τὰ ῥήματά ἐστι; μὴ γὰρ ἐμὴ ἡ ἀπόφασις; Εἰ δὲ ἀνθρώποις ἀπιστεῖν ἁπλῶς καὶ ἄνευ

---

13. Πρβλ. Κριτ. 6, 16-24 καὶ 36-40.

τὸν Κύριο; Γι' αὐτὸ θὰ δώσει σὲ σᾶς ὁ ἴδιος ὁ Κύριος θαῦμα. Νά, ἡ παρθένος θὰ συλλάβει καὶ θὰ γεννήσει υἱό, καὶ τὸ ὄνομα ποὺ θὰ δοθεῖ σ' αὐτὸν θὰ εἶναι 'Εμμανουήλ».

Εἶναι μεγάλη ἡ συγκατάβαση τοῦ Θεοῦ καὶ ἡ ἀγνωμοσύνη τοῦ βασιλιᾶ. Διότι ἔπρεπε αὐτὸς ἀκούοντας τὸν προφήτη νὰ μὴ ἀμφιβάλλει καθόλου γιὰ τὰ ὅσα λέχθηκαν· ἀλλὰ καὶ ἂν ἀκόμα ἀμφέβαλλε, θὰ ἔπρεπε νὰ πιστέψει λαμβάνοντας θαῦμα, πράγμα ποὺ εἶχαν κάνει πολλοὶ ἀπο τοὺς 'Ιουδαίους. Καθόσον ὁ Θεός, ἐπειδὴ εἶναι φιλάνθρωπος, οὔτε αὐτὸ παρέλειψε νὰ κάνει πολλὲς φορὲς γιὰ ἐκείνους ποὺ ἦταν πνευματικὰ παχεῖς, σύρονταν κάτω καὶ ἦταν προσηλωμένοι στὴ γῆ, πράγμα ποὺ ἔκανε στὴν περίπτωση τοῦ Γεδεών[13]. 'Επειδὴ λοιπὸν ἦταν πνευματικὰ ὁ πιὸ κατώτερος ἀπὸ ὅλους καὶ πάρα πολὺ παχύς, πρόσεχε πόση συγκατάβαση δείχνει πάλι ὁ Θεός. Αὐτὸς τὸν προσελκύει καὶ τὸν προτρέπει νὰ ζητήσει θαῦμα· ἂν καὶ βέβαια οὔτε αὐτὸ ἦταν μικρὸ θαῦμα, τὸ νὰ φανερώσει τὶς ἀπόκρυφες σκέψεις αὐτοῦ, ν' ἀποκαλύψει ὅλες τὶς διαθέσεις του, καὶ νὰ φανερώσει ὅλη τὴν ὑποκρισία του.

Πράγματι, ἐπειδὴ ὁ μὲν προφήτης εἶπε, «Γιὰ νὰ πιστέψεις ζήτησε κάποιο θαῦμα», ἐκεῖνος δέ, ὑποκρινόμενος τὸν ὑπερβολικὰ πιστό, ἔλεγε. «Δὲν θὰ ζητήσω οὔτε θὰ θέσω σὲ πειρασμὸ τὸν Κύριο», πρόσεχε πῶς μὲ μεγάλη σφοδρότητα προσθέτει ὁ προφήτης τὸ διαχωρισμό, καθιστώντας πολὺ σωστὰ μετὰ τὴν ἀπόδειξη τῆς ὑποκρισίας βαρύτερη τὴν κατηγορία. Γι' αὐτὸ λοιπὸν ἀπὸ ἐκεῖνον μὲν δὲν ζητᾶ οὔτε κἂν ἀπάντηση, ἐνῶ στρέφεται πρὸς τὸ λαὸ καὶ λέγει· «'Ακοῦστε ὅλοι οἱ ἄνθρωποι τῆς βασιλικῆς οἰκογένειας τοῦ Δαυίδ· μήπως εἶναι μικρὸ πράγμα τὸ νὰ στενοχωρεῖτε τοὺς ἀνθρώπους; Καὶ πῶς τολμᾶτε νὰ στενοχωρεῖτε τὸν Κύριο;». Δὲν εἶναι σαφὴ τὰ λόγια αὐτά· γι' αὐτὸ λοιπὸν πρέπει ν' ἀναλύσομε αὐτὰ μὲ μεγάλη προσοχή. Πράγματι αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Μήπως τὰ λόγια αὐτὰ εἶναι δικά μου; μήπως ἡ ἀπόφαση εἶναι δική μου; 'Εὰν δὲ τὸ νὰ μὴ πιστεύομε στοὺς ἀνθρώπους ἔτσι ἁπλὰ καὶ χωρὶς λόγο εἶναι βαρὺ καὶ ἄξιο κατηγοριῶν, πολὺ περισσότερο εἶναι βαρὺ ὅταν

λόγου βαρὺ καὶ ἐγκλημάτων ἄξιον, πολλῷ μᾶλλον Θεῷ. Τὸ οὖν ἀγῶνα παρέχειν οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀπιστεῖν. Τοῦτο οὖν, φησί, μὴ μικρόν ἐστιν ἔγκλημα; μὴ ἡ τυχοῦσα κατηγορία τοῖς ἀνθρώποις ἀπιστεῖν; Εἰ δὲ τοῦτο βαρύ, πολλῷ μᾶλλον τῷ Θεῷ. Καὶ τοῦτο δὲ ἔλεγεν, ἵνα μάθωσι πάντες, ὅτι ἀνεξαπάτητος ἔμεινεν ὁ προφήτης, οὐκ ἀπὸ τῶν ῥημάτων παραλογιζόμενος τῶν εἰρημένων, ἀλλ' ἀπὸ τῶν ἐν τῇ διανοίᾳ τοῦ Ἄχαζ φέρων τὴν ψῆφον.

5. Τοῦτο καὶ ὁ Χριστὸς πολλάκις ἐπὶ τῶν εὐαγγελίων ἐποίησε. Πρὶν ἢ γὰρ τὴν ἀπὸ τῶν σημείων παρασχεῖν ἀπόδειξιν, τὴν κακίαν τῶν Ἰουδαίων εἰς μέσον ἄγων τὴν ἐν διανοίᾳ πορευομένην, οὐ μικρὸν τοῦτο παρεῖχε τὸ σημεῖον· οἷον ἐπὶ τοῦ παραλυτικοῦ πεποίηκεν. Ἐπειδὴ γὰρ εἶπε πρὸς αὐτόν, «Θάρσει, τέκνον· ἀφέωνταί σου αἱ ἁμαρτίαι», ἐκεῖνοι δὲ ἔλεγον ἐν ἑαυτοῖς, «Βλασφημεῖ», φησί, πρὶν ἢ σφίγξαι τὸν παραλελυμένον· «Τί βουλεύεσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν;», μέγιστον θεότητος τοῦτο παρέχων τεκμήριον, τὸ τὰ ἀπόρρητα εἰδέναι τῆς διανοίας. «Σὺ γὰρ ἐπίστασαι», φησί, «καρδίας μονώτατος». Καὶ ὁ Δαυὶδ πάλιν φησίν· «Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός». Τοῦτο καὶ τοῖς προφήταις ἐδίδου πολλάκις ὁ Θεὸς εἰδέναι, ἵν' οἱ ἀκούοντες μανθάνωσιν, ὅτι οὐδὲν ἀνθρώπινον τῶν εἰρημένων, ἀλλ' ἄνωθεν καὶ ἐκ τῶν οὐρανῶν ἡ ψῆφος ἅπασα κατενήνεκται.

Διὰ τοῦτο καὶ ὁ μεγαλοφωνότατος οὗτος Ἠσαΐας, ἐπειδὴ μετὰ πολλῆς τῆς ἐπιεικείας διελέχθη τῷ βασιλεῖ, καὶ τῶν δεινῶν ἀπήλλαξε, καὶ θαρρεῖν ἐκέλευσεν ὑπὲρ τῶν παρόντων, καὶ τεκμήρια τούτου παρέσχεν αὐτῷ, τὸ τὴν βουλὴν ἐξαγγεῖλαι τῶν ἐπιστρατευσάντων, καὶ τὴν προδοσίαν ἐλέγξαι, καὶ τὴν ἅλωσιν τοῦ Ἰσραὴλ προειπεῖν τὴν παντελῆ

---

14. Ματθ. 9, 2.
15. Ματθ. 9, 3.
16. Ματθ. 9, 4.
17. Γ' Βασ. 8, 39.
18. Ψαλμ. 7, 10.

αὐτὸ σημβαίνει στὸ Θεό. Τὸ «ἀγῶνα παρέχειν» λοιπὸν τίποτε ἄλλο δὲν σημαίνει, παρὰ ἀπιστία. Αὐτὸ λοιπόν, λέγει, μήπως εἶναι μικρὸ ἔγκλημα; μήπως εἶναι τυχαία κατηγορία τὸ ν' ἀπιστεῖ κάποιος στοὺς ἀνθρώπους; Ἐὰν δὲ αὐτὸ εἶναι βαρύ, πολὺ περισσότερο βαρὺ εἶναι τὸ ν' ἀπιστεῖ στὸ Θεό. Καὶ αὐτὸ δὲ τὸ ἔλεγε, γιὰ νὰ μάθουν ὅλοι, ὅτι ὁ προφήτης δὲν ἐξαπατήθηκε, καὶ ὅτι δὲν ξεγελάσθηκε ἀπὸ τὰ λόγια ποὺ ἄκουσε, ἀλλ' ἔβγαλε τὴν ἀπόφαση ἀπὸ τὶς σκέψεις ποὺ ὑπῆρχαν μέσα στὸ νοῦ τοῦ Ἄχαζ.

5. Αὐτὸ καὶ ὁ Χριστὸς ἔκανε πολλὲς φορὲς ὅπως λένε τὰ εὐαγγέλια. Πρὶν δηλαδὴ παρουσιάσει τὴν ἀπόδειξη ἀπὸ τὰ θαύματα, ἀποκαλύπτοντας τὴν κακία τῶν Ἰουδαίων ποὺ κυριαρχοῦσε μέσα στὴ σκέψη τους, παρουσίαζε μὲ τὸν τρόπο αὐτὸ ὄχι πιὸ μικρὸ θαῦμα, πράγμα ποὺ συνέβηκε στὴν περίπτωση τοῦ παραλυτικοῦ. Ἐπειδὴ δηλαδὴ εἶπε πρὸς αὐτόν, «Ἔχε θάρρος, παιδί μου· συγχωροῦνται οἱ ἁμαρτίες σου»[14], ἐκεῖνοι δὲ ἔλεγαν μέσα τους, «Βλασφημεῖ»[15], λέγει προτοῦ νὰ συσφίξει τὰ μέλη τοῦ παραλυτικοῦ· «Γιατί βάζετε κακὲς σκέψεις μέσα στὴν καρδιά σας»[16], παρέχοντας αὐτὸ σὰν μέγιστη ἀπόδειξη τῆς θεότητάς του, τὸ ὅτι γνωρίζει τὶς ἀπόκρυφες σκέψεις τῆς διάνοιας. Διότι λέγει, «Σὺ μόνο ἀπ' ὅλους γνωρίζεις τὶς καρδιὲς τῶν ἀνθρώπων»[17]. Καὶ ὁ Δαυὶδ πάλι λέγει· «Διότι σύ, Θεέ μου, ἐξετάζεις τὶς ἀπόκρυφες σκέψεις ποὺ ὑπάρχουν μέσα στὶς καρδιὲς καὶ τὰ νεφρά»[18]. Αὐτὴ τὴ δυνατότητα γνώσεως πολλὲς φορὲς ὁ Θεὸς ἔδινε καὶ στοὺς προφῆτες, γιὰ νὰ μαθαίνουν οἱ ἀκροατές τους, ὅτι τίποτε ἀπὸ τὰ λόγια τους δὲν ἦταν ἀνθρώπινο, ἀλλ' ὅλη ἡ ἀπόφαση προερχόταν ἐπάνω ἀπὸ τὸν οὐρανό.

Γι' αὐτὸ καὶ ὁ μεγαλοφωνότατος αὐτὸς Ἠσαΐας, ἐπειδὴ μὲ μεγάλη ἐπιείκεια συνομίλησε μὲ τὸ βασιλιά, τὸν ἀπάλλαξε ἀπὸ τὰ κακά, τὸν πρότρεψε νὰ ἔχει θάρρος γιὰ τὰ παρόντα, καὶ τοῦ παρουσίασε ἀποδείξεις γι' αὐτά, ἀποκαλύπτοντάς του τὴν ἀπόφαση ἐκείνων ποὺ ἐξεστράτευσαν ἐναντίον τους, ἐλέγχοντας τὴν προδοσία, προλέγοντας τὴ γενικὴ καὶ ὁλοκληρωτικὴ ἅλωση τοῦ Ἰσραήλ, προσθέτοντας μάλιστα καὶ τὸ χρόνο

καὶ ὁλόκληρον, καὶ τὸν χρόνον προσθεῖναι, οὐκ ἠρκέσθη τούτοις, καὶ περαιτέρω πρόεισι, καὶ οὐκ ἀναμένει σημεῖον αὐτὸν αἰτῆσαι, ἀλλὰ καὶ μὴ βουλόμενον δι' ὑπερβολὴν ἀπιστίας προτρέπεται· καὶ οὐδὲ ἁπλῶς, ἀλλὰ καὶ κύριον τῆς αἱρέσεως ποιεῖ· οὐδὲ γάρ φησι, τὸ καὶ τὸ σημεῖον, ἀλλ' ὅπου βούλει, φησί· πλούσιος ὁ Δεσπότης, παναλκὴς ἡ δύναμις, ἄφατος ἡ ἐξουσία. Ἂν ἐκ τῶν οὐρανῶν βουληθῇς, οὐδὲν τὸ κωλύον, ἂν ἐκ τῆς γῆς, οὐδὲν τὸ ἐμποδίζον. Τοῦτο γάρ ἐστιν, «Ἢ εἰς βάθος, ἢ εἰς ὕψος».

Ἐπειδὴ δὲ οὐδὲ οὕτως αὐτὸν ἐπεσπάσατο, οὐδὲ ἐνταῦθα ἐσίγησεν, ἀλλ' ἔλεγχον ἐπαγαγών, καὶ τοῦτον ὑπὲρ διορθώσεως τοῦ ἀκούοντος, καὶ τοῦ δεῖξαι, ὡς οὐκ ἠπάτησεν, οὐδὲ παρελογίσατο, ἀνακαλύπτει προφητείαν ἀπόρρητον, τὴν ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης ἐσομένην, καὶ ἐπὶ διορθώσει τῶν πραγμάτων ἁπάντων· καί φησι τὸ σημεῖον οὐχὶ τῷ Ἄχαζ δίδοσθαι λοιπόν, ἀλλὰ τῷ κοινῷ τῶν Ἰουδαίων δήμῳ. Παρὰ μὲν γὰρ τὴν ἀρχὴν πρὸς αὐτὸν τὸν λόγον ἀπέτεινεν, ἐπειδὴ δὲ ἀνάξιον ἐκεῖνος ἑαυτὸν ἀπέφηνε, τῷ κοινῷ τοῦ λαοῦ διαλέγεται. «Διὰ τοῦτο» γάρ, φησί, «δώσει», οὐχὶ σοί, ἀλλ' «ὑμῖν σημεῖον». «Ὑμῖν», τίσι; Τοῖς ἐν τῷ οἴκῳ Δαυίδ. Καὶ γὰρ ἐκεῖθεν ἐβλάστησε τὸ σημεῖον.

Τί οὖν τὸ σημεῖόν ἐστιν; «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ». Παρατηρητέον, ὅπερ καὶ ἔμπροσθεν εἶπον, ὅτι οὐ τῷ Ἄχαζ δίδοται λοιπὸν τὸ σημεῖον. Καὶ ὅτι οὐ στοχασμός, αὐτὸς ὁ προφήτης καὶ ἐνεκάλεσε καὶ κατηγόρησε λέγων· «Μὴ μικρὸν ὑμῖν, ἀγῶνα παρέχειν ἀνθρώποις;» καὶ προσέθηκε· «Διὰ τοῦτο δώσει Κύριος ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει». Εἰ δὲ μὴ παρθένος ἦν, οὐδὲ σημεῖον ἦν. Τὸ γὰρ σημεῖον ἐκβαίνειν δεῖ τὴν κοινὴν ἀκολου-

---

19. Ἠσ. 7, 11.

πραγματοποιήσεως αὐτῆς, καὶ δὲν ἀρκέσθηκε σ' αὐτά, ἀλλὰ προχωρεῖ καὶ παρὰ πέρα, καὶ δὲν περιμένει νὰ ζητήσει αὐτὸς θαῦμα, ἀλλὰ καὶ ἐπειδὴ ἐξ αἰτίας τῆς ὑπερβολικῆς ἀπιστίας του δὲν θέλει νὰ ζητήσει, προτρέπεται νὰ ζητήσει· καὶ δὲν προτρέπεται ἁπλῶς, ἀλλὰ καὶ ἀφήνεται κύριος στὸ νὰ ἐκλέξει αὐτό· διότι δὲν λέγει, αὐτὸ καὶ αὐτὸ τὸ θαῦμα, ἀλλά, λέγει, ὅποιο θέλει· πλούσιος εἶναι ὁ Κύριος, πανίσχυρη ἡ δύναμή του, ἀπερίγραπτη ἡ ἐξουσία του. Ἂν θελήσεις ἀπὸ τὸν οὐρανό, δὲν ὑπάρχει κανένα κώλυμα, ἂν ἀπὸ τὴ γῆ, τίποτε δὲν ἐμποδίζει. Διότι αὐτὸ σημαίνει τό, «Ἢ εἰς βάθος, ἢ εἰς ὕψος»[19].

Ἀλλ' ἐπειδὴ οὔτε ἔτσι τὸν ἔπεισε, δὲν σταμάτησε ἐδῶ, ἀλλ', ἀφοῦ πρόσθεσε καὶ τὸν ἔλεγχο, καὶ αὐτὸν πρὸς διόρθωση τοῦ ἀκροατῆ του, καὶ γιὰ νὰ δείξει, ὅτι δὲν ἐξαπατήθηκε, οὔτε ξεγελάστηκε ἀπὸ τὰ λόγια του, ἀποκαλύπτει προφητεία ἀπόρρητη, ποὺ θὰ συμβεῖ γιὰ τὴ σωτηρία τῆς οἰκουμένης καὶ γιὰ διόρθωση ὅλων τῶν πραγμάτων· καὶ λέγει ὅτι τὸ θαῦμα θὰ δοθεῖ πλέον ὄχι γιὰ τὸν Ἄχαζ, ἀλλὰ γιὰ τὸν ἴδιο τὸν Ἰουδαϊκὸ λαό. Διότι στὴν ἀρχὴ μὲν ἀπηύθυνε τὸ λόγο πρὸς αὐτόν, ἐπειδὴ ὅμως ἐκεῖνος παρουσίασε τὸν ἑαυτό του ἀνάξιο, ἀπευθύνει στὴ συνέχεια τὸ λόγο του πρὸς τὸν ἴδιο τὸ λαό. Διότι, λέγει, «Γι' αὐτὸ θὰ δώσει ὁ Κύριος τὸ θαῦμα», ὄχι σὲ σένα, ἀλλά, «Σὲ σᾶς». «Σὲ σᾶς»· σὲ ποιούς; Στοὺς ἀνθρώπους τῆς οἰκογένειας τοῦ Δαυίδ. Καθόσον ἀπὸ ἐκεῖ βλάστησε τὸ θαῦμα.

Ποιὸ λοιπὸν εἶναι τὸ θαῦμα; «Νὰ ἡ Παρθένος θὰ συλλάβει καὶ θὰ γεννήσει υἱό, καὶ τὸ ὄνομα ποὺ θὰ δοθεῖ σ' αὐτὸν θὰ εἶναι Ἐμμανουήλ». Εἶναι ἄξιο παρατηρήσεως αὐτὸ ποὺ εἶπα καὶ προηγουμένως, ὅτι δηλαδὴ τὸ θαῦμα δὲν δίνεται πλέον στὸν Ἄχαζ. Καὶ τὸ ὅτι δὲν εἶναι αὐτὰ ὑπόθεση, γίνεται φανερὸ ἀπὸ τὸ ὅτι ὁ ἴδιος ὁ προφήτης καὶ κατήγγειλε αὐτὰ καὶ κατηγόρησε, λέγοντας· «Μήπως σᾶς φαίνεται μικρὸ πράγμα τὸ νὰ μὴ πιστεύετε στὰ λόγια τῶν ἀνθρώπων;»· καὶ πρόσθεσε· «Γι' αὐτὸ θὰ δώσει ὁ Κύριος σὲ σᾶς θαῦμα. Νὰ ἡ Παρθένος θὰ συλλάβει». Ἐὰν δὲ δὲν ἦταν παρθένος, οὔτε θαῦμα θὰ ἦταν. Διότι τὸ θαῦμα πρέπει νὰ ξεπερνᾶ τὴ κοινὴ σειρὰ τῶν πραγμάτων

θίαν, καὶ τὴν τῆς φύσεως ὑπερβαίνειν συνήθειαν, καὶ ξένον εἶναι καὶ παράδοξον, ὥστε ἕκαστον ἐπισημαίνεσθαι τῶν ὁρώντων καὶ ἀκουόντων. Διὰ γὰρ τοῦτο καὶ σημεῖον λέγεται, διὰ τὸ ἐπίσημον. Ἐπίσημον δὲ οὐκ ἂν γένοιτο, εἰ μέλλοι κρύπτεσθαι τῇ κοινωνίᾳ τῶν ἄλλων πραγμάτων.

Ὥστε εἰ περὶ γυναικὸς ὁ λόγος ἦν νόμῳ φύσεως τικτούσης, τίνος ἕνεκεν σημεῖον καλεῖ τὸ καθ' ἑκάστην γινόμενον ἡμέραν; Διὰ δὴ τοῦτο καὶ ἀρχόμενος οὐκ εἶπεν, 'Ἰδοὺ παρθένος, ἀλλ', «Ἰδοὺ ἡ παρθένος», τῇ προσθήκῃ τοῦ ἄρθρου ἐπίσημόν τινα καὶ μόνην τοιαύτην γεγενημένην ἡμῖν αἰνιττόμενος. Ὅτι γὰρ ἡ προσθήκη αὕτη τοῦτο ἐνδείκνυται, δυνατὸν καὶ ἀπὸ τῶν εὐαγγελίων μαθεῖν. Ἐπειδὴ γὰρ ἔπεμψαν πρὸς τὸν Ἰωάννην οἱ Ἰουδαῖοι ἐρωτῶντες, «Τίς εἶ;» οὐκ ἔλεγον, 'σὺ εἶ Χριστός', ἀλλ', «Εἰ σὺ εἶ ὁ Χριστός»· οὐδὲ ἔλεγον, 'σὺ εἶ προφήτης', ἀλλ', «Εἰ σὺ εἶ ὁ προφήτης», ὧν ἕκαστον ἐξαίρετον ἦν. Διὰ τοῦτο καὶ ἀρχόμενος ὁ Ἰωάννης οὐκ ἔλεγεν, 'ἐν ἀρχῇ ἦν Λόγος', ἀλλ', «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν». Οὕτω δὴ καὶ ἐνταῦθα οὐκ εἶπεν, 'Ἰδοὺ παρθένος', ἀλλ', «Ἰδοὺ ἡ παρθένος», καὶ μετὰ ἀξιώματος προφήτῃ πρέποντος τό, «Ἰδού». Μόνον γὰρ οὐχὶ ὁρῶντος ἦν τὰ γενόμενα, καὶ φανταζομένου, καὶ πολλὴν ἔχοντος ὑπὲρ τῶν εἰρημένων πληροφορίαν. Τῶν γὰρ ἡμετέρων ὀφθαλμῶν ἐκεῖνοι σαφέστερον τὰ μὴ ὁρώμενα ἔβλεπον. Τὴν μὲν γὰρ αἴσθησιν εἰκὸς καὶ ἀπατηθῆναι, ἡ δὲ τοῦ Πνεύματος χάρις ἀνεξαπάτητον παρείχετο τὴν ἀπόφασιν.

6. Καὶ τίνος ἕνεκεν οὐ προσέθηκε, φησίν, ὅτι ἐκ Πνεύματος ἁγίου ὁ τόκος ἔσται; Προφητεία ἦν τὸ λεγόμενον, καὶ συνεσκιασμένως ἀπαγγεῖλαι ἔδει, ὃ πολλάκις εἶπον, διὰ τὴν τῶν ἀκουόντων ἀγνωμοσύνην, ἵνα μὴ σαφῶς πάντα μανθά-

---

20. Ἰω. 1, 19. 21. Ἰω. 1, 25. 22 Ἰω. 1, 1.

καὶ νὰ ὑπερβαίνει τὴ φυσικὴ συνήθεια, καὶ νὰ εἶναι ἀσυνήθιστο καὶ παράδοξο, ὥστε νὰ γίνεται ἀποδεκτὸ ἀπὸ τὸν κάθε θεατὴ καὶ ἀκροατή. Διότι γι' αὐτὸ λέγεται καὶ σημεῖο, γιὰ τὸ ὅτι εἶναι κάτι τὸ διακριτικὸ καὶ ἐντυπωσιακό. Διακριτικὸ δὲ δὲν θὰ μποροῦσε νὰ εἶναι, ἂν συνέβαινε νὰ καλυφθεῖ ἐρχόμενο σὲ ἀνάμιξη μὲ ἄλλα πράγματα.

Ὥστε, ἐὰν ὁ λόγος ἦταν γιὰ γυναίκα ποὺ θὰ γεννοῦσε σύμφωνα μὲ τοὺς φυσικοὺς νόμους, γιὰ ποιὸ λόγο ὀνομάζει θαῦμα αὐτὸ ποὺ συμβαίνει καθημερινά; Γι' αὐτὸ λοιπὸν καὶ ἀρχίζοντας δὲν εἶπε, 'Νὰ παρθένος', ἀλλά, «Νὰ ἡ παρθένος», ὑπαινισσόμενος μὲ τὴν προσθήκη τοῦ ἄρθρου ὅτι ἀπὸ ὅλους τοὺς ἀνθρώπους αὐτὴ θὰ εἶναι μιὰ κάποια τελείως ξεχωριστὴ καὶ μοναδικὴ παρθένος. Τὸ ὅτι βέβαια ἡ προσθήκη αὐτὴ φανερώνει αὐτό, μποροῦμε νὰ τὸ μάθομε καὶ ἀπὸ τὰ εὐαγγέλια. Ἐπειδὴ δηλαδὴ ἔστειλαν οἱ Ἰουδαῖοι ἀνθρώπους πρὸς τὸν Ἰωάννη ρωτώντας, «Ποιὸς εἶσαι;»[20], καὶ δὲν ἔλεγαν, 'σὺ εἶσαι Χριστός', ἀλλά, «Ἐὰν σὺ εἶσαι ὁ Χριστός»· οὔτε ἔλεγαν, 'σὺ εἶσαι προφήτης', ἀλλ', «Ἐὰν σὺ εἶσαι προφήτης»[21], πράγμα ποὺ τὸ καθένα ἀπὸ αὐτὰ ἦταν κάτι τὸ ἐξαίρετο. Γι' αὐτὸ καὶ ἀρχίζοντας ὁ Ἰωάννης τὸ εὐαγγέλιό του, δὲν εἶπε, 'Στὴν ἀρχὴ ὑπῆρχε Λόγος', ἀλλά, «Στὴν ἀρχὴ ὑπῆρχε ὁ Λόγος, καὶ ὁ Λόγος ἦταν ἀχώριστος μὲ τὸ Θεό»[22]. Ἔτσι λοιπὸν καὶ ἐδῶ δὲν εἶπε, 'Νὰ παρθένος', ἀλλά, «Νὰ ἡ παρθένος», καὶ μὲ τὸ διακριτικὸ γνώρισμα «Ἰδού», ποὺ ταιριάζει σὲ προφήτη. Διότι τὰ ὅσα συνέβαιναν δὲν ἦταν πράγματα ποὺ τὰ ἔβλεπε κάποιος μόνο, τὰ φαντάζονταν καὶ εἶχε μεγάλη βεβαιότητα γιὰ ἐκεῖνα ποὺ ἔλεγε. Καθόσον οἱ προφῆτες ἔβλεπαν τὰ ἀόρατα πράγματα σαφέστερα ἀπὸ τοὺς δικούς μας ὀφθαλμούς. Διότι ἡ μὲν αἴσθηση φυσικὸ εἶναι καὶ νὰ ἐξαπατηθεῖ, ἡ χάρη τοῦ Πνεύματος ὅμως ἔδινε τὴν ἀπόφαση χωρὶς ἐξαπάτηση.

6. Καὶ γιὰ ποιὸ λόγο, λέγει, δὲν πρόσθεσε ὅτι ἡ γέννηση θὰ προέλθει ἀπὸ τὸ ἅγιο Πνεῦμα; Προφητεία ἦταν τὸ λεγόμενο καὶ ἔπρεπε νὰ λεχθοῦν ἐπισκιασμένα, πράγμα ποὺ πολλὲς φορὲς εἶπα, ἐξ αἰτίας τῆς ἀγνωμοσύνης τῶν ἀκροατῶν, ὥστε νὰ

νοντες, καὶ τὰ βιβλία πάντα κατακαύσωσιν. Εἰ γὰρ τῶν προφητῶν οὐκ ἐφείσαντο, πολλῷ μᾶλλον τῶν γραμμάτων οὐκ ἂν ἀπέσχοντο. Καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἕτερός τις βασιλεὺς ἐπὶ τοῦ Ἱερεμία αὐτὰ τὰ βιβλία λαβὼν κατέτεμε, καὶ πυρὶ παρεδίδου. Εἶδες μανίαν ἀφόρητον; εἶδες ὀργὴν ἀλόγιστον; Οὐκ ἤρκεσεν αὐτῷ τὸ ἀφανίσαι τὰ γράμματα, ἀλλὰ καὶ ἐνέπρησε, τὸ ἀλόγιστον αὐτοῦ πάθος πληρῶσαι βουλόμενος. Ἀλλ' ὅμως καὶ ἀσαφῶς εἰπὼν ὁ θαυμάσιος οὗτος προφήτης, τὸ πᾶν ἐνεδείξατο. Παρθένος γάρ, ἕως ἂν μένῃ παρθένος, πόθεν ἄλλοθεν κυήσειεν, εἰ μὴ ἀπὸ Πνεύματος ἁγίου; Τὸ γὰρ μόνον λῦσαι φύσεως οὐδενὸς ἑτέρου ἦν, ἀλλ' ἢ τοῦ δημιουργοῦ τῆς φύσεως. Ὥστε εἰπών, ὅτι τέξεται ἡ παρθένος, τὸ πᾶν ἐνέφηνεν.

Εἰπὼν τοίνυν τὸν τόκον, λέγει καὶ τὸ ὄνομα τοῦ τικτομένου, οὐ τὸ τεθέν, ἀλλὰ τὸ ἀπὸ τῶν πραγμάτων. Ὥσπερ γὰρ τὴν Ἱερουσαλὴμ καλεῖ πόλιν δικαιοσύνης, καίτοι γε οὐδαμοῦ δικαιοσύνης ἐκλήθη πόλις, ἀλλὰ ἀπὸ τῶν πραγμάτων ταύτην εἶχε τὴν προσηγορίαν, διὰ τὸ πολλὴν γενέσθαι τὴν ἐπὶ τὸ βέλτιον αὐτῆς μεταβολήν, καὶ τὴν τοῦ δικαίου προστασίαν (καὶ γὰρ ὅταν πόρνην καλῇ, οὐχ ὡς τῆς πόλεως οὕτω ποτὲ κληθείσης, ἀλλὰ ἀπὸ τῆς κακίας τὸ ὄνομα τίθησιν, οὕτω δὴ καὶ μετὰ ταῦτα ἀπὸ τῆς ἀρετῆς), τὸ αὐτὸ τοίνυν καὶ ἐπὶ τοῦ Χριστοῦ λεκτέον, ὅτι τὸ ἀπὸ τῶν πραγμάτων αὐτῷ ὄνομα τέθεικε. Τότε γὰρ μάλιστα μεθ' ἡμῶν ὁ Θεὸς γέγονεν, ἐπὶ τῆς γῆς ὀφθείς, καὶ τοῖς ἀνθρώποις συναναστρεφόμενος, καὶ τὴν πολλὴν ἐπιδεικνύμενος περὶ ἡμᾶς κηδεμονίαν. Οὐκέτι γὰρ ἄγγελος, οὐδὲ ἀρχάγγελος μεθ' ἡμῶν,

---

23. Πρβλ. Ἱερ. 43, 21 ἑ.

μὴ συνέβαινε, ἀφοῦ τὰ μάθαιναν ὅλα μὲ σαφήνεια, νὰ ἔκαιγαν καὶ ὅλα τὰ βιβλία. Διότι, ἐὰν δὲν ἀπέφυγαν νὰ βλάψουν τοὺς προφῆτες, πολὺ περισσότερο δὲν θ' ἀπέφευγαν νὰ καταστρέψουν τὰ βιβλία. Καὶ τὸ ὅτι τὰ λόγια αὐτὰ δὲν ἀποτελοῦν ἁπλὴ σκέψη, κάποιος ἄλλος βασιλιὰς στὴν περίπτωση τοῦ Ἰερεμία, ἀφοῦ πῆρε αὐτὰ τὰ βιβλία, τὰ ξέσχισε καὶ τὰ ἔκαψε[23]. Εἶδες μανία ἀνυπόφορη; εἶδες ὀργὴ ἀπερίσκεπτη; Δὲν τοῦ ἔφθασε νὰ ἐξαφανίσει τὰ βιβλία, ἀλλὰ καὶ τὰ ἔκαψε, θέλοντας νὰ ἱκανοποιήσει τὸ ἀπερίσκεπτο πάθος του. Ἀλλ' ὅμως ὁ θαυμάσιος αὐτὸς προφήτης ἂν καὶ τὰ εἶπε μὲ ἀσάφεια, ἐν τούτοις φανέρωσε τὸ πᾶν. Διότι μία παρθένος, ὅσο ἐξακολουθεῖ νὰ εἶναι παρθένος, ἀπὸ ποῦ ἀλλοῦ θὰ μποροῦσε νὰ γεννήσει, παρὰ ἀπὸ τὸ ἅγιο Πνεῦμα; Καθόσον τὸ νὰ ὑπερέβαινε τοὺς νόμους τῆς φύσεως κανένας ἄλλος δὲν μποροῦσε, παρὰ μόνο ὁ δημιουργὸς τῆς φύσεως. Ὥστε, λέγοντας ὅτι θὰ γεννήσει ἡ παρθένος, φανέρωσε τὸ πᾶν.

Ἀφοῦ λοιπὸν μίλησε γιὰ τὴ γέννηση, λέγει καὶ τὸ ὄνομα ἐκείνου ποὺ θὰ γεννηθεῖ, ὄχι ἐκεῖνο ποὺ ἔλαβε, ἀλλ' ἐκεῖνο ποὺ τοῦ δόθηκε ἀπὸ τὰ ἴδια τὰ πράγματα. Διότι, ὅπως ἀκριβῶς ὀνομάζει τὴν Ἰερουσαλὴμ πόλη δικαιοσύνης, ἂν καὶ βέβαια πουθενὰ δὲν ὀνομάσθηκε πόλη δικαιοσύνης, ἀλλ' ἀπὸ τὰ γεγονότα ἔλαβε αὐτὴ τὴν ὀνομασία, ἐπειδὴ σημειώθηκε σ' αὐτὴν μεγάλη μεταβολὴ πρὸς τὸ καλύτερο καὶ προστάτεψε τὸ δίκιο (καθόσον, ὅταν τὴν ὀνομάζει πόρνη, τὸ κάνει αὐτὸ ὄχι ἐπειδὴ ὀνομάσθηκε ἡ πόλη κάποτε ἔτσι, ἀλλὰ τῆς ἀποδίδει τὸ ὄνομα αὐτὸ ἀπὸ τὴν κακία· κατὰ τὸν ἴδιο τρόπο βέβαια καὶ στὴ συνέχεια τὴν ὀνομάζει πόλη δικαιοσύνης ἀπὸ τὴν ἀρετή της), τὸ ἴδιο λοιπὸν πρέπει νὰ λεχθεῖ καὶ γιὰ τὸ Χριστό, ὅτι δηλαδὴ ἀπέδωσε σ' αὐτὸν τὸ ὄνομα ἀπὸ τὰ ὅσα συνέβηκαν σ' αὐτόν. Διότι τότε κατ' ἐξοχὴ ὁ Θεὸς ἦρθε κοντά μας, ὅταν φανερώθηκε στὴ γῆ, συναναστράφηκε τοὺς ἀνθρώπους καὶ ἔδειξε τὴ μεγάλη φροντίδα του γιὰ μᾶς. Καθόσον δὲν ἦρθε κοντά μας ἄγγελος, οὔτε ἀρχάγγελος, ἀλλ' ὁ ἴδιος ὁ Κύριος, ἀφοῦ κατέβηκε ἀπὸ τὸν οὐρανό, ἀνέλαβε ὅλη τὴ διόρθωση μας, συνομιλῶντας μὲ

ἀλλ' αὐτὸς καταβὰς ὁ Δεσπότης τὴν πᾶσαν ἀνεδέξατο διόρθωσιν, πόρναις διαλεγόμενος, τελώναις συνανακείμενος, εἰς ἁμαρτωλῶν οἰκίας εἰσιών, λῃσταῖς παρρησίαν διδούς, μάγους ἐφελκόμενος, πάντα περιιὼν καὶ διορθούμενος, καὶ αὐτὴν τὴν φύσιν ἑνῶν πρὸς ἑαυτόν.

Ταῦτα οὖν πάντα ὁ προφήτης προαναφωνεῖ, ὁμοῦ καὶ τὸν τόκον λέγων, καὶ τὸ κέρδος τῶν ὠδίνων τὸ ἄφατον ἐκεῖνο καὶ ἄπειρον. Ὅταν γὰρ ὁ Θεὸς μετὰ ἀνθρώπων ᾖ, οὐδὲν δεῖ λοιπὸν δεδοικέναι, οὐδὲ τρέμειν, ἀλλ' ὑπὲρ ἁπάντων θαρρεῖν, ὅπερ οὖν καὶ ἐγένετο. Καὶ γὰρ τὰ ἀρχαῖα ἐκεῖνα καὶ ἀκίνητα ἐλύθη κακά, καὶ ἡ κατὰ τοῦ κοινοῦ γένους ἀπόφασις ἀνῃρεῖτο, καὶ τῆς ἁμαρτίας τὰ νεῦρα ἐκέκοπτο, καὶ διαβόλου τυραννὶς κατελύετο, καὶ ὁ πᾶσιν ἄβατος παράδεισος ἀνδροφόνῳ καὶ λῃστῇ πρῶτον ἠνοίγετο, καὶ οὐράνιοι ἁψῖδες ἀνεπετάννυντο, καὶ ἀγγέλοις ἄνθρωπος συνανεμίγνυτο, καὶ πρὸς τὸν βασιλικὸν θρόνον ἡ φύσις ἡ ἡμετέρα ἀνήγετο, καὶ τοῦ ᾅδου τὸ δεσμωτήριον ἄχρηστον ἦν, καὶ ὁ θάνατος ὄνομα λοιπὸν ἔμενεν ὄν, πράγματος ἀπεστερημένον, καὶ μαρτύρων χοροί, καὶ γυναῖκες κατακλάσασαι τοῦ ᾅδου τὰ κέντρα. Ταῦτα οὖν πάντα προορῶν ὁ προφήτης ἐσκίρτα καὶ ἐχόρευε, καὶ δι' ἑνὸς ῥήματος ἡμῖν αὐτὰ ἐνεδείκνυτο, προφητεύων ἡμῖν τὸν Ἐμμανουήλ.

«Βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ ἐκλέξεται τὸ ἀγαθόν. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθόν, ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν». Ἐπειδὴ τὸ τικτόμενον παιδίον οὔτε ἄνθρωπος ἦν ψιλός, οὔτε Θεὸς μόνον, ἀλλὰ Θεὸς ἐν ἀνθρώπῳ, οἰκότως καὶ ὁ προφήτης ποικίλλει τὸν λόγον, νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο λέγων, καὶ τὰ παράδοξα τιθείς, καὶ οὐκ ἀφιεὶς ἀπιστηθῆναι τὴν οἰκονομίαν διὰ τὴν τοῦ θαύματος ὑ-

τὶς πόρνες, συντρόγωντας μὲ τοὺς τελῶνες, μπαίνοντας στὰ σπίτια τῶν ἁμαρτωλῶν, δίνοντας παρρησία στοὺς ληστές, προσελκύοντας κοντά του μάγους, τὰ πάντα κάμνοντας καὶ διορθώνοντας, καὶ τὴν ἴδια τὴ φύση τοῦ ἀνθρώπου ἑνώνοντας μὲ τὸν ἑαυτό του.

Ὅλα αὐτὰ λοιπὸν προλέγει ὁ προφήτης, ἀναφέροντας συγχρόνως καὶ τὴ γέννηση καὶ τὸ ἀπερίγραπτο ἐκεῖνο καὶ ἄπειρο κέρδος τῶν πόνων τοῦ τοκετοῦ. Διότι, ὅταν ὁ Θεὸς εἶναι μαζὶ μὲ τοὺς ἀνθρώπους, τίποτε δὲν πρέπει πλέον νὰ φοβοῦνται, οὔτε νὰ τρέμουν, ἀλλὰ γιὰ ὅλα νὰ ἔχουν θάρρος, πράγμα λοιπὸν καὶ ποὺ συνέβηκε. Καθόσον καταλύθηκαν τὰ ἀρχαῖα ἐκεῖνα καὶ ἀμετακίνητα κακά, καταργοῦνταν ἡ ἀπόφαση ἐναντίον τοῦ ἀνθρώπινου γένους, παρέλυαν τὰ νεῦρα τῆς ἁμαρτίας, καταλύονταν ἡ τυραννικὴ ἐξουσία τοῦ διαβόλου, ὁ ἀδιάβατος σ' ὅλους παράδεισος ἄνοιγε γιὰ πρώτη φορὰ στὸν ἀνθρωποκτόνο καὶ ληστή, οἱ οὐράνιες ἁψίδες ἁπλώνονταν, ὁ ἄνθρωπος ἀναμιγνυόταν μὲ τοὺς ἀγγέλους, ἡ φύση μας ἀνυψωνόταν πρὸς τὸν βασιλικὸ θρόνο, τοῦ ἅδη τὸ δεσμωτήριο ἀχρηστευόταν, ὁ θάνατος ἔμενε πλέον ἁπλὸ ὄνομα, στερημένο ἀπὸ περιεχόμενο, καὶ χοροὶ μαρτύρων καὶ γυναῖκες κατακομμάτιαζαν τὰ κεντριὰ τοῦ ἅδη. Ὅλα αὐτὰ λοιπὸν προβλέποντας ὁ προφήτης σκιρτοῦσε καὶ χόρευε ἀπὸ τὴ χαρά του, καὶ ὅλα αὐτὰ μᾶς τὰ φανέρωνε μὲ μιὰ λέξη μόνο, προφητεύοντάς μας τὸν Ἐμμανουήλ.

«Βούτυρο καὶ μέλι θὰ τρώγει, προτοῦ δὲ ἔρθει σὲ θέση νὰ γνωρίσει καὶ νὰ διακρίνει τὸ καλὸ ἀπὸ τὸ κακό, θὰ ἐκλέξει τὸ καλό. Διότι πρὶν τὸ παιδὶ ἀποκτήσει τὴ γνώση νὰ διακρίνει τὸ καλὸ ἀπὸ τὸ κακό, θὰ δείξει ἀπείθεια πρὸς τὴν κακία καὶ θὰ προτιμήσει τὸ καλό». Ἐπεδὴ τὸ παιδὶ ποὺ ἐπρόκειτο νὰ γεννηθεῖ οὔτε ἄνθρωπος ἁπλὸς ἦταν, οὔτε μόνο Θεός, ἀλλὰ Θεὸς μὲ μορφὴ ἀνθρώπου, πολὺ σωστὰ καὶ ὁ προφήτης ποικίλλει τὸ λόγο, λέγοντας ἄλλοτε μὲν αὐτό, ἄλλοτε δὲ ἐκεῖνο, ἀναφέροντας συγχρόνως καὶ τὰ παράδοξα, καὶ μὴ ἀφήνοντας ἔτσι νὰ μὴ γίνει πιστευτὸ τὸ σχέδιο τῆς θείας οἰκονομίας, ἐξ αἰτίας τοῦ ὑ-

περβολήν. Εἰπὼν γὰρ ὅτι τέξεται ἡ παρθένος, ὅπερ ἦν ἀνώτερον φύσεως, καὶ ὅτι κληθήσεται Ἐμμανουήλ, ὅ καὶ αὐτὸ μεῖζον προσδοκίας ἦν, ἵνα μή τις τὸν Ἐμμανουὴλ ἀκούσας, τὰ Μαρκίωνος πάθῃ, καὶ νοσήσῃ τὰ τοῦ Οὐαλεντίνου, διὰ τὴν οἰκονομίαν, διαρρήδην ἐπήγαγε καὶ τῆς οἰκονομίας σαφεστάτην ἀπόδειξιν, ἀπὸ τῆς τραπέζης αὐτὴν πιστούμενος. Τί γάρ φησι; «Βούτυρον καὶ μέλι φάγεται». Τοῦτο δὲ οὐκ ἂν εἴη θεότητος, ἀλλὰ τῆς φύσεως τῆς ἡμέρας. Διὰ γάρ τοι τοῦτο οὐδὲ ἄνθρωπον ἁπλῶς πλάσας ἐνῴκησεν ἐν αὐτῷ, ἀλλὰ καὶ τῆς κυήσεως ἠνέσχετο, καὶ ταύτης ἐννεαμηνιαίου, καὶ ὠδίνων καὶ σπαργάνων, καὶ τῆς ἐκ πρώτης ἡλικίας τροφῆς, ἵνα διὰ πάντων ἐμφράξῃ τὰ στόματα τῶν ἀρνεῖσθαι τὴν οἰκονομίαν ἐπιχειρούντων.

Ταῦτα οὖν ἄνωθεν προορῶν ὁ προφήτης οὐχὶ τὰς ὠδῖνας λέγει, καὶ τὸν θαυμαστὸν τόκον μόνον, ἀλλὰ καὶ τὴν ἐν πρώτῃ ἡλικίᾳ τροφήν, τὴν ἐν αὐτοῖς τοῖς σπαργάνοις, οὐδὲν τῶν λοιπῶν ἐξαλλάττουσαν ἀνθρώπων, οὐδέ τι ξένον κατὰ τοῦτο ἔχουσαν. Οὔτε γὰρ ἅπαντα ἐξηλλαγμένα ἦν αὐτῷ, οὔτε πάντα κοινά. Τὸ μὲν γὰρ ἐκ γυναικὸς τεχθῆναι κοινόν, τὸ δὲ ἀπὸ παρθένου μεῖζον ἢ καθ' ἡμᾶς. Τὸ τραφῆναι πάλιν τῷ κοινῷ τῆς φύσεως νόμῳ καὶ τῷ αὐτῷ τοῖς πολλοῖς, κοινόν, τὸ δὲ ἄβατον γενέσθαι πονηρίᾳ τὸν ναὸν ἐκεῖνον, καὶ μηδὲ εἰς πεῖραν ἐλθεῖν πονηρίας, τοῦτο ξένον καὶ παράδοξον, καὶ αὐτοῦ μόνου. Διὸ δὴ κἀκεῖνο καὶ τοῦτο τέθεικεν. Οὐ γὰρ μετὰ τὴν πεῖραν τῆς κακίας ἀπέστη τῆς κακίας, φησίν, ἀλλὰ ἄνωθεν καὶ ἐκ προοιμίων αὐτῶν πᾶσαν ἀρετὴν ἀπεδείκνυτο.

---

24. Μαρκίων· γνωστικὸς τοῦ Β' αἰῶνος· καταγόταν ἀπὸ τὴ Σινώπη τοῦ Πόντου καὶ ἔδρασε κυρίως στὴ Ρώμη. Δίδασκε ὅτι ἄλλος εἶναι ὁ Θεὸς τῆς Π. Διαθήκης, ὁ δημιουργὸς καὶ πονηρὸς Θεός, καὶ ἄλλος ὁ τῆς Κ. Διαθήκης, ὁ ἀγαθὸς Θεός, ὁ ὁποῖος καὶ ἔστειλε τὸν υἱό του τὸν Χριστὸ γιὰ ν' ἀπαλλάξει τὸν κόσμο ἀπὸ τὴν τυραννία τοῦ πονηροῦ Θεοῦ.

25. Οὐαλεντῖνος· ὁ κυριότερος ἐκπρόσωπος τοῦ Γνωστικισμοῦ τοῦ Β' αἰώνα. Δίδασκε ὅτι ὁ κόσμος προῆλθε ἀπὸ τὸν ὑπέρτατο Θεό, ἀφοῦ ὅμως μεσολάβησε μιὰ ἀτέλειωτη σειρὰ μεσαζόντων θεοτήτων, τῶν αἰώνων.

περβολικοῦ μεγέθους τοῦ θαύματος. Διότι, ἀφοῦ εἶπε ὅτι θὰ γεννήσει ἡ παρθένος, πράγμα ποὺ ἦταν ἀνώτερο ἀπὸ τὸ νόμο τῆς φύσεως, καὶ ὅτι θὰ ὀνομασθεῖ Ἐμμανουήλ, πράγμα ποὺ καὶ αὐτὸ ἦταν μεγαλύτερο ἀπὸ τὴν προσδοκία, γιὰ νὰ μὴ συμβεῖ, ἀκούοντας κάποιος τὸ ὄνομα Ἐμμανουήλ, νὰ πάθει ἐκεῖνο ποὺ ἔπαθε ὁ Μαρκίων[24] καὶ νὰ ὑποπέσει στὶς νοσερὲς δοξασίες τοῦ Οὐαλεντίνου[25], γιὰ χάρη τῆς θείας οἰκονομίας ἀμέσως πρόσθεσε καὶ σαφέστατη ἀπόδειξη τῆς οἰκονομίας, ἐπιβεβαιώνοντας αὐτὴν ἀπὸ τὸ ὅτι ὁ Χριστὸς θὰ ἔτρωγε. Διότι τί λέγει; «Βούτυρο καὶ μέλι θὰ τρώγει». Αὐτὸ δὲν θὰ μποροῦσε νὰ εἶναι γνώρισμα τῆς θεότητας, ἀλλ' εἶναι γνώρισμα τῆς δικῆς μας φύσεως. Γι' αὐτὸ λοιπὸν οὔτε ἁπλῶς ἔπλασε ἄνθρωπο καὶ τὸν ἐγκατέστησε μέσα σ' αὐτόν, ἀλλὰ καὶ κύηση ἀνέχθηκε, καὶ μάλιστα ἐννιὰ μηνῶν, καὶ μὲ πόνους γεννήθηκε καὶ σπάργανα φόρεσε, καὶ ἔφαγε τὴν τροφὴ τῆς πρώτης νηπιακῆς ἡλικίας, ὥστε μὲ ὅλα νὰ κλείσει τὰ στόματα ἐκείνων ποὺ ἐπιχειροῦν ν' ἀρνηθοῦν τὴ θεία οἰκονομία.

Αὐτὰ λοιπὸν προβλέποντας ὁ προφήτης ἀπὸ τὴν ἀρχὴ δὲν προλέγει μόνο τοὺς πόνους τοῦ τοκετοῦ καὶ τὴν θαυμαστὴ γέννηση, ἀλλὰ καὶ τὴν τροφὴ κατὰ τὴν πρώτη ἡλικία, ὅταν θὰ βρίσκεται στὰ σπάργανα, ποὺ δὲν διαφέρει καθόλου ἀπὸ τὴν τροφὴ τῶν ὑπόλοιπων ἀνθρώπων καὶ δὲν παρουσιάζει τίποτε τὸ παράξενο. Διότι οὔτε διέφεραν σ' αὐτὸν ὅλα, οὔτε ὅλα ἦταν κοινά. Πράγματι τὸ νὰ γεννηθεῖ ἀπὸ γυναίκα ἦταν κοινὸ γνώρισμα, τὸ νὰ γεννηθεῖ ὅμως ἀπὸ παρθένο ἦταν ἀνώτερο ἀπὸ αὐτὸ ποὺ γίνεται μὲ μᾶς. Τὸ νὰ τραφεῖ πάλι μὲ τὸν κοινὸ νόμο τῆς φύσεως καὶ μὲ αὐτὸν ποὺ τρέφονται οἱ πολλοὶ ἄνθρωποι, εἶναι κοινὸ γνώρισμα, τὸ νὰ γίνει ὅμως ὁ ναὸς ἐκεῖνος ἀδιάβατος στὴν κακία καὶ νὰ μὴ δοκιμάσει καθόλου τὴν κακία, αὐτὸ εἶναι πρωτοφανὲς καὶ παράδοξο καὶ αὐτοῦ μόνο γνώρισμα. Γι' αὐτὸ λοιπὸν καὶ ἐκεῖνο καὶ αὐτὸ ἀνέφερε. Διότι, λέγει, δὲν ἀπομακρύνθηκε ἀπὸ τὴν κακία, ἀφοῦ πρῶτα διέπραξε τὴν κακία, ἀλλ' ἀπὸ τὴν ἀρχὴ καὶ τὴν πρώτη στιγμὴ ἔδειχνε ὅλη τὴν ἀρετή του. Αὐτὸ ἀκριβῶς καὶ αὐτὸς ἔλεγε· «Ποιὸς ἀπ' αὐτοὺς

Ὃ καὶ αὐτὸς ἔλεγε· «Τίς ἐξ αὐτῶν ἐλέγχει με περὶ ἁμαρτίας;», καί, «Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ ἔχει οὐδέν». Καὶ αὐτὸς οὗτος προϊὼν ὁ προφήτης λέγει, ὅτι «Ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ».

7. Τοῦτο δὴ καὶ ἐνταῦθά φησιν, ὅτι πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἀπὸ τῆς ἡλικίας ἐκείνης τῆς ἀπειροκάκου, ἀπ' αὐτῶν τῶν προοιμίων τὴν ἀρετὴν ἐπιδείξεται, καὶ οὐδὲν ἕξει πρὸς τὴν κακίαν κοινόν. «Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν». Πάλιν ταῖ αὐταῖς λέξεσι τὸ αὐτὸ νόημα αἰνίττεται, καὶ ἐνδιατρίβει τῷ λόγῳ. Ἐπειδὴ γὰρ σφόδρα ἦν ὑψηλὸν τὸ εἰρημένον, τῇ συνεχείᾳ τῆς διηγήσεως αὐτὸ πιστοῦται. Ὅπερ γὰρ ἀνωτέρω ἐδήλωσεν εἰπών, «Πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά», τοῦτο προϊὼν ᾐνίξατο εἰπών, «Πρὶν ἢ γνῶναι τὸ παιδίον» καὶ ἐπεξηγήσει κέχρηται πάλιν λέγων· Ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν». Τούτου γὰρ αὐτοῦ μόνον ἦν τὸ ἐξαίρετον. Διὸ καὶ ὁ Παῦλος αὐτὸ στρέφει συνεχῶς, καὶ Ἰωάννης δὲ ἰδὼν αὐτόν, τοῦτο ἀνεκήρυξε λέγων· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». Ὁ δὲ τὴν ἑτέρων αἴρων, πολλῷ μᾶλλον αὐτὸς ἀναμάρτητος ἦν.

Καὶ ὁ Παῦλος, ὅπερ ἔφθην εἰπών, συνεχῶς αὐτὸ ἀναβοᾷ. Ἐπειδὴ γὰρ ἔμελλεν ἀποθνήσκειν, ἵνα μή τις νομίσῃ τῶν ἀπίστων, ὅτι οἰκείας ἁμαρτίας τίνει δίκην, συνεχῶς αὐτοῦ τὸ ἀναμάρτητον εἰς μέσον ἄγει, ἵνα τὸν θάνατον αὐτοῦ τῆς ἡμετέρας ἁμαρτίας λυτήριον ὄντα δείξῃ. Διὸ καὶ ἔλεγε· «Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει. Καὶ γὰρ ὃ

26. Ἰω. 8, 46.
27. Ἰω. 14, 30.
28. Ἠσ. 53, 9.
29. Ἰω. 1, 29.
30. Ρωμ. 6, 9-10.

μπορεῖ νὰ μὲ ἐλέγξει γιὰ ἁμαρτία;»[26]· καί, «Ἔρχεται ὁ ἄρχοντας τοῦ κόσμου αὐτοῦ, ἀλλὰ σὲ μένα δὲν ἔχει καμιὰ ἐξουσία»[27]. Καὶ ὁ ἴδιος δὲ αὐτὸς προφήτης προχωρώντας λέγει, ὅτι «Ἁμαρτία δὲν διέπραξε, οὔτε βρέθηκε δόλος στὸ στόμα αὐτοῦ»[28].

7. Αὐτὸ λοιπὸν λέγει καὶ ἐδῶ, ὅτι δηλαδὴ προτοῦ ἀποκτήσει τὴ γνώση νὰ διακρίνει τὰ κακά, ἀπὸ τὴν ἡλικία ἐκείνη τὴν ἀπειρόκακη, ἀπὸ τὴν ἀρχὴ ἀκόμα θὰ δείξει τὴν ἀρετή του καὶ δὲν θὰ ἔχει κανένα κοινὸ μὲ τὴν κακία. «Διότι προτοῦ γνωρίσει τὸ παιδὶ νὰ διακρίνει τὸ καλὸ ἢ τὸ κακό, θ' ἀποφύγει τὴν κακία καὶ θὰ προτιμήσει τὸ καλό». Πάλι μὲ τὶς λέξεις αὐτὲς ὑπαινίσσεται τὸ ἴδιο νόημα καὶ ἐπιμένει στὰ ἴδια λόγια. Ἐπειδὴ δηλαδὴ τὰ λόγια αὐτὰ ἦταν πάρα πολὺ ὑψηλά, ἐπιβεβαιώνει αὐτὰ μὲ τὴ συνέχεια τῆς διηγήσεως. Διότι, ἐκεῖνο ποὺ προηγουμένως ἀνέφερε, λέγοντας, «Προτοῦ ἀποκτήσει τὴ γνώση νὰ διακρίνει τὸ καλὸ ἀπὸ τὸ κακό», αὐτὸ προχωρώντας ὑπαινίχθηκε, λέγοντας, «Πρὶν ἀποκτήσει τὸ παιδὶ τὴ γνώση», καὶ χρησιμοποιεῖ πάλι τὴν ἐπεξήγηση, λέγοντας, «Νὰ διακρίνει τὸ καλὸ ἀπὸ τὸ κακό, θ' ἀποφύγει τὴν κακία καὶ θὰ προτιμήσει τὸ καλό». Διότι αὐτὸ τὸ ἐντελῶς ξεχωριστὸ γνώρισμα ἦταν αὐτοῦ μόνο γνώρισμα. Γι' αὐτὸ καὶ ὁ Παῦλος αὐτὸ ἀναφέρει συνέχεια, καὶ ὁ Ἰωάννης δὲ ὅταν εἶδε αὐτόν, αὐτὸ διεκήρυξε, λέγοντας· «Νὰ ὁ ἀμνὸς τοῦ Θεοῦ ποὺ σηκώνει τὴν ἁμαρτία τοῦ κόσμου»[29]. Ἐκεῖνος δὲ ποὺ σηκώνει τὴν ἁμαρτία τῶν ἄλλων, αὐτὸς πολὺ περισσότερο ἦταν ἀναμάρτητος.

Καὶ ὁ Παῦλος, ὅπως προανέφερα, αὐτὸ συνέχεια βροντοφωνάζει. Ἐπειδὴ δηλαδὴ ὁ Χριστὸς ἐπρόκειτο νὰ πεθάνει, γιὰ νὰ μὴ νομίσει κάποιος ἀπὸ τοὺς ἀπίστους, ὅτι τιμωρεῖται γιὰ τὶς ἁμαρτίες του, συνέχεια ἀναφέρει τὸ ἀναμάρτητο αὐτοῦ, γιὰ νὰ δείξει ὅτι ὁ θάνατος αὐτοῦ ἦταν μέσο ἀπαλλαγῆς τῆς δικῆς μας ἁμαρτίας. Γι' αὐτὸ καὶ ἔλεγε· «Ὁ Χριστός, ἀφοῦ ἀναστήθηκε ἀπὸ τοὺς νεκρούς, δὲν πεθαίνει πλέον. Καθόσον τὸ θάνατο ποὺ δέχθηκε νὰ ὑποστεῖ, τὸν ὑπέστη γιὰ νὰ καταργήσει τὴν ἁμαρτία»[30]. Οὔτε, λέγει, τὸ θάνατο ἐκεῖνο τὸν ὑπέστη σὰν ὑ-

ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν». Οὐδὲ ἐκεῖνον τὸν θάνατον, ὡς ὑπεύθυνος ὤν, φησί, κατὰ τὸν τῆς ἁμαρτίας λόγον ἀπέθανεν, ἀλλ' ὑπὲρ τῆς κοινῆς ἁπάντων πλημμελείας. Εἰ τοίνυν τῷ προτέρῳ κατὰ τοῦ ὑπεύθυνος οὐκ ἦν, ἐκ περιουσίας ἀποδέδεικται, ὅτι οὐκέτι ἀποθανεῖται.

«Καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ἀπὸ προσώπου τῶν δύο βασιλέων». Ὅπερ συνεχῶς ὁ προφήτης ποιεῖ, τοῦτο ἐνταῦθα πεποίηκε. Μετὰ τὴν προφητείαν ἐπὶ τὴν ἱστορίαν ἐξάγει τὸν λόγον. Τοῦτο καὶ ἐπὶ τῶν Σεραφὶμ κατασκευάσαντα σαφῶς ἀπεδείξαμεν, ὃ καὶ ἐνταῦθα εἰργάσατο. Εἰπὼν γὰρ τὰ μέλλοντα ἔσεσθαι τῆς οἰκουμένης ἀγαθά, εἰς τὸν βασιλέα λοιπὸν τρέπει τὸν λόγον. Διὸ καὶ ἐπήγαγε λέγων· «Καταλειφθήσεται ἡ γῆ». Τί ἐστι, «Καταλειφθήσεται»; Ἀνέπαφος ἔσται, ἐλευθέρα ἔσται, οὐδὲ πείσεται ἀηδές, τὰ τοῦ πολέμου οὐχ ὑποστήσεται. «Καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ», ὑπὲρ ἧς δέδοικας, ὑπὲρ ἧς τρέμεις, «ἀπὸ προσώπου τῶν δύο βασιλέων», τοῦ τε Δαμασκηνοῦ, καὶ τοῦ Ἰσραηλίτου.

Εἶτα ἵνα μὴ τῇ τῶν ἀγαθῶν προφητείᾳ ῥαθυμότερος γένηται, μηδὲ ὑπὸ τῆς εἰρήνης χαυνότερος, ἐπισφίγγει πάλιν αὐτοῦ τὴν ψυχὴν λέγων· «Ἀλλὰ ἐπάξει ὁ Θεὸς ἐπὶ σέ, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὔπω ἥκασιν, ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραῒμ ἀπὸ Ἰούδα, τὸν βασιλέα τῶν Ἀσσυρίων». Διὰ γὰρ τούτων τῶν βαρβάρων τὴν ἔφοδον δηλοῖ, δι' ἧς τὴν πόλιν πρόρριζον ἀνέσπασαν, καὶ λαβόντες αὐτοὺς αἰχμαλώτους ἀπῆλθον. Καὶ προλέγει ταῦτα, οὐχ ἵνα γένηται, ἀλλ' ἵνα, τῷ φόβῳ γενόμενοι σωφρονέστεροι, τὴν ἀπειλὴν ἀποκρούσωνται. Ἐπειδὴ δὲ οὔτε ὑπὸ τῶν χρηστῶν, ὧν παρ' ἀξίαν ἀπήλαυσαν, ἐγένοντο βελτίους (ὅτι δὲ παρ' ἀξίαν ἀπήλαυσαν, ἔδειξεν ἡ γνώμη τοῦ βασιλέως καὶ ἡ ὑπερβάλλουσα ἀπιστία), οὔτε τῇ ἀπειλῇ

πεύθυνος γιὰ τὴ διάπραξη δικῆς του ἁμαρτίας, ἀλλ' ὑπὲρ τῆς κοινῆς ἁμαρτίας ὅλων μας. Ἐὰν λοιπὸν τὸν προηγούμενο θάνατο τὸν ὑπέστη χωρὶς νὰ ἦταν ὑπεύθυνος, μὲ μεγάλη ὑπεροχὴ ἀποδεικνύεται, ὅτι δὲν πρόκειται νὰ πεθάνει πλέον.

«Καὶ θ' ἀφεθεῖ ἐλεύθερη ἡ χώρα, γιὰ τὴν ὁποία σὺ φοβᾶσαι, ἀπὸ τοὺς δύο βασιλεῖς». Ἐκεῖνο ποὺ συνέχεια κάμνει ὁ προφήτης, αὐτὸ ἔχει κάνει καὶ ἐδῶ. Μετὰ τὴν προφητεία μεταφέρει τὸ λόγο στὴν ἱστορία. Αὐτὸ ἀποδείξαμε καθαρὰ ὅτι ἔκανε μιλώντας γιὰ τὰ Σεραφίμ, πράγμα ποὺ ἔκανε καὶ ἐδῶ. Διότι, ἀφοῦ μίλησε γιὰ τὰ ἀγαθὰ ποὺ πρόκειται νὰ δοθοῦν στὴν οἰκουμένη, μεταφέρει στὴ συνέχεια τὸ λόγο στὸ βασιλιά. Γι' αὐτὸ πρόσθεσε καὶ εἶπε· «Καὶ καταλειφθήσεται ἡ γῆ». Τί σημαίνει, «Καταλειφθήσεται»; Θὰ παραμείνει ἀνέπαφη, θ' ἀφεθεῖ ἐλεύθερη, δὲν θὰ πάθει κανένα κακό, δὲν θὰ ὑποστεῖ τὶς καταστροφὲς τοῦ πολέμου. «Καὶ θ' ἀφεθεῖ ἐλεύθερη ἡ χώρα, γιὰ τὴν ὁποία σὺ φοβᾶσαι», γιὰ τὴν ὁποία ἀνησυχεῖς, γιὰ τὴν ὁποία τρέμεις, «Ἀπὸ τοὺς δύο βασιλεῖς», καὶ τὸ βασιλιὰ τῆς Δαμασκοῦ, καὶ τὸ βασιλιὰ τοῦ Ἰσραήλ.

Ἔπειτα γιὰ νὰ μὴ γίνει ἐξ αἰτίας τῆς προφητείας τῶν ἀγαθῶν πιὸ ἀδιαφορος, οὔτε πιὸ ἀποχαυνομένος ἐξ αἰτίας τῆς εἰρήνης, σφίγγει καὶ πάλι τὴν ψυχὴ αὐτοῦ λέγοντας· «Ἀλλ' ὁ Θεὸς θὰ στείλει ἐναντίον σου καὶ ἐναντίον τοῦ λαοῦ σου καὶ ἐναντίον τοῦ βασιλικοῦ οἴκου τοῦ πατέρα σου τέτοιες ἡμέρες συμφορῶν, ποὺ δὲν σᾶς βρῆκαν ἀπὸ τὴν ἐποχὴ ποὺ χωρίσθηκε τὸ βασίλειο τοῦ Ἰούδα, δηλαδὴ θὰ στείλει τὸ βασιλιὰ τῶν Ἀσσυρίων». Μὲ τοὺς βαρβάρους αὐτοὺς ὑπαινίσσεται τὴν εἰσβολὴ αὐτῶν, μὲ τὴν ὁποία κατέστρεψαν τὴν πόλη ἀπὸ τὰ θεμέλια, καί, ἀφοῦ πῆραν αὐτοὺς αἰχμαλώτους, ἀπομακρύνθηκαν. Καὶ τὰ προλέγει αὐτὰ ὄχι γιὰ νὰ γίνουν, ἀλλ', ἀφοῦ γίνουν πιὸ σώφρονες ἀπὸ τὸ φόβο, ν' ἀποκρούσουν τὴν ἀπειλή. Ἐπειδὴ ὅμως οὔτε μὲ τὰ ἀγαθά, ποὺ τ' ἀπόλαυσαν χωρὶς νὰ τὸ ἀξίζουν, ἔγιναν καλύτεροι (τὸ ὅτι δὲ τ' ἀπόλαυσαν χωρὶς νὰ τὸ ἀξίζουν τὸ φανέρωσε ἡ γνώμη τοῦ βασιλιᾶ καὶ ἡ ὑπερβολικὴ ἀπιστία), οὔτε μὲ τὴν ἀπειλὴ τῶν φοβερῶν ἄλλαξαν τρόπο ζωῆς, ἀλλὰ

τῶν φοβερῶν μετεβάλλοντο, ἀλλὰ πρὸς ἑκάτερον τῆς ὠφελείας τὸ φάρμακον ἀντέστησαν χαλεπῶς, ἐπάγει λοιπὸν βαθυτέραν τὴν τομήν, τὴν σηπεδόνα ἐκτέμνων, καὶ τοὺς ἀνίατα νοσοῦντας ἐκκόπτων.

Τί δέ ἐστιν, «Ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραῒμ ἀπὸ Ἰούδα, τὸν βασιλέα τῶν Ἀσσυρίων»; Ἐπῆλθον οἱ βάρβαροι, πάντας αὐτοὺς ἀναρπασόμενοι· ἀλλ' ἀφέντες τὸν Ἰούδα καὶ τὰς δύο φυλάς, ἐτράπησαν κατὰ τοῦ Ἰσραήλ. Ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς αἱ δέκα φυλαὶ πρὸς ἑαυτὰς ἐφελκύσονται τὸ τῶν βαρβάρων στρατόπεδον, ὑμῶν ἀποστήσαντες, τῇ τῆς οἰκείας ἁμαρτίας ὑπερβολῇ, καὶ καθ' ἑαυτῶν καλέσαντες αὐτοὺς ἀπενεχθῶσιν, ἀπ' ἐκείνης χρὴ δεδοικέναι καὶ φοβεῖσθαι λοιπόν. Ὁδῷ γὰρ προβαίνοντες καὶ ἐφ' ὑμᾶς ἥξουσιν, εἰ μὴ μεταβάλλοισθε. Καί φησιν, ἀπὸ τῆς ἡμέρας ἐκείνης ἐπάξει αὐτούς. Οὐ γὰρ ὁμοῦ τῶν Ἰσραηλιτῶν ἀπενεχθέντων, κἀκεῖνοι ἑάλωσαν, ἀλλὰ βραχὺς μεταξὺ γέγονε χρόνος. Ὃ τοίνυν λέγει, τοῦτό ἐστιν, ὅτι τῇ ψήφῳ ἔκτοτε ἐπήγαγεν ἂν τὰς ἡμέρας· ἀλλ' ἀνέμενεν ὁ Θεός, καὶ ἐμακροθύμει, καίτοι τῆς ἀξίας τῶν ἁμαρτημάτων ἔκτοτε ἀπαιτούσης τὴν τιμωρίαν· ὅπερ πολλαχοῦ ποιεῖν εἴωθε, τῆς κυρίας παραγενομένης ἡμέρας, ἀναβάλλεσθαι καὶ ἀναδύεσθαι· ὃ καὶ τῆς ἀγνωμοσύνης τῶν οὐκ ἐθελόντων εἰς δέον αὐτοῦ κεχρῆσθαι τῇ μακροθυμίᾳ ἀπόδειξις σαφεστάτη. Τοῦτο οὖν καὶ ἐνταῦθά φησιν, ὅτι ἀπὸ τότε ἡ ἀπειλή, ἀπὸ τότε ἡ ἀπόφασις, ἐκ τότε ἡ θεήλατος ὀργή, ἵνα ἐπὶ θύρας ἀγαγὼν τὴν τιμωρίαν, διαναστήσῃ πρὸς μετά-

ἀντέδρασαν πολὺ σκληρὰ πρὸς τὸ καθένα ἀπὸ τὰ δύο φάρμακα ποὺ ἀποσκοποῦσαν στὴν ὠφέλειά τους, προχωρεῖ στὴ συνέχεια σὲ πιὸ βαθειὰ τομή, ἀποκόπτοντας τὸ σάπιο μέρος καὶ ἐξολοθρεύοντας ἐκείνους ποὺ ἦταν ἀθεράπευτα ἀσθενεῖς.

Τί σημαίνει ὅμως, «'Ἀπὸ τὴν ἡμέρα ποὺ χωρίσθηκε τὸ βασίλειο τοῦ Ἰσραὴλ ἀπὸ τὸ βασίλειο τοῦ Ἰούδα, δηλαδὴ τὸ βασιλιὰ τῶν Ἀσσυρίων»; Ἔκαναν εἰσβολὴ οἱ βάρβαροι μὲ σκοπὸ νὰ τοὺς συλλάβουν ὅλους αἰχμαλώτους, ἀλλ', ἀφήνοντας τὸ βασίλειο τοῦ Ἰούδα μὲ τὶς δυὸ φυλές του, στράφηκαν ἐναντίον τοῦ βασιλείου τοῦ Ἰσραήλ. Αὐτὸ λοιπὸν ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἀπὸ τὴν ἡμέρα ἐκείνη ποὺ οἱ δέκα φυλὲς θὰ προσελκύσουν πρὸς τὸ μέρος τους τὸ στρατὸ τῶν βαρβάρων, ἀπομακρυνθέντες ἀπὸ σᾶς λόγω τῆς ὑπερβολικῆς τους ἁμαρτίας, καὶ θὰ ὁδηγηθοῦν αἰχμάλωτοι προκαλώντας αὐτοὺς ἐναντίον τους, ἀπο τὴν ἡμέρα ἐκείνη πρέπει πλέον νὰ φοβᾶσθε καὶ νὰ τρομάζετε. Διότι προχωρώντας σιγὰ σιγὰ θὰ βαδίσουν καὶ ἐναντίον σας, ἂν δὲν ἀλλάξετε συμπεριφορά. Καὶ λέγει, ὅτι ἀπὸ τὴν ἡμέρα ἐκείνη θὰ ὁδηγήσει αὐτοὺς ἐναντίον τους. Διότι δὲν συνελήφθηκαν καὶ ἐκεῖνοι καὶ ὁδηγήθηκαν αἰχμάλωτοι μακριὰ ἀπὸ τὴ χώρα τους μαζὶ μὲ τοὺς Ἰσραηλίτες, ἀλλὰ μεσολάβησε σύντομος χρόνος μεταξὺ τῶν γεγονότων αὐτῶν. Αὐτὸ λοιπὸν ποὺ λέγει σημαίνει τὸ ἑξῆς, ὅτι δηλαδὴ θὰ μποροῦσε ὁ Θεὸς νὰ ἐφαρμόσει τὴν ἀπόφασή του ἀπὸ τότε, ἀλλὰ περίμενε καὶ ἔδειχνε μακροθυμία, ἂν καὶ βέβαια τὰ ἁμαρτήματά τους ἦταν ἄξια τιμωρίας ἀπὸ τότε. Αυτὸ ἀκριβῶς κάμνει συνήθως σὲ πολλὲς περιπτώσεις, ἐνῶ δηλαδὴ φθάνει ἡ ἡμέρα ποὺ πρέπει νὰ ἐπιβάλει τὴν τιμωρία του, ἐν τούτοις ἀναβάλλει καὶ καθυστερεῖ αὐτήν, πράγμα ποὺ εἶναι μέγιστο δεῖγμα καὶ τῆς φιλανθρωπίας αὐτοῦ καθὼς καὶ ἀπόδειξη σαφέστατη τῆς ἀγνωμοσύνης ἐκείνων ποὺ δὲν θέλουν νὰ χρησιμοποιήσουν πρὸς ὠφέλειά τους τὴ μακροθυμία αὐτοῦ. Αὐτὸ λοιπὸν λέγει καὶ ἐδῶ, ὅτι δηλαδὴ ἀπὸ τότε ὑπῆρχε ἡ ἀπειλή, ἀπὸ τότε ἡ ἀπόφαση, ἀπὸ τότε ἡ θεόσταλτη ὀργή, ὥστε, μεταφέροντας κοντά τους τὴν τιμωρία, νὰ τοὺς παρακινήσει νὰ μετανοήσουν, νὰ τοὺς κάνει καλύτερους,

νοιαν, βελτίους ἐργάσηται, διαναστήσῃ πρὸς μετάνοιαν, βελτίους ἐργάσηται, καὶ μετὰ τὴν ἐκείνων ἅλωσιν ἐν ἀγωνίᾳ καταστήσῃ, μηδέ, ἐπειδὴ οἱ μὲν ἀπηνέχθησαν, οἱ δὲ διέφυγον, ῥᾳθυμότεροι ταύτῃ γένωνται.

8. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συριεῖ Κύριος μυίαις, αἳ κυριεύσουσι μέρους ποταμοῦ Αἰγύπτου». Ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι τὸν φόβον αὐξῆσαι βουλόμενος, ἀπὸ τῆς ἡμέρας ἐκείνης ἐπισείει τὴν ἀπειλήν. Τὰ γοῦν ἑξῆς τοῦτο δηλοῖ, δι' ὧν ἐπαίρει τὸν φόβον τῷ λόγῳ, καὶ τὰ στρατόπεδα αὐτοῖς δῆλα ποιῶν, ἅπερ ἦν αὐτοῖς φοβερώτατα, καὶ τὴν εὐκολίαν τῆς ἐφόδου δηλῶν, ὃ μεθ' ὑπερβολῆς αὐτοὺς κατέσειε, τὸ πλῆθος τῆς στρατιᾶς ἐμφαίνων, ὃ μάλιστα αὐτῶν ἐξέστησε τὴν διάνοιαν· ταῦτα δὲ ἅπαντα διὰ τῶν ἑξῆς ᾐνίξατο. Σκόπει δέ. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ», φησί, «συριεῖ Κύριος μυίαις». Ἐνταῦθα μυίας τοὺς Αἰγυπτίους ἐκάλεσε, διὰ τὸ ἀναιδὲς καὶ ἀναίσχυντον, καὶ ὅτι συνεχῶς διακρουόμενοι συνεχῶς ἐπῄεσαν, καὶ οὐδὲ μικρὸν ἀναπνεῖν συνεχώρουν, ἀλλὰ μυρία παρεῖχον αὐτοῖς πράγματα πολλάκις, καθάπερ αἱ μυῖαι τοῖς τραύμασιν, οὕτω διηνεκῶς ταῖς τούτων ἐφιζάνοντες συμφοραῖς. Τούτους οὖν ἕξει, φησίν, ὁ Θεός. Ἀλλ' οὐκ εἶπεν, 'αὔξει', ἀλλὰ «Συριεῖ», τὴν εὐκολίαν ἐμφαίνων τῆς ἀνόδου, καὶ τὸ ἄμαχον τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ ὅτι ἀρκεῖ νεῦσαι μόνον, καὶ πάντα ἕπεται. Καὶ εἰκότως ἀπὸ τούτων πρότερον ἄρχεται τῆς ἀπειλῆς, ὧν ἤδη πεῖραν εἰλήφασι.

«Καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων». Ὁ Σύρος καὶ ὁ Ἑβραῖος, ὥς φασιν, οὐ λέγουσι, μελίσσας, ἀλλά, «Σφῆκας». Ἐπειδὴ γὰρ οὐ σφόδρα αὐτῶν ἦσαν ἐν πείρᾳ, τῇ εἰκόνι τοῦ ζώου εἰς πολλὴν αὐτοὺς ἐνέβαλλεν ἀγωνίαν, τὸ

καὶ μετὰ τὴν αἰχμαλωσία ἐκείνων νὰ τοὺς βάλει σὲ ἀγωνία, καὶ ὄχι, ἐπειδὴ ἐκεῖνοι μὲν ὁδηγήθηκαν αἰχμάλωτοι, ἐνῶ αὐτοὶ διέφυγαν τὴν αἰχμαλωσία, νὰ γίνουν ἐξ αἰτίας αὐτοῦ τοῦ πράγματος πιὸ ἀδιάφοροι.

8. «Καὶ κατὰ τὴν ἐποχὴ ἐκείνη θὰ σφυρίξει ὁ Κύριος προσκαλώντας σὰν μύγες τοὺς Αἰγυπτίους ποὺ ἐξουσιάζουν τὸ ἐπάνω μέρος τοῦ Νείλου, ποταμοῦ τῆς Αἰγύπτου». Βλέπεις ὅτι δὲν ἔλεγα ἄδικα, ὅτι προβάλλει τὴν ἀπειλὴ ἀπὸ τὴν ἡμέρα ἐκείνη, θέλοντας ν' αὐξήσει τὸ φόβο τους. Τὰ ὅσα λοιπὸν λέγει στὴ συνέχεια αὐτὸ φανερώνουν, μὲ τὰ ὁποῖα αὐξάνει τὸ φόβο τους, προβάλλοντας μπροστά τους τὰ ἐχθρικὰ στρατεύματα, ποὺ τοὺς προξενοῦσαν πάρα πολὺ μεγάλο φόβο, καὶ γιὰ νὰ δείξει τὴν εὐκολία τῆς ἐπιθέσεως, πράγμα ποὺ τοὺς συγκλόνιζε ὑπερβολικά, παρουσιάζει τὸ πλῆθος τῶν στρατευμάτων, γεγονὸς ποὺ πρὸ πάντων συντάραξε τὴ διάνοια αὐτῶν. Ὅλα αὐτὰ τὰ ὑπαινίχθηκε μὲ τὰ ἑξῆς. Πρόσεχε δέ. «Καὶ κατὰ τὴν ἡμέρα ἐκείνη», λέγει, «θὰ σφυρίξει ὁ Κύριος καλώντας τὶς μύγες». Μύγες ἐδῶ ὀνόμασε τοὺς Αἰγυπτίους, ἐξ αἰτίας της ἀναίδειας καὶ τῆς ἀδιαντροπιᾶς τους, καὶ ἐπειδή, ἐνῶ συνέχεια ἀποκρούονταν, συνέχεια ἐπιτίθονταν, καὶ δὲν τοὺς ἄφηναν οὔτε γιὰ λίγο ν' ἀναπνεύσουν, ἀλλὰ τοὺς δημιουργοῦσαν πολλὲς φορὲς ἀμέτρητες ἐνοχλήσεις, καὶ ὅπως ἀκριβῶς οἱ μύγες κάθονται στὰ τραύματα, ἔτσι καὶ αὐτοὶ συνέχεια ἐπέμεναν νὰ τοὺς δημιουργοῦν συμφορές. Αὐτοὺς λοιπόν, λέγει, θὰ ὁδηγήσει ὁ Θεὸς ἐναντίον τους. Ὅμως δὲν εἶπε, 'θὰ τοὺς αὐξήσει', ἀλλὰ «Θὰ σφυρίξει», φανερώνοντας τὴν εὐκολία τῆς ἐπιθέσεως, καθὼς καὶ τὴν ἀκαταμάχητη δύναμη τοῦ Θεοῦ, καὶ ὅτι ἀρκεῖ μόνο ἕνα νεῦμα του καὶ ὅλα ἀκολουθοῦν. Καὶ πολὺ σωστὰ ἀπὸ αὐτοὺς ἀρχίζει πρῶτα τὴν ἀπειλή, τοὺς ὁποίους ἤδη εἶχαν δοκιμάσει.

«Καὶ τὰ πλήθη τῶν μελισσῶν, ποὺ κατοικοῦν στὴ χώρα τῶν Ἀσσυρίων». Ὁ Σύρος καὶ ὁ Ἑβραῖος, ὅπως λένε, δὲν τοὺς ὀνομάζουν μέλισσες, ἀλλὰ «Σφῆκες». Ἐπειδὴ δηλαδὴ δὲν τοὺς γνώριζαν πάρα πολὺ καλά, μὲ τὴν εἰκόνα τοῦ ζώου αὐτοῦ τοὺς δημιούργησε μεγάλη ἀγωνία, παρουσιάζοντας μὲ τὸ ζῶο

σφοδρὸν αὐτῶν, τὸ πληκτικόν, τὸ ἀμυντικόν, τὸ πικρὸν τῶν τραυμάτων, τὸ ταχὺ τῆς παρουσίας, τὸ δυσφύλακτον διὰ τοῦ ζώου τούτου δηλῶν.

«Καὶ ἐλεύσονται, καὶ ἀναπαύσονται πάντες ἐν ταῖς φάραγξι τῆς χώρας καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ σπήλαια, καὶ εἰς πᾶσαν ραγάδα, καὶ ἐν παντὶ ξύλῳ». Εἰπὼν τὸ φοβερὸν τῶν ἐχθρῶν, καὶ τὸ τάχιστον τῆς στρατείας, λέγει καὶ τὸ πλῆθος λοιπόν. Καὶ οὐκ εἶπε, 'στρατοπεδεύσονται', ἀλλά, «Ἀναπαύσονται», οὐδὲ ὡς εἰς πολεμίαν ἀφικνούμενοι χώραν, ἀλλ' ὡς τῇ οἰκείᾳ ἐντρυφῶντες, οὐδὲ ὡς καμάτου δεόμενοι καὶ πόνου, ἀλλ' ὡς ἐπὶ φανερὰν ἀπαντήσοντες νίκην, καὶ ἕτοιμον ληψόμενοι τὴν ἁρπαγήν. Διὰ τοῦτό φησιν, «Ἐλεύσονται καὶ ἀναπαύσονται», ὃ τῶν νενικηκότων ἐστί, καὶ τρόπαιον στησάντων, καὶ μετὰ τὸν πολὺν ἱδρῶτα καὶ τὰς σφαγὰς ἀναπαυομένων. Καὶ οὐκ ἀναπαύσονται ἐν πεδίοις μόνον, ἀλλ', ἐπειδὴ τὸ πλῆθος ἄπειρον, οὐχ ἱκανὴ ἡ χώρα δέξασθαι τῶν σωμάτων τὸν ἀριθμόν, καὶ φάραγγες, καὶ πέτραι, καὶ ὄρη, καὶ νάπαι, καὶ πάντα καλυφθήσεται τοῖς βαρβαρικοῖς σώμασι. Καίτοι εἰ καὶ μὴ σφοδροὶ ἦσαν, μηδὲ οὕτω ῥᾴδιοι, ἤρκει τὸ πλῆθος αὐτοὺς καταπλῆξαι, ὅταν δὲ ἀμφότερα ᾖ, πλῆθος τοσοῦτον, δύναμις τηλικαύτη, καὶ τὸ πάντων χαλεπώτερον, ἡ τοῦ Θεοῦ ὀργὴ στρατηγοῦσα, ποία λοιπόν ἐστι σωτηρίας ἐλπίς; Τὸ δέ, «Εἰς πᾶσαν ραγάδα, καὶ ἐν παντὶ ξύλῳ», ὑπερβολικῶς εἴρηται. Οὐ γὰρ δὴ ἐπὶ τῶν δένδρων ἔμελλον ἀναπαύεσθαι, ἀλλ' ὁμοῦ, καθάπερ εἶπον, καὶ τὴν ὑπερβολὴν ᾐνίξατο, καὶ τῇ μεταφορᾷ τῶν σφηκῶν ἐνέμεινεν.

«Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει Κύριος τῷ ξυρῷ τῷ μεμεθυσμένῳ». Αὐξήσας τὸν φόβον ἀπὸ τῶν στρατοπέδων, ἐπιτείνει πάλιν αὐτόν, ἐπὶ τὸν οὐρανὸν τὸν λόγον ἀνάγων, δεικνὺς ὅτι οὐ βάρβαροί τινες Αἰγύπτιοι καὶ Πέρσαι, ἀλλ' ὁ Θε-

αὐτὸ τὴ σφοδρότητα αὐτῶν, τὴν ἐνοχλητικότητα, τὴ μαχητικότητα, τὴ φοβερότητα τῶν τραυμάτων, τὴν ταχύτητα τῆς παρουσίας καὶ τὴ δυσκολία προφυλάξεως.

«Καὶ θὰ ἔρθουν αὐτοὶ καὶ θὰ ἀναπαυθοῦν ὅλοι στὰ φαράγγια τῆς χώρας, στὶς τρῶγλες τῶν βράχων, στὰ σπήλαια καὶ σὲ κάθε ρωγμὴ καὶ κάθε δένδρο». 'Αφοῦ μίλησε γιὰ τὴ φοβερότητα τῶν ἐχθρῶν καὶ τὴν ταχύτητα δράσεως τῶν στρατευμάτων τους, ἀναφέρει στὴ συνέχεια καὶ τὸ πλῆθος αὐτῶν. Καὶ δὲν εἶπε 'θὰ στρατοπεδεύσουν', ἀλλά, «Θ' ἀναπαυθοῦν», σὰν νὰ μὴ ἔρχονταν σὲ ἐχθρικὴ χώρα, ἀλλὰ νὰ ζοῦσαν στὴ δική τους χώρα, καὶ νὰ μὴ ἀντιμετώπιζαν κόπο καὶ κούραση, ἀλλὰ σὰν νὰ ἔρχονταν νὰ κερδίσουν σίγουρη νίκη καὶ νὰ λάβουν ἕτοιμα λάφυρα. Γι' αὐτὸ λέγει, «Θὰ ἔρθουν καὶ θ' ἀναπαυθοῦν», πράγμα ποὺ ἀποτελεῖ γνώρισμα ἐκείνων ποὺ ἔχουν νικήσει καὶ ἔστησαν τρόπαιο νίκης, καὶ ἀναπαύονται μετὰ τὸν πολὺ ἱδρώτα καὶ τὶς σφαγές. Καὶ δὲν θ' ἀναπαυθοῦν μόνο στὶς πεδιάδες, ἀλλ', ἐπειδὴ τὸ πλῆθος τους θὰ εἶναι ἀμέτρητο, καὶ δὲν θὰ εἶναι ἱκανὴ ἡ χώρα νὰ δεχθεῖ τὸν ἀριθμὸ τῶν στρατευμάτων, θὰ καλυφθοῦν καὶ τὰ φαράγγια, καὶ οἱ βράχοι, καὶ τὰ ὄρη, καὶ τὰ δάση καὶ γενικὰ ὅλα ἀπὸ τὰ βαρβαρικὰ στρατεύματα. Ἂν καὶ βέβαια, καὶ ἂν ἀκόμα δὲν ἦταν τόσο φοβεροὶ οὔτε καὶ τόσο ραδιούργοι, θὰ ἦταν ἀρκετὸ τὸ πλῆθος τους νὰ καταπλήξει αὐτούς, ὅταν ὅμως ὑπάρχουν καὶ τὰ δύο, καὶ τόσο πολὺ πλῆθος, καὶ τόση μεγάλη δύναμη, καὶ τὸ χειρότερο ἀπὸ ὅλα, ὑπάρχει καὶ ἡ ὀργὴ τοῦ Θεοῦ ποὺ τοὺς κατευθύνει, ποιὰ πλέον ἐλπίδα σωτηρίας ὑπάρχει; Τὸ δὲ «Σὲ κάθε ρωγμὴ καὶ σὲ κάθε δένδρο», ἔχει λεχθεῖ μὲ ὑπερβολή. Διότι ἀσφαλῶς δὲν ἐπρόκειτο νὰ ἀναπαυθοῦν ἐπάνω στὰ δένδρα, ἀλλὰ συγχρόνως, ὅπως ἀκριβῶς εἶπα, καὶ τὴν ὑπερβολὴ ὑπαινίχθηκε καὶ συνέχισε τὴν εἰκόνα τῶν σφηκῶν μὲ μεταφορικὴ σημασία.

«Κατὰ τὴν ἡμέρα ἐκείνη θὰ ξυρίσει ὁ Κύριος σὰν μὲ κοφτερὸ ξυράφι». 'Αφοῦ αὔξησε τὸ φόβο τους μὲ τὰ στρατεύματα, μεγαλώνει πάλι αὐτόν, μεταφέροντας τὸ λόγο στὸν οὐρανό, καὶ δείχνοντας ὅτι δὲν πολεμοῦν τοὺς 'Ιουδαίους ὁρισμένοι

ός ἐστιν ὁ πολεμῶν τοῖς Ἰουδαίοις. Ξυρὸν δὲ ἐνταῦθα τὴν ἀφόρητον ὀργὴν αὐτοῦ φησι, καὶ ἣν οὐδεὶς ὑποστῆναι δυνήσεται, μετ' εὐκολίας ἐπιοῦσαν καὶ ἀναλίσκουσαν. Ὥσπερ γὰρ αἱ τρίχες τοῦ σώματος τοῦ ξυροῦ τὴν ἀκμὴν οὐκ ἂν ἐνέγκαιεν, ἀλλ' εἴκουσιν εὐθέως καὶ παραχωροῦσιν, οὕτω δὴ καὶ τὰ Ἰουδαϊκὰ πράγματα τὴν θεήλατον ὀργὴν ἐκείνην οὐκ ἂν ὑποσταῖέν ποτε, φησί. «Ξυρὸν» τοίνυν «μεμεθυσμένον» τὴν ἀκμάζουσαν, τὴν μεμεστωμένην τοῦ Θεοῦ ὀργήν, τὴν πεπληρωμένην ἀπόφασιν ἡμῖν ἐνδείκνυται.

9. «Πέραν δὲ τοῦ ποταμοῦ βασιλέως Ἀσσυρίων», τὰ πέραν τοῦ Εὐφράτου φησίν, ἅπερ ἦν ἡ Ἰουδαία, καὶ ἡ Παλαιστίνη πᾶσα ἀπὸ Περσίδος ἐπανιοῦσι. Ταῦτα οὖν ἅπαντα ἀφανιεῖ, φησίν, ἄρδην. Κεφαλὴν δὲ καὶ τρίχας καὶ πώγωνα καὶ πόδας, ὁλόκληρον τὴν χώραν φησὶ τῇ παραβολῇ τοῦ σώματος, πᾶσαν αὐτῶν τὴν χώραν περιλαμβάνων τῷ λόγῳ, ὥσπερ καὶ ἀρχόμενος ἔλεγε, «Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην. Ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία», οὐ περὶ ἑνὸς ἀνθρώπου λέγων, ἀλλ' ὁλόκληρον τὴν χώραν ἑνὶ σώματι παραβάλλων. Τοῦτο δὴ καὶ ἐνταῦθά φησιν, ὅτι καὶ χαλεπὴν ὑποστήσεται τιμωρίαν πᾶσα ἡ γῆ. Καὶ τὸ μὲν διὰ τοῦ ξυροῦ, τὸ δὲ διὰ τῆς σώματος εἰκόνος ἐνέφηνε, δηλῶν ὅτι ξυροῦ παντὸς χαλεπώτερον καὶ τοὺς ἀνθρώπους καὶ τὰ ἀπὸ τῆς γῆς ἀναλώσει ἡ παρὰ τοῦ Θεοῦ φερομένη ψῆφος, καὶ γυμνὴν αὐτὴν καὶ ἔρημον καταλείψει.

Εἶτα τὴν ἐρημίαν ταύτην δι' ἑτέρας εἰκόνος ἐνδείκνυται. Ποιεῖ δὲ αὐτό, ὥστε διὰ πάντων ἀκμάζοντα μένειν τὸν φόβον, καὶ μὴ καταμαραίνεσθαι τῷ μήκει τοῦ λόγου τὴν ἀγωνίαν. Καὶ δοκεῖ μὲν τοῖς οὐ προσέχουσι χρηστῶν τινων ἐ-

31. Ἠσ. 1, 5-6.

βάρβαροι Αἰγύπτιοι καὶ Πέρσες, ἀλλ' ὁ Θεός. Ξυράφι ἐδῶ ὀνομάζει τὴν ἀνυπόφορη ὀργὴ αὐτοῦ ἡ ὁποία μὲ εὐκολία ἐξαπολύεται καὶ καταστρέφει καὶ τὴν ὁποία δὲν θὰ μπορέσει κανένας νὰ ὑπομείνει. Διότι, ὅπως ἀκριβῶς οἱ τρίχες τοῦ σώματος δὲν θὰ μποροῦσαν ν' ἀντισταθοῦν στὴ κόψη τοῦ ξυραφιοῦ, ἀλλ' ὑποχωροῦν ἀμέσως καὶ ὑποκύπτουν, ἔτσι λοιπὸν καὶ τὰ 'Ιουδαϊκὰ πράγματα, λέγει, δὲν θὰ μποροῦσαν ποτὲ νὰ ὑπομείνουν τὴ θεόσταλτη ἐκείνη ὀργή. «Μὲ τὸ κοφτερὸ ξυράφι» λοιπὸν μᾶς δείχνει τὴ δραστικὴ καὶ ἔντονη ὀργὴ τοῦ Θεοῦ, καθὼς καὶ τὴν ἀμετακίνητη ἀπόφαση αὐτοῦ.

9. Λέγοντας «Πέραν τοῦ ποταμοῦ βασιλέως 'Ασσυρίων», ἐννοεῖ τὰ πέρα ἀπὸ τὸν Εὐφράτη ποταμὸ μέρη, ποὺ ἦταν ἡ 'Ιουδαία καὶ ὅλη ἡ Παλαιστίνη ποὺ ἁπλώνεται ἀπὸ τὴν Περσία καὶ πρὸς τὰ ἐδῶ. Ὅλα αὐτὰ λοιπόν, λέγει, θὰ τὰ ἐξαφανίσει ἀπὸ τὰ θεμέλια. «Κεφαλὴ» δὲ «καὶ τρίχες καὶ πώγωνα καὶ πόδια ὀνομάζει ὁλόκληρη τὴ χώρα, παραβάλλοντάς την μὲ τὸ σῶμα, συμπεριλαμβάνοντας στὸ λόγο του ὁλόκληρη τὴ χώρα αὐτῶν, ὅπως ἀκριβῶς καὶ στὴν ἀρχὴ ἔλεγε, «Ὁλόκληρο τὸ κεφάλι σας εἶναι κυριευμένο ἀπὸ πόνο καὶ ὅλη ἡ καρδιά σας εἶναι γεμάτη ἀπὸ λύπη. 'Απὸ τὰ πόδια μέχρι τὸ κεφάλι δὲν ἀπέμεινε ὑγιὲς μέρος»[31], ἐννοώντας ὄχι ἕναν ἄνθρωπο, ἀλλὰ παραβάλλοντας μὲ ἕνα σῶμα ὁλόκληρη τή χώρα. Αὐτὸ λοιπὸν καὶ ἐδῶ λέγει, ὅτι δηλαδὴ θὰ ὑποστεῖ φοβερὴ τιμωρία ὁλόκληρη ἡ χώρα. Καὶ τὸ μὲν φοβερὸ τὸ φανέρωσε μὲ τὸ ξυράφι, τὴν δὲ ὁλοκληρωτικὴ καταστροφὴ τῆς χώρας μὲ τὴν εἰκόνα τοῦ σώματος, δείχνοντας ὅτι ἡ παρμένη ἀπὸ τὸ Θεὸ ἀπόφαση θὰ καταστρέψει τοὺς ἀνθρώπους καὶ τὰ πράγματα τῆς γῆς φοβερότερα ἀπὸ ὁποιοδήποτε ξυράφι, καὶ θ' ἀφήσει αὐτὴν γυμνὴ καὶ ἔρημη.

Ἔπειτα τὴν ἐρήμωση αὐτῆς τὴν παρουσιάζει μὲ ἄλλη εἰκόνα. Τὸ κάμνει δὲ αὐτό, ὥστε μὲ ὅλα νὰ παραμένει ἔντονος ὁ φόβος καὶ νὰ μὴ μειώνεται ἡ ἀγωνία μὲ τὸ μῆκος τοῦ λόγου. Καὶ φαίνεται μὲν σ' ἐκείνους ποὺ δὲν ἐξετάζουν μὲ προσοχὴ τὰ λόγια αὐτὰ ὅτι ἀποτελοῦν αὐτὰ ὑπόσχεση γιὰ κάποια ἀγαθά, ἐ-

παγγελίαν εἶναι τὸ λεγόμενον, οἱ δὲ ἀκριβῶς ἐξετάζοντες ἴσασιν ὅτι ἐπιτεταμένης ἐρημίας ἐστὶν ἀπόδειξις. Τί γάρ φησι; «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θρέψει ἄνθρωπος δάμαλιν βοῶν, καὶ δύο πρόβατα. Καὶ ἔσται, ἀπὸ τοῦ πλεῖστον πιεῖν γάλα, φάγεται βούτυρον, ὅτι βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς». Ταῦτα πολλήν, ὡς ἔφθην εἰπών, ἐρημίαν ἐνδείκνυται. Ἡ γὰρ πυροὺς καὶ κριθὰς φέρουσα γῆ, τῶν ἀνθρώπων ἐρημωθεῖσα, δαψιλῆ παρέξει νομὴν τοῖς προβάτοις, καὶ οὕτω δαψιλῆ, ὡς διὰ τὴν εὐθηνίαν τῆς τοιαύτης τραπέζης ἀρκεῖν καὶ δύο πρόβατα καὶ δάμαλιν μίαν πηγὰς τῷ κεκτημένῳ παρέχειν γάλακτος. Ὥστε ἡ εὐθυνία τῆς εὐωχίας τῶν ἀλόγων τῆς τῶν ἀνθρώπων ἐρημίας μέγιστόν ἐστι τεκμήριον. Καὶ τὸ μέλι δὲ τοῦτο αἰνίττεται· εἰώθασι γὰρ ταῖς ἐρήμοις ἐμφιλοχωρεῖν αἱ μέλιτται, καὶ ἔνθα ἂν πολλῆς νομῆς ἀπολαύωσι, καὶ ἔνθα μηδεὶς ὁ ἐνοχλῶν ᾖ.

Καὶ ἵνα μάθῃς ὅτι τὴν ἐπιτεταμένην ἐρημίαν αἰνίττεται, τὰ ἑξῆς δηλοῖ. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται, καὶ εἰς ἄκανθαν. Μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ». Πολλῆς καὶ τοῦτο δυσπραγίας σημεῖον, ὅτι μὴ ὄρη καὶ νάπαι, ἀλλ' αὐτὴ ἡ βαθύγειος καὶ πολλῆς ἀπολαύουσα τῆς ἐπιμελείας ἀκάνθας φέρει. Οὐδὲ γὰρ ἁπλῶς τὸ τίμημα τῶν ἀμέλων τέθεικεν, ἀλλ' ἵνα καὶ τὴν φύσιν τῆς γῆς ἐπιδείξηται, καὶ τὴν πολλὴν τῶν γεωργῶν ἐπιμέλειαν. Ἀλλ' ὅμως ἐκεῖνα τὰ οὕτως εὐθηνούμενα, φησί, καὶ γεωργικῶν ἀπολαύοντα χειρῶν, εἰς τοσαύτην καταστρέψει τὴν ἐρημίαν, ὡς ἀκάνθας μὲν ἀντὶ ἀμπέλων φέρειν, τοσοῦτον δὲ παρέχειν τοῖς εἰσιοῦσι τὸν φόβον, ὡς μηδένα τολμᾶν γυμνὸν καὶ ἄοπλον εἰσιέναι. Τοῦτο

κεῖνοι ὅμως ποὺ ἐξετάζουν αὐτὰ μὲ προσοχὴ γνωρίζουν ὅτι αὐτὰ ἀποτελοῦν ἀπόδειξη ὁλοκληρωτικῆς ἐρημώσεως. Τί λοιπὸν λέγει; «Καὶ θὰ συμβεῖ κατὰ τὴν ἡμέρα ἐκείνη ὁ ἄνθρωπος νὰ ἀρκεῖται στὴ διατροφὴ μιᾶς μόνο ἀγελάδας καὶ δύο προβάτων. Καὶ ἐπειδὴ θὰ ὑπάρχει ὑπεραφθονία ἀπὸ γάλα θὰ φάνε οἱ ἄνθρωποι βούτυρο, διότι βούτυρο καὶ μέλι θὰ φάει ὁ καθένας ποὺ θ' ἀπομείνει στὴ χώρα». Αὐτά, ὅπως προανέφερα, δείχνουν μεγάλη ἐρήμωση. Διότι ἡ γῆ ποὺ παράγει σιτάρι καὶ κριθάρι, ὅταν μείνει ἔρημη ἀπὸ ἀνθρώπους, θὰ προσφέρει ὑπεράφθονη τροφὴ γιὰ τὰ πρόβατα, καὶ τόσο ὑπεράφθονη, ὥστε ἐξ αἰτίας τῆς ὑπεραφθονίας τῆς παρόμοιας τράπεζας νὰ ἐπαρκοῦν τὰ δύο πρόβατα καὶ ἡ μία ἀγελάδα νὰ δώσουν στὸν κάτοχο αὐτῶν πηγὲς ἀπὸ γάλα. Ὥστε ἡ ὑπεραφθονία τῆς τροφῆς τῶν ζώων ἀποτελεῖ μέγιστη ἀπόδειξη τῆς ἐρημώσεως τῶν ἀνθρώπων. Καὶ τὸ μέλι δὲ αὐτὸ ὑπαινίσσεται· διότι οἱ μέλισσες συνηθίζουν νὰ διαλέγουν σὰν μέρος διαμονῆς τὶς ἐρημιές, ὅπου καὶ πλούσια τροφὴ ἀπολαμβάνουν καὶ δὲν ὑπάρχει κανένας ποὺ νὰ τὶς ἐνοχλεῖ.

Καὶ γιὰ νὰ μάθεις ὅτι ὑπαινίσσεται τὴ γενικὴ ἐρήμωση προσθέτει τὰ ἑξῆς. «Καὶ θὰ συμβεῖ κατὰ τὴν ἡμέρα ἐκείνη ὅπου ὑπάρχουν χίλια κλήματα καὶ ἀποδίδουν χίλια σίκλα, νὰ μείνει χέρσο τὸ μέρος καὶ νὰ γεμίσει ἀπὸ ἀγκάθια. Μὲ βέλη καὶ τόξα θὰ εἰσέρχονται ἐκεῖ, διότι ὁλόκληρη ἡ γῆ θὰ μείνει χέρση καὶ θὰ γεμίσει ἀπὸ ἀγκάθια». Καὶ αὐτὸ εἶναι ἀπόδειξη μεγάλης δυστυχίας, διότι ὄχι μόνο τὰ ὄρη καὶ τὰ δασώδη μέρη, ἀλλὰ καὶ αὐτὴ ἀκόμα ἡ εὔφορη γῆ, ποὺ ἀπολαμβάνει μεγάλη φροντίδα, θὰ φυτρώνει ἀγκάθια. Διότι δὲν ἀνέφερε τυχαῖα τὴν ἀξία τῶν κλημάτων, ἀλλὰ γιὰ νὰ δείξει καὶ τὴ φύση τῆς γῆς καὶ τὴ μεγάλη φροντίδα τῶν γεωργῶν. Ἀλλ' ὅμως, λέγει, ἐκεῖνα τὰ τόσο εὔφορα μέρη καὶ ποὺ δέχονται τόση περιποίηση ἀπὸ τὰ γεωργικὰ χέρια, θὰ καταστραφοῦν καὶ θὰ ὑποστοῦν τόση μεγάλη ἐρήμωση, ὥστε ἀντὶ μὲν γιὰ ἀμπέλια νὰ φυτρώνουν ἀγκάθια, σ' ἐκείνους δὲ ποὺ εἰσέρχονται σ' αὐτὰ νὰ προξενοῦν τόσο φόβο, ὥστε κανένας νὰ μὴ τολμᾶ νὰ εἰσέρχεται σ' αὐτὰ γυμνὸς καὶ ἄ-

δὲ λέγει, τὴν ἐρημίαν ἐμφαίνων τοῦ τόπου, καὶ τὴν πολλὴν αὐτόθι τῶν θηρίων διατριβήν.

Κατασείσας τοίνυν αὐτῶν τὴν διάνοιαν, καὶ μετὰ ἀκριβείας κατεργασάμενος αὐτοὺς τῷ φόβῳ, πάλιν ἀνίησιν ὀλίγον, τὰ χρηστὰ ἀναμίξας, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν, ἵνα ἑκατέρωθεν μάθωσι τοῦ Θεοῦ τὴν ἰσχύν. Ἀλλὰ τοῖς μὲν φοβεροῖς ἀνδιατρίβει, τὰ δὲ χρηστὰ εὐθέως εἰπὼν ἀπαλλάττεται. Τί δήποτε; Ὅτι μάλιστα τούτου ἐδέοντο τοῦ τῆς ἐπιτιμήσεως φαρμάκου τότε· διὸ δὴ αὐτὸ μετὰ δαψιλείας ἐπιθείς, ὥστε ἐνδοῦναι μικρὸν ἀναπνεῦσαι, καὶ ταύτῃ πάλιν εἰς ἀρετὴν ἐκκαλέσασθαι, καὶ τὰ χρηστὰ ἀναμίγνυσι, λέγων· «Πᾶν ὄρος ἀροτριώμενον ἀροτριωθήσεται» Ὥσπερ γὰρ ἐν τῇ ὀργῇ τοῦ Θεοῦ καὶ ἡ βαθύγειος ἔρημος ἔσται, οὕτω καὶ ἐν τῇ καταλλαγῇ πάλιν καὶ ἡ τραχεῖα τὰ τῆς λιπαρᾶς ἐπιδείξεται γῆς, ἄροτρον δεχομένη καὶ σπέρμα.

Τούτων δὲ γενομένων, καὶ τὰ ἐκ τούτων ἅπαντα ἔσται, εἰρήνη καὶ ἄδεια, καὶ τὸ θαρσεῖν καὶ μὴ δεδοικέναι, καθάπερ ἔμπροσθεν. «Οὐ γὰρ μὴ ἐπέλθῃ», φησίν, «ἐκεῖ φόβος. Ἔσται δὲ ἀπὸ τῆς χέρσου καὶ ἀπὸ τῆς ἀκάνθης εἰς βόσκημα προβάτου καὶ πάτημα βοός». Καὶ διὰ τούτων πάλιν τὴν εὐθυνίαν αἰνίττεται, ὥσπερ καὶ ἔμπροσθεν προϊὼν λέγει· «Μακάριος ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ». Ὥσπερ γάρ, ὅταν ἐρημίαν παραστῆσαι βούληται, Σειρῆνας καὶ Ὀνοκενταύρους εἰς μέσον ἄγει τῷ λόγῳ, οὕτως, ὅταν εἰρήνην καὶ ἀσφάλειαν, τὰ χειροήθη καὶ τιθασσὰ τῶν ζώων, καὶ συνεφαπτόμενα τῶν γεωργικῶν ἔργων ἡμῖν ταῦτα πανταχοῦ δείκνυσι φαινόμενα, ἀπὸ τούτων τὰ ἐκ τούτων ἐμφαίνων, γεωργίαν καὶ τὴν ἄλλην αὐτῶν διακονίαν.

---

32. Ἡσ. 32, 20. 33. Πρβλ. Ἡσ. 13, 21-22.

οπλος. Αὐτὸ δὲ τὸ λέγει γιὰ νὰ δείξει τὴν ἐρήμωση τοῦ τόπου καὶ τὴν κατοίκηση ἐκεῖ πολλῶν θηρίων.

Ἀφοῦ λοιπὸν συντάραξε τὴ διάνοια αὐτῶν καὶ μὲ κατάλληλο τρόπο τοὺς γέμισε ἀπὸ φόβο, πάλι τοὺς παρηγορεῖ λίγο, ἀναμιγνύοντας αὐτὰ μὲ τὰ ἀγαθὰ καὶ τὴ μεταβολὴ πρὸς τὸ καλύτερο, ὥστε καὶ ἀπὸ τὰ δύο νὰ γνωρίσουν τὴ δύναμη τοῦ Θεοῦ. Ἀλλὰ στὰ μὲν δυσάρεστα ἐπιμένει, τὰ δὲ ἀγαθὰ ἁπλῶς ἀνέφερε καὶ ἀπομάκρυνε τὸ λόγο ἀπ' αὐτά. Γιατὶ τέλος πάντων; Ἐπειδὴ τότε κατ' ἐξοχὴ εἶχαν ἀνάγκη ἀπὸ τὸ φάρμακο αὐτὸ τῆς ἐπιτιμήσεως. Γι' αὐτὸ λοιπόν, ἀφοῦ τοὺς πρόσφερε αὐτὸ μὲ ὑπεραφθονία, γιὰ νὰ νιώσουν λίγη ἀνακούφιση καὶ ν' ἀναπνεύσουν, καὶ μὲ τὸν τρόπο αὐτὸ νὰ τοὺς προτρέψει πάλι ν' ἀσκήσουν τὴν ἀρετή, ἀναμιγνύει καὶ τὰ ἀγαθά, λέγοντας· «Καὶ κάθε ὄρος ποὺ μπορεῖ νὰ ὀργωθεῖ θὰ ὀργώνεται». Ὅπως ἀκριβῶς δηλαδὴ ἀπὸ τὴν ὀργὴ τοῦ Θεοῦ καὶ ἡ εὔφορη γῆ θὰ ἐρημωθεῖ, ἔτσι καὶ κατὰ τὴ συμφιλίωση πάλι ἡ σκληρὴ καὶ ἄγονη γῆ θὰ προσφέρει τὰ ὅσα παράγει ἡ πλούσια γῆ, δεχόμενη ἄροτρο καὶ σπόρο.

Ἀφοῦ δὲ γίνουν αὐτὰ θ' ἀκολουθήσουν καὶ τὰ ὅσα ἔχουν σχέση μὲ αὐτά, ἡ εἰρήνη δηλαδὴ καὶ ἡ ἀσφάλεια, ἡ ἀπόκτηση θάρρους καὶ ἡ ἔλλειψη φόβου, ὅπως ἀκριβῶς συνέβαινε καὶ προηγουμένως. Διότι, λέγει, «Δὲν θὰ ὑπάρχει ἐκεῖ φόβος. Λόγω δὲ τοῦ ὅτι θὰ γίνει χέρση καὶ θὰ γεμίσει ἀπὸ ἀγκάθια, θὰ καταστεῖ κατάλληλη γιὰ τὸ βόσκημα προβάτων καὶ θὰ καταπατεῖται ἀπὸ βόδια. Καὶ μὲ αὐτὰ πάλι ὑπαινίσσεται τὴν ἀφθονία τῶν ἀγαθῶν, ὅπως ἀκριβῶς καὶ στὴ συνέχεια λέγει· «Μακάριος εἶναι ἐκεῖνος ποὺ σπέρνει σὲ ὁποιοδήποτε μέρος ποὺ ποτίζεται ἀπὸ τὸ νερὸ καὶ μπορεῖ νὰ βαδίζει τὸ βόδι καὶ ὁ ὄνος»[32]. Διότι, ὅπως ὅταν θέλει νὰ παραστήσει τὴν ἐρήμωση, ἀναφέρει Σειρῆνες καὶ Ὀνοκένταυρους[33], ἔτσι ὅταν θέλει νὰ μιλήσει γιὰ εἰρήνη καὶ ἀσφάλεια, παρουσιάζει παντοῦ τὰ ἐξημερωμένα καὶ τιθασευμένα ζῶα, ποὺ μᾶς βοηθοῦν στὶς γεωργικές μας ἐργασίες, δείχνοντας ἀπὸ αὐτὰ τὰ ὅσα γίνονται μὲ τὴ βοήθεια αὐτῶν, τὴ γεωργία δηλαδὴ καὶ τὴν ἄλλη ὑπηρεσία αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ Η'.

«Καὶ εἶπε Κύριος πρός με· λάβε σεαυτῷ τόμον χάρτου καινόν, μέγαν, καὶ γράφον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. Πάρεστι γάρ· καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν υἱὸν Βαραχίου. Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. Καὶ εἶπέ μοι Κύριος· κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μετέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων».

1. Δοκεῖ μὲν ἀπηρτῆσθαι κατὰ τὴν λέξιν ταῦτα τὰ δύο προστάγματα, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς ἄλληλα, εἰ δέ τις ἀκριβῶς ἐξετάσειε τῶν νοημάτων τὴν δύναμιν, πολλὴν ὄψεται τὴν συγγένειαν, καὶ τὸν σκοπὸν ἕνα. Ἀναγκαῖον δὲ πρῶτον εἰπεῖν, τίνος ἕνεκεν τὸ τῆς προφητείας εἶδος εἰς τὸν τῶν ἀνθρώπων εἰσηνέχθη βίον. Τίνος οὖν ἕνεκεν εἰσηνέχθη, ἀναγκαῖον εἰπεῖν. Μέλλειν εἴωθεν ὁ Θεὸς καὶ βραδύνειν πρὸς τὰς τῶν ἁμαρτανόντων τιμωρίας, ὥσπερ οὖν ταχύς ἐστι καὶ ὀξὺς εἰς τὰς τῶν κατορθούντων εὐεργεσίας.

ΚΕΦΑΛΑΙΟ Η'.

«Καὶ μοῦ εἶπε ὁ Κύριος· πάρε μαζί σου ἕνα μεγάλο καὶ καινούργιο πίνακα καὶ γράψε σ' αὐτὸν μὲ γράμματα κατανοητὰ στοὺς ἀνθρώπους γιὰ ἐκεῖνον ποὺ θὰ κάνει ταχεία καὶ ὁλοκληρωτικὴ διαρπαγή. Ὁ καιρὸς αὐτοῦ πλησιάζει. Καὶ φέρε σὰν μάρτυρες γιὰ τὴν προφητεία αὐτὴ δύο ἀξιόπιστους ἀνθρώπους, τὸν ἱερέα Οὐρία καὶ τὸν Ζαχαρία τὸν υἱὸ τοῦ Βαραχία. Ἦρθα σὲ σαρκικὴ ἕνωση μὲ τὴ σύζυγό μου καὶ αὐτὴ συνέλαβε καὶ γέννησε υἱό. Καὶ μοῦ εἶπε ὁ Κύριος· δῶσε ὄνομα σ' αὐτόν, 'ταχέως σκύλευσον, ὀξέως προνόμευσον'. Διότι προτοῦ ἀκόμα μάθει τὸ παιδὶ νὰ λέγει τὴ λέξη πατέρα ἢ μητέρα, θὰ ὑποτάξει παρουσία τοῦ βασιλιᾶ τῶν Ἀσσυρίων τὸ στρατὸ τῆς Δαμασκοῦ καὶ θὰ λεηλατήσει τὴ Σαμάρεια».

1. Αὐτὰ τὰ δύο προστάγματα, ἐξεταζόμενα κατὰ λέξη, φαίνονται μὲν ὅτι διαφέρουν μεταξύ τους καὶ ὅτι δὲν ἔχουν τίποτε τὸ κοινό, ἂν ὅμως κάποιος ἐξετάσει μὲ προσοχὴ τὴ δύναμη τῶν νοημάτων τους, θὰ διαπιστώσει μεγάλη συγγένεια μεταξύ τους καὶ ὅτι ἕνας εἶναι ὁ σκοπὸς αὐτῶν. Εἶναι ἀνάγκη ὅμως πρῶτα νὰ ποῦμε γιὰ ποιὸ λόγο ἡ προφητεία μπῆκε στὴ ζωὴ τῶν ἀνθρώπων. Πρέπει λοιπὸν νὰ ποῦμε γιὰ ποιὸ λόγο καθιερώθηκε ἡ προφητεία. Συνήθως ὁ Θεὸς ἀναβάλλει καὶ καθυστερεῖ τὴν τιμωρία ἐκείνων ποὺ ἁμαρτάνουν, ὅπως βέβαια εἶναι ταχὺς καὶ γρήγορος στὴν παροχὴ εὐεργεσιῶν πρὸς ἐκείνους ποὺ ἀσκοῦν τὴν ἀρετή. Αὐτὸ τὸ πράγμα, τὸ ὅτι δηλαδὴ δὲν ἐπιβάλλεται ἡ τιμωρία μετὰ τὴ διάπραξη τῶν παραπτωμάτων, κά-

Τοῦτο τοὺς ῥᾳθυμοτέρους ἀναπίπτειν παρασκευάζει, τὸ μὴ κατὰ πόδας ἕπεσθαι τῶν πλημμελημάτων τὴν δίκην. Ἵνα οὖν καὶ ὁ Θεὸς τὴν μακροθυμίαν ἐπιδεικνύηται τὴν ἑαυτοῦ, καὶ μηδὲν ἐντεῦθεν ἐκεῖνοι γένωνται ῥᾳθυμότεροι, τὸ τῆς προφητείας κατασκευάζει φάρμακον, οὐ τῇ πείρᾳ τῶν κολάσεων, ἀλλὰ τῇ προγνώσει παιδεύων τοὺς ἁμαρτάνοντας τέως, ἵνα ἂν μὲν βελτίους γένωνται τὰς ἀπειλὰς ἀκούοντες, τὴν διὰ τῆς πείρας κόλασιν διακρούσωνται, ἂν δὲ ἐπιμείνωσιν ἀναισθητοῦντες, τότε δὴ καὶ τὴν τιμωρίαν αὐτοῖς ἐπαγάγῃ.

Τοῦτο συνιδὼν ὁ διάβολος, καὶ τὸ κέρδος ἡλίκον ἐστὶν ἐννοῶν, τοὺς ψευδοπροφήτας ἀνῆκεν, οἳ τοῖς προφήταις ἀπειλοῦσι λιμούς, λοιμούς, πολέμους, βαρβάρων ἔφοδον, ἀντέλεγον, χρηστὰ ἀπαγγέλλοντες. Ὥσπερ γὰρ ὁ Θεὸς τῷ φόβῳ τῶν ῥημάτων ἐβούλετο τὴν διὰ τῆς πείρας ἀποκρούεσθαι τιμωρίαν, οὕτω καὶ ὁ διάβολος τοὐναντίον εἰράζετο· τῇ χάριτι τὸν λόγον ἐκλύων καὶ ῥᾳθυμοτέρους ποιῶν, εἰς ἀνάγκην καθίστησι τοῦ τὴν διὰ τῶν πραγμάτων ὑπομεῖναι τιμωρίαν. Εἶτα, ἐπειδὴ μετὰ ταῦτα τοῖς ψευδοπροφήταις πιστεύοντες, καὶ ἀρετῆς οὐδένα ποιούμενοι λόγον, ἀλλὰ ταῖς ἑαυτῶν ἁμαρτίαις ἐμμένοντες ἐφείλκοντο καὶ τὴν κόλασιν, καὶ ἀπὸ τοῦ τέλους καὶ ἡ τῶν προφητῶν ἀλήθεια ἐδείκνυτο, καὶ τὸ τῶν ψευδοπροφητῶν ψεῦδος διηλέγχετο, ἕτερον πάλιν κατασκευάζει μηχάνημα πρὸς ἀπώλειαν τῶν ἁλισκομένων. Ἀνέπειθε γὰρ αὐτοὺς εὐεξαπατήτους ὄντας, ὅτι δὴ ταῦτα τὰ δεινὰ τὰ συμβάντα ἀπὸ τῆς τῶν δαιμόνων ὀργῆς ἐγένετο, ἀμελουμένων παρ' αὐτῶν καὶ καταφρονουμένων. Τοῦτο τοίνυν τὸ δέλεαρ ἀναιρῶν ὁ Θεός, πρὸ πολλῶν ἄνωθεν χρόνων τὰ μέλλοντα αὐτοῖς συμβαίνειν, μᾶλλον δὲ καταλήψεσθαι, δεινὰ προλέγει, ἵνα μὴ ἐξῇ τοῖς ἐξαπατῶσιν αὐτοὺς τῇ τῶν δαιμόνων ὀργῇ λογίζεσθαι τὰ συμβαίνοντα.

νει τοὺς ἀδιάφορους νὰ καθησυχάζουν καὶ νὰ μὴ νοιάζονται γιὰ τὴ διόρθωσή τους. Γιὰ νὰ δείχνει λοιπὸν ὁ Θεὸς τὴ μακροθυμία του καὶ νὰ μὴ γίνονται ἐκεῖνοι καθόλου πιὸ ἀδιάφοροι ἐξ αἰτίας αὐτῆς, παρασκευάζει ὁ Θεὸς τὸ φάρμακο τῆς προφητείας, ὄχι μὲ τὴν ἐπιβολὴ τῶν τιμωριῶν, ἀλλὰ προηγουμένως διδάσκοντας τοὺς ἁμαρτάνοντες μὲ τὴν πρόγνωση, ὥστε, ἂν μὲν ἀκούοντας τὶς ἀπειλὲς γίνουν καλύτεροι, ν' ἀποφύγουν τὴν ἔμπρακτη τιμωρία, ἂν ὅμως ἐξακολουθήσουν νὰ δείχνουν ἀναισθησία, τότε πλέον νὰ τοὺς ἐπιβάλει καὶ τὴν τιμωρία.

Αὐτὸ ἀντιλαμβανόμενος ὁ διάβολος καὶ κατανοώντας τὸ πόσο μεγάλο εἶναι τὸ κέρδος, εἰσήγαγε τοὺς ψευδοπροφῆτες, οἱ ὁποῖοι πρόβαλλαν ἀντιρρήσεις στοὺς προφῆτες ποὺ προφήτευαν ὑπὸ μορφὴ ἀπειλῆς πεῖνες, ἀσθένειες, πολέμους, καὶ ἐπιθέσεις βαρβάρων, ὑποσχόμενοι ἀντ' αὐτῶν ἀγαθά. Διότι, ὅπως ἀκριβῶς ὁ Θεὸς ἤθελε μὲ τὸ φόβο ποὺ προξενοῦσαν τὰ λόγια του νὰ ἀπομακρύνει τὴν ἐπιβολὴ τῆς τιμωρίας, ἔτσι καὶ ὁ διάβολος ἔπραττε τὸ ἀντίθετο· καταργώντας τὸ λόγο τοῦ Θεοῦ μὲ δικά του εὐχάριστα λόγια καὶ κάμνοντας τοὺς ἀνθρώπους πιὸ ἀδιάφορους, τοὺς ἐξαναγκάζει νὰ ὑποστοῦν ἔμπρακτα τὴν τιμωρία. Ἔπειτα, ἐπειδὴ στὴ συνέχεια πίστευαν στοὺς ψευδοπροφῆτες καὶ δὲν φρόντιζαν καθόλου γιὰ τὴν ἀρετή, ἀλλ' ἐπέμεναν στὶς ἁμαρτίες τους καὶ προσέλκυαν καὶ τὴν τιμωρία, καὶ μετὰ τὴν πραγματοποίηση τῶν γεγονότων καὶ ἡ ἀλήθεια τῶν προφητῶν ἀποδεικνυόταν, καὶ τὸ ψεῦδος τῶν ψευδοπροφητῶν φανερωνόταν, ἄλλο πάλι μέσο ἀπάτης κατασκευάζει γιὰ τὴν ἀπώλεια ἐκείνων ποὺ συλλαμβάνονται ἀπ' αὐτό. Ἐπειδὴ δηλαδὴ οἱ ἄνθρωποι εὔκολα ἐξαπατοῦνται τοὺς ἔπειθε, ὅτι τάχα ὅλα τὰ κακὰ συνέβηκαν ἐξ αἰτίας τῆς ὀργῆς τῶν δαιμόνων, ἐπειδὴ αὐτοὶ παραμελοῦνται καὶ περιφρονοῦνται. Αὐτὴ λοιπὸν τὴν παγίδα γιὰ νὰ ἐξαφανίσει ὁ Θεός, πρὶν ἀπὸ πολλὰ χρόνια προλέγει τὶς συμφορὲς ποὺ πρόκειται νὰ συμβοῦν σ' αὐτούς, μᾶλλον δὲ ποὺ πρόκειται νὰ τοὺς καταλάβουν, γιὰ νὰ μὴ μποροῦν ἐκεῖνοι ποὺ τοὺς ἐξαπατοῦν ν' ἀποδίδουν τὰ ὅσα συμβαίνουν στὴν ὀργὴ τῶν δαιμόνων.

Καὶ ὅτι οὐ στοχαζόμενος ταῦτα λέγω, ἄκουσον Ἡσαΐου λέγοντος· «Ἔγνων ὅτι σκληρὸς εἶ, καὶ νευροσιδηροῦς ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν. Διὰ τοῦτο ἐξ ἀρχῆς ἐλάλησά σοι, ἵνα μὴ εἴπῃς, ὅτι τὰ εἴδωλά μοι ἐποίησε, καὶ τὰ γλυπτά, καὶ τὰ χωνευτά μοι ἐποίησεν. Οὔτε ἠπίστω, οὔτε ἀκουστά σοι ἐγένετο». Ἐπεὶ οὖν, ὅπερ ἔφην, ὡς καὶ ἐκ τῆς μαρτυρίας ἐστὶν ἰδεῖν, ἐκείνοις ταῦτα ἀνετίθεσαν, φθάνει ἡ προφητεία ταύτην ἀναιροῦσα τὴν ἀπάτην, καὶ πρὸ πολλῶν αὐτὰ διαγορεύουσα χρόνων. Ἀλλ' ἐπειδὴ καὶ οὕτως εἰκὸς ἦν αὐτοὺς ἀγνωμονοῦντας λέγειν, 'οὐ προείπετε, οὐ προηκούσαμεν, νῦν πλάττεσθε μετὰ τὴν ἔκβασιν· οὐ γὰρ εἴδετε τὰ συμβησόμενα· πόθεν οὖν τοῦτο δῆλον, ὅτι εἴρηται;' ὅρα πῶς σαφῶς ἄφυκτον αὐτοῖς κατασκευάζει τὸν ἔλεγχον, καὶ τὰ ἀναίσχυντα ἀπορράπτων στόματα. Οὐ γὰρ ἀφίησιν εἰπεῖν μόνον, ἀλλὰ κελεύει καὶ ἐν χάρτῃ γραφῆναι τὰ λεγόμενα, καὶ οὐδὲ ἁπλῶς γραφῆναι, ἵνα μὴ ἐξῇ αὐτοῖς λέγειν, ὅτι μετὰ ταῦτα ἔπλασεν, ἀλλὰ καὶ μάρτυρας τῶν γραμμάτων καλεῖ ἄνδρας ἀξιοπίστους καὶ ἀπὸ τοῦ ἀξιώματος καὶ ἀπὸ τοῦ τρόπου. «Ποίησον γάρ μοι», φησί, «μάρτυρας πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν», ἵνα ὅταν ἐξέλθῃ, καὶ λέγωσιν, ὅτι οὐκ ἐλέχθη ταῦτα πρὸ πολλῶν χρόνων, τὸ βιβλίον ἐξενεχθὲν καὶ οἱ μάρτυρες οἱ παρόντες καὶ ἀναισχυντοῦντας αὐτοὺς ἐπιστομίσωσι. Διὰ τοῦτό φησι, «Λάβε χάρτου τόμον καινόν, ἵνα μὴ παλαιωθεὶς ἀπόληται, ἀλλὰ μένῃ τῷ χρόνῳ παρεκτεινόμενος, καὶ κατηγορῶν διὰ τῶν γραμμάτων αὐτῶν.

«Καὶ γράψον γραφίδι ἀνθρώπου», τουτέστι καλάμῳ, τὰ μέλλοντα ἔσεσθαι. Τίνα δὲ τὰ μέλλοντα; Πόλεμος, νίκη

---

1. Πρβλ. Ἠσ. 48, 4· 5· 8.

Καὶ τὸ ὅτι αὐτὰ ποὺ λέγω δὲν ἀποτελοῦν δική μου σκέψη ἄκουσε τὸν Ἡσαΐα ποὺ λέει· «Γνωρίζω ὅτι εἶσαι σκληρὸς λαὸς καὶ ὅτι ὁ τράχηλός σου εἶναι ἀλύγιστος καὶ τὸ μέτωπό σου ἀσυγκίνητο σὰν τὸ χαλκό. Γι' αὐτὸ πρὶν ἀπὸ πολὺ χρόνο σοῦ τὰ προεῖπα τὰ γεγονότα αὐτά, γιὰ νὰ μὴ πεῖς, ὅτι τὰ εἴδωλα ποὺ προσκυνῶ τὰ ἔκαναν αὐτὰ καὶ ὅτι καὶ τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ ἀγάλματα μοῦ τὰ προεῖπαν. Οὔτε τὰ γνώριζες, οὔτε εἶχες ἀκούσει γι' αὐτά»[1]. Ἐπειδὴ λοιπόν, ὅπως εἶπα, καὶ ὅπως μπορεῖτε νὰ τὸ διαπιστώσετε αὐτὸ καὶ ἀπὸ τὴ μαρτυρία, ἀπέδιδαν στοὺς δαίμονες τὰ κακά, ἔρχεται ἐκ τῶν προτέρων ἡ προφητεία καὶ ἀναιρεῖ αὐτὴν τὴν ἀπάτη, προλέγοντας αὐτὰ πρὶν ἀπὸ πολλὰ χρόνια. Ἀλλ' ἐπειδὴ καὶ ἔτσι πάλι φυσικὸ ἦταν αὐτοί, δείχνοντας ἀγνωμοσύνη, νὰ λένε, 'δὲν τὰ προείπατε, οὔτε τὰ προακούσαμε, ἀλλὰ τώρα μετὰ τὴν πραγματοποίησή τους τὰ ἐπινοεῖτε, διότι δὲν γνωρίζατε ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν· ἀπὸ ποῦ λοιπὸν γίνεται αὐτὸ φανερό, ὅτι προλέχθηκαν αὐτά;', πρόσεχε πῶς μὲ σαφὴ τρόπο δημιουργεῖ γι' αὐτοὺς ἀναπόφευκτο ἔλεγχο, κλείνοντας τὰ ἀδιάντροπα στόματα. Δὲν ἐπιτρέπει δηλαδὴ μόνο νὰ τὰ ποῦν, ἀλλὰ δίνει ἐντολὴ καὶ νὰ γραφοῦν τὰ λεγόμενα σὲ χαρτί, καὶ ὄχι ἁπλῶς νὰ γραφοῦν, ἀλλὰ γιὰ νὰ μὴ μποροῦν αὐτοὶ νὰ λένε, ὅτι τὰ ἔπλασε ἀργότερα, καλεῖ καὶ τὰ γραφόμενα καὶ μάρτυρες ἄνδρες ἀξιόπιστους καὶ ἀπὸ τὸ ἀξίωμα καὶ ἀπὸ τὸ χαρακτήρα. Διότι, λέγει, «φέρε γιὰ μάρτυρες τῆς προφητείας αὐτῆς δυὸ ἀξιόπιστους ἀνθρώπους, τὸ Οὐρία τὸν ἱερέα, καὶ τὸν Ζαχαρία», ὥστε ὅταν πραγματοποιηθοῦν τὰ λεγόμενα καὶ λένε, ὅτι δὲν λέχθηκαν αὐτὰ πρὶν ἀπὸ πολλὰ χρόνια, ἀφοῦ παρουσιασθεῖ τὸ βιβλίο καὶ οἱ μάρτυρες ποὺ ἦταν παρόντες, ν' ἀποστομώσουν αὐτοὺς ποὺ ἐκστομίζουν τέτοια ἀδιάντροπα λόγια. Γι' αὐτὸ λέγει, «Πάρε καινούργιο τόμο χαρτιοῦ, ὥστε νὰ μὴ καταστραφεῖ ὅταν παλιώσει, ἀλλὰ νὰ παραμείνει γιὰ πολὺ χρόνο καὶ νὰ τοὺς κατηγορεῖ μὲ αὐτὰ τὰ γραφόμενα».

«Καὶ γράψε μὲ γραφίδα ἀνθρώπου», δηλαδὴ μὲ κάλαμο, ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν. Ποιὰ δὲ εἶναι αὐτὰ ποὺ πρό-

βαρβαρική, λαφύρων διανομή, σκύλων ἁρπαγή. Ταῦτα τοίνυν, φησίν, ἅπαντα γράψον, «Τοῦ ταχέως προνομὴν ποιῆσαι σκύλων. Πάρεστι γάρ». Τί ἐστι, «Πάρεστι γάρ»; Δύο ταῦτα δηλοῖ αὕτη ἡ ῥῆσις· ὅτι τότε ἤδη τῶν ἁμαρτημάτων αὐτῶν τὸ μέγεθος ἀπῄτει τὴν δίκην, καὶ ἐπὶ θύραις ἡ τιμωρία. Αὐτὸς δὲ ἀναβάλλεται, τῇ μακροθυμίᾳ βουλόμενος αὐτοὺς βελτίους ποιῆσαι, καὶ ἀποκρούεσθαι τὴν τιμωρίαν, καὶ ὅτι ῥᾴδιον αὐτῷ καὶ εὔκολον νεῦσαι μόνον, καὶ πάντα εἰς πέρας ἀγαγεῖν. Ἐπειδὴ γὰρ περὶ βαρβάρων ὁ λόγος ἦν τῶν μελλόντων ἐπιστρατεύειν, μὴ νομίσητε, φησίν, ὅτι τῆς ὁδοῦ μῆκος, καὶ τῆς στρατείας τὸ πλῆθος μέλλησίν τινα ποιεῖ, ἅπερ ἐπ᾽ ἀνθρώπων ἔσεσθαι πέφυκε. Τῷ γὰρ Θεῷ παρέστηκεν ὁ πόρρωθεν ὤν· οὕτως αὐτῷ ῥᾴδιον καὶ εὔκολον ἐν μιᾷ καιροῦ ῥοπῇ, καὶ ἐν ἀκαριαίῳ ἀπὸ τῶν ἐσχάτων τῆς γῆς, κἂν πλείους ὦσιν, ἀγαγεῖν εὐθέως καὶ ἐπιστῆσαι.

2. «Καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν υἱὸν Βαραχίου». Μάρτυρας τίνος; Τοῦ χρόνου· ἵνα κἂν τὰ γράμματα συκοφαντῆται, οἱ ζῶντες ἄνθρωποι καὶ παρόντες ἡνίκα ἐγράφετο, καὶ τὸν χρόνον σαφῶς εἰδότες, πότε ταῦτα ἐλέγετο, δυνηθῶσιν ἐπιστομίζειν τοὺς ἀναισχυντεῖν ἐπιχειροῦντας. Τῆς αὐτῆς ὑποθέσεως ἔχεται καὶ τὸ ἑξῆς, σαφέστερον ἐπάγον τὸν ἔλεγχον. Πῶς καὶ τίνι τρόπῳ; Τῶν ῥημάτων αὐτῶν ἀκούσωμεν.

«Προσῆλθε» γάρ, φησί, «πρὸς τὴν προφῆτιν». Τὴν γυναῖκα τὴν ἰδίαν οὕτως ἐκάλεσεν ἴσως, διὰ τὸ καὶ αὐτὴν Πνεύματος ἠξιῶσθαι προφητικοῦ· οὐ γὰρ ἐν ἀνδράσι τὰ τῶν χαρισμάτων εἱστήκει μόνον, ἀλλὰ καὶ εἰς τὸ γυναικεῖον διέ-

κειται νὰ συμβοῦν; Πόλεμος, νίκη βαρβαρική, ἁρπαγὴ καὶ διανομὴ λαφύρων. Ὅλα αὐτὰ λοιπόν, λέγει, γράψε τα, «Γιὰ ἐκεῖνον ποὺ θὰ κάνει ταχεία καὶ γενικὴ ἁρπαγὴ καὶ διανομὴ τῶν λαφύρων. Διότι πλησίασε πάρα πολὺ ὁ καιρός». Τί σημαίνει, «Διότι πλησίασε πάρα πολὺ ὁ καιρός»; Αὐτὴ ἡ φράση δύο πράγματα δηλώνει· Ὅτι τότε πλέον τὸ μέγεθος τῶν ἁμαρτημάτων αὐτῶν ἀπαιτοῦσε τὴν τιμωρία καὶ ἤδη βρισκόταν αὐτὴ πολὺ κοντά. Ὁ Θεὸς ὅμως ἀναβάλλει, θέλοντας μὲ τὴ μακροθυμία του νὰ κάνει αὐτοὺς καλύτερους καὶ ν' ἀπομακρύνει τὴν τιμωρία, καὶ ὅτι εἶναι δυνατὸ καὶ εὔκολο σ' αὐτὸν μόνο ἕνα νεῦμα νὰ κάνει καὶ νὰ τὰ πράξει ὅλα. Ἐπειδὴ δηλαδὴ ὁ λόγος ἦταν γιὰ βαρβάρους ποὺ ἐπρόκειτο νὰ ἐκστρατεύσουν ἐναντίον τους, μὴ νομίσετε, λέγει, ὅτι τὸ μῆκος τῆς ὁδοῦ καὶ τὸ πλῆθος τῶν στρατευμάτων γίνεται αἰτία γιὰ κάποια ἀργοπορία, πράγμα ποὺ συνήθως γίνεται μὲ τοὺς ἀνθρώπους. Διότι γιὰ τὸ Θεὸ εἶναι κοντὰ ἐκεῖνος ποὺ βρίσκεται μακριά· τόσο εὔκολο καὶ δυνατὸ εἶναι σ' αὐτὸν σὲ μιὰ στιγμὴ τοῦ χρόνου καὶ ἀκαριαία ἀπὸ τὰ πιὸ μακρυνὰ μέρη τῆς γῆς, καὶ ἂν ἀκόμη εἶναι πάρα πολὺ αὐτοί, νὰ τοὺς ὁδηγήσει καὶ νὰ τοὺς φέρει κοντά.

2. «Καὶ φέρε γιὰ μάρτυρες τῆς προφητείας δύο ἀξιόπιστους ἀνθρώπους, τὸν Οὐρία τὸν ἱερέα, καὶ τὸν Ζαχαρία τὸν υἱὸ τοῦ Βαραχία». Μάρτυρες γιὰ ποιὸ πράγμα; Γιὰ τὸ χρόνο, ὥστε καὶ ἂν ἀκόμα συκοφαντοῦνται τὰ γραφόμενα, οἱ ἄνθρωποι ἐκεῖνοι ποὺ ἦταν ζωντανοὶ καὶ ἦταν παρόντες ὅταν γράφονταν αὐτὰ καὶ γνωρίζουν πολὺ καλὰ τὸ χρόνο ποὺ λέγονταν αὐτά, νὰ μπορέσουν νὰ κλείσουν τὰ στόματα ἐκείνων ποὺ ἐπιχειροῦν νὰ λένε αὐτὰ τὰ ἀδιάντροπα λόγια. Στὸ ἴδιο θέμα ἀναφέρεται καὶ αὐτὸ ποὺ λέγεται στὴ συνέχεια, παρέχοντας σαφέστερη ἀπόδειξη γιὰ τὴν προφητεία αὐτή. Πῶς καὶ μὲ ποιὸ τρόπο; Ἂς ἀκούσουμε καὶ τὰ λόγια αὐτά.

«Ἦρθε σὲ ἕνωση», λέγει, «μὲ τὴν προφήτιδα». Τὴν ἴδια τὴ γυναίκα του ὀνόμασε ἔτσι, ἴσως ἐπειδὴ καὶ αὐτὴ ἀξιώθηκε νὰ λάβει τὸ προφητικὸ χάρισμα· διότι τὰ χαρίσματα δὲν δίνονταν μόνο στοὺς ἄνδρες, ἀλλὰ δίνονταν καὶ στὸ γυναικεῖο φύλο.

βαινε φῦλον. Οὐ γὰρ ὥσπερ ἐν ταῖς βιωτικαῖς χρείαις διῄρηται τὰ γένη, καὶ ἄλλα μὲν ἀνδρῶν, ἄλλα δὲ γυναικῶν τὰ ἐπιτηδεύματα, καὶ οὐκ ἂν δυνηθεῖεν τὰ ἀλλήλων ἀνταλλάξασθαι, οὕτω δὴ καὶ ἐπὶ τῶν πνευματικῶν, ἀλλ' ἴσοι οἱ ἀγῶνες καὶ κοινοὶ οἱ στέφανοι. Καὶ τοῦτο καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ μετὰ ἀκριβείας ἴδοι τις ἄν, καὶ παρὰ πάντα τὸν βίον συμβαῖνον. Ταύτῃ τοίνυν ὁμιλήσας νόμῳ γάμου, κύειν παρεσκεύασε. Καὶ ἐπειδὴ τὸ παιδίον ἐτέχθη, ἐπιτίθησιν αὐτῷ ὄνομα καινὸν καὶ παράδοξον, τὴν ἱστορίαν τῶν ἐσομένων ἔχον. Τί γάρ φησι; «Κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον», ἵνα κἂν τὰ γράμματα ἀπιστηθῇ τὰ ἐν τῷ τόμῳ κείμενα, ἡ προσηγορία τοῦ παιδίου τὴν ἱστορίαν τῶν ἐκβησομένων ἔχουσα, καὶ πρὸ τῆς ἐκβάσεως τῶν γενομένων τεθεῖσα, καὶ συνεχῶς παρὰ πάντα καλουμένη τὸν χρόνον, καὶ τῶν σφόδρα ἀναισχυντεῖν ἐπιχειρούντων ἀπορράψῃ τὰ στόματα. Ὅτι γὰρ οὐ μετὰ τὴν ἔκβασιν ἔπλασε ταῦτα ὁ προφήτης, ἀλλ' ἄνωθεν αὐτὰ προεῖδε, καὶ οἱ σφόδρα ἀγνωμονεῖν ἐπιχειροῦντες ἠδύναντο πείθεσθαι, οἱ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως αὐτὸ τὸ παιδίον ὁρῶντες καλούμενον, καὶ τὴν διδασκαλίαν τῶν ἐσομένων συμφορῶν ἀνακηρύττον.

Διά τοι τοῦτο καὶ ἑρμηνεύει τῆς προφητείας τὴν δύναμιν, καὶ τὸν χρόνον ἐπισημαίνεται μετὰ ἀκριβείας, οὕτω λέγων· «Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. Ἐν τῷ χρόνῳ, φησί, τῆς ἡλικίας τῆς ἀώρου, καὶ μηδέπω φθέγγεσθαι δυναμένης, τὰ τῆς νίκης ἔσται καὶ τῶν τροπαίων, οὐχ ὡς τοῦ παιδίου δυναμένου παρατάξασθαι, καὶ

Διότι τὰ δύο ἀνθρώπινα φύλα δὲν ἔχουν χωρισθεῖ ὅπως ἀκριβῶς στὶς βιωτικὲς ἀνάγκες, ἔτσι καὶ στὶς πνευματικές, καὶ συμβαίνει ἄλλες μὲν νὰ εἶναι οἱ ἀσχολίες τῶν ἀνδρῶν, ἄλλες δὲ τῶν γυναικῶν, χωρὶς νὰ εἶναι δυνατὸ νὰ τὶς ἀλλάξουν ἀναμεταξύ τους, ἀλλ' εἶναι ἴσοι οἱ ἀγῶνες καὶ τὰ στεφάνια. Καὶ αὐτὸ θὰ μποροῦσε κάποιος νὰ τὸ διαπιστώσει μὲ ἀκρίβεια καὶ στὴν Παλαιὰ Διαθήκη καὶ στὴν Καινή, ἀλλὰ τὸ ἴδιο συμβαίνει καὶ σ' ὅλη τὴ ζωή. 'Αφοῦ λοιπὸν ἦρθε σὲ ἕνωση μὲ αὐτὴν μετὰ ἀπὸ νόμιμο γάμο, τὴν κατέστησε ἔγκυο. Καὶ ὅταν γεννήθηκε τὸ παιδί, ἔδωσε σ' αὐτὸ ὄνομα πρωτοφανὲς καὶ παράδοξο, ποὺ περιλάμβανε τὴν ἱστορία ἐκείνων ποὺ ἐπρόκειτο νὰ γίνουν. Τί λοιπὸν λέγει; «Δῶσε σ' αὐτὸ τὸ ὄνομα 'ταχέως σκύλευσον ὀξέως προνόμευσον'», ὥστε καὶ ἂν ἀκόμα δὲν γίνουν πιστευτὰ τὰ ἀναγραφόμενα στὸ βιβλίο, τὸ ὄνομα τοῦ παιδιοῦ, ποὺ περιέχει τὴν ἱστορία ἐκείνων ποὺ πρόκειται νὰ συμβοῦν, καὶ ποὺ δόθηκε πρὶν ἀκόμα πραγματοποιηθοῦν τὰ ὅσα θὰ συμβοῦν, καὶ καθ' ὅλο τὸ χρόνο ἀναφέρεται συνέχεια ἀπὸ ὅλους, νὰ κλείσει τὰ στόματα ἐκείνων ποὺ ἐπιχειροῦν σὲ ὑπερβολικὸ βαθμὸ νὰ λέγουν αὐτὰ τὰ ἀδιάντροπα λόγια. Τὸ ὅτι βέβαια δὲν τὰ ἐπινόησε αὐτὰ ὁ προφήτης μετὰ τὴν πραγματοποίησή τους, ἀλλὰ τὰ προεῖδε μετὰ ἀπὸ θεία ἔμπνευση, θὰ μποροῦσαν νὰ πεισθοῦν καὶ ἐκεῖνοι ποὺ προσπαθοῦν νὰ δείχνουν τὴν ὑπερβολικὴ ἀγνωμοσύνη τους, βλέποντας τὸ παιδὶ νὰ καλεῖται μὲ τὸ ὄνομα αὐτὸ πρὶν ἀπὸ τὴν πραγματοποίηση τῶν γεγονότων καὶ νὰ διακηρύσσει τὴ διδασκαλία τῶν μελλοντικῶν συμφορῶν.

Γιὰ τὸ λόγο λοιπὸν αὐτὸ καὶ ἑρμηνεύει τὴ δύναμη τῆς προφητείας καὶ προσδιορίζει μὲ ἀκρίβεια τὸ χρόνο, λέγοντας τὰ ἑξῆς· «Διότι πρὶν ἀκόμα τὸ παιδὶ μάθει νὰ λέγει τὴ λέξη πατέρα ἢ μητέρα, θὰ κυριεύσει μπροστὰ στὰ μάτια τοῦ βασιλιᾶ τῶν 'Ασσυρίων τὰ στρατεύματα τῆς Δαμασκοῦ καὶ θὰ λεηλατήσει τὴ Σαμάρεια». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Κατὰ τὸ χρόνο, λέγει, τῆς νηπιακῆς ἡλικίας τοῦ παιδιοῦ καὶ ὅταν αὐτὸ δὲν θὰ μπορεῖ ἀκόμα νὰ ὁμιλεῖ, θὰ πραγματοποιηθεῖ ἡ νίκη καὶ θὰ στηθοῦν τὰ τρόπαια, ὄχι ὅτι τὸ παιδὶ θὰ μπορέσει νὰ παρα-

καθελεῖν τοὺς πολεμίους, ἀλλ' ὡς τῆς ἡλικίας ἐκείνης, τουτέστι, τοῦ χρόνου τοῦ πρὸ τῆς τοῦ παιδίου διαλέξεως παραδιδόντος ἅπαντα τοῖς πολεμίοις.

«Καὶ προσέθετο Κύριος λαλῆσαί μοι ἔτι· διὰ τὸ μὴ βούλεσθαι τὸ λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν Ρασὶν καὶ τὸν υἱὸν τοῦ Ρωμελίου βασιλέα ἐφ' ὑμῶν, διὰ τοῦτο ἰδοὺ ἀνάγει Κύριος ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ, τὸ ἰσχυρὸν καὶ τὸ πολύ, τὸν βασιλέα τῶν Ἀσσυρίων». Ὅπερ ἔθος ἐστὶ τῷ Θεῷ, μὴ μόνον τὰς τιμωρίας προλέγειν, ἀλλὰ καὶ τὰς αἰτίας τιθέναι, ὥστε καὶ ταύτῃ παιδεῦσαι τοὺς ἀκούοντας, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. Εἰπὼν γὰρ τὴν τῶν ἀλλοφύλων διανομήν, καὶ τὰ σκῦλα, καὶ προλέγων τὴν τῶν βαρβάρων ἔφοδον, λέγει καὶ τὴν αἰτίαν τοῦ πολέμου. Τίς δέ ἐστιν αὕτη; Ἡ ἀγνωμοσύνη τῶν τὴν πόλιν οἰκούντων. Ἐπεὶ γὰρ βασιλέα ἔχοντες, φησίν, ἐπιεικῆ καὶ πρᾶον καὶ ἥμερον, ἀπεσκίρτησαν, καὶ τυράννων ἐπεθύμησαν, καὶ πρὸς ἀλλοτρίαν ἀρχὴν αὐτομολῆσαι ἠπείχθησαν, τὴν οἰκείαν εὐπραγίαν οὐ φέροντες, μετὰ πλείονος τῆς περιουσίας πληρώσω τὴν ἐπιθυμίαν αὐτῶν, βάρβαρόν τινα καὶ ἀνήμερον ἄγων ἄνθρωπον.

Κέχρηται δὲ μεταφορικῶς ταῖς λέξεσι, τό τε ἦθος τοῦ ἐγχωρίου δηλῶν βασιλέως, καὶ τὴν δύναμιν τοῦ βαρβάρου· ποιεῖ δὲ αὐτό, ὅπερ ἔφην ἀεί, τὸν λόγον ἐμφαντικώτερον κατασκευάζων. Διὰ τοῦτό φησι, «Διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς τὸ ὕδωρ τοῦ Σιλωάμ»· οὐ περὶ ὕδατος λέγων, ἀλλ' ἐπειδὴ ἡ πηγὴ ἠρέμα καὶ ἀψοφητὶ πρόεισι, τὸ ἀτάρακτον καὶ ἐπιεικῆ τὸν τρόπον τοῦ τότε βασιλεύοντος τῇ ἠρέμῃ τῶν ὑδάτων διεξόδῳ παραβάλλει, καὶ Σιλωὰμ αὐτὸν καλεῖ, διὰ τὸ ἀνεπαχθὲς καὶ ἤρεμον· ὃ μεγίστην φέρει τοῖς ἀρχομένοις κατηγορίαν, ὅτι μὴ βαρὺν ἔχοντες ζυγόν, νεωτερίζειν ἐπεχείρουν, καὶ ἀλλοτρίους ἑαυτοὺς διδόναι βασιλεῦσι. Ἐπεὶ οὖν

ταχθεῖ σὲ μάχη καὶ νὰ νικήσει τοὺς ἐχθρούς, ἀλλ' ὅτι κατὰ τὴν ἡλικία ἐκείνη, δηλαδὴ κατὰ τὸ χρόνο ποὺ τὸ παιδὶ δὲν θὰ ὁμιλεῖ ἀκόμα, θὰ παραδώσει τὰ πάντα στοὺς ἐχθρούς.

«Καὶ πρόσθεσε ἀκόμα ὁ Κύριος καὶ μοῦ εἶπε· ἐπειδὴ ὁ λαὸς αὐτὸς δὲν θέλει τὰ νερὰ τοῦ Σιλωὰμ, ποὺ ρέουν ἥσυχα, ἀλλὰ θέλει νὰ ἔχει βασιλιά του τὸν Ρασὶν καὶ τὸν υἱὸ τοῦ Ρωμελίου, γι' αὐτὸ θὰ ὁδηγήσει ἐναντίον σας ὁ Κύριος τὰ πολλὰ καὶ ὁρμητικὰ νερὰ τοῦ ποταμοῦ Εὐφράτη, τὸν βασιλιὰ δηλαδὴ τῶν 'Ασσυρίων». 'Εκεῖνο ἀκριβῶς ποὺ συνηθίζει νὰ κάμνει ὁ Θεός, νὰ μὴ προλέγει δηλαδὴ μόνο τὶς τιμωρίες, ἀλλὰ ν' ἀναφέρει καὶ τὶς αἰτίες, ὥστε καὶ μὲ τὸν τρόπο αὐτὸ νὰ διδάξει τοὺς ἀκροατές, αὐτὸ κάμνει καὶ ἐδῶ. Διότι, ἀφοῦ μίλησε γιὰ τὴν ἁρπαγὴ τῆς χώρας τους ἀπὸ τοὺς ἀλλοφύλους καὶ τὴ διανομὴ τῶν λαφύρων καὶ προεῖπε τὴν ἐπίθεση τῶν βαρβάρων, λέγει καὶ τὴν αἰτία τοῦ πολέμου. Ποιὰ δὲ εἶναι αὐτή; 'Η ἀγνωμοσύνη τῶν κατοίκων τῆς πόλεως. 'Επειδή, λέγει, ἂν καὶ ἔχουν βασιλιὰ ἐπιεική, πράο, καὶ ἥμερο, ὅμως ἀποσκίρτησαν, ἐπιθύμησαν τυράννους καὶ θέλησαν ἐντελῶς ἀβίαστα νὰ προσχωρήσουν σὲ ξένη ἐξουσία, μὴ ὑποφέροντας τὴν εὐτυχία τους, μὲ ὑπεραφθονία μεγάλη θὰ ἐκπληρώσω τὴν ἐπιθυμία τους, ὁδηγώντας ἐναντίον τους κάποιον βάρβαρο καὶ ἀνήμερο ἄνθρωπο.

Χρησιμοποιεῖ δὲ τὶς λέξεις μὲ μεταφορικὴ σημασία γιὰ νὰ δείξει καὶ τὸν χαρακτήρα τοῦ ἐγχώριου βασιλιᾶ, καὶ τὴ δύναμη τοῦ βαρβάρου· τὸ κάμνει δὲ αὐτό, ὅπως λέγω πάντοτε, γιὰ νὰ κάνει περισσότερο ἐντυπωσιακὸ τὸ λόγο. Γι' αὐτὸ λέγει, «'Επειδὴ αὐτοὶ δὲν θέλουν τὸ νερὸ τοῦ Σιλωάμ»· δὲν ἐννοεῖ φυσικὰ τὸ νερό, ἀλλ' ἐπειδὴ ἡ πηγὴ τοῦ Σιλωὰμ τρέχει ἤρεμα καὶ ἀθόρυβα, παραβάλλει τὸν γαλήνιο καὶ ἐπιεικὴ χαρακτήρα τοῦ τότε βασιλιᾶ μὲ τὴν ἤρεμη ροὴ τοῦ νεροῦ, καὶ ὀνομάζει αὐτὸν Σιλωάμ, ἐξ αἰτίας τῆς καλωσύνης καὶ τῆς ἠρεμίας του, πράγμα ποὺ ἀποδίδει μεγίστη κατηγορία στοὺς ἀρχομένους, διότι, ἐνῶ δὲν εἶχαν βαρὺ ζυγό, ἐπιχειροῦσαν νεωτερισμοὺς καὶ νὰ παραδώσουν τοὺς ἑαυτούς τους σὲ ξένους βασιλεῖς. 'Επειδὴ λοιπόν, λέ-

οὐ βούλονται, φησί, τὸν ἥμερον καὶ ἐπιεικῆ, ἀλλὰ τὸν Ρασὶν καὶ τὸν υἱὸν τοῦ Ρωμελίου, ἐπάγω, φησί, τὸν Βαβυλώνιον· καὶ τὸ ραγδαῖον αὐτοῦ τῆς στρατιᾶς ὕδωρ ποταμοῦ φησι πολὺ καὶ ἰσχυρόν.

3. Εἶτα ἑρμηνεύων τὴν μεταφοράν φησι, «Τὸν βασιλέα τῶν Ἀσσυρίων». Ὁρᾷς πῶς ἀδιάπτωτος ὁ λόγος ὁ ἔμπροσθεν ἡμῖν λεχθεὶς φαίνεται· ὅτι πανταχοῦ ἐν ταῖς μεταφοραῖς ἑαυτὴν ἑρμηνεύειν εἴωθεν ἡ Γραφή; Ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. Εἰποῦσα γὰρ ποταμόν, οὐκ ἐναπέμεινε τῇ μεταφορᾷ, ἀλλ' εἶπε, τίνα φησὶ ποταμόν, «Τὸν βασιλέα τῶν Ἀσσυρίων, καὶ πᾶσαν τὴν δόξαν αὐτοῦ. Καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν. Καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι. Καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου». Δεικνὺς ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει, ἀλλ' ὀργῇ θεηλάτῳ συμβήσεται τὰ λεγόμενα, οὐχ ὡς πολέμιον αὐτὸν παραταττόμενον ὑπογράφει, ἀλλ' ὡς ἐπὶ παρεσκευασμένην ἁρπαγὴν ἥκοντα. Οὐ γὰρ στήσεται, φησί, καὶ παρατάξεται, ἀλλὰ τῷ πλήθει τῶν σωμάτων καλύψει τῆς γῆς τὴν ὄψιν, καὶ μετ' εὐκολίας περιέσται.

Εἶτα καὶ ἐν τῇ ὀργῇ πολὺ τὸ τῆς φιλανθρωπίας. Οὐ γὰρ ἀνασπάσεσθαι αὐτῶν τὴν πόλιν ἀπειλεῖ, ἀλλ' αἰχμαλωσίαν τινὰ καὶ ἀπαγωγὴν προλέγει, τοὺς λειπομένους βουλόμενος τῇ τῶν ληφθέντων τιμωρίᾳ σωφρονεστέρους ποιῆσαι. «Ἀφελεῖ γὰρ ἀπὸ τῆς Ἰουδαίας», φησίν, «ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι». Τοὺς ἐν δυναστείᾳ φησί, τοὺς πάντα ἄγοντας καὶ φέροντας, τοὺς τῷ πλήθει λυμαινομένους, αἰχμαλώτους ποιήσει καὶ δούλους, ὥστε τότε τοὺς καταδεεστέρους ἀναπνεῦσαι μικρόν, καὶ τῷ φόβῳ τῶν ἀπαχθέντων,

2. Πρβλ. Ἡσ. 7, 5-7.

γει, δὲν θέλουν τὸν ἥμερο καὶ ἐπιεική, ἀλλὰ τὸν Ρασὶν καὶ τὸν υἱὸ τοῦ Ρωμελίου, ὁδηγῶ, λέγει, ἐναντίον τους τὸν Βαβυλώνιο βασιλιά, τοῦ ὁποίου τὴν ὁρμητικότητα τῶν στρατευμάτων παραβάλλει μὲ τὴ μεγάλη καὶ ἰσχυρὴ ροὴ τοῦ νεροῦ τοῦ ποταμοῦ.

3. Ἔπειτα ἑρμηνεύοντας τὴ μεταφορά, λέγει, «Τὸν βασιλιὰ τῶν Ἀσσυρίων». Βλέπεις πῶς ὁ προηγούμενος λόγος μου ἀποδεικνύεται ἀλάθητος, ὅτι δηλαδὴ ἡ Γραφὴ συνηθίζει πάντοτε νὰ ἑρμηνεύει τὸν ἑαυτό της ὅταν χρησιμοποιεῖ μεταφορές; Αὐτὸ βέβαια ἔκανε καὶ ἐδῶ. Διότι, ἀφοῦ ἀνέφερε τὸν ποταμό, δὲν ἐπέμεινε στὴ μεταφορά, ἀλλ' εἶπε, ποιὸν ποταμὸ ἐννοεῖ, δηλαδὴ «Τὸν βασιλιὰ τῶν Ἀσσυρίων καὶ ὅλο τὸ ξακουστὸ στράτευμά του. Καὶ θὰ εἰσέλθουν σὲ κάθε φαράγγι τῆς χώρας σας καὶ θὰ περπατήσουν σὲ κάθε ὀχύρωμά σας. Καὶ θ' ἀφαιρέσει ἀπὸ τὴν Ἰουδαία κάθε ἄνθρωπο ποὺ θὰ τολμήσει νὰ σηκώσει κεφάλι ἐναντίον του ἢ θὰ ἔχει τὴ δύναμη νὰ πράξει κάτι. Καὶ θὰ εἶναι τόσα πολλὰ τὰ στρατεύματά του, ὥστε θὰ γεμίσουν ὅλη τὴ χώρα σας». Γιὰ νὰ δείξει ὅτι τὰ λεγόμενα θὰ συμβοῦν ὄχι μὲ ἀνθρώπινη δύναμη, ἀλλὰ μὲ θεόσταλτη ὀργή, τὸν παρουσιάζει ὄχι σὰν ἐχθρὸ ποὺ παρατάσσεται γιὰ μάχη, ἀλλὰ σὰν κάποιον ποὺ ἔρχεται γιὰ ἕτοιμη λεία. Διότι, λέγει, δὲν θὰ στρατοπεδεύσει καὶ δὲν θὰ παραταχθεῖ γιὰ μάχη, ἀλλὰ μὲ τὸ πλῆθος τῶν στρατευμάτων θὰ καλύψει τὴν ἐπιφάνεια τῆς γῆς καὶ μὲ εὐκολία θὰ ἐπιτύχει τὴ νίκη[2].

Ἀλλὰ καὶ μέσα στὴν ὀργὴ αὐτὴ ὑπάρχει μεγάλη φιλανθρωπία. Διότι δὲν ἀπειλεῖ ὅτι θὰ καταστρέψει τὴν πόλη τους, ἀλλὰ προλέγει κάποια αἰχμαλωσία καὶ ἀπαγωγή, θέλοντας μὲ τὴν τιμωρία ποὺ θὰ ἐπιβληθεῖ σ' ὅσους θὰ ὁδηγηθοῦν στὴν αἰχμαλωσία νὰ κάνει πιὸ συνετοὺς ἐκείνους ποὺ θ' ἀπομείνουν. Διότι, λέγει, «Θ' ἀφαιρέσει ἀπὸ τὴν Ἰουδαία κάθε ἄνθρωπο ποὺ μπορεῖ νὰ σηκώσει κεφάλι». Τοὺς ἄρχοντες, λέγει, ποὺ προκαλοῦν ὅλες τὶς ἀνωμαλίες καὶ καταδυναστεύουν τὸ λαό, θὰ τοὺς ὁδηγήσει στὴν αἰχμαλωσία καὶ τὴ δουλεία, ὥστε ν' ἀναπνεύσει λίγο τότε ἡ κατώτερη μερίδα τοῦ λαοῦ καὶ ἀπὸ τὸ φόβο γιὰ ἐκείνους ποὺ θὰ ὁδηγηθοῦν στὴν αἰχμαλωσία καὶ τὴν

καὶ τῆς οἰκείας ἐλευθερίας ἀδείᾳ γενέσθαι βελτίους. Διὰ τοῦτό φησι, «Δυνατὸν συντελέσασθαί τι», τουτέστι, τὸν ἰσχυρόν, τὸν ἐνεργεῖν δυνάμενον, τὸν ὁτιοῦν πρᾶξαι ἰσχύοντα. Καὶ πρὸ τῆς ἀπαγωγῆς δέ, δι' αὐτῆς τῆς ὄψεως ἱκανῶς ὑμᾶς καταπλήξει, φησίν, ὁ βάρβαρος, πᾶσαν τὴν γῆν πληρῶν τῶν βαρβαρικῶν σωμάτων. Διὰ τοῦτο ἐπήγαγε· «Καὶ ἔσται ἡ περεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου».

«Μεθ' ἡμῶν ὁ Θεός. Γνῶτε, ἔθνη, καὶ ἡττᾶσθε· ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς, καὶ ἰσχύοντες ἡττᾶσθε. Ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε. Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος· καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεός». Ἐμοὶ δοκεῖ τὴν τοῦ Ἐζεκίου νίκην ἐνταῦθα προλέγειν, καὶ τὸ λαμπρὸν ἐκεῖνο τρόπαιον καὶ τῆς νίκης αὐτῆς τὴν αἰτίαν. Εἰ γὰρ καὶ ὅπλα παρ' ἐκείνοις, φησί, καὶ στρατόπεδα ἄπειρα, καὶ ἐμπειρία πολεμική, ἀλλ' ἡ πάντων δυνατωτέρα συμμαχία μεθ' ἡμῶν, τουτέστιν ὁ Θεός. Ἦλθε μὲν γὰρ ὁ βάρβαρος, καθὼς ἠπείλησεν ἔμπροσθεν, καὶ πολλὰς λαβὼν πόλεις ἀπῆλθε, μετὰ δὲ ταῦτα ἐπιστρατεύσας, τἀναντία ἔπαθε. Καὶ ταῦτα τοίνυν ὁ προφήτης προλέγει, καὶ τὸν τῆς νίκης αἴτιον ἀνακηρύττει, καὶ πρὸς αὐτοὺς τοὺς βαρβάρους ἀποτείνει τὸν λόγον. Μὴ γὰρ δὴ τῇ προτέρᾳ νίκῃ θαρρήσητε, φησίν· ἐν γὰρ τῇ νῦν ἐφόδῳ μεγίστη παρῆν ἡμῖν ἡ συμμαχία. Γνῶτε τοίνυν τοῦτο αὐτό, καὶ ἀπόστητε, ὡς ἀδυνάτοις ἐπιχειροῦντες.

Εἶτα, τὸν αἴτιον τῆς νίκης ἐκείνης ἐμφαίνων, καὶ ὅτι πρὸς τὰς ἐσχατιὰς ἀφίξεται τῆς γῆς ἡ φήμη τὰ κατορθώματα φέρουσα, φησίν· «Ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς». Οὐδεὶς γὰρ ἀνήκοος τῶν τότε συμβάντων ἐν Ἱεροσολύμοις γέ-

ἀσφάλεια τῆς δικῆς τους ἐλευθερίας νὰ γίνουν καλύτεροι. Γι' αὐτὸ λέγει, «'Εκεῖνον ποὺ μπορεῖ νὰ πράξει κάτι», δηλαδὴ τὸν ἰσχυρό, ἐκεῖνον ποὺ μπορεῖ νὰ φέρει σὲ πέρας κάποιο ἔργο, ποὺ ἔχει τὴ δύναμη νὰ πράξει ὁ,τιδήποτε. Καὶ πρὶν ἀπὸ τὴν αἰχμαλωσία, λέγει, θὰ σᾶς καταπλήξει πάρα πολὺ ὁ βάρβαρος ἁπλῶς καὶ μόνο μὲ τὴν παρουσία του, γεμίζοντας ὁλόκληρη τὴ χώρα σας μὲ τὰ βαρβαρικὰ στρατεύματα. Γι' αὐτὸ πρόσθεσε· «Καὶ θὰ εἶναι τόσα πολλὰ τὰ στρατεύματα αὐτοῦ, ὥστε θὰ γεμίσει ὁλόκληρη τὴ χώρα σου».

Παρ' ὅλα αὐτὰ ὅμως ὁ Θεὸς θὰ εἶναι μαζί μας. Μάθετέ το αὐτὸ ὅλα τὰ ἔθνη καὶ δεῖξτε ταπείνωση· ἀκοῦστε αὐτὸ μέχρι τὰ πέρατα τῆς γῆς, ὅτι ὅσο ἰσχυροὶ καὶ ἂν εἶστε θὰ νικηθεῖτε. Καὶ ἂν ἀκόμα βέβαια ὑπερισχύσετε καὶ πάλι, καὶ πάλι θὰ νικηθεῖτε. Καὶ ὅποια ἀπόφαση καὶ ἂν πάρετε θὰ τὴν ματαιώσει ὁ Κύριος· καὶ ὅποιο λόγο καὶ ἂν ἐκστομίσετε ἐναντίον μας, δὲν θὰ πραγματοποιηθεῖ, διότι ὁ Θεὸς εἶναι μαζί μας». 'Εμένα μοῦ φαίνεται ὅτι ἐδῶ προλέγει τὴ νίκη τοῦ 'Εζεκία, τὸ λαμπρὸ ἐκεῖνο τρόπαιο, καθὼς καὶ τὴν αἰτία τῆς νίκης αὐτῆς. Διότι, λέγει, καὶ ἂν ἀκόμα ὑπάρχουν σ' ἐκείνους ὅπλα καὶ ἀμέτρητα στρατεύματα, καθὼς καὶ πείρα πολεμική, ἀλλ' ὅμως ἡ πιὸ δυνατὴ ἀπὸ ὅλες τὶς συμμαχίες, δηλαδὴ ὁ Θεός, εἶναι μαζί μας. Καὶ πράγματι ἦρθε μὲν ὁ βάρβαρος, ὅπως ἀπείλησε πιὸ μπροστά, καὶ ἔφυγε ἀφοῦ κυρίευσε πολλὲς πόλεις, στὴ συνέχεια ὅμως, ὅταν ἐξεστράτευσε καὶ πάλι, ἔπαθε τὰ ἀντίθετα. Καὶ αὐτὰ λοιπὸν τὰ προλέγει ὁ προφήτης καὶ διακηρύσσει καὶ τὸν αἴτιο τῆς νίκης, καὶ ἀπευθύνει τὸ λόγο του καὶ πρὸς τοὺς ἴδιους τοὺς βαρβάρους. Διότι, λέγει, μὴ λοιπὸν ξεθαρρέψετε ἀπὸ τὴν προηγούμενη νίκη, καθόσον κατὰ τὴν τωρινὴ ἐπίθεση ὑπάρχει μαζί μας ἡ πιὸ μεγαλύτερη συμμαχία. Μάθετέ το λοιπὸν αὐτὸ καὶ φύγετε μακριά, διότι ἐπιχειρεῖτε ἀδύνατα πράγματα.

Ἔπειτα, παρουσιάζοντας τὸν αἴτιο τῆς νίκης ἐκείνης, καὶ ὅτι θὰ φθάσει στὰ πέρατα τῆς γῆς ἡ φήμη μεταφέροντας τὰ κατορθώματα, λέγει· «'Ακοῦστε αὐτὸ μέχρι τὰ πέρατα τῆς γῆς». Πράγματι κανένας δὲν ἔμεινε ἀπληροφόρητος, γιὰ τὰ ὅσα

γονε. Διὰ τοῦτό φησιν· «Ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς, καὶ οἱ ἰσχύοντες ἡττᾶσθε». Μεγάλην γὰρ ἐπὶ ῥώμῃ δόξαν ὁ βάρβαρος τότε ἐκέκτητο. Ἰσχυροὺς δὲ ἐνταῦθα οὐ τοὺς ἐν τῇ τοῦ σώματος εὐεξίᾳ μεγάλους φησίν, ἀλλὰ καὶ τοὺς ἐν τῇ τῶν χρημάτων περιουσίᾳ, καὶ τῇ τῆς δόξης περιφανείᾳ. «Ἐὰν γὰρ πάλιν ἰσχύσητε», φησί, «πάλιν ἡττηθήσεσθε, καὶ ἣν ἂν βουλεύσησθε βουλήν, διασκεδάσει Κύριος, καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεός». Ἐπειδὴ πονηρὰ παρ' αὐτοῖς ἦν βουλεύματα, καὶ προσεδόκων τὴν πόλιν αὐτὴν ἐκ βάθρων ἀνασπᾶσθαι, καὶ οὕτως οἴκαδε ἀπελεύσεσθαι, καὶ τὰ βουλεύματα αὐτῶν ὁ προφήτης εἰς μέσον ἄγει, καί φησι· μέχρι τῶν ῥημάτων ἅπαντα στήσεται.

Εἶτα ἐπειδὴ πράγματα ἀπήγγειλε φύσιν ἀνθρωπίνην ὑπερβαίνοντα, ἀξιόπιστον ποιῶν τὸν λόγον, ἐπὶ τὸ ἀξίωμα τοῦ κατορθοῦντος καταφεύγει συνεχῶς, λέγων, «Ὅτι μεθ' ἡμῶν ὁ Θεός», καὶ ὅτι αὐτὸς ἅπαντα ταῦτα διασκεδάσει τὰ μηχανήματα. Ὅτι αὐτῷ ἡ δόξα.

συνέβηκαν τότε στὰ Ἱεροσόλυμα. Γι' αὐτὸ λέγει· «Ἀκοῦστε αὐτὸ μέχρι τὰ πέρατα τῆς γῆς, ὅσο ἰσχυροὶ καὶ ἂν εἶστε θὰ νικηθεῖτε». Διότι τότε ὁ βάρβαρος εἶχε μεγάλη φήμη γιὰ τὴ δύναμή του. Ἰσχυροὺς δὲ ἐδῶ ὀνομάζει ὄχι μόνο ἐκείνους ποὺ εἶχαν μεγάλη σωματικὴ δύναμη, ἀλλὰ καὶ ἐκεῖνους ποὺ ἦταν φημισμένοι γιὰ τὴν ἀφθονία τῶν χρημάτων τους καὶ τὴ δόξα τους. «Ἐὰν πάλι ὑπερισχύσετε», λέγει, «καὶ πάλι θὰ νικηθεῖτε, καὶ ὁποια ἀπόφαση καὶ ἂν πάρετε ἐναντίον μας, θὰ τὴ ματαιώσει ὁ Κύριος, καὶ ὁποιο λόγο καὶ ἂν ἐκστομίσετε ἐναντίον μας, δὲν θὰ πραγματοποιηθεῖ, διότι ὁ Θεὸς εἶναι μαζί μας». Ἐπειδὴ δηλαδὴ ἔκαμναν κακὲς σκέψεις καὶ ἔλπιζαν νὰ καταστρέψουν τὴν πόλη ἀπὸ τὰ θεμέλια καὶ ἔτσι να ἐπιστρέψουν στὴν πατρίδα τους, φανερώνει ὁ προφήτης καὶ τὶς σκέψεις αὐτῶν καὶ λέγει· μέχρι τὰ λόγια ὅλα θὰ φθάσουν.

Ἔπειτα, ἐπειδὴ ἀνάγγειλε πράγματα ποὺ ξεπερνοῦν τὴν ἀνθρώπινη φύση, κάμνοντας τὸ λόγο ἀξιόπιστο, ἀναφέρει συνέχεια τὸ ἀξίωμα ἐκείνου ποὺ ὅλα αὐτὰ ἀποτελοῦν κατόρθωμά του, λέγοντας, «Ὅτι ὁ Θεὸς εἶναι μαζί μας», καὶ αὐτὸς θὰ ματαιώσει ὅλα αὐτὰ τὰ μηχανορραφήματα. Διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα.

ΥΠΟΜΝΗΜΑ
ΣΤΟΝ ΠΡΟΦΗΤΗ ΔΑΝΙΗΛ
(Κεφάλαια Α΄—ΙΓ΄)

ΚΕΦΑΛΑΙΟΝ Α'.

«Καὶ εἶπεν ὁ βασιλεὺς Ἀσφανὲς τῷ ἀρχιευνούχῳ αὐτοῦ εἰσαγαγεῖν ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῶν υἱῶν Ἰσραήλ, καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας, καὶ ἀπὸ τῶν Φορθονμίν».

1. Φορθονμὶν ἢ ἔθνος φησί, ἢ γένος· μᾶλλον δὲ ἔθνος, βάρβαρον ἴσως. Συγχωρεῖται δὲ τοῦτο, ἵνα ἀπὸ συγκρίσεως ἡ τοῦ Θεοῦ φανῇ δύναμις· καὶ ὅπερ ἐπὶ τῶν πολλῶν ἐγένετο, καὶ ἐπὶ τῆς σοφίας. Ἵνα γὰρ μή τις τὴν Περσικὴν σοφίαν αἰτιᾶται τῶν γινομένων, καὶ ἄλλοι μανθάνουσι μετ' αὐτῶν εἰς ἔλεγχον. Ἀπὸ γὰρ συγκρίσεως μάλιστα παρὰ τοῖς ἀνοήτοις τὰ πράγματα κρίνεται. Διὸ ἀπὸ συγκρίσεως πανταχοῦ ποιεῖ ὁ Θεός· καὶ ὅταν περὶ ἑαυτοῦ λέγῃ, οὐκ ἀπαξιοῖ τοῖς θεοῖς ἑαυτὸν παραβάλλειν, καὶ συγκρίνειν· καὶ αὐτοὶ λέγουσιν· «Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε».

«Ἐν οἷς οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος, καὶ καλοὺς τῇ ὄψει, καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ». Καὶ τοῦτο κώλυμα πρὸς σωφροσύνην καὶ φιλοσοφίαν. Τίνος δὲ ἕνεκεν καὶ τοιούτους ζητεῖ, ὥστε καὶ τῇ τῶν μελῶν εὐεξίᾳ, καὶ τῇ τῆς ὄψεως εὐμορφίᾳ πάντας τοὺς ἄλλους νικᾶν; Ἀκούσωμεν. Εἰ βασιλεὺς τοιούτους ζητεῖ, βασιλεὺς βάρβαρος, πόσῳ μᾶλλον ὁ Θεὸς ὁ τοῦ ψυχικοῦ κάλλους ἐραστής; Εἰ παρεστάναι ἐκείνῳ οὐκ ἂν εἶεν ἄξιοι οἱ μῶμον ἔχοντες ἐν σώματι («Ἐν οἷς» γάρ, φησίν, «οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος»), πολλῷ μᾶλλον

---

1. Ψαλμ. 85, 8.

ΚΕΦΑΛΑΙΟ Α′

«Καὶ εἶπε ὁ βασιλιὰς στὸν Ἀσφανὲς τὸν ἀρχιευνοῦχο του νὰ διαλέξει καὶ νὰ ὁδηγήσει στὰ ἀνάκτορα ἀπὸ τοὺς αἰχμαλώτους Ἰσραηλίτες καὶ μάλιστα ἀπὸ ἐκείνους ποὺ κατάγονταν ἀπὸ βασιλικὸ γένος καὶ ἀπὸ τοὺς φορθονμίν».

1. Λέγοντας φορθονμὶν ἢ ἐννοεῖ κάποιο ἔθνος ἢ κάποιο γένος, μᾶλλον δὲ ἔθνος, καὶ ἴσως βάρβαρο. Ἐπιτρέπεται αὐτό, ὥστε ἀπὸ τὴ σύγκριση νὰ φανεῖ ἡ δύναμη τοῦ Θεοῦ· καὶ ἐκεῖνο ἀκριβῶς ποὺ συνέβηκε μὲ πολλὰ ἄλλα, αὐτὸ γίνεται καὶ σχετικὰ μὲ τὴ σοφία. Γιὰ νὰ μὴ κατηγορεῖ δηλαδὴ κάποιος τὴν περσικὴ σοφία γι' αὐτὰ ποὺ γίνονται, καὶ ἄλλοι δὲ νὰ μαθαίνουν μαζὶ μὲ αὐτὰ νὰ κάνουν τὸν ἔλεγχο. Διότι κατόπιν συγκρίσεως ὡς ἐπὶ τὸ πλεῖστο κρίνονται τὰ πράγματα ἀπὸ τοὺς ἀνόητους. Γι' αὐτὸ καὶ ὁ Θεὸς παντοῦ κάμνει τὸν ἔλεγχο μετὰ ἀπὸ σύγκριση. Καὶ ὅταν ὁμιλεῖ γιὰ τὸν ἑαυτό του δὲν θεωρεῖ ἀνάξιο νὰ παραβάλλει τὸν ἑαυτό του μὲ τοὺς θεοὺς καὶ νὰ τὸν συγκρίνει μὲ αὐτούς· καὶ αὐτοὶ λέγουν· «Δὲν ὑπάρχει, Κύριε, κανένας μεταξὺ τῶν ψευδοθεῶν ὅμοιος μέ σένα»[1].

«Στοὺς ὁποίους δὲν ὑπάρχει σωματικό ἐλάττωμα, νὰ εἶναι ὡραῖοι στὴν ἐμφάνιση καὶ ἱκανοὶ γιὰ κάθε σοφία». Καὶ αὐτὸ ἀποτελεῖ ἐμπόδιο γιὰ σωφροσύνη καὶ εὐσέβεια. Γιὰ ποιὸ λόγο δὲ ζητᾶ νὰ εἶναι τέτοιοι, ὥστε καὶ ὡς πρὸς τὴν ἀρτιότητα τῶν σωματικῶν μελῶν καὶ ὡς πρὸς τὴν ὀμορφιὰ τοῦ προσώπου τους νὰ ξεπερνοῦν ὅλους τους ἄλλους; Ἂς ἀκούσομε γιὰ ποιὸ λόγο. Ἐὰν βασιλιάς, καὶ μάλιστα βασιλιὰς βάρβαρος, ζητᾶ τέτοιους ἀνθρώπους, πόσο μᾶλλον ὁ Θεός, ποὺ εἶναι ἐραστὴς τοῦ ψυχικοῦ κάλλους; Ἐὰν δὲν θὰ ἦταν ἄξιοι νὰ σταθοῦν κοντὰ στὸν κοσμικὸ βασιλιὰ ἐκεῖνοι ποὺ ἔχουν σωματικὸ ἐλάττωμα (Διότι, λέγει, «Στοὺς ὁποίους δὲν ὑπάρχει κανένα σωματικὸ ἐλάτ-

τῷ Θεῷ οὐ προσήκει παρεστάναι τοὺς μῶμον ἔχοντας ἐν τῇ ψυχῇ. Εἰκότως δὲ καὶ ἰσχυροὺς ζητεῖ, πρὸς τὰς ἔνδον διακονίας φησί, ἢ ἰσχὺν καὶ τὴν τῆς ψυχῆς λέγει, τουτέστι, δυναμένους ἑστάναι ἐνώπιον τοῦ βασιλέως. Καλοὺς δὲ τὴν ὄψιν τίνος ἕνεκεν ἐπιζητεῖ; Ἐκεῖνα μὲν γὰρ πρὸς χρείαν, ἡ σοφία λέγω, καὶ ἡ σύνεσις τῆς διανοίας, τοῦτο δὲ τίνος ἕνεκεν; Ἅτε ὡς βάρβαρος, καὶ βιωτικὸς ἀνήρ, ἀπὸ φιλοτιμίας πολλῆς τοῦτο ἐπιζητεῖ· τὸν γὰρ φιλόσοφον τὰ ἀπὸ ψυχῆς ἐπιζητεῖν χρὴ μόνον. Ὥσπερ γὰρ ἱμάτια ζητοῦμεν καλὰ πρὸς οὐδεμίαν χρείαν, οὕτω καὶ ὄψεις ἐπιζητεῖ καλάς, ὥσπερ ἀγάλματα.

Ὁ δὲ Θεὸς τίνος ἕνεκεν κάλλος ἐποίησεν; Ἄκουσον ἑτέρου λέγοντος· «Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται». Καὶ πολλὰ ἴδοι τις ἂν οὐχὶ πρὸς χρείαν μόνον, ἀλλὰ καὶ πρὸς ὥραν ἡμῖν ἐν τῷ σώματι γεγενημένα. Τὰ γὰρ χρώματα, καὶ αἱ εὔχροιαι, τούτου χάριν, οὐ χρείας μόνης. Δυνατὸν γὰρ ἦ καὶ μέλανας εἶναι, καὶ μηδὲν εἰς τὴν χρείαν παραβλέπεσθαι. Καὶ τρίχες δὲ ἡμῖν διὰ τοῦτο· οὕτω καὶ Παῦλός φησι· «Ἀνὴρ μὲν γὰρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστιν». Καὶ αὐχὴν δὲ ὄρθιος, καὶ σύμμετρον ἔχων διάστημα· καὶ εἰς τοῦτο εὐπρεπείας ἅπαντα ἡμῖν ἐξενήνεκται, ὡς, ἂν μικρὸν ἐκκόψῃς τῷ παντί, λυμήνασθαι κάλλει, τῆς χρείας μενούσης. Ὅθεν δὲ μάλιστα καὶ πρὸς κάλλος ὁ Δημιουργὸς ἡμῖν τὸ ζῶον κατεσκεύασε τοῦτο· καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ τὰ ἄλλα πάντα. Ἀλλὰ τοῦ κάλλους τούτου τοῖς μὲν πλέον, τοῖς δὲ ἔλαττον ἔδωκεν. Πολλοὺς δὲ μετὰ τὸ γενέσθαι, οὐκ ἔχοντες οἴκοθεν, χάριν ἐνέδυσεν. Καὶ ἀπὸ τῆς θέσεως δὲ αὐτῆς ὄψει τὸ κάλ-

---

2. Σοφ. Σολ. 13, 5. 3. Α' Κορ. 11, 14.

τωμα»), πολὺ περισσότερο δὲν ταιριάζει νὰ βρίσκονται κοντὰ στὸ Θεὸ ἐκεῖνοι ποὺ ἔχουν κάποιο ψεγάδι στὴν ψυχή. Πολὺ σωστὰ δὲ ζητᾶ νὰ εἶναι καὶ ἰσχυροί, ἐννοώντας ὡς πρὸς τὶς ἐσωτερικὲς ὑπηρεσίες, ἢ ἰσχὺ ὀνομάζει τὴ δύναμη τῆς ψυχῆς, δηλαδὴ νὰ μποροῦν νὰ στέκονται μπροστὰ στὸ βασιλιά. Γιὰ ποιὸ λόγο δὲ ζητᾶ νὰ εἶναι ὡραῖοι καὶ ὡς πρὸς τὴν ἐμφάνιση; Διότι ἐκεῖνα μέν, ἐννοῶ ἡ σοφία καὶ ἡ σύνεση τῆς διάνοιας, ζητοῦνται γιὰ τὴν παροχὴ ὠφέλιμης ὑπηρεσίας, ἡ ὡραία ἐμφάνιση ὅμως γιὰ ποιὸ λόγο; Ἐπειδὴ αὐτὸς ἦταν βάρβαρος καὶ κοσμικὸς ἄνθρωπος, ἐπιζητεῖ τὴν ὡραία ἐμφάνιση ἀπὸ μεγάλη φιλοφοξία· διότι ὁ φιλόσοφος πρέπει νὰ ἐπιζητεῖ μόνο τὰ κάλλη τῆς ψυχῆς. Ὅπως ἀκριβῶς δηλαδὴ ἐπιδιώκουμε ν' ἀποκτήσομε ὡραῖα ἐνδύματα χωρὶς αὐτὸ νὰ μᾶς ὠφελεῖ σὲ τίποτε, ἔτσι καὶ αὐτὸς ζητᾶ νὰ ἔχουν ὡραία ἐμφάνιση, σὰν νὰ εἶναι ἀγάλματα.

Ἀλλ' ὁ Θεὸς γιὰ ποιὸ λόγο δημιούργησε τὸ κάλος; Ἄκουσε ἄλλον ποὺ λέγει· «Διότι ἀπὸ τὸ μέγεθος καὶ τὴν ὡραιότητα τῶν κτισμάτων βλέπεται κατ' ἀναλογία ἐκεῖνος ποὺ δημιούργησε αὐτά»[2]. Καὶ πολλὰ θὰ μποροῦσε κανεὶς νὰ δεῖ ὅτι γίνονται στὸ σῶμα ὄχι μόνο γιὰ ὠφέλεια, ἀλλὰ καὶ γιὰ ὡραιότητα. Διότι τὰ διάφορα χρώματα καὶ οἱ ἀλοιφὲς παρέχονται στὸ σῶμα γιὰ ὡραιότητα καὶ ὄχι μόνο γιὰ ὠφέλεια. Διότι εἶναι δυνατὸ νὰ εἶναι κάποιος καὶ μαῦρος καὶ νὰ μὴ βλάπτεται καθόλου ὡς πρὸς τὴν χρησιμότητα. Καὶ οἱ τρίχες δὲ ὑπάρχουν σὲ μᾶς γι' αὐτὸ τὸ σκοπό· ἔτσι καὶ ὁ Παῦλος λέγει· «Ὁ μὲν ἄνδρας ἂν τρέφει μακριὰ μαλλιὰ ἀποτελεῖ αὐτὸ ντροπὴ γι' αὐτόν»[3]. Καὶ ὁ αὐχένας μας δὲ γι' αὐτὸ εἶναι ὄρθιος καὶ ἔχει καὶ συμμετρικὸ μῆκος· καὶ γι' αὐτὸ ὅλα δημιουργήθηκαν σὲ μᾶς μὲ τὴν πιὸ ἄψογη κομψότητα, ὥστε, ἐὰν ἀφαιρέσεις ἀπὸ τὸ ὅλο σύνολο ἕνα μικρὸ μέρος, νὰ καταστρέψεις τὸ κάλλος, ἐνῶ ἡ χρησιμότητα παραμένει. Ὥστε λοιπὸν ὁ Δημιουργός μας ἔπλασε τὸ ζῶο αὐτὸ καὶ γιὰ τὸ κάλλος του· καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ ὅλα τὰ ἄλλα. Ἀλλὰ ἀπὸ τὸ κάλλος αὐτὸ στοὺς μὲν ἔδωσε περισσότερο, στοὺς δὲ λιγότερο. Πολλοὺς δὲ μετὰ τὴ γέννησή τους, ἐπειδὴ δὲν τὸ εἶχαν ἐκ φύσεως, τοὺς περιέβαλε μὲ χάρη. Καὶ ἀπὸ τὸ ἴδιο δὲ τὸ ὅλο παρουσιαστικὸ τοῦ ἀνθρώπου θὰ διαπιστώσεις τὸ

λος, οἷον τὸ ἐν ὑψηλῷ κεῖσθαι τοὺς ὀφθαλμούς, καθάπερ τὴν ἶριν, καὶ ἔχειν ἔνδον τὸ στρογγύλον ἀποτετορνευμένον, τὴν μίξιν τῶν χρωμάτων, τὴν ἀκρίβειαν, τὴν γνησιότητα, τὸ λευκὸν εἶναι.

Ἀλλὰ πρόσκομμα γέγονε τὸ κάλλος, φησί. Οὐχὶ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ῥαθυμίαν τῶν ἁλισκομένων. «Μὴ καταμάνθανε» γάρ, φησί, «κάλλος ἀλλότριον». Οὐχ ἁπλῶς εἶπε, «Μὴ καταμάνθανε κάλλος», ἀλλὰ προσέθηκεν, «Ἀλλότριον», ὡς τό γε οἰκείου ἀπολαύειν αἰνεῖ. Διὰ τί γὰρ οὐκ ἐξετραχήλισε τὸν Ἰωσήφ, οὐδὲ βλάκα εἰργάσατο, οὐδὲ ἐνέπλησεν ἀπονοίας καὶ τύφου; «Ἔλαφος», φησί, «φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι». Σύνδεσμός ἐστι καὶ τοῦτο τοῦ γάμου, ὥστε πρὸς τὰ σώματα ἐπτόηντο οἱ ἄνθρωποι. Ἐπειδὴ γὰρ ἐπίπονόν τινα καὶ μοχθηρὸν ἡμῖν κατεσκεύασε τὸν βίον, ἐχαρίσατό τινα καὶ παραμυθίαν. Ἐντεῦθεν ἡμῖν ἀγάπης ἐστὶν ὑπέκκαυμα τῆς τὰ πάντα συνεχούσης. Πολλὰ γὰρ ἐσπούδασεν ὁ Θεὸς καὶ ἐπραγματεύσατο, ὥστε τὸν τοῦ γάμου σύνδεσμον ἀρραγῆ μένειν. Καὶ μὴν τοῦτο, φησί, γέγονε πρόσκομμα παρὰ τὴν ἀρχήν. «Ἰδόντες γὰρ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν Ἑβραίων (ἀνθρώπων), ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς». Οὐχὶ τοῦτο γέγονε πρόσκομμα, ἀλλ' ἡ ἀκρασία ἐκείνων. Καλὰς αὐτὰς ἐποίησεν, οὐχ ἵνα ἀναιδεῖς αἱ θυγατέρες γένωνται, ἀλλ' ἵνα ἕκαστος στέργῃ τὴν ἑαυτοῦ.

«Καὶ συνιέντας», φησίν, «ἐν πάσῃ σοφίᾳ», τουτέστι, σπουδαίους, δεκτικοὺς πρὸς πᾶσαν σοφίαν, «τοῦ διδάξαι αὐτοὺς γράμματα καὶ γλῶσσαν Χαλδαίων». Ὁ μὲν οὖν Μωϋσῆς, ἰδιώτης ὤν, ὡς βασιλεὺς ἐτράφη, οὗτοι δὲ ἐκ γένους ὄντες βασιλικοῦ, ἐν τάξει δούλων δεσποτικῶν ἀνετρέφοντο. Καλῶς προοικονομεῖται αὐτοὺς μαθεῖν γράμματα καὶ

---

4. Σοφ. Σειρὰχ 9, 8. 5. Παρμ. 5, 19. 6. Γεν. 6, 2.

κάλλος του, ὅπως τὸ ὅτι οἱ ὀφθαλμοὶ βρίσκονται ψηλά, σὰν ἀκριβῶς τὸ οὐράνιο τόξο, καὶ ἔχουν ἐσωτερικὰ τὴ στρογγυλότητα τέλεια ἐπεξεργασμένη, τὴν ἀνάμειξη τῶν χρωμάτων, τὴν ἀκρίβεια, τὴν καθαρότητα, τὴ λευκότητα.

Ἀλλά,λέγει, τὸ κάλλος ἔγινε ἀφορμὴ ἁμαρτίας. Ὄχι ἀπὸ τὴν ἴδια τὴ φύση του, ἀλλ' ἐξ αἰτίας τῆς ἀδιαφορίας ἐκείνων ποὺ παρασύρονται καὶ νικοῦνται ἀπ' αὐτό. Διότι, λέγει, «Μὴ παρατηρεῖς μὲ πάθος ξένο κάλλος»[4]. Δὲν εἶπε ἁπλῶς «Μὴ παρατηρεῖς κάλλος», ἀλλὰ πρόσθεσε, «Ξένο», διότι ἐπαινεῖ τὸ ν' ἀπολαμβάνει κανεὶς τὸ δικό του κάλλος. Πράγματι γιατί δὲν παρέσυρε τὸν Ἰωσὴφ στὴν καταστροφή, οὔτε τὸν ἔκανε μωρό, οὔτε τὸν γέμισε ἀπὸ παραφροσύνη καὶ ἀνοησία; Διότι λέγει, «Σὰν πρὸς ἀξιαγάπητο ἐλάφι καὶ χαριτωμένο πουλαράκι ἂς εἶναι ἡ ἀγάπη σου καὶ ἡ συμπεριφορά σου πρὸς τὴ γυναίκα σου»[5]. Μέσο συνδέσεως τοῦ γάμου εἶναι καὶ αυτό, ὥστε οἱ ἄνθρωποι νὰ κυριεύονται ἀπὸ σφοδρὸ πόθο γιὰ τὰ σώματα. Ἐπειδὴ δηλαδὴ ὁ Θεὸς μᾶς ἔδωσε ἐπίπονο καὶ κοπιαστικὸ βίο, μᾶς χάρισε καὶ κάποια παρηγοριά. Ἔτσι λοιπὸν τὸ κάλλος μᾶς γίνεται μέσο διεγέρσεως καὶ τροφὴ τῆς ἀγάπης ποὺ συνδέει καὶ συγκρατεῖ τὰ πάντα. Διότι πολλὰ πράγματα ἐπινόησε καὶ ἔπραξε ὁ Θεὸς μὲ ξεχωριστὴ φροντίδα γιὰ μᾶς, ὥστε νὰ μένει ἀδιάσπαστος ὁ σύνδεσμος τοῦ γάμου. Καὶ ὅμως, λέγει, τὸ κάλλος αὐτὸ ἔγινε ἀπὸ τὴν ἀρχὴ ἀφορμὴ γιὰ ἁμαρτία. «Διότι, ὅταν οἱ υἱοὶ τοῦ Θεοῦ εἶδαν τὶς θυγατέρες τῶν Ἑβραίων (ἀνθρώπων), ὅτι ἦταν ὡραῖες στὴν ἐμφάνιση, ἔλαβαν αὐτὲς γιὰ γυναῖκες τους»[6]. Δὲν ἔγινε ἀφορμὴ γι' ἁμαρτία τὸ κάλλος, ἀλλ' ἡ ἔλλειψη ἐγκράτειας ἐκείνων. Ὁ Θεὸς δημιούργησε αὐτὲς ὄχι γιὰ νὰ γίνουν ἀδιάντροπες οἱ θυγατέρες, ἀλλὰ γιὰ νὰ ἀγαπᾶ καὶ νὰ ἀρκεῖται ὁ καθένας στὴ δική του.

«Καὶ νὰ εἶναι», λέγει, «ἱκανοὶ γιὰ κάθε σοφία», δηλαδὴ νὰ εἶναι σπουδαῖοι καὶ κατάλληλοι γιὰ κάθε σοφία, «γιὰ νὰ διδαχθοῦν καὶ νὰ μάθουν τὰ γράμματα καὶ τὴ γλώσσα τῶν Χαλδαίων». Ὁ μὲν λοιπὸν Μωϋσῆς, ἐνῶ ἦταν ἰδιώτης, ἀνατράφηκε σὰν βασιλιάς, αὐτοὶ δέ, ἐνῶ προέρχονταν ἀπὸ βασιλικὸ γένος, ἀνατρέφονταν στὴ θέση τῶν δούλων τῶν κυρίων. Πολὺ

γλῶσσαν Χαλδαίων, ἵν', ὅταν μέλλῃ τῷ βασιλεῖ διαλέγεσθαι Δανιὴλ περὶ τῶν μεγάλων ἐκείνων, μηδεὶς μεταξὺ παρεμπεσὼν κακουργῇ τι τῶν λεγομένων. Τίνος δὲ ἕνεκεν καὶ τοῦτο γίνεται; Ἵνα μάθῃς αὐτοῦ τὴν φιλοσοφίαν, καὶ ἴδῃς εὐθέως ἐξ ἀρχῆς πῶς κρείττων ἐστὶ γαστρός. Καὶ μὴν ἕτερος εἶπεν ἄν, Ἁἰχμάλωτός εἰμι, οὐδαμόθεν ἔχω τὴν ἀναγκαίαν τροφήν, συγγνώσεται πάντως ὁ Θεός'.

Ἀλλ' οὐχ οὕτως οὗτος· οὐ γὰρ μισθῷ μόνον, ἀλλὰ καὶ ἀγάπῃ ἐδούλευε τῷ Θεῷ, πολλῆς ἀπολαύων ἐπιμελείας, καὶ ὁ χρόνος οὐ βραχύς. Ἔτη τρία ἐφιλοσόφουν, τὰ τρία ἔτη ἐνήστευον. Ὁρᾷς σύνεσιν; Ἔνθα μὲν ἐχρῆν φυλάξασθαι, σφόδρα ἀκριβής, καὶ προνοητικός, καὶ οὐχ ἁπλῶς ἐπιρρίπτων ἑαυτόν, ἀλλ' ἱκετεύων καὶ δεόμενος, ἔνθα δὲ οὐδὲν ἔβλαπτεν, οὐ παρῃτήσατο μαθεῖν γλῶτταν βαρβαρικὴν καὶ σοφίαν τοιαύτην. Οὐ γὰρ δὴ τὸ μαθεῖν ἔγκλημα ἦν, ἀλλὰ τὸ χρήσασθαι. Οὕτω μάλιστα ἔμαθεν ἂν τὴν σοφίαν τὴν παρ' ἑαυτῷ· ἀπὸ συγκρίσεως πάλιν, ἵνα μάθῃ ὅτι οὐκ ἔστι σοφία ἑτέρα οἵα ἡ Ἑβραίων, ἵνα ἰσχυρότερος εἴη. Καὶ μὴν εἰ καὶ παράνομον ἦν, καὶ ἐνταῦθα ἔστη ἂν καὶ ἠγωνίσατο. Εἶδες ὅτι τούτου αἱ ἀρεταί, ὅθεν οἱ γαστρίμαργοι, ὅθεν οἱ σκόρδα προτιμῶντες τοῦ μάννα; Ἐντεῦθεν ὁ Δανιὴλ ὢν φιλόσοφος ἐφάνη.

2. «Καὶ ἐγένοντο ἐν αὐτοῖς ἐκ τῶν υἱῶν Ἰούδα, Δανιήλ, καὶ Ἀνανίας, καὶ Ἀζαρίας, καὶ Μισαήλ. Καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα, τῷ μὲν Δανιὴλ Βαλτάσαρ, καὶ τῷ Ἀνανίᾳ Σεδράχ, καὶ τῷ Ἀζαρίᾳ Ἀβδεναγών, καὶ τῷ

σωστὰ καταβάλλεται προσπάθεια ἀπὸ τὴν ἀρχὴ γιὰ νὰ μάθουν αὐτοὶ τὰ γράμματα καὶ τὴ γλώσσα τῶν Χαλδαίων, ὥστε, ὅταν πρόκειται νὰ συνομιλεῖ ὁ Δανιὴλ μὲ τὸ βασιλιὰ γιὰ τὰ σπουδαῖα ἐκεῖνα πράγματα, κανένας νὰ μὴ παρεμβάλλεται ἀνάμεσα σ' αὐτοὺς σὰν διερμηνέας καὶ νὰ παραποιεῖ τὰ λεγόμενα. Γιὰ ποιὸ λόγο δὲ καὶ αὐτὸ γίνεται; Γιὰ νὰ μάθεις τὴν εὐσέβεια αὐτοῦ καὶ νὰ διαπιστώσεις εὐθὺς ἐξ ἀρχῆς πόσο πιὸ ψηλὰ στέκεται ἀπὸ τὴ γαστέρα. Ὁπωσδήποτε κάποιος ἄλλος θὰ μποροῦσε νὰ πεῖ, 'Αἰχμάλωτος εἶμαι, ἀπὸ πουθενὰ ἀλλοῦ δὲν μπορῶ νὰ ἐξασφαλίσω τὴν ἀναγκαία τροφή, γι' αὐτὸ ὁπωσδήποτε ὁ Θεὸς θὰ μὲ συγχωρήσει'.

Ἀλλ' ὅμως δὲν σκέφθηκε καὶ εἶπε τὸ ἴδιο αὐτός· διότι ὑπηρετοῦσε τὸ Θεὸ ὄχι μόνο γιὰ κάποιο μισθὸ καὶ ἀπὸ φόβο, ἀλλὰ καὶ μὲ ἀγάπη, ἀπολαμβάνοντας μεγάλη φροντίδα καὶ ὁ χρόνος δὲν ἦταν μικρός. Τρία χρόνια φιλοσοφοῦσαν καὶ τὰ τρία αὐτὰ χρόνια νήστευαν. Βλέπεις σύνεση; Ἐκεῖ ποὺ χρειαζόταν νὰ προφυλαχθεῖ, ἦταν ὑπερβολικὰ προσεκτικὸς καὶ προνοητικός, καὶ ὄχι ἁπλῶς φέροντας τὸν ἑαυτό του σὲ δύσκολη θέση, ἀλλὰ καὶ ἱκετεύοντας καὶ παρακαλώντας, ὅπου ὅμως δὲν πάθαινε καμιὰ βλάβη, δὲν ἀπέφυγε νὰ μάθει τὴ γλώσσα τῶν βαρβάρων καὶ τὴ σοφία αὐτῶν. Καθόσον βέβαια δὲν ἦταν ἄξιο κατηγορίας τὸ νὰ μάθει τὴ σοφία αὐτῶν, ἀλλὰ τὸ νὰ χρησιμοποιήσει αὐτήν. Μὲ τὸν τρόπο αὐτὸ θὰ μποροῦσε νὰ γνωρίσει πολὺ πιὸ καλύτερα τὴ δική του σοφία· πάλι μετὰ ἀπὸ σύγκριση τῆς δικῆς του σοφίας πρὸς τὴν βαρβαρική, ὥστε νὰ μάθει ὅτι δὲν ὑπάρχει ἄλλη σοφία σὰν τὴ σοφία τῶν Ἑβραίων καὶ νὰ γίνει ἰσχυρότερος. Καὶ βέβαια ἂν καὶ ἦταν παράνομο αὐτό, καὶ ὅμως καὶ πάλι ἀντιστάθηκε καὶ ἀγωνίστηκε. Εἶδες ὅτι οἱ ἀρετὲς αὐτοῦ ξεπηδοῦν ἀπὸ ἐκεῖ μέσα ποὺ ὑπῆρχαν ἐκεῖνοι ποὺ προτιμοῦσαν τὰ σκόρδα ἀντὶ τοῦ μάννα; Μέσα ἀπὸ ἐκεῖ ἀναπήδησε ἡ ὅλη φιλοσοφία καὶ εὐσέβεια τοῦ Δανιήλ.

2. «Μεταξὺ λοιπὸν τῶν Ἰουδαίων ποὺ ἐπιλέχθηκαν ἦταν ὁ Δανιήλ, ὁ Ἀνανίας, ὁ Ἀζαρίας καὶ ὁ Μισαήλ. Καὶ ὁ ἀρχιευνοῦχος ἔδωσε σ' αὐτοὺς νέα ὀνόματα, στὸν μὲν Δανιὴλ τὸ ὄνομα Βαλτάσαρ, στὸν Ἀνανία τὸ ὄνομα Σεδράχ, στὸν Ἀζαρία

Μισαὴλ Μισάχ». Τῷ Δανιήλ, φησί, Βαλτάσαρ ἐπέθηκεν ὄνομα. Καὶ ὁ θεὸς αὐτῶν οὕτως ἐλέγετο, μᾶλλον δὲ ὁ υἱὸς τοῦ βασιλέως οὕτως ἐλέγετο. Ἐτόλμησε κἂν οὖν τὸν αἰχμάλωτον οὕτω καλέσαι; Μάλιστα μὲν οὖν ἐτόλμησεν ἄν· πλὴν οὐκ ἔστι τὸ αὐτὸ ὄνομα, ἀλλὰ πολλὴ ἡ διαφορά, ὥσπερ ἐπὶ τοῦ Ἰωσήφ, προσεκύνησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. Καὶ τί μέγα τὸ ὄνομα τοῦτο κληθῆναι αὐτόν; οὐχ ὁρῶμεν καὶ νῦν τοῖς τῶν βασιλέων ὀνόμασιν ἰδιώτας καλουμένους πολλούς; Ἀλλ' οὐκ ἐν τοῖς βασιλείοις, φησί. Τίνος δὲ ἕνεκεν ἡ τῶν ὀνομάτων μεταβολὴ γίνεται; Ὅρα πάντοθεν οἰκονομούμενα τὰ πράγματα. Οὐ πρῶτον ὁρᾷ τὸ ἐνύπνιον, ἕως τοῦ πληρωθῆναι τὰ τρία ἔτη.

Ὁρᾷς ὅτι Θεὸς οἰκονομεῖ; Τίνος οὖν ἕνεκεν; Ἵνα πλείονος παρρησίας ἀπολαύσῃ. Καὶ μὴν σαφέστερον ἐθαυμάσθη ἄν, καὶ ἐφάνη, εἴποι τις ἄν, εἰ πρὸ τῶν τριῶν ἐτῶν εἶδε τὸ ἐνύπνιον. Ἀλλ' οὐκ ἂν ἦλθε καὶ κατ' αὐτῶν τὸ δόγμα, ἄλλως δὲ οὐδ' ἐπιστεύθη ὁ Δανιήλ. Διὰ τοῦτο ἐν τοῖς μικροῖς καὶ ἐλάττοσι λαμβάνει πεῖραν τῆς εὐνοίας τοῦ Θεοῦ τῆς περὶ αὐτοὺς ὁ εὐνοῦχος, ἵν', ὅταν ὑπὲρ τῶν μειζόνων ἀξιῶσιν αὐτόν, μὴ διαπιστήσας διαπτύῃ, καὶ ἵνα μάθωσι καλῶς διαλέγεσθαι, ἵνα πλείονος παρρησίας ἀπολαύσωσιν. Οὐχ ὁρᾷς ἀπὸ τοῦ Δαυΐδ τοῦτο γενόμενον; πῶς διηπίστησεν αὐτῷ ὁ βασιλεὺς ἐπαγγελομένῳ ἀλλόφυλον αἱρήσειν, ἀπὸ τῆς ἡλικίας κρίνων τὰ πράγματα; Ὅρα λοιπὸν τῆς ὁδοῦ αἰτίαν τοῦτον μαθόντα. Τῶν βαρβάρων ἔμαθον ἀκριβῶς Μωϋσῆς καὶ Δανιήλ. Ἵνα γὰρ μὴ ἀγνοίᾳ δοκῶσι προτιμᾶν τὰ οἰκεῖα τῶν ἀλλοτρίων, τούτου χάριν ἀφίησιν αὐτοὺς μετέχειν κἀκείνων, ἵν', ὅταν ἴδῃς, μᾶλλον δ' ἀκούσῃς, Μωϋσέως λέγοντος, ὅτι «Οὐκ ἔστι σοφία οἵα ἡ ἡμετέρα», μήτε ἀγά-

τὸ ὄνομα Ἀβδεναγών, καὶ στὸν Μισαὴλ τὸ ὄνομα Μισάχ». Στὸ Δανιήλ, λέγει, ἔδωσε τὸ ὄνομα Βαλτάσαρ. Καὶ ὁ Θεὸς αὐτῶν ἔτσι ὀνομαζόταν, ἢ καλύτερα ὁ υἱὸς τοῦ βασιλιᾶ ἔτσι ὀνομαζόταν. Τόλμησε λοιπὸν καὶ στὸν αἰχμάλωτο νὰ δώσει τὸ ἴδιο ὄνομα; Καὶ βέβαια τόλμησε, πλὴν ὅμως δὲν εἶναι τὸ ἴδιο ὄνομα, ἀλλ' ὑπάρχει μεγάλη διαφορὰ μεταξὺ αὐτῶν, ὅπως ἀκριβῶς καὶ στὴν περίπτωση τοῦ Ἰωσήφ, προσκύνησε αὐτὸν ὁ πατέρας του. Καὶ τί τὸ σπουδαῖο τὸ νὰ λάβει αὐτὸς τὸ ὄνομα αὐτό; δὲν βλέπομε καὶ σήμερα πολλοὶ ἀπὸ τοὺς ἁπλοὺς πολίτες νὰ ὀνομάζονται μὲ τὰ ὀνόματα τῶν βασιλέων; Ἀλλ' ὄχι ὅμως, λέγει, καὶ μέσα στὰ βασιλικὰ ἀνάκτορα. Ἀλλὰ γιὰ ποιὸ λόγο γίνεται ἡ ἀλλαγὴ τῶν ὀνομάτων; Πρόσεχε ποὺ ἀπὸ παντοῦ ρυθμίζονται τὰ πράγματα ἔτσι. Δὲν βλέπει τὸ ὅραμα προτοῦ συμπληρωθοῦν τὰ τρία χρόνια.

Βλέπεις ὅτι ὁ Θεὸς διευθυτεῖ νὰ γίνει αὐτό; Γιὰ ποιὸ λόγο λοιπόν; Γιὰ νὰ πάρει μεγαλύτερο θάρρος. Καὶ ὅμως, θὰ μποροῦσε νὰ πεῖ κάποιος, περισσότερο θὰ μποροῦσε νὰ θαυμασθεῖ καὶ νὰ ἀναδειχθεῖ ἂν ἔβλεπε τὸ ὅραμα προτοῦ συμπληρωθοῦν τὰ τρία χρόνια. Ἀλλ' ὅμως δὲν θὰ ἀντιλαμβάνονταν αὐτοὶ τὴν ἀλήθεια· ἄλλωστε δὲ δὲν θὰ γινόταν πιστευτὸς ὁ Δανιήλ. Γι' αὐτὸ μὲ τὰ μικρὰ καὶ πιὸ ἀσήμαντα γνωρίζει ὁ εὐνοῦχος τὴν εὔνοια τοῦ Θεοῦ πρὸς αὐτούς, ὥστε, ὅταν θὰ ζητοῦν ἀπ' αὐτὸν νὰ μιλήσει γιὰ σπουδαιότερα πράγματα νὰ μὴ τὸν περιφρονεῖ μὴ πιστεύοντας στὰ λεγόμενά του, καὶ γιὰ νὰ μάθουν νὰ διδάσκουν σωστά, ὥστε ν' ἀπολαύσουν περισσότερη παρρησία. Δὲν βλέπεις ὅτι τὸ ἴδιο συνέβηκε καὶ μὲ τὸ Δαυίδ; πῶς δηλαδὴ δὲν πίστεψε σ' αὐτὸν ὁ βασιλιὰς ὅταν τοῦ ὑποσχόταν ὅτι θὰ φονεύσει τὸν ἀλλόφυλο, κρίνοντας τὰ πράγματα ἀπὸ τὴν ἡλικία; Πρόσεχε λοιπὸν ποὺ αὐτὸς ἔμαθε τὴν αἰτία τῆς ὁδοῦ. Τοὺς βαρβάρους τοὺς γνώρισαν μὲ λεπτομέρεια ὁ Μωϋσῆς καὶ ὁ Δανιήλ. Γιὰ νὰ μὴ φανοῦν λοιπὸν ὅτι ἀπὸ ἄγνοια προτιμοῦν τὰ δικά τους ἀπὸ τὰ ξένα, ἐξ αἰτίας αὐτοῦ ἐπιτρέπει αὐτοὺς νὰ γνωρίσουν καὶ νὰ λάβουν μέρος καὶ σ' ἐκεῖνα, ὥστε, ὅταν δεῖς, ἢ καλύτερα ὅταν ἀκούσεις τὸ Μωϋσῆ νὰ λέγει, ὅτι «Δὲν ὑπάρχει σοφία σὰν τὴ δική μας», νὰ μὴ θεωρήσεις τὴ σκέψη αὐτὴ ἀπο-

πης εἶναι νομίσῃς τὴν ἀπόφασιν, ἀλλὰ κρίσεως ὀρθῆς. Οὐδὲ γὰρ ἔστιν εἰπεῖν ὅτι διὰ τὸ πρὸς τοὺς διδάξαντας ἔχθος ἀπεπήδησε τῆς ἐκείνων παιδεύσεως. Ἀμφότεροι γὰρ πολλῆς ἀπολαύουσι τῆς τιμῆς, καὶ προτιμῶσι τὰ οἰκεῖα. Ὅπερ οὖν καὶ Παῦλος θαυμάζων ἔλεγεν· «Οὐχ εἵλετο πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ».

«Καὶ ἔθετο Δανιὴλ ἐν τῇ καρδίᾳ αὐτοῦ μὴ ἀλισγηθῆναι ἐν τῇ τραπέζῃ τοῦ βασιλέως, καὶ ἐν τῷ οἴνῳ τοῦ πότου αὐτοῦ, καὶ ἠξίωσε τὸν ἀρχιευνοῦχον, ὅπως μὴ ἀλισγηθῇ. Καὶ ἔδωκεν ὁ Θεὸς τὸν Δανιὴλ εἰς ἔλεον καὶ εἰς οἰκτιρμὸν ἐνώπιον τοῦ ἀρχιευνούχου». Ὅρα τοῦτον ἄρχοντα τῶν ἀγαθῶν. Οὕτως αὐτόθεν ἐνέφαινεν, ὅτι μέγας τις ἦν καὶ θαυμαστός. Τοῦτον γὰρ τῷ βελτίονι καλεῖ ὀνόματι. Ἐν οἷς δὲ δυνατὸν ἦν, τὸν νόμον ἐφύλαττεν. Τίς ἂν ἕτερος, εἰπέ μοι, μίασμα εἶναι ἐνόμισε τὴν τράπεζαν τὴν βασιλικήν; Ὅρα αὐτὸν ἐκ προοιμίων εὐθέως ἐνδεικνύμενον τὴν φιλοσοφίαν. «Καὶ ἠξίωσε», φησί, «τὸν ἀρχιευνοῦχον, ὅπως μὴ ἀλισγηθῇ». Ὅρα πῶς ἐστιν ἀφιλότιμος. Οὐκ εἶπεν, ὅτι «Τὴν ψυχήν μου δώσω», ἀλλ' ἠξίωσεν, εἰ δυνατόν, λαθεῖν. Τίνος ἕνεκεν φιλοτιμοῦμαι; φησί. Ἀλλ' οὐχ ὁ Ἰωσὴφ οὕτως, οὐδὲ Μωϋσῆς. Τί οὖν; ἐκείνων καταγνωσόμεθα; Μὴ γένοιτο· οὐ γὰρ ᾔδεσαν ὅ τί ποτε ἦν. Οὔπω γὰρ ἦν κατὰ τὸν νόμον παραίτησις τῶν βρωμάτων. Ὅρα αὐτὸν καὶ ἐλέγχοντα καὶ φιλοσοφοῦντα, καὶ ἐν τοῖς σμικροῖς ἐνδεικνύμενον τὴν φιλοσοφίαν. Καὶ ὅπερ ἔλεγον οἱ ἀπόστολοι, «Ταῦτα ἔδει πρόσω ποιῆσαι, κἀκεῖνα μὴ ἀφεῖναι». Ταῦτα δὲ ἔπραττεν, οὐκ ἐπειδὴ εἰδωλόθυτα ἦν, ἀλλ' ἐπειδὴ κεκωλυμένα ὑπὸ τοῦ νόμου ἦν.

---

7. Ἑβρ. 11, 25-26.　　8. Λουκᾶ 11, 42.

τέλεσμα οὔτε ἔρωτα, οὔτε ἀγάπης, ἀλλὰ κρίσεως ὀρθῆς. Οὔτε βέβαια μποροῦμε νὰ ποῦμε ὅτι ἐξ αἰτίας τοῦ μίσους του πρὸς τοὺς δασκάλους του ἀποσκίρτησε ἀπὸ τὴ διδασκαλία ἐκείνων. Διότι καὶ οἱ δύο ἀπολαμβάνουν μεγάλη τιμὴ καὶ προτιμοῦν τὰ δικά τους δόγματα. Αὐτὸ ἀκριβῶς λοιπὸν θαυμάζοντας καὶ ὁ Παῦλος, ἔλεγε· «Δὲν προτίμησε νὰ ἔχει τὴν πρόσκαιρη ἀπόλαυση τῆς ἁμαρτίας, θεωρώντας μεγαλύτερο πλοῦτο ἀπὸ ὅλους τοὺς θησαυροὺς τῶν Αἰγυπτίων τὴν περιφρόνηση τοῦ Χριστοῦ»[7].

«Καὶ πῆρε ὁ Δανιὴλ τὴν ὁλόψυχη ἀπόφαση νὰ μὴ μολυνθεῖ τρώγωντας ἀπὸ τὰ φαγητὰ τῆς βασιλικῆς τράπεζας καὶ πίνοντας ἀπὸ τὸ κρασὶ ποὺ ἔπινε ὁ βασιλιάς, καὶ παρακάλεσε ἐπίμονα τὸν ἀρχιευνοῦχο νὰ μὴ τὸν ὑποχρεώσει νὰ μολυνθεῖ. Καὶ ἐπέτρεψε ὁ Θεὸς ὥστε ὁ Δανιὴλ νὰ τύχει τῆς εὐσπλαχνίας καὶ τῆς συμπάθειας τοῦ ἀρχιευνούχου». Πρόσεχε αὐτὸν ποὺ εἶναι ἄρχοντας τῶν ἀγαθῶν. Τόσο πολὺ ἀπὸ τὴν πρώτη στιγμὴ ἔδειχνε ὅτι ἦταν κάποιος σπουδαῖος καὶ θαυμαστός. Σ' αὐτὸν λοιπὸν δίνει τὸ καλύτερο ὄνομα. Σ' ἐκεῖνα δὲ ποὺ ἦταν δυνατὸ φύλασσε τὸ νόμο. Ποιὸς ἄλλος, πές μου, θὰ θεωροῦσε τὴ βασιλικὴ τράπεζα μίασμα; Πρόσεχε αὐτὸν ὅτι ἀμέσως ἀπὸ τὴν πρώτη στιγμὴ δείχνει τὴν εὐσέβειά του. «Καὶ παρακάλεσε», λέγει, «ἐπίμονα τὸν ἀρχιευνοῦχο νὰ μὴ τὸν ὑποχρεώσει νὰ μολυνθεῖ». Πρόσεχε πῶς εἶναι ἀφιλόδοξος. Δὲ εἶπε, 'Θὰ θυσιάσω τὴ ζωή μου', ἀλλὰ παρακάλεσε ἐπίμονα, ἂν εἶναι δυνατὸ νὰ τὸ ἀποφύγει αὐτό. Γιὰ ποιὸ λόγο, λέγει, νὰ ἐπιζητῶ τὶς τιμές; 'Αλλ' ὅμως δὲν ἔκανε τὸ ἴδιο ὁ 'Ιωσήφ, οὔτε ὁ Μωϋσῆς. Τί λοιπόν; Θὰ τοὺς κατηγορήσομε ἐκείνους; Μακριὰ μιὰ τέτοια σκέψη· διότι δὲν γνώριζαν τότε ὅτι ἀπαγορευόταν. Καθόσον δὲν ὑπῆρχε ἡ ἀπὸ τὸ νόμο διάκριση καὶ ἀπαγόρευση τῶν τροφῶν. Πρόσεχε αὐτὸν ποὺ καὶ περιφρόνηση δείχνει καὶ φιλοσοφεῖ καὶ δείχνει τὴν εὐσέβειά του καὶ στὰ πολὺ μικρὰ ἀκόμα. Καὶ ἐκεῖνο ἀκριβῶς ποὺ ἔλεγαν οἱ ἀπόστολοι, «Αὐτὰ ἔπρεπε νὰ τὰ πράττετε πάρα πολύ, ἀλλὰ καὶ γιὰ ἐκεῖνα νὰ μὴ δείχνετε ἀδιαφορία»[8]. Αὐτὰ δὲ τὰ ἔκαμνε, ὄχι ἐπειδὴ ἦταν εἰδολόθυτα, ἀλλ' ἐπειδὴ ἀπαγορευόταν ἀπὸ τὸ νόμο.

Πῶς οὖν ἔπεισεν; Ὅρα πῶς εὐθέως ἔλυσέ σοι τὴν ἀπορίαν. «Ἔδωκε», φησί, «ὁ Θεὸς τὸν Δανιὴλ εἰς ἔλεον καὶ εἰς οἰκτιρμὸν ἐνώπιον τοῦ ἀρχιευνούχου». Τοῦτο καὶ ἐπὶ τοῦ Ἰωσὴφ γέγονεν· κἀκεῖ ἠλεήθη Ἰωσὴφ καὶ χάριν εὗρεν ἐπὶ τοῦ ἀρχιμαγείρου· πλὴν ἀμφότεροι δοῦλοι, καὶ ἐν οἰκείαις βαρβαρικαῖς. Καὶ γὰρ ἦν ὄντως ἱκανὰ ἐκλῦσαι τὸν θυμὸν τοῦ βασιλέως τὰ εἰρημένα. Τί λέγεις; ἐναγῆ τὴν τράπεζαν ὀνομάζεις εἶναι τὴν δεσποτικήν; καθαρώτερος ἡμῖν αὐτὸς ἀνεφάνης; οὐκ οἶδας, ὅτι διὰ τοῦτο καὶ γλῶτταν καὶ γράμματα μεμαθήκατε Χαλδαϊκά, ἵνα πρὸς τὴν ἡμετέραν μεταστῆτε τάξιν; Πόθεν δ' ὅλως αὐτὸν ᾐδέσθη ὁ εὐνοῦχος; Τὸ παιδίον εὐκαταφρόνητον ἦν, αἰχμάλωτον. Εἰ γὰρ καὶ αἰδέσιμος ἦν, ἀλλ' ὁ κίνδυνος οὐκ εἴα αἰδέσιμον αὐτὸν φανῆναι. Διὰ γὰρ τοῦτο εἰπών, ὅτι, «ἔδωκεν αὐτὸν εἰς ἔλεον», λέγει τὰ ῥήματα τοῦ εὐνούχου καὶ τὸν πολὺν φόβον. Πῶς; Οὐκ ἦν δυνατόν, ἀλλὰ κεκωλυμένον, εἰ μὴ ἄνωθεν χάρις πάντα ᾠκονόμει.

3. Καὶ εἶπε Δανιὴλ πρὸς Ἀμελασάρ, ὃν κατέστησεν ὁ ἀρχιευνοῦχος ἐπὶ Δανιήλ, Ἀνανίαν, Ἀζαρίαν, καὶ Μισαήλ· Πείρασον δὴ τοὺς δούλους σου ἡμέρας δέκα, καὶ δότωσαν ἡμῖν ἀπὸ τῶν σπερμάτων τῆς γῆς, καὶ φαγόμεθα, καὶ ὕδωρ πιόμεθα· καὶ ὀφθήτωσαν ἐνώπιόν σου αἱ ἰδέαι ἡμῶν, καὶ αἱ ἰδέαι τῶν παιδαρίων τῶν ἐσθιόντων τὴν τράπεζαν τοῦ βασιλέως· καὶ ὡς ἐὰν ἴδῃς, ποίησον μετὰ τῶν παίδων σου. Καὶ εἰσήκουσεν αὐτόν, καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα. Καὶ μετὰ τὸ τέλος τῶν δέκα ἡμερῶν ὠράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαί, καὶ αὐτοὶ ἰσχυροὶ ταῖς σαρξὶν ὑπὲρ τὰ παιδάρια τὰ ἐσθίοντα τὴν τράπεζαν τοῦ βασιλέως». Πολλὴ ἡ παρρησία, μεγίστη ἡ προθυμία, πολλὴ ἡ σύνεσις, μεγάλη ἡ πίστις. «Πείρασον τοὺς παῖδας σου ἡμέρας δέκα». Εἶτα, ἵνα μὴ νομίσῃς τῆς φύσεως τῶν σπερμάτων εἶναι τὸ φαιδρὸν τοῦ προσώπου, ὅρα δὴ ὕδωρ τὸ μὴ τρέφον. Καὶ οὐχ ἁπλῶς εὐ-

Πῶς λοιπὸν τὸν ἔπεισε; Πρόσεχε πῶς ἀμέσως ἔλυσε τὴν ἀπορία σου. Διότι, λέγει, «Ἐπέτρεψε ὁ Θεὸς ὥστε ὁ Δανιὴλ νὰ τύχει τῆς εὐσπλαχνίας καὶ τῆς συμπάθειας τοῦ ἀρχιευνούχου». Αὐτὸ συνέβηκε καὶ μὲ τὸν Ἰωσήφ· καὶ ἐκεῖ βρῆκε ὁ Ἰωσὴφ εὐσπλαχνία καὶ χάρη ἀπὸ τὸν ἀρχιμάγειρα, πλὴν ὅμως καὶ οἱ δύο ἦταν δοῦλοι καὶ βρίσκονταν σὲ βαρβαρικὲς οἰκογένειες. Πράγματι τὰ λόγια αὐτὰ ἦταν ἱκανὰ νὰ φουντώσουν τὸ θυμὸ τοῦ βασιλιᾶ. Τί λέγεις; μολυσμένη ὀνομάζεις τὴ δεσποτικὴ τράπεζα; παρουσιάσθηκες πιὸ καθαρὸς ἀπὸ ἐμᾶς; δὲν γνωρίζεις, ὅτι γι' αὐτὸ ἔχετε μάθει τὴ γλώσσα καὶ τὰ χαλδαϊκὰ γράμματα, γιὰ νὰ μεταπηδήσετε στὴ δική μας τάξη; Ἀπὸ ποῦ ὁ εὐνοῦχος ἔδειξε τόση μεγάλη συμπάθεια πρὸς αὐτόν; Τὸ παιδὶ ἦταν ἀξιοκαταφρόνητο καὶ αἰχμάλωτο. Διότι, ἂν καὶ ἦταν συμπονετικός, ὅμως ὁ κίνδυνος δὲν τὸν ἄφηνε νὰ φανεῖ συμπονετικός. Γι' αὐτὸ λέγοντας, ὅτι «Βοήθησε νὰ τύχει αὐτὸς εὐσπλαχνίας», φανερώνει τὰ λόγια τοῦ εὐνούχου καὶ τὸν πολὺ φόβο αὐτοῦ. Πῶς; Δὲν ἐπιτρεπόταν αὐτὸ καὶ δὲν ἦταν δυνατὸ νὰ γίνει, ἂν δὲν τὰ ρύθμιζε ὅλα ἡ οὐράνια χάρη.

3. «Καὶ εἶπε ὁ Δανιὴλ πρὸς τὸν Ἀμελασάρ, τὸν ὁποῖο εἶχε τοποθετήσει ὁ ἀρχιευνοῦχος ὑπεύθυνο γιὰ τὸν Δανιήλ, τὸν Ἀνανία, τὸν Ἀζαρία καὶ τὸν Μισαήλ· κάνε μιὰ δοκιμὴ στοὺς δούλους σου γιὰ δέκα μέρες καὶ ἂς μᾶς δώσουν νὰ τρῶμε μόνο ὄσπρια καὶ νὰ πίνομε νερό, καὶ πρόσεξε τότε τὰ δικά μας πρόσωπα καὶ τὰ πρόσωπα τῶν ἄλλων νέων ποὺ τρῶνε ἀπὸ τὴ βασιλικὴ τράπεζα· καὶ ἀνάλογα μὲ ἐκεῖνο ποὺ θὰ δεῖς πράξε τότε γιὰ μᾶς τοὺς δούλους σου. Καὶ ἀποδέχθηκε αὐτὸς τὴν παράκλησή του αὐτὴ καὶ δοκίμασε αὐτοὺς ἐπὶ δέκα ἡμέρες. Μετὰ τὸ τέλος τῶν δέκα ἡμερῶν διαπιστώθηκε ὅτι τὰ πρόσωπά τους ἦταν ὡραῖα καὶ τὰ σώματά τους πιὸ ρωμαλέα ἀπὸ τὰ σώματα τῶν ἄλλων παιδιῶν ποὺ ἔτρωγαν ἀπὸ τὴ βασιλικὴ τράπεζα». Μεγάλο τὸ θάρρος, πάρα πολὺ μεγάλη ἡ προθυμία, μεγάλη ἡ σύνεση καὶ μεγάλη ἡ πίστη. «Κάνε μιὰ δοκιμὴ στοὺς δούλους σου γιὰ δέκα ἡμέρες». Ἔπειτα, γιὰ νὰ μὴ νομίσεις ὅτι ἡ ὡραιότητα τοῦ προσώπου τους ὀφειλόταν στὶς φυσικὲς ἰδιότητες τῶν ὀσπρίων, πρόσεχε ἰδιαίτερα τὸ νερὸ ποὺ δὲν τρέφει. Καὶ ὄχι ἀ-

παθεῖς ἐφάνησαν, ἀλλὰ καὶ τῶν ἀπολαυόντων τῆς τραπέζης τῆς βασιλικῆς εὐπαθέστεροι. Ὅτι δὲ κρέα καὶ οἶνος πάντων μᾶλλον τρέφειν εἴωθε, παντὶ δῆλόν ἐστι. Ὅρα ἐκ προοιμίων εὐθέως τὴν ἐπανθοῦσαν χάριν ἐκ τῆς προαιρέσεως τῶν παίδων, καὶ ἐκ τῆς χάριτος τοῦ Θεοῦ. Ἡ μὲν γὰρ προαίρεσις ἐκ τοῦ μὴ θελῆσαι, ἡ δὲ χάρις ἐκ τοῦ δυνηθῆναι.

«Καὶ ὀφθήτωσαν», φησίν, «ἐνώπιόν σου». Σοὶ τὴν κρίσιν ἐπιτρέπομεν. Κούφη δὲ καὶ εὐμαρὴς ἡ χάρις· διὰ τῶν πραγμάτων πιστώθητι. Ἐγὼ μὲν γὰρ οἶδα σαφῶς, καὶ πρὸ τοῦ τέλους οὐκ ἀποφαίνομαι, διὰ σέ. Ὅρα πῶς καὶ τοὺς οἰκέτας ἐπαίδευσεν εὐθέως, καὶ ἐδίδαξεν, ὅτι φιλόθεός τίς ἐστιν. Καὶ οὐχ ἁπλῶς, 'Μεθ' ἡμῶν', φησί, ποίησον, ἀλλά, «Μετὰ τῶν παίδων σου»· καὶ ἀρχόμενος οὕτως ἔλεγε· «Πείρασον τοὺς παῖδάς σου». Οὐ παρῃτοῦντο τὰς ἀνθρωπίνας τιμάς, ἔνθα τὴν εὐσέβειαν οὐδὲν ἔβλαπτεν, ἐπιδείξασθαι· ἐπεὶ καὶ Παῦλος αὐτὸ ποιεῖ. Ἀπολογίας ἀρχόμενος, ἐξ ἐγκωμίων τοῦ δικάζοντος ἄρχεται οὕτω λέγων· «Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ»· καὶ πολιτικοῖς κέχρηται πράγμασι. Καὶ προφητεύων δὲ ὁ Νάθαν προσκυνεῖ τὸν Δαυΐδ, καὶ ὁ Ἰακὼβ τὸν Φαραώ, καὶ ὁ Ἀβραὰμ τοὺς συνοίκους. Καὶ οὗτος αὐτός, «Εἰς τὸν αἰῶνα», φησί, «ζῆθι». Ὅρα ῥῆμα κολακείας γέμον. Ἀλλ' οὐκ ἂν εἴποιμι τοῦτο κολακείαν, ἀλλὰ σύνεσιν καὶ σοφίαν. Οὕτω καὶ Παῦλός φησι· «Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι». Οὕτω καὶ ὁ Χριστὸς ἐδίδασκεν· «Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ

---

9. Πράξ. 24, 2.
10. Δαν. 6, 21.
11. Κολ. 4, 5.
12. Ματθ. 22, 21. Μάρκ. 12, 17· Λουκᾶ 20, 25. Πρβλ. Ρωμ. 13, 1-7.

πλῶς φάνηκαν εὔτραφεῖς, ἀλλὰ περισσότερο εὔτραφεῖς ἀπὸ ἐκείνους ποὺ ἀπολάμβαναν τὴ βασιλικὴ τράπεζα. Τὸ ὅτι δὲ τὸ κρέας καὶ τὸ κρασὶ τρέφουν συνήθως τὸν ἄνθρωπο περισσόσότερο ἀπὸ ὅλα τὰ ἄλλα εἶναι αὐτὸ φανερὸ στὸν καθένα. Πρόσεχε ἀμέσως ἀπὸ τὴν πρώτη στιγμὴ τὴν ψυχικὴ ὡραιότητα ποὺ πηγάζει ὅλο καὶ περισσότερη ἀπὸ τὴν προαίρεση τῶν παιδιῶν καὶ ἀπὸ τὴ χάρη τοῦ Θεοῦ. Ἡ μὲν προαίρεσή τους φαίνεται ἀπὸ τὸ ὅτι δὲν θέλησαν νὰ φᾶνε, ἡ δὲ χάρη τοῦ Θεοῦ ἀπὸ τὸ ὅτι μπόρεσαν νὰ τὸ κατορθώσουν αὐτό.

«Καὶ ἂς παρουσιασθοῦμε», λέγει, «μπροστά σου». Σὲ σένα ἀφήνομε τὴν κρίση. Ἀνάλαφρη καὶ πλούσια εἶναι ἡ χάρη τοῦ Θεοῦ· διαπίστωσέ την ἀπὸ τὰ ἴδια τὰ γεγονότα. Ἐγὼ βέβαια τὸ γνωρίζω πολὺ καλά, ἀλλὰ δὲν τὸ φανερώνω πρὶν ἀπὸ τὸ τέλος ἐξ αἰτίας σου. Πρόσεχε πῶς καὶ τοὺς δούλους παίδευσε ἀμέσως καὶ δίδαξε, ὅτι εἶναι κάποιος θεοσεβής. Καὶ ὄχι ἁπλῶς λέγει, 'Πράξε γιὰ ἐμᾶς', ἀλλὰ «Γιὰ ἐμᾶς τοὺς δούλους σου». Καὶ στὴν ἀρχὴ τῆς παρακλήσεώς του ἔλεγε· «Δοκίμασε τοὺς δούλους σου». Δὲν ἀπέφευγαν ν' ἀποδίδουν τὶς ἀνθρώπινες τιμές, ἐκεῖ ὅπου δὲν ἔβλαπτε τίποτε τὴν εὐσέβεια· ἄλλωστε καὶ ὁ Παῦλος αὐτὸ κάνει. Ἀρχίζοντας τὴν ἀπολογία του, κάμνει τὴν ἀρχὴ ἐγκωμιάζοντας πρῶτα τὸν δικαστή του, λέγοντας τὰ ἑξῆς· «Χάρη σὲ σένα ἀπολαμβάνομε ἀδιάκοπη εἰρήνη»[9], καὶ χρησιμοποιεῖ πολιτικὰ πράγματα. Ἐπίσης προφητεύοντας ὁ Νάθαν προσκυνεῖ τὸν Δαυΐδ, καὶ ὁ Ἰακὼβ τὸν Φαραώ, καὶ ὁ Ἀβραὰμ τοὺς συγκατοίκους του. Καὶ αὐτὸς ὁ ἴδιος, λέγει· «Ἡ ζωή σου ἂς ἐπεκτείνεται αἰώνια»[10]. Πρόσεχε λόγια γεμάτα ἀπὸ κολακεία. Μᾶλλον δὲ δὲν θὰ μπορούσαμε νὰ τὸ ὀνομάσομε αὐτὸ κολακεία, ἀλλὰ σύνεση καὶ σοφία. Μὲ τὸ ἴδιο πνεῦμα καὶ ὁ Παῦλος λέγει· «Μὲ σύνεση νὰ συμπεριφέρεσθε πρὸς τοὺς μὴ Χριστιανούς, ἀποκομίζοντας ὠφέλεια ἀπὸ τὸν καιρό»[11]. Κατὰ τὸ ἴδιο τρόπο καὶ ὁ Χριστος δίδασκε· «Δώσατε στὸν Καίσαρα αὐτὰ ποὺ ἀνήκουν στὸν Καίσαρα, καὶ στὸ Θεὸ αὐτὰ ποὺ ἀνήκουν στὸ Θεό»[12]. Τί λοιπόν; τὰ ὄσπρια δὲν ἦταν

τῷ Θεῷ». Τί οὖν; τὰ σπέρματα μιαρὰ οὐκ ἦν; Οὐδαμῶς, οὐδὲ τὸ ὕδωρ. Καὶ τοῦτο διετέλεσαν ἔτη τρία ποιοῦντες.

«Καὶ μετὰ τὸ τέλος», φησί, «τῶν ἡμερῶν, ὧν εἶπεν ὁ βασιλεύς, εἰσαγαγεῖν αὐτούς, εἰσήγαγεν αὐτοὺς ὁ ἀρχιευνοῦχος πρὸς Ναβουχοδονόσορ. Καὶ οὐχ εὑρέθησαν ἐκ πάντων αὐτῶν ὅμοιοι Δανιήλ, καὶ Ἀνανίᾳ, καὶ Μισαήλ, καὶ Ἀζαρίᾳ. Καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως. Καὶ ἐν παντὶ ρήματι σοφίας καὶ ἐπιστήμης, ἐν οἷς ἐζήτησε παρ' αὐτῶν ὁ βασιλεύς, εὗρεν αὐτοὺς δεκαπλασίονας ὑπὲρ πάντας τοὺς ἐπαοιδούς, καὶ τοὺς μάγους, τοὺς ὄντας ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ».

«Καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν», φησί, «ὠράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαί», καὶ εἰς κάλλος καὶ εὐεξίαν ἐπέδωκαν. Ὅρα παρὰ φύσιν τὰ πράγματα· ὅρα παρανοίγοντα τὸν Δημιουργὸν τὴν ἐνέργειαν τὴν αὐτοῦ. Καθάπερ γὰρ πλαστογράφος ἐκεῖνος ἂν μάλιστα φανείη, ὁ μὴ μόνον ἀναχωνεῦσαι τὸν χαλκὸν δυνάμενον καὶ διαπλάσαι, ἀλλὰ καὶ τούτου οὐχ ἧττον ὁ γενόμενος ἤδη τὸν ἀνδριάντα διορθῶσαι δυνάμενος, οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ καὶ τῶν παίδων ἴδοι τις ἄν. Τοῦ γὰρ ἀπὸ γῆς ἄνθρωπον ποιῆσαι τὸ μετὰ τοιαύτης τροφῆς εὐπαθῆ δεῖξαι τὰ σώματα οὐχ ἧττον εἰς δημιουργίας λόγον τεκμήριον ἦν. Πόθεν ἡ εὔχροια; πόθεν τὸ ἄνθος ἀποστίλβον; πόθεν ἡ ἰσχύς; Ἴστε δὲ ὅτι καὶ καθαιρεῖ ἰσχὺν ἡ ὑδροποσία, καὶ φάγησις σπερμάτων. Οὐδὲ γὰρ ἄρτον ἠνείχετο φαγεῖν. Οὐκ ὀλίγον δὲ τὸ μέσον τοῦ κατειργασμένου σίτου καὶ ἀνεργάστου. Οὐ γὰρ ἐκ τοῦ φαγεῖν

μολυσμένα; Καθόλου, οὔτε καὶ τὸ νερό. Καὶ τὸν τρόπο αὐτὸ τῆς διατροφῆς τους τὸν ἐφάρμοσαν ἐπὶ τρία συνεχόμενα χρόνια.

«Καὶ μετὰ ἀπὸ τὸ χρονικὸ διάστημα ποὺ ὅρισε ὁ βασιλιὰς νὰ τοὺς παρουσιάσουν μπροστά του, τὸν ὁδήγησε ὁ ἀρχιευνοῦχος μπροστὰ στὸν Ναβοχοδονόσορ. Καὶ δὲν βρέθηκαν ἀπὸ ὅλους τοὺς αὐλικοὺς καὶ λοιποὺς δούλους ὅμοιοι μὲ τὸν Δανιήλ, τὸν Ἀνανία, τὸν Μισαὴλ καὶ τὸν Ἀζαρία. Καὶ ἀπὸ τότε μπῆκαν στὴν ὑπηρεσία τοῦ βασιλιᾶ. Καὶ γιὰ κάθε θέμα σοφίας καὶ ἐπιστήμης ποὺ τοὺς ρωτοῦσε ὁ βασιλιάς, τοὺς ἔβρισκε νὰ εἶναι δέκα φορὲς ἀνώτεροι ἀπὸ τοὺς ἐξορκιστὲς· καὶ τοὺς μάγους ποὺ ὑπῆρχαν σ' ὅλη τὴν ἔκταση τοῦ βασιλείου του».

«Καὶ κατὰ τὸ τέλος τῶν δέκα ἡμερῶν διαπιστώθηκε ὅτι τὰ πρόσωπά τους ἦταν ὡραῖα»· δηλαδὴ σημείωσαν πρόοδο καὶ στὴν ὀμορφιὰ καὶ στὴ σφριγηλότητα. Πρόσεχε πράγματα ἀφύσικα ποὺ συμβαίνουν· πρόσεχε τὸν Δημιουργὸ ποὺ ἀφήνει τὴν ἐνέργειά του νὰ ἐκδηλωθεῖ. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος πρὸ πάντων θὰ μποροῦσε νὰ θεωρηθεῖ πραγματικὸς πλαστογράφος, ποὺ μπορεῖ ὄχι μόνο νὰ λειώσει τὸ χαλκὸ καὶ νὰ τοῦ δώσει τὴ μορφὴ ποὺ θέλει, ἀλλὰ καὶ ἐκεῖνος, καὶ μάλιστα ὄχι λιγότερο ἀπὸ αὐτόν, ποὺ μπορεῖ νὰ διορθώσει τὸν ἀνδριάντα ποὺ ἤδη ἔγινε, τὸ ἴδιο θὰ μποροῦσε κανεὶς νὰ δεῖ νὰ συμβαίνει καὶ στὴν περίπτωση αὐτὴ τοῦ Θεοῦ καὶ τῶν παιδιῶν. Τὸ νὰ καταστήσει τὰ σώματα τῶν παιδιῶν μὲ μιὰ τέτοια τροφὴ γεμάτα ἀπὸ σφρίγος καὶ ὡραιότητα, ἀποτελοῦσε ἐπιβεβαίωση τῆς δημιουργίας καὶ μάλιστα ὄχι μικρότερη ἀπὸ τὴν πλάση τοῦ ἀνθρώπου ὑπὸ τοῦ Θεοῦ ἀπὸ τὴ γῆ. Ἀπὸ ποῦ προερχόταν τὸ ὡραῖο χρῶμα στὰ πρόσωπά τους; ἀπὸ ποῦ ἀκτινοβολοῦσε ἡ ἀνθηρότητά τους; ἀπὸ ποῦ ἡ δύναμή τους; Γνωρίζετε δὲ ὅτι τὸ νὰ πίνει κανεὶς νερὸ συνέχεια καὶ νὰ τρώγει ὄσπρια καταστρέφει τὴ σωματικὴ δύναμη. Διότι δὲν ἀνέχονταν οὔτε ψωμὶ νὰ φᾶνε. Δὲν εἶναι δὲ μικρὴ ἡ διαφορὰ τοῦ κατειργασμένου σίτου καὶ τοῦ ἀκατέργαστου. Διότι ἡ δύναμη δημιουργεῖται ὄχι μόνο ἀπὸ τὸ νὰ τρώγει κανείς, ἀλλὰ καὶ ἀπὸ τὸ νὰ εἶναι ὥριμα καὶ μαγειρευμένα ἐ-

μόνον γίνεται ἡ ἰσχύς, ἀλλὰ καὶ ἐκ τοῦ πεφθῆναι τὰ διδόμενα· ταῦτα δὲ πεφθῆναι οὐκ ἦν κατὰ τὴν φύσιν.

Ὅρα τὰ σημεῖα ταῦτα οὐκ ἐκ φιλοτιμίας τῶν αἰτούντων λαμβάνοντα τὴν ἀρχήν, ἀλλὰ ἀπὸ χρείας ἀναγκαίας ἔχοντα τὴν ὑπόθεσιν. Οὐ γὰρ ἁπλῶς οὐδενὸς προκειμένου ἐπεπήδησε τῇ πείρᾳ, ἀλλὰ ἀνάγκης αὐτὸν ἐπὶ τοῦτο καλούσης. Οὕτω καὶ πόρρω φιλοτιμίας ἦν τῶν παίδων ἡ ψυχή. Καίτοι γε τίς τοσαύτην ἔχων πίστιν, καὶ ἐν μέσοις βαρβάροις ὤν, οὐκ ἂν ἠθέλησεν ἐπιδείξασθαι τοῖς κρατοῦσι τὴν εὔνοιαν, ἣν ὁ Θεὸς ἔχει περὶ αὐτούς; Ἀλλ' οὐχ οὗτοι. Ὅρα καὶ ἐπὶ τῶν ἔλεγχον τῶν πρεσβυτέρων πάλιν, πῶς ἐξ ἀνάγκης ἔρχεται.

13. Δαν. 12, Βὴλ καὶ Δράκων.

κεῖνα ποὺ τρώγει, ἐνῶ αὐτὰ ποὺ ἔτρωγαν αὐτοὶ δὲν εἶχαν τὴ φυσικὴ ὡριμότητά τους.

Πρόσεχε ὅτι τὰ καταπληκτικὰ αὐτὰ γεγονότα δὲν ξεκινοῦν ἀπὸ τὴ φιλοδοξία ἐκείνων ποὺ τὰ ζητοῦν, ἀλλ' ἔχουν τὴν ἀφορμή τους σὲ κάποια πάρα πολὺ ἀπαραίτητη ἀνάγκη. Διότι δὲν κατέφυγε στὸ ἐγχείρημα αὐτὸ ἔτσι στὴν τύχη καὶ χωρὶς νὰ ὑπάρχει κάποιος λόγος, ἀλλὰ κάποια ἀνάγκη τὸν καλοῦσε στὸ νὰ τὸ κάνει αὐτό. Τόσο πολὺ ξένη πρὸς τὴ φιλοδοξία ἦταν ἡ ψυχὴ τῶν παιδιῶν. Ἂν καὶ βέβαια ποιός, ἔχοντας τόση μεγάλη πίστη, καὶ ζώντας ἀνάμεσα στοὺς βαρβάρους, δὲν θὰ ἤθελε νὰ δείξει πρὸς τοὺς ἄρχοντες τὴν εὔνοια ποὺ δείχνει ὁ Θεὸς πρὸς αὐτούς; Ἀλλ' αὐτοὶ δὲν τὸ κάμνουν αὐτό. Πρόσεχε δὲ πῶς πάλι καὶ ὅταν ἀποκαλύπτει τὴν ἀπάτη τῶν πρεσβυτέρων τὸ κάμνει αὐτὸ ἀπὸ ἀνάγκη[13].

ΚΕΦΑΛΑΙΟΝ Β'.

«Ἐν τῷ ἔτει δευτέρῳ τῆς βασιλείας Ναβουχοδονόσορ, ἐνυπνιάσθη Ναβουχοδονόσορ ἐνύπνιον, καὶ ἐξέστη τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ ἐγένετο ἐξ αὐτοῦ».

1. Καὶ μὴν δωδέκατον τοῦτό ἐστιν ἔτος. Εἰ γὰρ τρία ἔτη μετὰ τὸ ἁλῶναι τὴν πόλιν ἦν, ἐκείνη δὲ ἐνάτῳ ἑάλω, δωδέκατον τοῦτό ἐστιν ἔτος. Τινές φασιν ὅτι τῷ αὐτῷ σημείῳ παρ' Ἑβραίοις καὶ οὗτος κἀκεῖνος ὁ ἀριθμὸς γίνεται. Ἢ καὶ σφάλμα γραφικόν ἐστιν, ἢ δευτέρῳ ἔτει παραστῆναι τοὺς παῖδας. Ἀλλ' οὐκ ἂν ἔχοι λόγον. Πρᾶγμα δὲ συμβαίνει ἀπορώτερον. Ποῖον δὲ τοῦτο; Τὸ μὴ εἰδέναι τί ποτέ ἐστι τὸ ἐνύπνιον. Καὶ σοφῶς τοῦτο γίνεται. Εἰ γὰρ μὴ τοῦτο ἐγένετο, οὐκ ἂν ἐφάνη ἡ σοφία τοῦ Δανιήλ. Ὁρῶμεν γὰρ ὅτι καὶ ἐκλήθη ἄν, καὶ εἶπε τὸ μέλλον· ἔλεγον κἀκεῖνοι. Τῆς ἐκβάσεως οὐκ οὔσης τίς ἀληθὴς καὶ ὁ ψευδής; Καὶ τοῦτο ἐφ' ἑτέρων γυμνάζειν χρή. Αὐτὸ δὲ τοῦτο τὸ ἐνύπνιον παραγέσθω εἰς μέσον· λεγέτω ἅπερ ὁ Δανιὴλ εἶπε, λεγέτωσαν τἀναντία κἀκεῖνοι. Πόθεν δῆλον ὅτι ψεύδεται, ἢ ἀληθεύει; Ἤδη οὖν δίδωσι τὴν δοκιμήν. Ἐπὶ δὲ τοῦ Ἰωσὴφ οὐχ οὕτω γέγονεν, ἀλλὰ λέγει τὸ ὄναρ ἐκεῖνος· ἐγγὺς γὰρ ἦν ὁ καιρός. Ἄξιον δὲ θαυμάσαι, πῶς ἐν Αἰγύπτῳ οὐκ ἠθέλησάν τι πλάσαι οἱ σοφοὶ Αἰγυπτίων ἐκ τοῦ ἀκινδύνου, ἀλλ' ἔφασαν ἀπορεῖν. Εἰ δὲ ὀνείρους οὐκ ἴσασι διακρῖναι, ποῦ ἀλλαχοῦ πιστευτέον

ΚΕΦΑΛΑΙΟ Β′

«Κατὰ τὸ δεύτερο ἔτος τῆς βασιλείας τοῦ Ναβουχοδονόσορ, ὁ Ναβουχοδονόσορ εἶδε ἕνα ὄνειρο, ποὺ τρόμαξε τόσο πολὺ καὶ τοῦ ἔφυγε ὁ ὕπνος του».

1. Καὶ ὅμως αὐτὸ εἶναι τὸ δωδέκατο ἔτος. Διότι, ἐὰν ἦταν τὸ τρίτο ἔτος μετὰ τὴν ἅλωση τῆς πόλεως, ἡ δὲ πόλη τῶν Ἱεροσολύμων κυριεύθηκε τὸ ἔνατο ἔτος, αὐτὸ εἶναι τὸ δωδέκατο ἔτος. Μερικοὶ λένε ὅτι μὲ αὐτὸ τὸ στοιχεῖο στοὺς Ἑβραίους γίνεται καὶ αὐτὸς καὶ ἐκεῖνος ὁ ἀριθμός. Ἢ πρόκειται γιὰ γραφικὸ σφάλμα, ἢ θέλει νὰ δείξει τὸ δεύτερο ἔτος τῶν παιδιῶν. Ἀλλὰ δὲν ἔχει καμιὰ σημασία αὐτό. Διότι συμβαίνει κάποιο πράγμα ἄξιο πολὺ πιὸ μεγαλύτερης ἀπορίας. Ποιὸ δὲ εἶναι αὐτό; Τὸ ὅτι δὲν γνωρίζομε τί τέλος πάντων σημαίνει τὸ ὄνειρο. Καὶ πολὺ σωστὰ συμβαίνει αὐτό. Διότι ἂν δὲν συνέβαινε αὐτό, δὲν θὰ μποροῦσε νὰ φανερωθεῖ ἡ σοφία τοῦ Δανιήλ. Διότι βλέπομε ὅτι καὶ κλήθηκε ἀπὸ τὸ βασιλιὰ καὶ εἶπε τὸ μέλλον. Ἔλεγαν καὶ ἐκεῖνοι. Ἐφόσον ὅμως δὲν πραγματοποιήθηκαν τὰ τοῦ ὀνείρου ποιὸς ἔλεγε τὴν ἀλήθεια καὶ ποιὸς τὸ ψέμα; Καὶ αὐτὸ πρέπει νὰ τὸ ἐρευνήσομε ἀπὸ ἄλλα γεγονότα. Ἂς παρουσιάσομε λοιπὸν μπροστά μας τὸ ἴδιο τὸ ὄνειρο, καὶ ἂς μᾶς πεῖ ἐκεῖνα ποὺ εἶπε ὁ Δανιήλ, ἂς μᾶς ποῦν δὲ καὶ ἐκεῖνοι τὰ ἀντίθετα. Ἀπὸ ποῦ γίνεται φανερὸ ὅτι ψεύδεται ἢ λέγει τὴν ἀλήθεια; Ἤδη λοιπὸν κάμνει τὴν ἐξέταση. Στὴν περίπτωση τοῦ Ἰωσὴφ ὅμως δὲν συνέβηκε τὸ ἴδιο, ἀλλὰ λέγει τὸ ὄνειρο ἐκεῖνος· διότι ὁ καιρὸς ἦταν πολὺ κοντά. Ἀξίζει δὲ ν' ἀπορήσει κανένας, πῶς στὴν Αἴγυπτο δὲν θέλησαν οἱ σοφοὶ τῶν Αἰγυπτίων νὰ ἐπινοήσουν κάτι χωρὶς νὰ περιέλθουν σὲ κίνδυνο, ἀλλ' εἶπαν ὅτι ἀδυνατοῦν νὰ βροῦν τὴ λύση. Ἐὰν δὲ δὲν γνωρίζουν νὰ ἑρμηνεύουν ὄνειρα, γιὰ ποιὸ

αὐτοῖς; Ἄλλως δὲ οὐκ ἔδει ἐκεῖ τοῦτο γενέσθαι, ἐπὶ δὲ τῆς προφητείας τοῦ Ἰωσὴφ φανερῶς ἐγένετο, καὶ μάλιστα ἐπὶ τῶν εὐνούχων.

Ὅρα δὲ τούτους μὴ καλοῦντας τὸν Δανιήλ, ἀλλ' αἱρουμένους ἀποθανεῖν μᾶλλον, ἢ ἐκεῖνον ἰδεῖν εὐδοκιμοῦντα. Ἆρα διὰ τοῦτο μόνον ἐφάνη τὸ ὄναρ, ἵνα ὁ Δανιὴλ θαυμασθῇ; Οὐκ ἔγωγε εἴποιμι ἄν. Ἐπεὶ καὶ εἰ τοῦτο ἦν μόνον, μέγα ἦν τὸ κατόρθωμα καὶ θαυμαστόν, θεογνωσίαν γενέσθαι τοσαύτην. Πλὴν οὐ τοῦτο μόνον ἐστίν. Ἀλλὰ τί; Ὥστε καὶ τοῦτον σωφρονισθῆναι μανθάνοντα, ὅτι οὐ διὰ παντὸς τὸ γένος αὐτοῦ κρατήσει (εἰ γὰρ καὶ τούτων εἰρημένων τῆς ἀλαζονείας οὐ καθυφῆκε, πολλῷ μᾶλλον εἰ μὴ ταῦτα εἴρητο), ὥστε τὸν Θεὸν ἐπιγνῶναι Κύριον ὄντα τοῦ παντός. Ἐπειδὴ γὰρ περὶ ὀνείρους μᾶλλον εἶχον, διὰ τοῦτο ταῦτα γεγένηται. Ἐντεῦθεν αὐτοὺς πείθει περὶ τῶν μελλόντων, καὶ ἐπειδὴ τούτῳ μάλιστα τοὺς θεοὺς ἐτίμων, τῷ προορᾶν τὰ μέλλοντα. Καὶ γὰρ πᾶσα ἡ μαγγανεία αὐτοῖς περὶ τοῦτο ἦν.

2. «Καὶ τὸ δόγμα ἐξῆλθε, καὶ οἱ σοφοὶ ἀπεκτείνοντο· καὶ ἐζήτησαν τὸν Δανιὴλ καὶ τοὺς φίλους αὐτοῦ ἀποκτεῖναι. Καὶ τότε Δανιὴλ ἀπεκρίθη βουλὴν καὶ γνώμην τῷ Ἀριὼχ τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως, ὃς ἐξῆλθε ἀνελεῖν τοὺς σοφοὺς Βαβυλῶνος. Καὶ ἐπυνθάνετο αὐτοῦ λέγων· Ἄρχων τοῦ βασιλέως, περὶ τίνος ἐξῆλθεν ἡ γνώμη ἡ ἀναιδὴς αὕτη ἐκ προσώπου τοῦ βασιλέως;». Εἶδες παρρησίαν; εἶδες ἀνδρείαν; πρὸς τὸν ἀνελεῖν κύριον οἷά φησι; Καὶ ὑπὲρ τῶν ἄλλων ἀλγεῖ. Οὐκ ἔχει λόγον, φησί, οὐδὲ πρόφασιν, οὐδὲ χρῶμα ἐπίκαιται τῷ προστάγματι· ἀναιδεῖς γὰρ τούτους καλοῦμεν.

ἄλλο πράγμα πρέπει νὰ πιστεύομε σ' αὐτούς; Ἄλλωστε δὲ δὲν ἔπρεπε ἐκεῖ νὰ συμβεῖ αὐτό, στὴν περίπτωση ὅμως τῆς προφητείας τοῦ Ἰωσὴφ συνέβηκε φανερά, καὶ μάλιστα σχετικὰ μὲ τὰ ὄνειρα τῶν εὐνούχων.

Πρόσεχε ὅμως ὅτι αὐτοὶ δὲν καλοῦν τὸν Δανιήλ, ἀλλὰ προτιμοῦν μᾶλλον νὰ πεθάνουν, παρὰ νὰ δοῦν ἐκεῖνον νὰ εὐδοκιμεῖ. Ὥστε λοιπὸν γι' αὐτὸ μόνο εἶδε τὸ ὄνειρο ὁ βασιλιάς, γιὰ νὰ θαυμασθεῖ ὁ Δανιήλ; Ἐγὼ τουλάχιστο δὲν θὰ μποροῦσα νὰ τὸ πῶ αὐτό. Διότι, καὶ ἂν ἀκόμα τὸ εἶδε μόνο γι' αὐτό, ἦταν σπουδαῖο τὸ κατόρθωμα καὶ ἄξιο θαυμασμοῦ, ἐφόσον κατορθώθηκε τόση θεογνωσία. Πλὴν ὅμως δὲν εἶναι μόνο αὐτὸς ὁ λόγος. Ἀλλὰ καὶ ποιὸς ἄλλος; Μὲ σκοπὸ καὶ ὁ βασιλιάς, μαθαίνοντας τὰ ὅσα σήμαινε τὸ ὄνειρο, νὰ σωφρονισθεῖ, καθόσον δὲν θὰ εἶναι γιὰ πάντα κυρίαρχος τοῦ λαοῦ του (διότι, ἐάν, μολονότι λέχθηκαν αὐτά, δὲν ἀπαλλάχθηκε ἀπὸ τὴν ἀλαζονεία του, πολὺ περισσότερο θὰ συνέβαινε αὐτὸ ἂν δὲν λέγονταν αὐτά), καὶ ν' ἀναγνωρίσει ὅτι ὁ Θεὸς εἶναι Κύριος τοῦ παντός. Ἐπειδὴ δηλαδὴ ἔδιναν μεγάλη σημασία στὰ ὄνειρα, γι' αὐτὸ συμβαίνουν αὐτά. Ἐξ αἰτίας αὐτοῦ πείθει αὐτοὺς γιὰ ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν στὸ μέλλον, καὶ ἐπειδὴ γι' αὐτὸ πρὸ πάντων τιμοῦσαν τοὺς θεούς, ἐπειδὴ πρόβλεπαν τὰ μέλλοντα νὰ συμβοῦν. Καθόσον ὅλη ἡ τέχνη τῆς μαγγανείας τους αὐτὸ εἶχε σὰν ἀντικείμενο ἀπασχολήσεως.

2. «Καὶ ἡ βασιλικὴ διαταγὴ ἐκδόθηκε καὶ ἄρχισαν οἱ ἐκτελέσεις τῶν σοφῶν. Τότε ζήτησαν νὰ βροῦν τὸν Δανιὴλ καὶ τοὺς φίλους του γιὰ νὰ τοὺς φονεύσουν. Καὶ τότε ὁ Δανιὴλ μίλησε μὲ σοφία καὶ σύνεση στὸν Ἀριώχ, τὸν ἀρχιμάγειρα τοῦ βασιλιᾶ, ὁ ὁποῖος ἐξῆλθε γιὰ νὰ φονεύσει τοὺς σοφοὺς τῆς Βαβυλώνας. Καὶ ἐρωτοῦσε αὐτὸν λέγοντάς του· «Ἄρχοντα τοῦ βασιλιᾶ, γιατί δόθηκε αὐτὴ ἡ ἄσπλαχνη καὶ σκληρὴ διαταγὴ ἐκ μέρους τοῦ βασιλιᾶ;». Εἶδες παρρησία; εἶδες ἀνδρεία; ποιὰ λόγια ἀπευθύνει πρὸς ἐκεῖνον ποὺ ἔχει τὴ δύναμη νὰ τὸν φονεύσει; Καὶ ὑποφέρει ὑπερβολικὰ γιὰ χάρη τῶν ἄλλων. Δὲν ἔχει, λέγει, αἰτία, οὔτε δικαιολογία, οὔτε ὑπάρχει κάποιο πρόσχημα στὸ πρόσταγμα· διότι ὀνομάζομε αὐτοὺς ἀναιδεῖς.

«Ἐγνώρισε δὲ ὁ Ἀριὼχ τῷ Δανιὴλ τὸ ρῆμα. Καὶ Δανιὴλ εἰσῆλθε, καὶ ἠξίωσε τὸν βασιλέα ὅπως χρόνον αὐτῷ δῷ, καὶ τὴν σύγκρισιν τοῦ ἐνυπνίου ἀπαγγείλῃ τῷ βασιλεῖ». Θαύμασον πῶς ἐπέτρεψεν ἐκεῖνος. Ὅρα πανταχοῦ πάντας πειθομένους αὐτῷ. Ὅθεν πῶς ὑπώπτευσεν ἀληθῆ λέγειν αὐτόν; πῶς οὐκ εἶπεν, πάντες ἠλέγχθησαν, ὡμολόγησαν μὴ εἶναι ἀνθρωπίνης φύσεως τοῦτο, καὶ σὺ βάρβαρος ὢν πόθεν οἴει περιγενέσθαι; Ἀλλ' ὅταν ὁ Θεὸς οἰκονομῇ καὶ προκατασκευάζῃ τὰ πράγματα, μηδὲν ἀπόρει. Ἄλλως δὲ καὶ ἀκίνδυνον ἦν ἐπ' αὐτὸν ὕστερον ἐλθεῖν. Τίνος ἕνεκεν οὐκ εὐθέως αὐτῷ ὁ Θεὸς ἀπεκάλυψε; Πρῶτον μὲν ὥστε κατάδηλον γενέσθαι τὸ πρᾶγμα, ὥστε αὐτοὺς ἐν χρείᾳ καταστῆναι πολλῇ. Εἰ γὰρ καὶ προφήτης ἦν, ὅμως ἠγνόησε. Πάλιν σοι διὰ δικαίων ἀπολογεῖται, δεικνὺς ὅτι ἐκείνοις οὐκ ἔδωκε μέλλουσι κινδυνεύειν χωρὶς εὐχῆς καρτερικῆς, πολλῷ μᾶλλον σοὶ οὐ δώσει. Διὰ τοῦτο πανταχοῦ τὰς εὐχὰς αἰτεῖ ὁ Παῦλος, «Τῇ προσευχῇ προσκαρτεροῦντες», γράφων. Οὐ γὰρ ἀρκεῖ βίος καθαρός, ἐὰν μὴ καὶ εὐχὴ προσῇ. Ὅρα πάλιν τὴν πίστιν αὐτοῦ τὴν πολλήν. Δεύτερος οὗτος ἆθλος· καὶ πάλιν ὁ Δανιὴλ ἡγεῖται τοῦ πράγματος, καὶ χρόνον αἰτεῖ παρεσκευασμένον πρὸς πολλὴν καρτερίαν καὶ εὐχήν. Ὥστε οὐκ ἠξίου εὐθέως ἀκούεσθαι· ἔδωκεν ἐκεῖνος τὴν χάριν, ἀνεκοινώσατο τοῖς φίλοις.

«Τότε τῷ Δανιὴλ μυστήριον ἀπεκαλύφθη ἐν ὁράματι νυκτός. Καὶ εὐλόγησε τὸν Θεὸν τοῦ οὐρανοῦ Δανιήλ, καὶ εἶπεν· Εἴη τὸ ὄνομα τοῦ Θεοῦ εὐλογημένον ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος, ὅτι ἡ σοφία καὶ ἡ σύνεσις καὶ ἡ ἰσχὺς αὐτοῦ ἐστι. Καὶ αὐτὸς ἀλλοιοῖ χρόνους καὶ καιρούς, καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ, διδοὺς σοφίαν τοῖς σοφοῖς, καὶ

---

1. Ρωμ. 12, 12.

«Ὁ Ἀριὼχ γνωστοποίησε τότε στὸν Δανιὴλ τὴν ὑπόθεση αὐτή. Καὶ ὁ Δανιὴλ εἰσῆλθε στ' ἀνάκτορα καὶ ζήτησε ἀπὸ τὸ βασιλιὰ νὰ τοῦ δώσει μικρὴ προθεσμία καὶ τοῦ ὑποσχέθηκε ὅτι θὰ τοῦ δώσει τὴν ἑρμηνεία τοῦ ὀνείρου». Θαύμασε πῶς ὁ βασιλιὰς ἔδειξε ἐμπιστοσύνη σ' αὐτόν. Πρόσεχε παντοῦ ὅτι ὅλοι πιστεύουν σ' αὐτόν. Καὶ πῶς λοιπὸν πίστεψε ὅτι αὐτὰ ποὺ λέγει αὐτὸς εἶναι ἀληθινά; πῶς δὲν εἶπε, ὅλοι ἐξετάσθηκαν καὶ ὁμολόγησαν ὅτι αὐτὸ δὲν εἶναι τῆς ἀνθρώπινης φύσεως, καὶ σὺ ἀπὸ ποῦ, ἐνῶ εἶσαι βάρβαρος, πιστεύεις ὅτι θὰ ὑπερβάλεις αὐτοὺς ὡς πρὸς τὴ σοφία; Ἀλλ' ὅταν ὁ Θεὸς ρυθμίζει καὶ προετοιμάζει τὰ πράγματα, μὴ ἀπορεῖς καθόλου. Ἄλλωστε δὲ ἦταν καὶ ἀκίνδυνο στὴ συνέχεια νὰ προχωρήσει στὴν ἐξέταση αὐτοῦ. Καὶ γιὰ ποιὸ λόγο ὁ Θεὸς δὲν φανέρωσε ἀπὸ τὴν ἀρχὴ σ' αὐτὸν τὸ ὄνειρο; Κατὰ πρῶτο μὲν γιὰ νὰ γίνει ὁλοφάνερο τὸ πράγμα καὶ ἔτσι νὰ περιέλθουν αὐτοὶ σὲ μεγάλη ἀνάγκη. Διότι ἂν καὶ ἦταν προφήτης, ὅμως τὸ ἀγνόησε. Πάλι ἀπολογεῖται πρὸς ἐσένα μὲ τρόπο κατάλληλο, γιὰ νὰ δείξει ὅτι, ἐὰν σὲ ἐκείνους δὲν ἔδωσε τὴ δυνατότητα τῆς ἀποκαλύψεως καὶ ἑρμηνείας τοῦ ὀνείρου χωρὶς ἐπίμονη προσευχὴ καὶ μάλιστα ἐνῶ διέτρεχαν μεγάλο κίνδυνο, πολὺ περισσότερο δὲν θὰ δώσει σὲ σένα. Γι' αὐτὸ παντοῦ ὁ Παῦλος ζητᾶ τὶς προσευχές, γράφοντας, «Νὰ ἐπιμένετε στὴν προσευχή»[1]. Διότι δὲν ἐπαρκεῖ ὁ καθαρὸς τρόπος ζωῆς, ἐὰν δὲν ὑπάρχει μαζὶ μὲ αὐτὸν καὶ ἡ προσευχή. Πρόσεχε πάλι τὴ μεγάλη πίστη αὐτοῦ. Δεύτερος ἆθλος αὐτός· καὶ πάλι ὁ Δανιὴλ κατευθύνει τὴν ὅλη ὑπόθεση καὶ ζητᾶ χρόνο γιὰ νὰ τοῦ δοθεῖ εὐκαιρία γιὰ μεγάλη προσευχὴ καὶ καρτερία. Ὥστε λοιπὸν δὲν ζήτησε ἀμέσως νὰ εἰσακουσθεῖ. Ἔδωσε ἐκεῖνος τὴ χάρη καὶ ὁ Δανιὴλ γνωστοποίησε τὴν ὑπόθεση στοὺς φίλους του.

«Τότε μὲ νυχτερινὸ ὅραμα ἀποκαλύφθηκε στὸν Δανιὴλ τὸ μυστηριῶδες ὄνειρο. Καὶ εὐχαρίστησε ὁ Δανιὴλ τὸ Θεὸ τοῦ οὐρανοῦ καὶ εἶπε· Ἂς εἶναι τὸ ὄνομα τοῦ Θεοῦ εὐλογημένο στοὺς αἰῶνες τῶν αἰώνων, διότι σ' αὐτὸν ἀνήκει ἡ σοφία, ἡ σύνεση καὶ δύναμη. Καὶ αὐτὸς μεταβάλλει τοὺς χρόνους καὶ τὶς ἐποχές, ἀνεβάζει στοὺς θρόνους καὶ κατεβάζει βασιλεῖς, δίνει σοφία στοὺς σοφοὺς καὶ φρόνηση σ' ἐκείνους ποὺ ζτοῦν σύνεση.

φρόνησιν τοῖς αἰτοῦσι σύνεσιν. Αὐτὸς ἀποκαλύπτει βαθέα καὶ ἀπόκρυφα, γινώσκων τὰ ἐν τῷ σκότει· καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστι. Σοί, ὁ Θεὸς τῶν πατέρων μου, ἐξομολογοῦμαι, καὶ αἰνῶ, ὅτι σοφίαν καὶ σύνεσιν ἔδωκάς μοι, καὶ νῦν ἐγνώρισάς μοι ἃ ἠξιώσαμεν παρὰ σοῦ». Οὐδέπω φανερῶς αὐτῷ ἀπεκαλύφθη, ἀλλ' ἔτι ἐν ὁράματι· προγυμνάζεται γὰρ ὁ προφήτης. Ὅρα δὲ αὐτοῦ τὴν παρρησίαν. Τίς ἡ γνώμη, φησί, ἡ ἀναιδὴς αὕτη; Ἔμοιγε δοκεῖ καὶ πρὸ τῆς εὑρήσεως κεκωλυκέναι τὸν ἀρχιμάγειρον τῆς σφαγῆς, τῷ τε κατηγορῆσαι τῆς ἐγχειρήσεως, τῷ τε ὑποσχέσθαι λύσιν εὑρεῖν τοῦ δεινοῦ.

Τί οὖν ἀπεκαλύφθη τῷ Δανιήλ; Ἔστι γὰρ καὶ ἐν ἁγίοις ὑπεροχή· διὸ καὶ αὐτὸς προτιμᾶται. Καὶ πῶς εἶδεν; Ἐν ὁράματι, φησί, οὐ κατὰ ἀνθρωπίνην σοφίαν. Καὶ καλῶς μυστήριον αὐτὸ καλεῖ, ὃ πᾶσιν ἠγνόητο. Καὶ εὐλόγησε τὸν Θεὸν τοῦ οὐρανοῦ. Τὸν παντοκράτορά φησι· τουτέστι, τὸν καὶ ἐκεῖ ἐν τῇ βαρβάρων χώρᾳ δυνάμενον. Οὐδαμοῦ θυσία, καὶ ναός, καὶ θυσιαστήριον, ἀλλὰ προαίρεσις ἀγαθή· καὶ πάντα ἠνύετο. Ὅρα, μετὰ τὸ λαβεῖν τὴν αἴτησιν, οὐ πρότερον ἔδραμεν ἐπὶ τὴν αὐλὴν τοῦ βασιλέως, ἕως οὗ τῷ δεδωκότι χάριν ὡμολόγησε τὴν μεγίστην· οὐ καθάπερ ἡμεῖς πολλάκις ὑπὸ τῆς χαρᾶς τῶν κατορθουμένων καὶ ἐπιλανθανόμεθα τῆς εὐγνωμοσύνης. Ἀλλ' οὗτος οὐχ οὕτως, ἀλλὰ εὐλόγησε τὸν Θεόν, καὶ εἶπεν· «Εἴη τὸ ὄνομα τοῦ Θεοῦ εὐλογημένον ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος». Ἡμεῖς μὲν γάρ, φησί, πρόσκαιροι καὶ ὀλιγοχρόνιοι, οὐ μὴν ὑπὲρ τοῦ χρόνου τούτου τὴν εὐλογίαν ἀναπέμπομεν, ἀλλ' ὑπὲρ παντός· οὐχ ὑπὲρ οὗ ζῶμεν, ἀλλὰ καὶ ὑπὲρ τούτου μέν, καὶ ὑπὲρ τοῦ πρὸ τού-

Αὐτὸς φανερώνει τὰ μυστικὰ καὶ ἀπόκρυφα καὶ γνωρίζει τὰ ὅσα διαπράττονται μέσα στὸ σκοτάδι, διότι τὸ φῶς βρίσκεται μαζί του. Σὲ σένα, Θεὲ τῶν πατέρων μου, ἀπευθύνω τὴν εὐχαριστήρια δοξολογία μου καὶ τὴν αἴνεσή μου, διότι μοῦ χάρισες σοφία καὶ σύνεση καὶ τώρα μοῦ ἀποκάλυψες ἐκεῖνα ποὺ ζητήσαμε μὲ τὴν προσευχή μας ἀπὸ σένα». Ἀκόμα δὲν ἀποκαλύφθηκε σ' αὐτὸν τὸ ὄνειρο ἐξ ὁλοκλήρου, ἀλλ' ἀκόμα ἡ ἀποκάλυψη ὑπάρχει ὑπὸ μορφὴ ὁράματος· διότι προγυμνάζετα ὁ προφήτης. Πρόσεχε δὲ τὴν παρρησία αὐτοῦ. Ποιὰ εἶναι αὐτὴ ἡ σκληρὴ καὶ ἄσπλαχνη διαταγὴ τοῦ βασιλιᾶ; Ἐγὼ νομίζω ὅτι αὐτὸς καὶ πρὶν ἀπὸ τὴν ἐξεύρεση τῆς ἑρμηνείας τοῦ ὀνείρου εἶχε ἐμποδίσει τὸν ἀρχιμάγειρα ἀπὸ τὴ σφαγή, καὶ μὲ τὸ ὅτι κατηγόρησε τὸ ἐγχείρημα αὐτὸ τῆς σφαγῆς, καὶ μὲ τὸ ὅτι ὑποσχέθηκε ὅτι θὰ βρεῖ λύση τοῦ κακοῦ.

Τί λοιπὸν ἀποκαλύφθηκε στὸν Δανιήλ; Διότι ὑπάρχει καὶ στοὺς ἁγίους διάκριση, γι' αὐτὸ καὶ αὐτὸς προτιμᾶται. Καὶ πῶς τὸ εἶδε; Μὲ ὅραμα, λέγει, καὶ ὄχι σὲ σχέση μὲ τὴν ἀνθρώπινη σοφία. Καὶ πολὺ σωστὰ ὀνομάζει αὐτὸ μυστήριο, διότι ἦταν ἄγνωστο σ' ὅλους. Καὶ εὐχαρίστησε τὸ Θεὸ τοῦ οὐρανοῦ. Τὸν παντοκράτορα, λέγει, δηλαδὴ ἐκεῖνον ποὺ μπορεῖ νὰ δείξει τὴ δύναμή του καὶ ἐκεῖ στὴ χώρα τῶν βαρβάρων. Πουθενὰ δὲν γίνεται λόγος γιὰ θυσία, ναὸ καὶ θυσιαστήριο, ἀλλὰ γιὰ προαίρεση ἀγαθή, καὶ τὰ πάντα κατορθώνονταν. Πρόσεχε ὅτι μετὰ τὴν ἐκπλήρωση τοῦ αἰτήματός του δὲν ἔτρεξε προηγουμένως στὴν αὐλὴ τοῦ βασιλιᾶ, μέχρι ποὺ ἐξέφρασε τὴ μέγιστη εὐγνωμοσύνη του προς ἐκεῖνον ποὺ τοῦ ἔδωσε τὴν ἐξήγηση τοῦ ὀνείρου. Δὲν ἐνήργησε σὰν ἐμᾶς ποὺ πολλὲς φορές, κυριευμένοι ἀπὸ τὴ χαρὰ γιὰ ἐκεῖνα ποὺ κατορθώσαμε, λησμονοῦμε νὰ ἐκφράσομε τὴν εὐγνωμοσύνη μας. Αὐτὸς λοιπὸν δὲν ἐνήργησε ἔτσι, ἀλλ' εὐχαρίστησε τὸ Θεὸ καὶ εἶπε· «Ἂς εἶναι εὐλογημένο τὸ ὄνομα τοῦ Θεοῦ στοὺς αἰῶνες τῶν αἰώνων». Ἐμεῖς, δηλαδή, λέγει, εἴμαστε προσωρινοὶ καὶ ὀλιγοχρόνιοι, ἑπομένως δὲν ἀναπέμπομε τὴν εὐχαριστία καὶ δοξολογία μας γιὰ τὸ χρονικὸ αὐτὸ διάστημα τῆς ζωῆς μας, ἀλλὰ γιὰ ὅλους τοὺς αἰῶνες· ὄχι γιὰ τὸ χρόνο μόνο ποὺ ζοῦμε, ἀλλὰ καὶ γι' αὐτόν, καὶ γιὰ τὸ χρόνο

του, καὶ ὑπὲρ τοῦ μέλλοντος. Ἀεὶ αὐτὸν εὐλογεῖσθαι χρή, καὶ φαίνοντα καὶ μὴ φαίνοντα. Διὰ παντὸς γὰρ ἡ πρόνοια αὐτοῦ τέταται.

Ὅρα πῶς διὰ τῆς εὐχαριστίας ἐμφαίνει καὶ τὴν γνῶσιν τῶν ὀνειράτων. «Ὅτι ἡ σοφία, καὶ ἡ σύνεσις, καὶ ἡ ἰσχὺς αὐτοῦ ἐστι»· τουτέστι, τὸ εἰδέναι τὰ πάντα, καὶ προγινώσκειν. Ἐνταῦθα γὰρ τοῦτό φησι· αὐτὸς οἶδε τὰ πάντα, οὐδὲν ἀγνοεῖ. Τί οὖν; Τοῦτο μόνον; πρόγνωσιν ἔχει μόνον; Καὶ οὐκ εἶπεν, 'ἔχει', ἀλλ', «Αὐτοῦ ἐστι», τὸ φυσικὸν ἡμῖν ἀγαθὸν παραστῆσαι βουλόμενος, ὅτι ἐκ φύσεως ταῦτα αὐτῷ πρόσεστιν. Τί οὖν; πρόοιδε μόνον, οὐχὶ δὲ καὶ ποιεῖ; Ναί, καὶ ποιεῖ. «Ἀλλοιοῖ καιροὺς καὶ χρόνους». Οὐχὶ τὰς τροπὰς λέγων, ἀλλὰ τὰς τῶν πραγμάτων μεταβολάς. «Καθιστᾷ βασιλεῖς, καὶ μεθιστᾷ». Ὅτι μεταβολὰς ἐργάζεται. Ἆρ' οὖν τοῦτο μόνον, ὅτι πρόοιδε καὶ ποιεῖ; οὐχὶ καὶ ἄλλο μέγιστον, ὅτι καὶ ἑτέροις μεταδίδωσι τούτου τοῦ εἰδέναι; «Διδοὺς σοφίαν τοῖς σοφοῖς»· οὐχὶ πρὸ τούτου οὖσι σοφοῖς, ἀλλὰ τοῖς λαβεῖν. Εἴ τις σοφὸς μὴ παρ' ἐκείνου τὴν σοφίαν ἔχει, οὐ σοφός. Μὴ νομίσατε τέχνην εἶναι τῆς Χαλδαϊκῆς. «Καὶ φρόνησιν», φησί «τοῖς αἰτοῦσι σύνεσιν».

Εἶτα ἴδωμεν πότερον ἐξ ἐπιστήμης αὐτῷ προσγέγονεν, ἢ κατὰ φύσιν. Καὶ γὰρ καὶ τοῦτο λέγει· «Αὐτὸς ἀποκαλύπτει βαθέα καὶ ἀπόκρυφα»· οὐκ εἶπεν, 'εὑρίσκει', ἀλλά, «Ἀποκαλύπτει» ἑτέροις «βαθέα» ἡμῖν ὄντα «καὶ ἀπόκρυφα», τὰ ἐκ μακροῦ τοῦ χρόνου ἀφεστῶτα καὶ κεκρυμμένα.

«Γινώσκων τὰ ἐν τῷ σκότει· καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστιν». Ὅρα τί φησι. Ὥσπερ ὁ Δαυῒδ λέγει. «Ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς». Τὸ πολὺ τῆς γνώσεως λέγει, ἤτοι κἂν ἄδηλα ᾖ, σκότος οὐκ ἔστιν, ἢ ὅτι φῶς αὐτῶν ἐ-

---

2. Ψαλμ. 138, 12.

πρὶν ἀπὸ αὐτόν, καὶ γιὰ τὸ μέλλον. Πάντοτε πρέπει αὐτὸς νὰ δοξολογεῖται καὶ ὅταν κάμνει τὴν ἐμφάνισή του καὶ ὅταν παραμένει ἀόρατος. Διότι ἡ πρόνοια αὐτοῦ ἁπλώνεται παντοῦ.

Πρόσεχε πῶς μὲ τὴν εὐχαριστία ἀποκαλύπτει καὶ τὴ γνώση τῶν ὀνείρων. «Διότι σ' αὐτὸν ἀνήκει ἡ σοφία, ἡ σύνεση καὶ ἡ δύναμη»· δηλαδὴ ἡ γνώση τῶν πάντων καὶ ἡ πρόγνωση. Διότι ἐδῶ αὐτὸ ἐννοεῖ, ὅτι αὐτὸς γνωρίζει τὰ πάντα καὶ τίποτε δὲν ἀγνοεῖ. Τί λοιπόν; Αὐτὸ μόνο; μόνο πρόγνωση ἔχει; Καὶ δὲν εἶπε, 'ἔχει', ἀλλά, «Αὐτοῦ εἶναι», θέλοντας νὰ μᾶς δείξει τὸ φυσικὸ ἀγαθό του, ὅτι δηλαδὴ αὐτὰ ὑπάρχουν σ' αὐτὸν ἐκ φύσεως. Τί λοιπόν; μόνο προγνωρίζει, δὲν προχωρεῖ δὲ καὶ στὴν πράξη; Ναί, καὶ προχωρεῖ στὸ ἔργο. «Μεταβάλλει καιροὺς καὶ χρόνους». Δὲν ἐννοεῖ τὶς καιρικὲς μεταβολές, ἀλλὰ τὶς μεταβολὲς τῶν πραγμάτων. «Ἀνεβάζει στοὺς θρόνους καὶ κατεβάζει βασιλεῖς». Δηλαδὴ πραγματοποιεῖ μεταβολές. Ὥστε λοιπὸν αὐτὸ μόνο κάμνει, προβλέπει δηλαδὴ καὶ πραγματοποιεῖ μεταβολές; δὲν κάμνει καὶ κάτι ἄλλο πολὺ πιὸ σπουδαῖο, δηλαδὴ δὲν μεταδίδει καὶ σ' ἄλλους τὴ γνώση του αὐτή; «Αὐτὸς δίνει σοφία στοὺς σοφούς». Ὄχι σ' ἐκείνους ποὺ εἶναι σοφοὶ πρὶν ἀπὸ τὴ χορήγηση τῆς σοφίας ἐκ μέρους του, ἀλλὰ σ' ἐκείνους ποὺ λαμβάνουν αὐτὴν ἀπὸ αὐτόν. Ἂν κάποιος σοφὸς δὲν ἔχει τὴ σοφία ἀπὸ ἐκεῖνον, δὲν εἶναι σοφός. Μὴ νομίσετε ὅτι ἡ σοφία εἶναι τέχνη τῶν Χαλδαίων. «Αὐτὸς δίνει», λέγει, «καὶ φρόνηση σ' ἐκείνους ποὺ ζητοῦν σύνεση».

Στὴ συνέχεια ἂς ἐξετάσομε ποιὸ ἀπὸ τὰ δύο συμβαίνει, ἐὰν δηλαδὴ ἔλαβε αὐτὴν μὲ τὴ βοήθεια τῆς ἐπιστήμης, ἢ τὴν εἶχε ἐκ φύσεως. Καθόσον προσθέτει καὶ αὐτό· «Αὐτὸς ἀποκαλύπτει τὰ μυστικὰ καὶ ἀπόκρυφα»· δὲν εἶπε, 'βρίσκει', ἀλλὰ «Ἀποκαλύπτει» σ' ἄλλους αὐτὰ ποὺ βρίσκονται μέσα μας «Βαθιὰ καὶ ἀπόκρυφα», αὐτὰ ποὺ ὑπάρχουν μέσα μας κρυμμένα πρὶν ἀπὸ πολὺ χρόνο.

«Αὐτὸς γνωρίζει αὐτὰ ποὺ ὑπάρχουν μέσα στὸ σκοτάδι, διότι τὸ φῶς εἶναι μαζὶ μὲ αὐτόν». Πρόσεχε τί λέγει. Ὅπως ἀκριβῶς λέγει καὶ ὁ Δαυίδ· «Ὅπως εἶναι τὸ σκοτάδι τῆς νύχτας, ἔτσι καὶ τὸ φῶς τῆς ἡμέρας»[2]. Ἐννοεῖ τὸ μεγάλο μέγεθος

στι. Πῶς γινώσκει τὰ ἐν τῷ σκότει; Ὡσανεὶ φῶς ἔχων μεθ' ἑαυτοῦ. Μετ' αὐτοῦ ἐστιν ἀεί. Ἀνθρωπίνως λέγει. Ὥσπερ οὐδέν ἐστιν ἐν σκότει τῷ λύχνον ἅπτοντι, οὕτως οὐδὲ τῷ Θεῷ· μᾶλλον δέ, εἴ τι πλέον, ὥσπερ τῷ τὸ φῶς ἔχοντι ἐν ὀφθαλμοῖς, τῷ ἀεὶ περιφέροντι αὐτό, φῶς ἐστι.

«Σοί, ὁ Θεὸς πατέρων μου», φησί, «ἐξομολογοῦμαι, καὶ αἰνῶ, ὅτι σοφίαν καὶ σύνεσιν ἔδωκάς μοι». Εὐκαίρως τῶν πατέρων ἐμνήσθη νῦν, δι' ἐκείνων αὐτὸν δυσωπῆσαι βουλόμενος, καθάπερ εἴ τίς τινα ἐραστὴν σφοδρὸν τῶν ἐρωμένων ἀναμνήσειεν. «Ἐξομολογοῦμαι», φησί, «εὐχαριστῶ, καὶ αἰνῶ, ὅτι σοφίαν καὶ σύνεσιν ἔδωκάς μοι». Τὴν προτέραν φησί. «Καὶ νῦν ἐγνώρισάς μοι ἃ ἠξιώσαμεν παρὰ σοῦ». Ἴσως εἰκὸς αὐτὸν καὶ ἄλλα ἀξιῶσαι, ὥστε καὶ τὴν σύγκρισιν αὐτῷ γνωρίσαι. «Ὅτι τὸ ὅραμα τοῦ βασιλέως», φησί, «ἐγνώρισάς μοι».

3. «Καὶ εὐθέως ἦλθε Δανιὴλ πρὸς Ἀριώχ, ὃν κατέστησε», φησί, «ὁ βασιλεὺς ἀπολέσαι τοὺς σοφοὺς Βαβυλῶνος, καὶ εἶπεν αὐτῷ· Τοὺς σοφοὺς Βαβυλῶνος μὴ ἀπολέσῃς· εἰσάγαγε δέ με ἐνώπιον τοῦ βασιλέως, καὶ ἀπαγγελῶ τῷ βασιλεῖ τὴν σύγκρισιν τοῦ ὁράματος». Ἔδραμε πρὸς αὐτὸν καί φησιν· «Τοὺς σοφοὺς Βαβυλῶνος μὴ ἀπολέσῃς». Τίς ἂν ἐφρόντισεν ἐκείνων; Ὅρα τὸ φιλάνθρωπον καὶ ἥμερον τοῦ προφήτου. Ἀλλ' οὐκ ἂν ἠκούσθη, εἰ μὴ κἀκεῖνο προσέθηκεν· «Εἰσάγαγέ με», φησί, «καὶ ἀπαγγελῶ τῷ βασιλεῖ τὴν σύγκρισιν τοῦ ὁράματος. Τότε Ἀριώχ», φησίν, «εἰσήγαγε τὸν Δανιὴλ ἐν σπουδῇ ἐνώπιον τοῦ βασιλέως, καὶ

τῆς γνώσεώς του· δηλαδὴ καὶ ἂν ἀκόμα δὲν εἶναι φανερά, δὲν ὑπάρχει σ' αὐτὸν σκοτάδι, ἢ ὅτι αὐτὸς εἶναι φῶς. Πῶς γνωρίζει αὐτὰ ποὺ ὑπάρχουν καὶ γίνονται μέσα στὸ σκοτάδι; Σὰν νὰ ἔχει φῶς μαζί του. Διότι τὸ φῶς εἶναι πάντοτε μαζί του. Ὁμιλεῖ μὲ ἀνθρώπινες ἐκφράσεις. Ὅπως ἀκριβῶς τίποτε δὲν μένει μέσα στὸ σκοτάδι γιὰ ἐκεῖνον ποὺ ἀνάβει τὸ λυχνάρι, ἔτσι καὶ στὸ Θεὸ δὲν ὑπάρχει τίποτε τὸ σκοτεινό. Μᾶλλον δὲ καὶ κάτι περισσότερο, ὅπως ἀκριβῶς σ' ἐκεῖνον ποὺ ἔχει τὸ φῶς στὰ μάτια του, ποὺ φέρει αὐτὸ πάντοτε μαζί του, ποὺ εἶναι ὁ ἴδιος φῶς.

«Σὲ σένα», λέγει, «Θεὲ τῶν πατέρων μου, ἀπευθύνω τὴν εὐχαριστήρια δοξολογία μου καὶ τὴν αἴνεσή μου, διότι μοῦ χάρισες σοφία καὶ σύνεση». Σὲ πολὺ κατάλληλη στιγμὴ θυμήθηκε τώρα τοὺς πατέρες του, θέλοντας μέσω ἐκείνων νὰ παρακαλέσει αὐτόν, ὅπως ἀκριβῶς ἐὰν κάποιος ἤθελε θυμηθεῖ κάποιον ὑπερβολικὰ μεγάλο ἐραστὴ ἐκείνων ποὺ ἀγαπᾶ αὐτός. «Ἐξομολογοῦμαι», λέγει, δηλαδὴ «Σὲ εὐχαριστῶ καὶ σὲ δοξάζω, διότι μοῦ χάρισες σοφία καὶ σύνεση». Ἐννοεῖ τὴν προηγούμενη. «Καὶ τώρα μοῦ φανέρωσες ἐκεῖνα ποὺ ζητήσαμε ἀπὸ σένα». Ἴσως κατὰ πάσα πιθανότητα καὶ ἄλλα νὰ ζητήσει, ὥστε νὰ τοῦ φανερώσει καὶ τὴν ἐξήγηση τοῦ ὀνείρου. «Διότι», λέγει, «μοῦ φανέρωσες τὸ ὅραμα τοῦ βασιλιᾶ».

3. «Καὶ ἀμέσως ὁ Δανιὴλ παρουσιάσθηκε στὸν Ἀριώχ, τὸν ὁποῖο», λέγει, «ὁ βασιλιὰς ὅρισε νὰ φονεύσει τοὺς σοφοὺς τῆς Βαβυλώνας, καὶ εἶπε σ' αὐτόν· Μὴ θανατώσεις τοὺς σοφοὺς τῆς Βαβυλώνας, ἀλλ' ὁδήγησέ με μπροστὰ στὸ βασιλιὰ καὶ θὰ ἀποκαλύψω στὸ βασιλιὰ τὸ ὄνειρο καὶ θὰ τοῦ δώσω τὴν ἑρμηνεία». Ἔτρεξε πρὸς αὐτὸν καὶ λέγει· «Μὴ θανατώσεις τοὺς σοφοὺς τῆς Βαβυλώνας». «Ποιὸς θὰ μποροῦσε νὰ φροντίσει γιὰ ἐκείνους; Πρόσεχε τὴ φιλανθρωπία καὶ τὴν καλωσύνη τοῦ προφήτη. Ἀλλ' ὅμως δὲν θὰ ἦταν δυνατὸ νὰ εἰσακουσθεῖ, ἐὰν δὲν πρόσθετε καὶ ἐκεῖνο· «Ὁδήγησέ με», λέγει, «μπροστά του καὶ θὰ ἀποκαλύψω στὸ βασιλιὰ τὸ ὄνειρο καὶ θὰ τοῦ δώσω καὶ τὴν ἑρμηνεία. Τότε», λέγει, «Ὁ Ἀριὼχ ὁδήγησε μὲ βιασύνη τὸν Δανιὴλ μπροστὰ στὸ βασιλιὰ καὶ εἶπε σ' αὐτόν· Βρῆκα

εἶπεν αὐτῷ· Εὕρηκα ἄνδρα ἐκ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ὅστις τὸ σύγκριμα ἀναγγελεῖ τῷ βασιλεῖ».

«Ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας», φησίν, «εὕρηκα ἄνδρα». Οὐκ ᾐσχύνθη τὸ γένος. Ὅταν γὰρ ἀνάγκη ἐπίκειται μείζων, οὐδὲν τούτων ζητεῖται, ἀλλ' ὁ τῦφος ὁ ἐν ταῖς εὐημερίαις ἅπας καταστέλλεται. Καὶ γὰρ ὁ νοσῶν οὐκ ἄν ποτε τοῦ ἰατροῦ τὴν εὐγένειαν περιεργάσαιτο, καὶ ἄλλως κινδυνεύων ἄνθρωπος οὐκ ἂν πολυπραγμονήσειεν, εἴτε εὐπατρίδης, εἴτε ὁ τυχὼν εἴη ὁ μέλλων αὐτὸν ἐξαρπάζειν τῶν κινδύνων, ἀλλ' ἓν μόνον ζητεῖ, τὴν ἀπαλλαγήν. Τίς οὐκ ἂν αἰσχυνθῇ, τίς οὐκ ἂν ἐρυθριάσῃ, ὁρῶν τοὺς μὲν ἐν τῇ πατρίδι πάντας ἀναιρουμένους, τοὺς δὲ αἰχμαλώτους φυσωμένους, καὶ μέγα φρονοῦντας; Οὐδὲν τούτων, οὐδὲν αὐτὸς ἐνενόησεν, ἀλλ' ἐν σπουδῇ κἀκεῖνος ἐκάλεσε, καὶ οὗτος ἠρώτησεν, οὐκέτι μετὰ τῆς αὐτῆς ἀπονοίας. Ἐπειδὴ γὰρ ἠλέγχθη διὰ τῆς πείρας ἀνόνητα ὁ βασιλεὺς ἐπιζητῶν, τί φησι; «Καὶ ἀπεκρίθη ὁ βασιλεύς, καὶ εἶπεν τῷ Δανιήλ, οὗ τὸ ὄνομα Βαλτάσαρ· Εἰ δύνασαί μοι ἀναγγεῖλαι τὸ ἐνύπνιον, ὃ εἶδον, καὶ τὴν σύγκρισιν αὐτοῦ;». Μετὰ πλείονος τῆς ἐπιεικείας διαλέγεται. Οὐκ εἶπεν, 'Ἂν μὴ δυνηθῇς, τὰ αὐτὰ πείσῃ'.

Τί οὖν ὁ Δανιήλ; «Καὶ ἀπεκρίθη Δανιὴλ ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπε· Τὸ μυστήριον, ὃ ὁ βασιλεὺς ἐπιζητεῖ, οὐκ ἔστι σοφῶν, μάγων, ἐπαοιδῶν, Γαζαρηνῶν δύναμις ἀναγγεῖλαι τῷ βασιλεῖ, ἀλλ' ἔστι Θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια, καὶ ἐγνώρισε τῷ βασιλεῖ Ναβουχοδονόσορ ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτων τῶν ἡμερῶν». Ὅρα σύνεσιν τοῦ προφήτου. Οὐκ εἶπεν εὐθέως, 'Δύναμαι ἀπαγγεῖλαί σοι', ἀλλ' ὃ πρὸ πάντων ἔδει μαθεῖν τὸν βασιλέα, τοῦτο λέγει. «Τὸ μυστήριον», φησί, ὃ ὁ βασιλεὺς ἐπερωτᾷ, οὐκ ἔστι σοφῶν, μάγων, ἐπαοιδῶν, Γαζαρηνῶν δύναμις ἀναγγεῖλαι τῷ

ἄνθρωπο ἀνάμεσα ἀπὸ τοὺς αἰχμαλώτους Ἰουδαίους, ὁ ὁποῖος θὰ δώσει στὸ βασιλιὰ τὴν ἐξήγηση τοῦ ὀνείρου».

«Βρῆκα», λέγει, «ἄνθρωπο ἀνάμεσα ἀπὸ τοὺς υἱοὺς τῆς αἰχμαλωσίας». Δὲν ντράπηκε ν' ἀναφέρει τὸ γένος του. Διότι ὅταν ὑπάρχει μπροστά μας ἀνάγκη πολὺ μεγάλη, τίποτε ἀπὸ αὐτὰ δὲν ἐξετάζεται, ἀλλ' ὅλη ἡ ὑπερηφάνεια ποὺ κυριαρχεῖ κατὰ τὶς στιγμὲς τῆς εὐημερίας ἐξαφανίζεται. Καθόσον ὁ ἀσθενὴς δὲν θὰ ἦταν δυνατὸ ποτὲ νὰ ἐξετάσει τὴν εὐγένεια τοῦ ἰατροῦ, καθὼς ἐπίσης καὶ ἄνθρωπος ποὺ κινδυνεύει δὲν θὰ ἐξέταζε ἐάν, αὐτὸς ποὺ ἐπρόκειτο νὰ τὸν σώσει ἀπὸ τοὺς κινδύνους, εἶναι ἀπὸ ἀριστοκρατικὸ γένος ἢ κάποιος τυχαῖος, ἀλλ' ἕνα μόνο τὸν ἐνδιαφέρει, ἡ ἀπαλλαγὴ ἀπὸ τοὺς κινδύνους. Ποιὸς θὰ ἦταν δυνατὸ νὰ μὴ ντραπεῖ, ποιὸς νὰ μὴ κοκκινήσει, βλέποντας τοὺς μὲν ὁμοπάτριους νὰ φονεύονται ὅλοι, τοὺς δὲ αἰχμαλώτους νὰ καυχιένται καὶ νὰ μεγαλοφρονοῦν; Τίποτε ἀπὸ αὐτὰ αὐτὸς δὲν σκέφθηκε, ἀλλὰ μὲ πολλὴ ἐνδιαφέρον καὶ ἐκεῖνος τὸν κάλεσε καὶ αὐτὸς τὸν ρώτησε, ὄχι μὲ τὴν ἴδια ἀλαζονεία. Διότι, ἀφοῦ ἀποδείχθηκε ἀπὸ τὰ ἴδια τὰ πράγματα ὅτι ὁ βασιλιὰς ἐπιδιώκει ἀνώφελα πράγματα, τί λέγει; «Καὶ ἀποκρίθηκε ὁ βασιλιὰς καὶ εἶπε στὸν Δανιήλ, τοῦ ὁποίου τὸ ὄνομα ἦταν Βαλτάσαρ· Πράγματι μπορεῖς νὰ μοῦ ἀποκαλύψεις τὸ ὄνειρο ποὺ εἶδα καὶ νὰ ἐξηγήσεις αὐτό;». Μὲ πολλὴ καλωσύνη συνομιλεῖ μαζί του. Δὲν εἶπε, '"Αν δὲν μπορέσεις νὰ τὸ ἐξηγήσεις, θὰ πάθεις καὶ σὺ τὰ ἴδια'.

Τί λοιπὸν ἀπαντᾶ ὁ Δανιήλ; «Καὶ ἀποκρίθηκε ὁ Δανιὴλ πρὸς τὸ βασιλιὰ καὶ εἶπε· Τὸ μυστήριο, τοῦ ὁποίου τὴν ἐξήγηση ζητᾶ ὁ βασιλιάς, δὲν μποροῦν νὰ τὸ ἑρμηνεύσουν οἱ σοφοί, οἱ μάγοι, οἱ ἐξορκιστὲς καὶ οἱ ἀστρολόγοι, ἀλλ' ὑπάρχει Θεὸς στὸν οὐρανὸ ποὺ ἀποκαλύπτει τὰ μυστήρια, καὶ γνώρισε στὸ βασιλιὰ Ναβουχοδονόσορ ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν κατὰ τὰ τελευταῖα χρόνια». Πρόσεχε σύνεση τοῦ προφήτη. Δὲν εἶπε ἀμέσως, 'Μπορῶ νὰ σοῦ τὸ φανερώσω καὶ νὰ σοῦ τὸ ἑρμηνεύσω', ἀλλ', ἐκεῖνο ποὺ ἔπρεπε ὁπωσδήποτε νὰ μάθει ὁ βασιλιάς, αὐτὸ λέγει. «Τὸ μυστήριο», λέγει, «τοῦ ὁποίου τὴν ἐξήγηση ζητᾶ νὰ μάθει ὁ βασιλιάς, δὲν μποροῦν νὰ τὸ ἐξηγή-

βασιλεῖ· ἔστι Θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια». Ἀπολογεῖται ὑπὲρ τῶν κακῶς ἀναιρεθέντων, δεικνὺς οὐκ αὐτὸν ὄντα τὸν λέγοντα. Οὐ διὰ τοῦτο, φησί, εἶπον, ὅτι οὐκ ἔστι μάγων τοῦτο, ἵνα ἐμαυτὸν ἐκείνων λαμπρότερον δείξω, ἀλλ' ἵνα μάθῃς, ὅτι οὐδὲ ἐγὼ κατὰ ἀνθρωπίνην λέγω φύσιν. «Ἀλλ' ἔστι Θεὸς ἐν οὐρανῷ». Οὐκ ἐκεῖ συγκλείων αὐτόν, ἀλλ' ὡς πρὸς βάρβαρον τέως διαλεγόμενος, καὶ τῆς γῆς ἀπάγων, οὐχ ὡς οἱ ὑμέτεροι οἱ περὶ γῆν στρεφόμενοι. «Καὶ ἐγνώρισε τῷ βασιλεῖ Ναβουχοδονόσορ ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτων τῶν χρόνων». Ὅρα, δι' αἰνιγμάτων λέγει, καὶ τὸ πᾶν κεφάλαιον τῆς ὄψεως περιλαμβάνει ἐν τοῖς προοιμίοις, καὶ ἀνίησιν αὐτοῦ τὴν διάνοιαν, οὐδὲν φορτικόν, οὐδὲ ἐπαχθὲς λέγων.

4. «Τὸ ἐνύπνιόν σου», φησί, «καὶ αἱ ὁράσεις τῆς κεφαλῆς σου ἐπὶ τῆς κοίτης σου· τουτέστιν, οἱ διαλογισμοί σου ἐπὶ τῆς κοίτης σου ἀνέβησαν, τί δεῖ γενέσθαι μετὰ ταῦτα. Καὶ ὁ ἀποκαλύπτων μυστήρια, ἐγνώρισέ σοι ἃ δεῖ γενέσθαι». Κατὰ τὴν τῶν πολλῶν ὑπόνοιαν διαλέγεται, ὡς ὑπὲρ κεφαλῆς τῶν ὀνείρων ἱσταμένων, ἢ ὡς ἐκεῖ τοῦ λογιστικοῦ ὄντος, ἢ τῆς κεφαλῆς, τῶν ὀφθαλμῶν, ἵνα εἴπῃ· Σὺ παρέσχες αἰτίαν. Οὐδὲ ἁπλῶς εἶπεν, ὅτι Ὁ Θεός σοι ἔφηνεν, ἀλλά, «Διελογίζου τί δεῖ γενέσθαι μετὰ ταῦτα». Ἐπειδὴ γὰρ τῆς οἰκουμένης ἐκράτησεν, ἐλογίζετο ἄρα εἰ εἰς παῖδας αὐτὸς παραπέμψει τὴν βασιλείαν, ἢ τελευτήσει. Εἴωθε γάρ πως τὸ μέγεθος τῆς ἀρχῆς καὶ τῆς φύσεως ἡμᾶς εἰς λήθην ἄγειν, ὅτι θνητός ἐστι. Εἰκὸς οὖν αὐτὸν εἰς τὸ πέλαγος ἐμπεσόντα τῶν οἰκείων κατορθωμάτων, μὴ σφόδρα πιστεύειν ὅτι ἀποθανεῖται. Τοῦτο γοῦν καὶ ἕτερος ἔπαθε βασιλεύς. Διὸ καί τις ἔλεγε πρὸς αὐτόν, «Σὺ δὲ ἄνθρωπος εἶ, οὐ θεός», πρὸς τὸν Τύριον λέγων. Καὶ ὅρα πῶς χωρὶς πληγῆς αὐτὸν

---

3. Ἰεζεκ. 28, 2.

σουν οἱ σοφοί, οἱ μάγοι, οἱ ἐξορκιστὲς καὶ οἱ ἀστρολόγοι· ὑπάρχει Θεὸς στὸν οὐρανὸ ποὺ ἀποκαλύπτει τὰ μυστήρια». Ἀπολογεῖται γιὰ ἐκείνους ποὺ θανατώθηκαν ἄδικα, γιὰ νὰ δείξει ὅτι δὲν εἶναι αὐτὸς ποὺ τὰ λέγει αὐτά. Δὲν εἶπα, λέγει, γι' αὐτό, ὅτι αὐτὸ δὲν εἶναι ἔργο τῶν μάγων, γιὰ νὰ παρουσιάσω τὸν ἑαυτό μου σπουδαιότερο ἀπὸ ἐκείνους, ἀλλὰ γιὰ νὰ μάθεις, ὅτι οὔτε ἐγὼ τὰ λέγω αὐτὰ σύμφωνα μὲ τὴν ἀνθρώπινη φύση. «Ἀλλ' ὑπάρχει Θεὸς στὸν οὐρανό». Δὲν περιορίζει αὐτὸν ἐκεῖ, ἀλλ' ἐπειδὴ συνομιλεῖ τὴ στιγμὴ αὐτὴ μὲ βάρβαρο, καὶ τὸν ἀπομακρύνει ἀπὸ τὴν γῆ, καὶ ὄχι ὅπως οἱ δικοί σας ποὺ περιορίζονται στὴ γῆ. «Καὶ γνώρισε στὸ βασιλιὰ Ναβουχοδονόσορ ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν κατὰ τοὺς τελευταίους χρόνους». Πρόσεχε, ὁμιλεῖ μὲ ὑπαινιγμοὺς καὶ περιλαμβάνει ἀπὸ τὴν ἀρχὴ στὸ λόγο του ὁλόκληρο τὸ περιεχόμενο τοῦ ὀνείρου, καὶ ἐλευθερώνει τὴ σκέψη αὐτοῦ, μὴ ἀναφέροντας τίποτε τὸ βαρετὸ καὶ δυσάρεστο.

4. «Τὸ ὄνειρό σου», λέγει, «καὶ οἱ ὀπτασίες ποὺ πέρασαν ἀπὸ τὸ μυαλό σου ἐνῶ βρισκόσουν στὸ κρεβάτι σου εἶναι οἱ ἑξῆς· Ἐνῶ δηλαδὴ βρισκόσουν ξαπλωμένος στὸ κρεβάτι σου σκεφτόσουν τί θὰ συμβεῖ στὸ μέλλον. Καὶ ἐκεῖνος ποὺ ἀποκαλύπτει τὰ μυστήρια σοῦ γνώρισε ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν». Ὁμιλεῖ σύμφωνα μὲ τὴ σκέψη τῶν πολλῶν, σὰν νὰ βρίσκονται τὰ ὄνειρα πέρα ἀπὸ τὸ κεφάλι, ἢ σὰν νὰ βρίσκεται ἐκεῖ τὸ λογικὸ καὶ οἱ ὀφθαλμοί, καὶ ὄχι στὸ κεφάλι, γιὰ νὰ πεῖ· 'Σὺ ἔδωσες τὴν ἀφορμή'. Οὔτε ἁπλῶς εἶπε, ὅτι 'ὁ Θεὸς σοῦ φανέρωσε', ἀλλὰ «Σκεφτόσουν τί πρόκειται νὰ συμβεῖ στὸ μέλλον». Ἐπειδὴ δηλαδὴ ἔγινε κυρίαρχος τῆς οἰκουμένης, σκεφτόταν ἂν θὰ μεταβιβάσει καὶ στὰ παιδιά του τὴ βασιλεία του αὐτή, ἢ θὰ πεθάνει. Διότι τὸ μέγεθος τῆς ἐξουσίας συνήθως μᾶς κάνει κατὰ κάποιο τρόπο νὰ λησμονοῦμε, ὅτι εἴμαστε θνητοί. Δικαιολογημένα λοιπόν, ἐπειδὴ αὐτὸς περιέπεσε μέσα στὸ πέλαγος τῶν κατορθωμάτων του, ἔφθασε στὸ σημεῖο νὰ μὴ πιστεύει ὅτι θὰ πεθάνει. Αὐτὸ βέβαια ἔπαθε καὶ ἄλλος βασιλιάς. Γι' αὐτὸ καὶ ἔλεγε πρὸς αὐτόν, «Σὺ δὲ εἶσαι ἄνθρωπος, ὄχι θεός»[3], ἀπευθυνόμενος πρὸς τὸ βασιλιὰ τῆς Τύρου. Καὶ πρόσεχε

ἐλέγχει. Οὐ γὰρ εἶπεν, ὅτι 'Τοῦτο ὑπώπτευσας', ἀλλά, «Τί δεῖ γενέσθαι μετὰ ταῦτα». Ταῦτα ἐνενόεις καὶ ἐλογίζου τί ἄρα ἔσται. «Ἐπὶ τῆς κοίτης σου». Ὅτε οὐδεὶς ὁ παρενοχλῶν, ἀλλ' ἐν ἡσυχίᾳ ἦν ἡ ψυχή, ὅτε μάλιστα τῶν λογισμῶν ὁ ὄχλος ἡμῖν ἐπεισέρχεται, τῇ τε ἡσυχίᾳ καὶ τῇ ἀργίᾳ ἀποχρώμενος. Διὰ τοῦτο τοῖς πολλοῖς ἔθος τὸν καιρὸν ἐκεῖνον εἰς εὐχὴν ἀναλίσκειν, ἅτε καὶ σχολαζούσης τῆς ψυχῆς, καὶ μεγάλης οὔσης τῆς βλάβης ἐὰν ῥαθυμήσωμεν.

«Καὶ ὁ ἀποκαλύπτων μυστήρια, ἐγνώρισέ σοι ἃ δεῖ γενέσθαι». Ὅρα, δεύτερον ἤδη τοῦ Θεοῦ μέμνηται, καὶ οὐχ ὡς ἔτυχεν, ἀλλ' ἐκεῖ μέν φησι, «Ὁ ὢν ἐν τῷ οὐρανῷ», ἐνταῦθα δέ, «Ὁ ἀποκαλύπτων μυστήρια». «Καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας τοὺς ζῶντας τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη, ἀλλ' ἕνεκεν τοῦ τὴν σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι, καὶ ἵνα γνῷς τοὺς διαλογισμοὺς τῆς καρδίας σου». Μονονουχὶ λέγων· Ἡ ἀρχὴ τῆς εὑρέσεως οὐ παρ' ἐμοῦ, ἀλλ' οὐδὲ αὐτὸ τοῦτο παρ' ἑτέρου μαθεῖν πλέον ἔχων τῶν ἄλλων. Οὐδὲ γὰρ ἐπειδὴ σοφὸν εἶδεν, τοῦτο ἐποίησεν. Εἰ γὰρ καὶ τούτων εἰρημένων παρ' αὐτοῦ, ὡς Θεὸν αὐτὸν προσεκύνησε, τί, εἰ μὴ τοῦτο ἦν; Ἀλλὰ διὰ σέ, φησίν. Οὐ σύ μοι χάριν ἔχειν ὀφείλεις, ἀλλ' ἐγὼ σοί· ἵνα γὰρ σὺ μάθῃς, ἔμαθον ἐγώ. Ὅρα πῶς αὐτὸν οἰκειοῖ πρὸς τὸν Θεόν, καὶ τὸ μέλλον θαῦμα περὶ αὐτὸν ἔσεσθαι, καὶ τὸ φίλτρον προλαβὼν ἀνατίθησι τῷ Θεῷ. Ὁ γὰρ μαθὼν ὅτι τιμῶν αὐτὸν ὁ Θεὸς τοῦτο ἐποίησεν, εὔδηλον ὅτι ᾠκειώθη ἂν αὐτῷ. Σὲ μᾶλλον ἐτίμησε, φησί, ἢ ἐμέ. Εἶδες πῶς ἀφιλότιμος ὁ νέος, πῶς οὐ πρότερον ἅπτεται τῶν ῥημάτων, ἕως ἂν ἀποστήσῃ αὐτὸν τοῦ μεγάλην περὶ αὐτοῦ δόξαν ἔχειν; Πῶς οὖν οὗτος ἐθήρα δόξαν, ὁ καὶ διδομένην αὐτὴν ἀποκρουόμενος; Καὶ οὐκ εἰ-

πῶς τὸν ἐλέγχει χωρὶς νὰ τὸν πληγώνει. Διότι δὲν εἶπε, ὅτι 'Σκέφθηκες αὐτό', ἀλλά, «Τί πρόκειται νὰ συμβεῖ στὸ μέλλον». Αὐτὰ σκεφτόσουν καὶ διαλογιζόσουν, τί δηλαδὴ θὰ συμβεῖ στὸ μέλλον. «Ἐνῶ ἤσουν ξαπλωμένος στὸ κρεβάτι σου». Ὅταν κανένας δὲν σὲ ἐνοχλοῦσε, ἀλλὰ βρισκόταν σὲ ἠρεμία ἡ ψυχή σου, ὅταν κατ' ἐξοχὴ εἰσέρχεται μέσα μας τὸ πλῆθος τῶν σκέψεων, ἐκμεταλλευόμενες καὶ τὴν ἡσυχία καὶ τὴν ἀργία. Γι' αὐτὸ πολλοὶ συνηθίζουν τὸν χρόνο ἐκεῖνο νὰ τὸν δαπανοῦν στὴν προσευχή, ἐπειδὴ καὶ ἀναπαύεται ἡ ψυχὴ καὶ μπορεῖ νὰ προξενηθεῖ μεγάλη βλάβη ἂν ἀδιαφορήσομε.

«Καὶ ἐκεῖνος ποὺ ἀποκαλύπτει τὰ μυστήρια, σοῦ γνώρισε ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν». Πρόσεχε, ὅτι γιὰ δεύτερη πλέον φορὰ θυμᾶται τὸ Θεό, καὶ ὄχι στὴν τύχη, ἀλλ' ἐκεῖ μὲν λέγει, «Ὁ ὁποῖος βρίσκεται στὸν οὐρανό», ἐδῶ δέ, «Ὁ ὁποῖος ἀποκαλύπτει τὰ μυστήρια». «Σὲ μένα δὲ φανερώθηκε αὐτὸ τὸ μυστήριο, ὄχι ἐπειδὴ ἔχω μεγαλύτερη σοφία ἀπὸ τοὺς ἄλλους σοφούς, ἀλλὰ γιὰ νὰ δώσω στὸ βασιλιὰ τὴν ἑρμηνεία τοῦ ὀνείρου, καὶ γιὰ νὰ πάρεις ἀπάντηση στὶς σκέψεις ποὺ βασανίζουν τὴν καρδιά σου». Εἶναι σὰν νὰ λέγει· Ἡ βάση τῆς ἐξηγήσεως δὲν ὀφείλεται σ' ἐμένα, ἀλλὰ καὶ οὔτε μπορῶ νὰ γνωρίσω αὐτὴν περισσότερο ἀπὸ κάποιον ἀπὸ τοὺς ἄλλους. Οὔτε βέβαια τὸ ἔκανε αὐτὸ ἐπειδὴ εἶδε ὅτι εἶναι σοφός. Διότι ἐάν, μόνο μὲ τὸ ὅτι λέχθηκαν αὐτὰ ἀπ' αὐτόν, τὸν προσκύνησε σὰν Θεό, τί θὰ μποροῦσε νὰ γίνει ἂν δὲν συνέβαινε μόνο αὐτό; Ἀλλὰ γιὰ σένα, λέγει. Δὲν πρέπει νὰ ὀφείλεις σὺ χάρη σὲ μένα, ἀλλ' ἐγὼ σὲ σένα· διότι ἐγὼ τὰ ἔμαθα μὲ σκοπὸ νὰ τὰ μάθεις ἐσύ. Πρόσεχε πῶς τὸν καθιστᾶ φίλο μὲ τὸ Θεό, καὶ ἀπὸ τὴν ἀρχὴ ἀποδίδει στὸ Θεὸ καὶ τὸ θαῦμα ποὺ πρόκειται νὰ συμβεῖ μ' αὐτὸν καὶ τὴν ἀγάπη τοῦ Θεοῦ. Διότι ἐκεῖνος ποὺ ἔμαθε ὅτι ὁ Θεὸς τὸ ἔκανε αὐτὸ τιμώντας αὐτόν, εἶναι ὁλοφάνερο ὅτι ἔγινε φίλος μὲ τὸ Θεό. Ἐσένα τίμησε περισσότερο, λέγει, παρὰ ἐμένα. Εἶδες πῶς ὁ νέος ἦταν ἀφιλόδοξος, πῶς δὲν ἀρχίζει προηγουμένως τὴν ἐξήγηση, μέχρι ποὺ ν' ἀπομακρύνει αὐτὸν ἀπὸ τὸ ν' ἀποδίδει σ' αὐτὸν μεγάλη τιμή; Πῶς λοιπὸν αὐτὸς ἐπιδίωκε τιμή, αὐτὸς ποὺ ἀπόφευγε καὶ ἐκείνη ποὺ τοῦ δινόταν; Καὶ δὲν εἶπε, 'ἐ-

πεν, ''Επειδὴ σέβω τὸν Θεόν, ἐπειδὴ θεραπεύω αὐτὸν μᾶλλον τῶν ἄλλων, ἀπεκαλύφθη ἐμοί', ἀλλ', «'Υπὲρ τοῦ σὲ μαθεῖν ὃ χρησιμώτατον ἦν». 'Εκεῖνο γὰρ καὶ μὴ εἰπόντος, ἠκολούθει τῇ διανοίᾳ ἀκουόντων.

5. «Σὺ βασιλεὺς ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία, ἡ εἰκὼν ἐκείνη μεγάλη, καὶ ἡ πρόσοψις αὐτῆς ὑπερφερὴς ἑστῶσα πρὸ προσώπου σου, καὶ ἡ ὅρασις αὐτῆς φοβερά. Εἰκὼν ἧς ἡ κεφαλὴ χρυσίου καθαροῦ, αἱ χεῖρες αὐτῆς καὶ τὸ στῆθος καὶ οἱ βραχίονες αὐτῆς ἀργυροῖ· ἡ κοιλία αὐτῆς καὶ οἱ μηροὶ χαλκοῖ· αἱ κνῆμαι σιδηραῖ· οἱ πόδες μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον». ''Ορα ποίας ὄψεως ἠξιώθη Ναβουχοδονόσορ. 'Επειδὴ γὰρ ἔμελλεν εἰς ἔθνη τὸ κήρυγμα διαδίδοσθαι, προανακρούεται τοῦτο ἄνωθεν τὴν ἐθνικὴν παράδοσιν, καὶ ἐν ἐθνικῇ τοῦτο ὁρᾶται, τοῦ ναοῦ καταλυθέντος, τῶν νομικῶν ἀνῃρημένων. Πλὴν διὰ 'Εβραίων ἑρμηνεύεται. Εἰ γὰρ καὶ εἰς ἐθνικοὺς ἔμελλε διαδίδοσθαι, ἀλλὰ διὰ 'Εβραίων ἀνδρῶν, τῶν ἀποστόλων. Τοῦτο καὶ ἐπὶ τοῦ Κορνηλίου γέγονε. Προλαμβάνει τὰ ἔθνη, καὶ οὐκ ἀκολουθεῖ. Οὕτω καὶ ἐνταῦθα τὴν εἰκόνα πρῶτος εἶδεν ὁ Ναβουχοδονόσορ, τὴν δὲ γνῶσιν πρῶτος εἶδε Δανιήλ. Καὶ ἵν' εἰδῇς ὅτι καὶ πρῶτοι καὶ ὕστεροι οἱ 'Ιουδαῖοι· πρῶτοι τὰ ἀγαθὰ ἔλαβον, ἀλλὰ οὐκ ᾔδεισαν ὅπερ ἔλαβον, ἵνα ἴσον γένηται. Οὕτω κἀκεῖ πρὸ τοῦ βαπτίσματος κατηξιώθησαν Πνεύματος. Οὕτω καὶ ἐπὶ 'Αβραὰμ πρώτη ἡ πληθὺς ἐκείνη τῶν ἐθνῶν, ὑστέρα δὲ ἡ περιτομή· ἀλλὰ διὰ περιτομῆς ἡ σωτηρία. Εἶπον ταῦτα μυριάκις οἱ προφῆται τοῖς 'Ιουδαίοις, καὶ εἰ μὴ πολλὴ παρ' ὑμῖν ἡ νωθεία, κἂν ἐξεκάλυψα, ποῦ καὶ πότε. 'Επειδὴ δὲ οὐ προσεῖχον, μεταβαίνει εἰς τὰ ἔθνη λοιπόν. 'Ακούοντες

4. Πρ. 10, 1-8.

πειδὴ τιμῶ τὸ Θεό, ἐπειδὴ λατρεύω αὐτὸν περισσότερο ἀπὸ τοὺς ἄλλους, γι' αὐτὸ φανερώθηκε σ' ἐμένα', ἀλλά, Γιὰ νὰ μάθεις ἐσὺ ἐκεῖνο ποὺ σοῦ ἦταν πάρα πολὺ ὠφέλιμο. Διότι ἐκεῖνο καὶ χωρὶς νὰ τὸ πεῖ, συμπεραινόταν ἀπὸ τὴ σκέψη τῶν ἀκροατῶν.

5. «Ἔβλεπες λοιπόν, βασιλιά μου, ὅτι ὑπῆρχε μπροστά σου ἕνα ἄγαλμα, πάρα πολὺ μεγάλο, τοῦ ὁποίου ἡ ὄψη ἦταν ὑπερβολικὰ ὑπέροχη, καὶ στεκόταν αὐτὸ ὄρθιο μπροστά σου, ἡ δὲ ὅλη ἐμφάνισή του προξενοῦσε φόβο. Τὸ κεφάλι τοῦ ἀγάλματος αὐτοῦ ἦταν ἀπὸ καθαρὸ χρυσάφι, τὰ χέρια, τὸ στῆθος καὶ οἱ βραχίονες ἦταν ἀπὸ ἄργυρο, ἡ κοιλιὰ καὶ οἱ μηροὶ ἀπὸ χαλκό, οἱ κνῆμες ἦταν σιδερένιες, καὶ τὰ πόδια ἦταν ἕνα μέρος σιδερένιο καὶ ἕνα μέρος ἀπὸ ὄστρακο». Πρόσεχε ποιὸ ὄνειρο ἀξιώθηκε νὰ δεῖ ὁ Ναβουχοδονόσορ. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο τὸ κήρυγμα νὰ διαδοθεῖ στὰ ἔθνη, προετοιμάζει αὐτὸ ἀπὸ τὴν ἀρχὴ τὴ διάδοσή του στοὺς ἐθνικούς, καὶ ἀποκαλύπτεται αὐτὸ σὲ χώρα τῶν ἐθνικῶν καὶ ἐνῶ εἶχε καταστραφεῖ ὁ ναὸς καὶ οἱ ἑρμηνευτὲς τοῦ νόμου εἶχαν ἐξολοθρευθεῖ. Πλὴν ὅμως ἑρμηνεύεται μὲ Ἑβραίους. Διότι, ἂν καὶ ἐπρόκειτο νὰ διαδοθεῖ στοὺς ἐθνικούς, ὅμως αὐτὸ θὰ γινόταν μὲ ἄνδρες Ἑβραίους, δηλαδὴ τοὺς ἀποστόλους. Αὐτὸ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Κορνηλίου[4]. Δέχεται τὸ κήρυγμα πρὶν ἀπὸ τὰ ἔθνη καὶ δὲν ἀκολουθεῖ αὐτά. Ἔτσι καὶ ἐδῶ πρῶτος εἶδε ὁ Ναβουχοδονόσορ τὸ ὄνειρο, τὴν ἑρμηνεία ὅμως πρῶτος τὴ γνώρισε ὁ Δανιήλ. Καὶ γιὰ νὰ γνωρίσεις ὅτι οἱ Ἰουδαῖοι ἔλαβαν τὴ γνώση καὶ πρῶτοι καὶ τελευταῖοι· πρῶτοι ἔλαβαν τὰ ἀγαθά, ἀλλὰ δὲν ἀντιλήφθηκαν ἐκεῖνο ποὺ ἔλαβαν, ὥστε ἔτσι νὰ ἐξισωθοῦν μὲ τοὺς ἐθνικούς. Ἔτσι καὶ ἐκεῖ πρὶν ἀπὸ τὸ βάπτισμα ἀξιώθηκαν νὰ λάβουν τὸ Πνεῦμα. Ἔτσι καὶ στὴν περίπτωση τοῦ Ἀβραὰμ προηγεῖται τὸ πλῆθος ἐκεῖνο τῶν ἐθνικῶν καὶ ἀκολουθεῖ ἡ περιτομή· ὅμως μὲ τὴν περιτομὴ δόθηκε ἡ σωτηρία. Τὰ προεῖπαν πολλὲς φορὲς αὐτὰ οἱ προφῆτες στοὺς Ἰουδαίους, καὶ ἂν δὲν ὑπῆρχε τόση μεγάλη ἀδιαφορία ἐκ μέρους σας θὰ ἐξηγοῦσα ποῦ καὶ πότε. Ἐπειδὴ λοιπὸν δὲν πρόσεχαν, μεταβαίνει πλέον στοὺς ἐ-

ἐκεῖνοι τούτων τῶν ρημάτων, κατέπτυον, ὁ ἐθνικὸς ἀκούσας προσεκύνησεν.

Ὅρα καὶ τὰ ἐπὶ Χριστοῦ διατυπούμενα. Ἡ Χανανῖτις προσκυνεῖ, οὗτοι οὐ ποιοῦσι τοῦτο, ἀλλ' ἐλαύνουσιν. Οὕτω καὶ ἐνταῦθα ἐκεῖνοι ἔδησαν τὸν Ἱερεμίαν, οὗτος προσεκύνησε τὸν Δανιήλ. Πάλιν Ἰουδαῖοι τοὺς ἀποστόλους ἀπελαύνουσιν, οἱ Ἕλληνες λέγουσιν, ὅτι «Οἱ θεοὶ κατέβησαν πρὸς ἡμᾶς». Ὅταν γὰρ ἡ κρίσις χωρὶς πάθους γίνηται, ἀδέκαστός ἐστι καὶ καθαρά. Ὁρᾷς τοὺς τύπους λάμποντας; Ἐν Βαβυλῶνι τὰ περὶ Χριστοῦ ἀκούεται, καὶ ἀκροατὴς ὁ βάρβαρος γίνεται, ἵνα μάθῃς ὅτι οὐ μόνον ἐθνικοί, ἀλλὰ καὶ βάρβαροι ταῦτα ἀκούσονται, ὥσπερ ὁ Παῦλός φησι· «Ὀφειλέτης εἰμὶ εὐαγγελίσασθαι Ἕλλησί τε καὶ βαρβάροις». Καὶ ἵνα μὴ ἀπογνῷς, τὰς ἐλπίδας ὑποτυποῦται. Τί γὰρ οὐκ ἦν κώλυμα; Ὁ τῦφος ὁ βασιλικός, ἡ φύσις αὐτὴ ἡ βαρβαρική, τὸ εὐτελὲς τοῦ λέγοντος (αἰχμάλωτος γὰρ ἦν), ἡ ἡλικία (νέος γάρ), τὸ τῆς θρησκείας ἀλλότριον. Οὐκ εἶπεν, 'Ἔδει σε προϊδεῖν τὰ σά, τὴν αἰχμαλωσίαν τῆς πόλεως· ἐκεῖνα ἠγνόησας καὶ ταῦτα προλέγεις;' Ἅπερ λέγουσιν οἱ ἀγνώμονες· 'ἔδει τὸν Χριστὸν ἀναστῆσαι ἑαυτόν'. Αὐτὸ τὸ λεγόμενον κατάλυσις τῆς βασιλείας αὐτοῦ ἦν, καὶ τῆς οἰκουμένης ἁπάσης συντέλεια. Καὶ ἐπίστευσε Ναβουχοδονόσορ. Οὐ γὰρ ἄν, εἰ μὴ ἐπίστευσεν, ἔθυσε τῷ Δανιήλ. Πιστεύει Ναβουχοδονόσορ, τινὲς δὲ ἀπιστοῦσι τοῦτο. Διὰ τοῦτο πολλαὶ προρρήσεις ἐγίνοντο. Εἰ μὴ ἐγένοντο ἐκεῖναι, μηδὲ ταύταις πίστευε. Ἵνα δὲ μὴ ἐπὶ πλέον ἀσαφῆ ποιῶ τὸν λόγον, φέρε τοῦτον ὑμῖν ἑρμηνεύσωμεν.

Πέντε εἶδεν ὕλας, χρυσόν, ἄργυρον, χαλκόν, σίδηρον, ὄστρακον. Εἶτα εἰκὼν πᾶσα ὁ χρόνος ἐστὶ καὶ ἡ ἀκολουθία τοῦ χρόνου. Καὶ καλῶς εἶπεν, «Εἰκών». Εἰκόνι γὰρ ἔοικε τὰ ἡμέτερα, εἰκόνι ἀψύχῳ. Καὶ καλῶς εἰκὼν ἀπὸ χρυσοῦ. Κα-

5. Ἱερ. 20, 1-2. 6. Πρ. 14, 11. 7. Ρωμ. 1, 14.

θνικούς. Ἀκούοντας ἐκεῖνοι τὰ λόγια αὐτὰ τοὺς περιφρονοῦσαν, ὅταν ὅμως τὰ ἄκουσε ὁ ἐθνικὸς προσκύνησε.

Πρόσεχε καὶ τὰ ὅσα λέγονται γιὰ τὸ Χριστό. Ἡ Χαναναία γυναίκα προσκυνεῖ τὸν Χριστό, ἐνῶ οἱ Ἰουδαῖοι δὲν τὸ κάμνουν αὐτό, ἀλλὰ τὸν διώχνουν. Ἔτσι καὶ ἐδῶ ἐκεῖνοι ἔδεσαν τὸν Ἰερεμία[5], αὐτὸς προσκύνησε τὸν Δανιήλ. Πάλι οἱ Ἰουδαῖοι διώχνουν τοὺς ἀποστόλους οἱ δὲ ἐθνικοὶ λένε, ὅτι, «Οἱ θεοὶ κατέβηκαν πρὸς ἐμᾶς»[6]. Διότι, ὅταν ἡ κρίση γίνεται χωρὶς πάθος, εἶναι ἀμερόληπτη καὶ καθαρή. Βλέπεις τοὺς τύπους ποὺ λάμπουν; Στὴ Βαβυλώνα ἀκούονται τὰ περὶ Χριστοῦ καὶ ἀκροατὴς γίνεται ὁ βάρβαρος γιὰ νὰ μάθεις ὅτι, ὄχι μόνο οἱ ἐθνικοί, ἀλλὰ καὶ οἱ βάρβαροι θὰ τ' ἀκούσουν αὐτά, ὅπως ἀκριβῶς λέγει καὶ ὁ Παῦλος· «Ὀφείλω νὰ κηρύξω τὸ εὐαγγέλιο καὶ στοὺς Ἕλληνες καὶ στοὺς βαρβάρους»[7]. Καὶ γιὰ νὰ μὴ κυριευθεῖς ἀπὸ ἀπελπισία, σοῦ δίνω ἀπὸ τὴν ἀρχὴ καὶ τὶς ἐλπίδες. Διότι ποιὸ ἦταν ἐκεῖνο ποὺ δὲν ἐμπόδιζε; Ἡ βασιλικὴ ἀλαζονεία, ἡ ἴδια ἡ βαρβαρικὴ φύση, τὸ ἀσήμαντο ἐκείνου ποὺ ἔλεγε ὅλα αὐτὰ (διότι ἦταν αἰχμάλωτος), ἡ ἡλικία (διότι ἦταν νέος), ἡ διαφορετικὴ θρησκεία. Δὲν εἶπε, 'ἔπρεπε σὺ νὰ προβλέψεις τὰ δικά σου, τὴν αἰχμαλωσία τῆς πόλεως· ἐκεῖνα τὰ ἀγνόησες καὶ προλέγεις αὐτά;'. Αὐτὰ ἀκριβῶς λένε οἱ ἀγνώμονες· '"Επρεπε ὁ Χριστὸς ν' ἀναστήσει τὸν ἑαυτό του'. Τὰ λόγια αὐτὰ ἀποτελοῦν κατάλυση τῆς βασιλείας τοῦ Χριστοῦ καὶ καταστροφὴ ὁλόκληρης τῆς οἰκουμένης. Καὶ πίστεψε ὁ Ναβουχοδονόσορ. Διότι δὲν θὰ ἦταν δυνατό, ἂν δὲν πίστευε, νὰ θυσιάσει πρὸς τιμὴ τοῦ Δανιήλ. Πιστεύει ὁ Ναβουχοδονόσορ, ἀλλὰ μερικοὶ δὲν πιστεύουν. Γι' αὐτὸ γίνονταν πολλὲς προρρήσεις. Ἐὰν δὲν ἔγιναν ἐκεῖνες, μὴ πιστεύεις οὔτε αὐτές. Ἀλλὰ γιὰ νὰ μὴ καθιστῶ γιὰ περισσότερο τὸ λόγο ἀσαφή, ἐμπρὸς νὰ σᾶς τὸν ἑρμηνεύσω.

Πέντε ὑλικὰ στοιχεῖα εἶδε, χρυσό, ἄργυρο, χαλκό, σίδερο καὶ ὄστρακο. Ἡ ὅλη δὲ εἰκόνα σημαίνει τὸν χρόνο καὶ ὅλα τὰ ἐπὶ μέρους τοῦ χρόνου. Καὶ πολὺ σωστὰ εἶπε. «Εἰκόνα». Διότι μὲ εἰκόνα μοιάζουν τὰ πράγματα τῆς ζωῆς μας, μὲ εἰκόνα ἄψυχη. Καὶ πολὺ σωστὰ εἶπε εἰκόνα ἀπὸ χρυσό. Διότι, ὅπως ἀκρι-

θάπερ γὰρ ὁ χρυσός, κἂν λαμπρὸς ᾖ, ἀπὸ γῆς ἐστιν, οὕτω καὶ ἡ φύσις ἡ ἡμετέρα, καὶ τὰ πράγματα. Καὶ ὅρα ὅτι κόνις λέγεται, ὅπερ ἦν πρὸ τούτου. Καίτοι τοῦτο λίθος οὐκ ἂν ἐργάσαιτο. Συντρίψαι μὲν δύναται λίθος, οὐσίαν δὲν μεταβαλεῖν οὐ δύναται. Ἀλλὰ τοῦτο γέγονεν. Εἶδες τὸ μυστήριον τῆς ἀναστάσεως. Καὶ γὰρ τῶν σωμάτων ἡμῖν πρότερον στοιχειωθέντων, καὶ πρὸς τὴν ἀρχαίαν ἐπανελθόντων φύσιν, τὴν γῆν λέγω, τότε ἡ φθορὰ ἐπεισέρχεται. Ταῦτα δὲ πάντα ὁ λίθος ποιεῖ. Ὥστε, ὅταν ἴδῃς τὴν εἰκόνα ἐκ διαφόρων συγκειμένην ὑλῶν, καὶ τὴν μὲν κεφαλὴν αὐτῆς λαμπράν, τὸ δὲ στῆθος φαυλότερον, καὶ τὴν γαστέρα ἀτιμοτέραν, καὶ τὰς κνήμας εὐτελεστέρας, τὴν διαφορὰν ταύτην περὶ τὴν ὄψιν νόμιζε. Μιᾶς γὰρ οὐσίας τὰ πάντα, καὶ μαρτυρεῖ τὸ τέλος, εἰς κόνιν ἅπαντα διαλῦον. Οὐ μικρὰ αὕτη φιλοσοφία. Ἐννόησον γὰρ τὴν φιλοσοφίαν ταύτην καὶ ἀπὸ τῶν παρόντων πραγμάτων, ἀπὸ τοῦ κρατοῦντος καταγαγὼν τὸν βασιλεύοντα, τὸν ὕπαρχον, τὸν μετ' ἐκεῖνον, τὸν χαλκόν, τοὺς μετὰ ταῦτα ὀστρακίνους, σιδηροῦς. Ἀλλ' ἐὰν εἰς τὴν σορὸν ἔλθῃς, κἂν μυριάκις κἀκεῖ βιάζωνται λάρνακα χρυσῆν κατασκευάζοντες, ὄψει τὴν φύσιν αὐτήν. Πάλιν νόει μοι τὸν πλούσιον, τὸν δέσμιον, ἐκεῖνον τὸν πλούσιον, τὸν πένητα μέχρι τοῦ ὀστράκου, καὶ ὄψει πάντα κόνιν. Ἀλλ' ὅρα. Οὐ πρότερον ἐφάνη πάντα κόνις ὄντα, ἕως ὁ λίθος κατέπεσεν.

«Ἐθεώρεις ἕως ἀπετμήθη λίθος ἀπὸ τοῦ ὄρους ἄνευ χειρῶν καὶ ἐπάταξε τὴν εἰκόνα καὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος. Τότε ἐλεπτύνθη εἰς ἅπαξ τὸ ὄστρακον, ὁ σίδηρος, ὁ χαλκός, καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς· καὶ ἐξῆρεν αὐτὰ τὸ πλῆθος τοῦ πνεύματος, καὶ τόπος οὐχ εὑρέθη αὐ-

βῶς ὁ χρυσός, καὶ ἂν ἀκόμα εἶναι λαμπρός, προέρχεται ἀπὸ τὴ γῆ, ἔτσι καὶ ἡ δική μας φύση καὶ τὰ πράγματα. Καὶ πρόσεχε ὅτι ὀνομάζεται σκόνη, πράγμα ποὺ ἦταν προηγουμένως. Ἂν καὶ βέβαια αὐτὸ ὁ λίθος δὲν θὰ μποροῦσε νὰ τὸ κάνει. Ὁ λίθος μπορεῖ μὲν νὰ καταστρέψει, ὅμως δὲν μπορεῖ νὰ μεταβάλει οὐσία. Ἀλλ' αὐτὸ συνέβηκε. Εἶδες τὸ μυστήριο τῆς ἀναστάσεως. Καθόσον τὰ σώματά μας, ἀφοῦ πρῶτα μεταβληθοῦν στὸ στοιχεῖο ἀπὸ τὸ ὁποῖο ἀποτελοῦνται καὶ ἐπιστρέψουν στὴν ἀρχική τους φύση, ἐννοῶ τή γῆ, τότε προκαλεῖται ἡ φθορά. Ὅλα δὲ αὐτὰ τὰ κάμνει ὁ λίθος. Ὥστε, ὅταν δεῖς τὴν εἰκόνα ν' ἀποτελεῖται ἀπὸ διάφορα ὑλικὰ στοιχεῖα, καὶ τὸ μὲν κεφάλι της νὰ εἶναι λαμπρό, τὸ στῆθος πιὸ ἀσήμαντο, ἡ κοιλιὰ κατώτερης ἀξίας, καὶ οἱ κνῆμες εὐτελέστερες, ν' ἀποδίδεις τὴ διαφορὰ αὐτὴ στὴν ἐμφάνιση μόνο. Διότι ὅλα προέρχονται ἀπὸ μία οὐσία, καὶ τὸ ἐπιβεβαιώνει αὐτὸ τὸ τέλος, ποὺ ὅλα τὰ μεταβάλλει σὲ σκόνη. Δὲν εἶναι αὐτὴ μικρὴ φιλοσοφία. Διότι σκέψου τὴ φιλοσοφία αὐτὴ καὶ ἀπὸ τὰ παρόντα πράγματα, ἀπὸ τὸ ὅτι ὁδήγησε στὴν ἀφάνεια τὸν βασιλιὰ ποὺ ἐξουσίαζε τὰ πάντα, τὸν ὕπαρχο, τὸν μετὰ ἀπὸ ἐκεῖνον, τὸν χαλκό, τοὺς στὴ συνέχεια ἐξουσιαστὲς τοὺς ὀστράκινους καὶ τοὺς σιδερένιους. Ἀλλ' ἐὰν ἔρθεις στὴ σορὸ τοῦ νεκροῦ, καὶ ἂν ἀκόμα καὶ ἐκεῖ καταβάλλονται ἀμέτρητες φροντίδες ὥστε νὰ κατασκευάσουν λάρνακα χρυσή, θὰ διαπιστώσεις ὅτι ἡ φύση εἶναι ἡ ἴδια. Πάλι σκέψου σὲ παρακαλῶ τὸν πλούσιο, τὸν φυλακισμένο, ἐκεῖνον τὸν πλούσιο, τὸν φτωχὸ μέχρι τὸ κόκκαλο, καὶ θὰ διαπιστώσεις ὅτι ὅλα εἶναι σκόνη. Ἀλλὰ πρόσεχε. Δὲν φάνηκε προηγουμένως ὅτι ὅλα εἶναι σκόνη, μέχρι ποὺ ἔπεσε ὁ λίθος.

«Ἔβλεπες τὴν εἰκόνα αὐτὴ μέχρι ποὺ κόπηκε, χωρὶς τὴ βοήθεια χεριῶν, ἕνας λίθος ἀπὸ κάποιο ὄρος καὶ χτύπησε τὴν εἰκόνα στὰ πόδια της τὰ σιδερένια καὶ τὰ ὀστράκινα καὶ τὰ κατέστρεψε τελείως. Τότε συντρίφτηκαν μαζὶ μὲ τὰ πόδια μέσα σὲ μιὰ στιγμὴ τὸ ὄστρακο, ὁ σίδηρος, ὁ χαλκός, ὁ ἄργυρος καὶ ὁ χρυσὸς καὶ ἔγιναν σὰν τὴ σκόνη τοῦ θερινοῦ ἁλωνιοῦ. Καὶ τὰ πῆρε καὶ τὰ σκόρπισε ἰσχυρὸς ἄνεμος, μὴ ἀφήνοντας ἴχνος ἀπὸ αὐτά». Δὲν ἔγινε δηλαδὴ προηγουμένως ἀντιληπτὴ ἡ

τοῖς». Οὐ γὰρ πρότερον ἐφάνη τῶν πραγμάτων ἡ φύσις, ἕως ὁ ἥλιος τῆς δικαιοσύνης ἀνέτειλεν, ὅτι ὁ χρυσὸς οὐ χρυσός. Ὅρα δὲ καὶ ἐν αὐτῷ τούτῳ οὐ μετὰ τὴν συντριβήν, ἀλλ' ἔτι ἑστώτων αὐτῶν, οὐδὲν δὲ τοῦτο ἐκείνου τιμιώτερον ὄν. Ὅρα καὶ τῇ ὄψει, καὶ τῷ χρόνῳ, καὶ τῇ ποιότητι ταῦτα ἐκείνων βελτίω. Διὰ γὰρ τοῦτο καὶ χρυσίον ἀπὸ γῆς ἐποίησεν ὁ Θεός, ἵνα μηδὲν μέγα περὶ αὐτοῦ φαντασθῇς.

Τίνος δὲ ἕνεκεν τὴν αὐτοῦ βασιλείαν καλεῖ χρυσῆν, τὴν δὲ τῶν Περσῶν ἀργυρᾶν, καὶ τὴν τῶν Μακεδόνων χαλκῆν, καὶ τὴν τῶν Ρωμαίων σιδηρᾶν καὶ ὀστρακίνην; Ὅρα καταλλήλους τὰς ὕλας. Ὁ γὰρ χρυσὸς πλούτου μέν ἐστι ἐμφαντικόν, ἀσθενὲς δέ, καὶ πρὸς ἀπάτην καὶ πρὸς κόσμον μᾶλλον καὶ φιλοτιμίαν ἐπιτήδειος. Οὕτω καὶ ἐκείνη ἡ βασιλεία ἡ τοῦ βαρβάρου. Πολὺ παρ' αὐτῷ τὸ χρυσίον ἦν· καὶ τοῖς βαρβάροις, ἐπειδὴ καὶ ἐκεῖ λέγονται εἶναι ὕλαι μεταλλικαί. Καὶ γὰρ παρὰ τῶν Σήρων πολὺς ὁ πλοῦτος, ἀλλ' ἄχρηστος. Κεφαλὴν δὲ ἐπέχει, ἐπειδὴ πρώτη ἐφάνη. Ἡ δὲ Περσῶν οὐχ οὕτως εὔπορος, ὥσπερ οὖν οὐδὲ Μακεδόνων, ἡ δὲ Ρωμαίων χρησιμωτέρα τε καὶ ἰσχυροτέρα, ὑστέρα μὲν τοῖς χρόνοις, διὸ καὶ ποδῶν τάξιν ἐπέχει. Ἔστι δὲ αὐτῆς τὰ μὲν ἀσθενῆ, τὰ δὲ ἰσχυρότερα.

Τοιοῦτο τὸ ἀλλόκοτον τῶν ἀνθρώπων. «Καὶ ὅταν πληθυνθῇ», φησίν, «ἡ ἀνομία ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν». Ἀγάπης δὲ ψυχομένης, ἀνάγκη ἔχθρας εἶναι καὶ πολέμους· τῶν ἐπιβουλευόντων ὄντων καὶ τῶν ἐχθρῶν, ἀνάγκη συνεῖναι τοὺς ἀνθρώπους ἀλλήλοις, ὥσπερ τῷ σιδήρῳ τὸν ὄστρακον. Καθάπερ μὲν ἐκεῖνα τῇ φύσει διέστηκεν, καὶ οὐκ ἂν ἀλλήλοις ὁμιλήσειεν, οὕτω καὶ ταῦτα. Τοῦτο καὶ

8. Σῆροι· ἔτσι ὀνομάζονταν ἀπὸ τοὺς Ἕλληνες καὶ Ρωμαίους οἱ λαοὶ τῆς Ἄπω Ἀνατολῆς.
9. Ματθ. 24, 12.

φύση τῶν πραγμάτων, μέχρι ποὺ ἀνέτειλε ὁ ἥλιος τῆς δικαιοσύνης, ὅτι δηλαδὴ ὁ χρυσὸς δὲν εἶναι χρυσός. Πρόσεχε δὲ καὶ σ' αὐτὴ τὴν ἴδια τὴν εἰκόνα, ὅτι ὄχι μετὰ τὴ συντριβή, ἀλλ', ἐνῶ αὐτὰ στέκονται ἀκόμα ὀρθια, κανένα ἀπὸ αὐτὰ δὲν εἶναι μεγαλύτερης ἀξίας ἀπὸ τὸ ἄλλο. Πρόσεχε ὅτι καὶ ὡς πρὸς τὴν ἐμφάνιση, αὐτὰ εἶναι καλύτερα ἀπὸ ἐκεῖνα, καὶ ὡς πρὸς τὸ χρόνο, καὶ ὡς πρὸς τὴν ποιότητα. Διότι γι' αὐτὸ καὶ ἔκανε ὁ Θεὸς τὸν χρυσὸ ἀπὸ τὴ γῆ, γιὰ νὰ μὴ σκεφθεῖς τίποτε τὸ σπουδαῖο γι' αὐτόν.

Ἀλλὰ γιὰ ποιὸ λόγο ὀνομάζει τὴ βασιλεία αὐτοῦ χρυσή, τὴ βασιλεία τῶν Περσῶν ἀργυρή, τὴ βασιλεία τῶν Μακεδόνων χάλκινη καὶ τὴ βασιλεία τῶν Ρωμαίων σιδερένια καὶ ὀστράκινη; Πρόσεχε τὴν καταλληλότητα τῶν ὑλικῶν στοιχείων. Διότι ὁ χρυσὸς εἶναι ἐνδεικτικὸς μὲν πλούτου, εἶναι ὅμως ἀνίσχυρο πράγμα καὶ κατάλληλος περισσότερο γιὰ ἀπάτη, γιὰ στολισμὸ καὶ γιὰ ἐπιδειξιμανία. Τέτοια ἦταν καὶ ἡ βασιλεία ἐκείνη, ἡ βασιλεία τῶν βαρβάρων. Ὑπῆρχε σ' αὐτὸν καὶ στοὺς βαρβάρους πολὺ χρυσάφι, ἐπειδή, ὅπως λέγεται, ὑπάρχουν καὶ ἐκεῖ μεταλλικὲς ὕλες. Καθόσον καὶ στοὺς Σήρους[8] ὑπάρχει πολὺς πλοῦτος, ἀλλ' εἶναι ἄχρηστος. Κατέχει δὲ τὴ θέση τῆς κεφαλῆς, ἐπειδὴ πρώτη φάνηκε. Ἡ βασιλεία τῶν Περσῶν ὅμως δὲν ἦταν τόσο πλούσια, ὅπως βέβαια οὔτε καὶ τῶν Μακεδόνων, ἐνῶ τῶν Ρωμαίων ἦταν καὶ χρησιμότερη καὶ ἰσχυρότερη, ἀλλὰ κυριάρχησε κατὰ τοὺς μετέπειτα χρόνους, γι' αὐτὸ καὶ κατέχει τὴ θέση τῶν ποδιῶν. Καὶ αὐτὴ ἀλλοῦ μὲν παρουσιάζεται ἀνίσχυρη, ἀλλοῦ δὲ ἰσχυρότερη.

Τέτοιο εἶναι τὸ ἀλλόκοτο τῶν ἀνθρώπων. «Καὶ ὅταν», λέγει, «Θ' αὐξηθεῖ ἡ κακία καὶ παρανομία θὰ ψυχρανθεῖ καὶ θὰ χαθεῖ ἡ ἀγάπη τῶν πολλῶν»[9]. Ὅταν δὲ ψυχρανθεῖ καὶ χαθεῖ ἡ ἀγάπη, ἀνάγκη εἶναι τότε νὰ συμβαίνουν ἐχθρότητες καὶ πόλεμοι· ὅταν ὑπάρχουν ἐκεῖνοι ποὺ ἐπιβουλεύονται τοὺς ἀνθρώπους καὶ οἱ ἐχθροί, ἀνάγκη εἶναι οἱ ἄνθρωποι νὰ σχετίζονται μεταξύ τους ὅπως ἀκριβῶς ὁ σίδηρος καὶ τὸ ὄστρακο. Ὅπως ἀκριβῶς ἐκεῖνα διαφέρουν ὡς πρὸς τὴ φύση τους καὶ δὲν θὰ ἦταν δυνατὸ νὰ συνενωθοῦν μεταξύ τους, ἔτσι καὶ αὐτά. Αὐ-

οἱ προφῆται καὶ οἱ ἀπόστολοι λέγουσι. Διὸ καὶ συντέλεια λοιπόν. Ὥσπερ γὰρ ἐπὶ Νῶε, τῆς κακίας ἐπιταθείσης, γέγονεν ὁ κατακλυσμός, οὕτω καὶ νῦν. Καὶ καθάπερ σῶμα κάμνον, ὅταν πρὸς τρυφὴν ἔλθῃ, τότε ἀπόλλυται, οὕτω καὶ ὁ κόσμος. Εἰ γάρ, ὅταν ὦσι πέντε δίκαιοι ἐν πόλει, φείδεται τῆς πόλεως, πολλῷ μᾶλλον καὶ ἐπὶ τοῦ κόσμου, ὅταν ὦσι καὶ κατὰ ἀναλογίαν.

6. «Καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγενήθη εἰς ὄρος μέγα, καὶ ἐπλήρωσεν πᾶσαν τὴν γῆν». «Λίθος», φησίν, «ἔπεσεν ἐξ ὄρους». Ὅρα πότε. Οὐχ ἡνίκα ἡ χρυσῆ, οὐδὲ ἡ ἀργυρᾶ, οὐδὲ ἡ χαλκῆ, ἀλλὰ ἡνίκα ὁ σίδηρος ἐφάνη, «Ἔπεσεν ἀπὸ ὄρους», φησί· τὸ ὑψηλὸν ἐμφαίνων, «Ἀπὸ ὄρους», εἶπεν. Ἀλλ' ἔμπροσθεν τοῦ βασιλέως ἔδειξεν, ὅτι περὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐστίν. «Ὁ δὲ λίθος ἀπὸ ὄρους ἔπεσε», φησί. Τὸ ἑκούσιον δείκνυσι, καὶ ὡς οὐκ ἀναγκασθείς· οὐ γὰρ εἶπεν, 'ἐρρίφη', ἀλλ', «Ἔπεσεν ἀπὸ τοῦ ὄρους»· καὶ τὸ ἀπροσδόκητον, καὶ μηδενὸς εἰδότος. «Καὶ ἐτμήθη ἄνευ χειρῶν». Τὴν κατὰ σάρκα γέννησιν αἰνίττεται. Εἶδεν ὄρος λέγειν καὶ γυναῖκας, ὡς ὅταν λέγῃ· «Ἐκ τοῦ βοθύνου οὗ ὠρύχθητε». Καὶ πολλαχοῦ δὲ λίθος λέγεται διὰ τὸ ἑδραῖον. «Ἐφ' ὃ δ' ἂν πέσῃ, λικμήσει αὐτόν», φησί, «ὥσπερ κονιορτὸν ἀπὸ ἅλωνος θερινῆς», τὸ ἀνυπόστατον ἐνταῦθα δηλῶν. «Καὶ ἐξῆρεν αὐτὰ πλῆθος τοῦ πνεύματος, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς». Οὕτω γὰρ λύονται αἱ βασιλεῖαι ὡς μηδὲ γενόμεναι. «Καὶ ἐγένετο ὁ λίθος εἰς ὄρος μέγα». Τὰ ἀποστολικὰ ῥήματα τὴν οἰκουμένην ἐπλήρωσεν ἅπασαν. Ποτὲ μὲν οὖν ὄρος ὁ λίθος, ποτὲ δὲ ἀκρογωνιαῖος, ποτὲ δὲ θεμέλιος, ἵνα μάθῃς ὅτι τὰ πάντα πληροῖ. Διὰ τοῦτο ὄρος, ὅτι τὰ πάντα

---

10. Ἡσ. 51, 1.   11. Λουκᾶ 20, 18.

τὸ λένε καὶ οἱ προφῆτες καὶ οἱ ἀπόστολοι. Γι' αὐτὸ καὶ θὰ ἔρθει πλέον ἡ συντέλεια τῶν πάντων. Διότι, ὅπως ἀκριβῶς στὶς ἡμέρες τοῦ Νῶε, ἐπειδὴ αὐξήθηκε ὑπερβολικὰ ἡ κακία, ἔγινε ὁ κατακλυσμός, ἔτσι καὶ τώρα. Καὶ ὅπως ἀκριβῶς σῶμα ἀσθενικό, ὅταν καταφύγει στὴ γεμάτη ἀπὸ ἀπολαύσεις ζωή, τότε καταστρέφεται, ἔτσι καὶ ὁ κόσμος. Διότι, ἐάν, ὅταν ὑπάρχουν πέντε δίκαιοι σὲ μιὰ πόλη, δείχνει ὁ Θεὸς τὴν εὐσπλαχνία του πρὸς ὁλόκληρη τὴν πόλη, πολὺ περισσότερο καὶ στὴν περίπτωση τοῦ κόσμου, ὅταν ὑπάρχουν σ' αὐτὸν δίκαιοι κατ' ἀναλογία τῆς πόλεως.

6. «Καὶ ὁ λίθος, ποὺ χτύπησε τὴν εἰκόνα, ἔγινε ὄρος μεγάλο καὶ γέμισε ὅλη τὴ γῆ». «Λίθος», λέγει, «ἔπεσε ἀπὸ ὄρος». Πρόσεχε πότε. Ὄχι ὅταν φάνηκε ἡ χρυσή, οὔτε ἡ ἀργυρή, οὔτε ἡ χάλκινη, ἀλλ' ὅταν φάνηκε ὁ σίδηρος. «Ἔπεσε», λέγει, «ἀπὸ ὄρος»· εἶπε «Ἀπὸ ὄρος», γιὰ νὰ δείξει τὸ ὑψηλό. Ἀλλὰ μπροστὰ στὸ βασιλιὰ ἔδειξε, ὅτι πρόκειται γιὰ τὰ ἀνθρώπινα πράγματα. «Ὁ δὲ λίθος», λέγει, «ἔπεσε ἀπὸ ὄρος». Δείχνει ὅτι ἀπὸ μόνος του ἔπεσε, χωρὶς νὰ ἐξαναγκάσθηκε· διότι δὲν εἶπε, 'ρίχτηκε', ἀλλ' «ἔπεσε ἀπὸ τὸ ὄρος»· καθὼς ἐπίσης δείχνει καὶ τὸ ἀπροσδόκητο καὶ χωρὶς νὰ τὸ γνωρίζει κανένας. «Καὶ ἀποκόπηκε χωρὶς ἐπέμβαση χεριῶν». Μὲ αὐτὸ ὑπαινίσσεται τὴν κατὰ σάρκα γέννηση τοῦ Χριστοῦ. Γνωρίζει ὄρος νὰ ὀνομάζει καὶ γυναῖκες, ὅπως ὅταν λέγει· «Ἀπὸ τὸν λάκκο ἀπὸ τὸν ὁποῖο ἔχετε ἀνορυχθεῖ»[10]. Καὶ σὲ πολλὲς δὲ περιπτώσεις ὀνομάζεται ὁ Χριστὸς λίθος, ἐξ αἰτίας τῆς σταθερότητάς του. «Σ' ὁποιον δὲ ἐπάνω πέσει θὰ τὸν μεταβάλει σὲ τρύμματα»[11], λέγει, «σὰν σκόνη θερινοῦ ἀλωνιοῦ», δηλώνοντας μὲ αὐτὸ ἐδῶ τὸ ἀνύπαρκτο. «Καὶ τὰ σήκωσε ἰσχυρὸς ἄνεμος καὶ τὰ σκόρπισε καὶ δὲν ἔμεινε ἴχνος ἀπὸ αὐτά». Ἔτσι δηλαδὴ ἐξαφανίζονται βασιλεῖες σὰν νὰ μὴ ὑπῆρξαν ποτέ. «Καὶ ἔγινε ὁ λίθος ἐκεῖνος μεγάλο ὄρος». Τὰ ἀποστολικὰ λόγια γέμισαν ὁλόκληρη τὴν οἰκουμένη. Ἄλλοτε δηλαδὴ ὁ λίθος ὀνομάζεται ὄρος, ἄλλοτε ἀκρογωνιαῖος καὶ ἄλλοτε θεμέλιος, γιὰ νὰ μάθεις ὅτι τὰ πάντα γεμίζει. Γι' αὐτὸ ὀνομάζεται ὄρος, διότι ἐμπερικλείει τὰ πάντα· γι' αὐτὸ

συνέχει· διὰ τοῦτο ἀκρογωνιαῖος, ὅτι τὰ πάντα ἐν αὐτῷ συνέστηκε. Διὰ τοῦτο θεμέλιος, καὶ ρίζα ἀμπέλου. «Ἐγὼ γάρ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα».

«Τοῦτό ἐστι τὸ ἐνύπνιον», φησί, «καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ βασιλέως. Σὺ βασιλεὺς βασιλέων. Σοὶ ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἰσχυρὰν καὶ κραταιὰν καὶ ἔντιμον ἔδωκεν ἐν παντὶ τόπῳ, ὅπου κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων· θηρία τε ἀγροῦ, καὶ πετεινὰ οὐρανοῦ ἔδωκεν ἐν τῇ χειρί σου, καὶ κατέστησέ σε κύριον πάντων». Ὅτε ἐπεδείξατο τοῦ Θεοῦ τὴν ἰσχύν, τότε μετὰ παρρησίας αὐτῷ καὶ τὸ κήρυγμα κηρύττει. Καὶ ὅρα μετὰ κολακείας ὅσης ἐνίησι τὸν λόγον, καὶ μετὰ τιμῆς. «Σὺ βασιλεύς», φησί, «βασιλέων. Σοὶ ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἰσχυρὰν καὶ κραταιὰν καὶ ἔντιμον ἔδωκεν ἐν παντὶ τόπῳ, ὅπου κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων· θηρία τε ἀγροῦ, καὶ πετεινὰ τοῦ οὐρανοῦ ἔδωκεν ἐν τῇ χειρί σου». Οὐ τῶν συγγενῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῆς ἐρήμου, καὶ τῶν ὑπὲρ κεφαλῆς ἄρχεις. Ὅρα πῶς ἐνεδείξατο τοῦ Θεοῦ τὴν δωρεὰν ἐκείνην τὴν ἐν ἀρχῇ γενομένην, «Καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ», ἵνα μάθῃς ὅτι καὶ τῆς ἐρήμου δημιουργὸς αὐτός, ὅτι καὶ θηρίων ποιητής, οὐχὶ τῶν ἡμέρων μόνον. Καὶ ἐν παντὶ τόπῳ, ὅπου κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων, σοὶ ἔδωκε τὴν βασιλείαν ὁ Θεὸς τοῦ οὐρανοῦ. Οὐκέτι φησί, «Ἔστι Θεὸς ἐν οὐρανῷ».

Ὅρα πῶς κατὰ μικρὸν εἰσάγει τὸ δόγμα. Πρῶτον εἶπεν, ὅτι ἐκεῖ οἰκεῖ, ἵνα μὴ περὶ τὴν γῆν αὐτὸν φαντασθῇ. Ἐπειδὴ δὲ ἐδέξατο τὸ δόγμα ἐκεῖνο, πάλιν αὐτὸν ἀφίστησι, καὶ τοῦτο δεικνύς, ὅτι δημιουργός ἐστιν αὐτοῦ τοῦ οὐρανοῦ, καὶ Δεσπότης καὶ Κύριος, οὐχὶ τόπον αὐτὸν ἔχων, ἀλλ' ἔργον αὐτοῦ τοῦτο. Εἰ γὰρ τοῦ οὐρανοῦ Κύριος, δύναται δοῦναί σοι τὴν γῆν. Αὐτὸς ἔλαβε τὸν οὐρανόν, καὶ σοὶ τὴν γῆν ἔδωκεν. Ὅπερ γάρ ἐστιν ἐκεῖνος ἐκεῖ, τοῦτο σὺ ἐπὶ τῆς γῆς,

12. Ἰω. 15, 5. 13. Γεν. 1, 28.

ὀνομάζεται ἀκρογωνιαῖος, διότι τὰ πάντα στηρίζονται καὶ συγκρατοῦνται ἀπ' αὐτόν. Γι' αὐτὸ καὶ θεμέλιος ὀνομάζεται, καθὼς καὶ ρίζα τῆς ἀμπέλου. Διότι, λέγει, «Ἐγὼ εἶμαι ἡ ἄμπελος, σεῖς δὲ τὰ κλήματα»[12].

«Αὐτὸ εἶναι», λέγει, «τὸ ὄνειρό σου καὶ τώρα θὰ δώσω τὴν ἑρμηνεία αὐτοῦ στὸ βασιλιά. Σὺ εἶσαι ὁ βασιλιὰς τῶν βασιλιάδων. Σὲ σένα ὁ Θεὸς τοῦ οὐρανοῦ ἔδωσε βασιλεία ἰσχυρή, δυνατὴ καὶ ἔνδοξη καὶ τιμημένη σὲ κάθε τόπο ποὺ κατοικοῦν ἄνθρωποι. Καὶ ἀκόμα ὑπέταξε σὲ σένα θηρία τῆς ὑπαίθρου καὶ πτηνὰ τοῦ οὐρανοῦ καὶ σὲ κατέστησε κύριο τῶν πάντων». Ἀφοῦ ἔδειξε τὴ δύναμη τοῦ Θεοῦ, τότε μὲ παρρησία πρὸς αὐτὸν κηρύσσει καὶ τὸ κήρυγμα. Καὶ πρόσεχε μὲ πόσα κολακευτικὰ λόγια ὑφαίνει τὸ λόγο καὶ μὲ πόση τιμή. «Σύ», λέγει, «εἶσαι βασιλιὰς τῶν βασιλιάδων. Σὲ σένα ὁ Θεὸς τοῦ οὐρανοῦ ἔδωσε βασιλεία ἰσχυρή, δυνατὴ καὶ ἔνδοξη καὶ τιμημένη σὲ κάθε τόπο στὸν ὁποῖο κατοικοῦν ἄνθρωποι· ἀκόμα καὶ τὰ θηρία τῆς ὑπαίθρου καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ ὑπέταξε σὲ σένα. Ἐξουσιάζεις ὄχι μόνο τοὺς συγγενεῖς σου ἀνθρώπους, ἀλλὰ καὶ τὴν ἔρημο καὶ ἐκεῖνα ποὺ βρίσκονται πάνω ἀπὸ τὸ κεφάλι σου. Πρόσεχε πῶς ἔδειξε τὴ δωρεὰ ἐκείνη τοῦ Θεοῦ ποὺ δόθηκε στὸν ἄνθρωπο ἀπὸ τὴν ἀρχή, «Καὶ νὰ ἐξουσιάζετε τὰ ψάρια τῆς θάλασσας καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ»[13], γιὰ νὰ μάθεις ὅτι αὐτὸς εἶναι δημιουργὸς καὶ τῆς ἐρήμου καὶ ποιητὴς τῶν θηρίων καὶ ὄχι μόνο τῶν ἡμέρων. Καὶ σὲ κάθε τόπο, στὸν ὁποῖο κατοικοῦν ἄνθρωποι, σὲ σένα ἔδωσε τὴ βασιλεία ὁ Θεὸς τοῦ οὐρανοῦ. Δὲν λέγει ἀκόμα, «Ὑπάρχει Θεὸς στὸν οὐρανό».

Πρόσεχε πῶς σιγὰ σιγὰ εἰσάγει τὸ δόγμα. Πρῶτα εἶπε, ὅτι κατοικεῖ ὁ Θεὸς ἐκεῖ, γιὰ νὰ μὴ σκεφθεῖ ὅτι βρίσκεται στὴ γῆ. Ἀφοῦ δὲ δέχθηκε ἐκεῖνο τὸ δόγμα, πάλι ἀπομακρύνει αὐτόν, καὶ αὐτὸ γιὰ νὰ δείξει, ὅτι δημιουργὸς εἶναι καὶ τοῦ ἴδιου τοῦ οὐρανοῦ καὶ Δεσπότης καὶ Κύριος, ἔχοντας αὐτὸν ὄχι τόπο κατοικίας του, ἀλλὰ καὶ αὐτὸς εἶναι ἔργο αὐτοῦ. Διότι, ἐὰν εἶναι Κύριος τοῦ οὐρανοῦ, μπορεῖ νὰ σοῦ δώσει τὴ γῆ. Αὐτὸς ἔλαβε τὸν οὐρανὸ καὶ σὲ σένα ἔδωσε τὴ γῆ. Ἐκεῖνο δηλαδὴ ποὺ εἶναι ἐκεῖνος ἐκεῖ, αὐτὸ εἶσαι σὺ ἐπάνω στὴ γῆ, δηλαδὴ εἶσαι ἀνώτε-

πάντων ἀνώτερος, πάντων ἄρχων, πάντων κεφαλή. Καὶ τῶν ἐπὶ τῆς γῆς σοι πλέον ἔδωκεν, κεφαλήν σε ποιήσας, καὶ χρυσῆν δείξας σου τὴν βασιλείαν, χρυσίου καθαροῦ. «Σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ. Καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἑτέρα ἥττων σου, ἥ ἐστιν ἄργυρος· καὶ βασιλεία τρίτη, ἥ ἐστιν ὁ χαλκός, ἣ κυριεύσει πάσης τῆς γῆς». Τοιαύτη γὰρ ἡ Μακεδόνων ἐγένετο. «Καὶ βασιλεία τετάρτη, ἥτις ἐστὶν ἰσχυρὰ ὡς ὁ σίδηρος. Ὃν τρόπον γὰρ λεπτύνει ὁ σίδηρος καὶ δαμάζει πάντα, οὕτω πάντα λεπτυνεῖ καὶ δαμάσει». Καὶ τετάρτη, φησίν, ἡ Ρωμαίων. Οὐ λέγει δὲ τὰ ὀνόματα. Τίνος ἕνεκεν; ἢ μὴ γὰρ ἂν σαφέστερον τὸν λόγον ἐποίησεν, ὥστε μὴ πολλοὺς ἀφανίσαι τὰ βιβλία.

«Καὶ ὅτι εἶδες τοὺς πόδας, καὶ τοὺς δακτύλους, μέρος μέν τι ὀστράκινον, μέρος δέ τι σιδηροῦν, βασιλεία διῃρημένη ἔσται, καὶ ἀπὸ τῆς ρίζης τῆς σιδηρᾶς ἔσται ἐν αὐτῇ, ὃν τρόπον εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ τῷ πηλίνῳ. Καὶ οἱ δάκτυλοι τῶν ποδῶν μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον, μέρος τῆς βασιλείας ἔσται ἰσχυρόν, καὶ ἀπ' αὐτῆς ἔσται συντριβόμενον. Καὶ ὅτι εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ τῷ πηλίνῳ, συμμιγεῖς ἔσονται ἐν σπέρματι τῶν ἀνθρώπων, καὶ οὐκ ἔσονται προσκολλώμενοι, καθὼς ὁ σίδηρος οὐκ ἀναμίγνυται μετὰ τοῦ ὀστράκου». Πότε τοῦτο ἐπὶ Ρωμαίων γέγονεν; Ὁρᾷς καὶ βασιλείας γενομένας τοιαύτας; Οὐχὶ ἀπὸ βασιλικοῦ γένους ἅπαντας, ἄλλως δὲ καὶ ἀπίστως πολλοὺς διακειμένους.

7. «Καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται· καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται· λεπτυνεῖ καὶ λικμήσει πάσας τὰς βασιλείας·

ρος ἀπὸ ὅλους, ἄρχοντας ὅλων, καὶ κεφαλὴ ὅλων. Καὶ ἀπὸ τοὺς βασιλεῖς τῆς γῆς σὲ σένα ἔδωσε κάτι περισσότερο, διότι σὲ ἔκανε κεφαλὴ καὶ ἔδειξε τὴ βασιλεία σου χρυσή, χρυσοῦ μάλιστα καθαροῦ. «Σὺ εἶσαι ἡ κεφαλὴ ἡ χρυσή. Μετὰ ἀπὸ σένα θὰ ἔρθει ἄλλη βασιλεία κατώτερη ἀπὸ τὴ δική σου, ποὺ συμβολίζεται μὲ τὸν ἄργυρο, καὶ μετὰ θὰ ἔρθει τρίτη βασιλεία, ποὺ συμβολίζεται μὲ τὸν χαλκὸ καὶ ἡ ὁποία θὰ κυριεύσει ὁλόκληρη τὴ γῆ». Πράγματι τέτοια ὑπῆρξε τῶν Μακεδόνων. «Μετὰ ἀπὸ αὐτὴ θὰ ἔρθει τέταρτη βασιλεία, ποὺ θὰ εἶναι ἰσχυρὴ σὰν τὸ σίδερο. Ὅπως δηλαδὴ τὸ σίδερο συντρίβει καὶ δαμάζει τὰ πάντα, ἔτσι θὰ συντρίψει καὶ θὰ δαμάσει αὐτὴ τὰ πάντα». Καὶ τέταρτη βασιλεία, λέγει, θὰ εἶναι ἡ τῶν Ρωμαίων. Ὅμως δὲν ἀναφέρει τὰ ὀνόματα. Γιὰ ποιὸ λόγο τὸ κάνει αὐτό; Δὲν ἔκανε σαφέστερο τὸ λόγο, μὲ σκοπὸ νὰ μὴ ἐξαφανίσουν οἱ πολλοὶ ἄνθρωποι τὰ βιβλία μαθαίνοντας αὐτό.

«Εἶδες δὲ τὰ πόδια καὶ τὰ δάχτυλα νὰ εἶναι ἐν μέρει μὲν ὀστράκινα, ἐν μέρει δὲ σιδερένια, καὶ αὐτὸ σημαίνει ὅτι ἡ βασιλεία θὰ εἶναι διηρημένη καὶ χωρὶς ἑνότητα. Καὶ στὴν ἴδια τὴ σιδερένια βάση της ἀκόμα δὲν θὰ ὑπάρχει ἑνότητα, ὅπως εἶδες τὸ σίδερο νὰ εἶναι ἀναμιγμένο μὲ τὸ πήλινο ὄστρακο. Καὶ τὰ δάχτυλα τῶν ποδιῶν ἐν μέρει μὲν ἦταν σιδερένια, ἐν μέρει δὲ πήλινα, ποὺ σημαίνει αὐτὸ ὅτι ἕνα μέρος τῆς βασιλείας αὐτῆς θὰ εἶναι ἰσχυρό, ἐνῶ τὸ ἄλλο θὰ εἶναι εὐκολόθραυστο. Καὶ τὸ ὅτι εἶδες τὸ σίδερο νὰ εἶναι ἀναμιγμένο μὲ τὸ πήλινο ὄστρακο, σημαίνει ὅτι θὰ εἶναι ἀνακατεμένοι οἱ λαοὶ ποὺ θ' ἀποτελοῦν αὐτὴ τὴ βασιλεία, χωρὶς νὰ ἔχουν στενὴ ἑνότητα ἀναμεταξύ τους, ὅπως δηλαδὴ τὸ σίδερο ποὺ δὲν ἀναμιγνύεται μὲ τὸν πηλὸ γιὰ ν' ἀποτελέσει μία ἑνότητα». Πότε συνέβηκε αὐτὸ κατὰ τὴ διάρκεια τῆς βασιλείας τῶν Ρωμαίων; Βλέπεις ὅτι ὑπῆρξαν καὶ τέτοιες βασιλεῖες; Δὲν προέρχονταν ὅλοι ἀπὸ βασιλικὸ γένος, ἄλλωστε δὲ καὶ πολλοὶ δὲν ἔδειχναν ὑπακοὴ σ' αὐτές.

7. «Καὶ κατὰ τὶς ἡμέρες τῶν βασιλέων ἐκείνων τῆς τέταρτης βασιλείας ὁ Θεὸς τοῦ οὐρανοῦ θ' ἀναδείξει μιὰ ἄλλη βασιλεία, ἡ ὁποία δὲν θὰ καταστραφεῖ στοὺς αἰῶνες, καὶ ἡ βασιλεία αὐτὴ δὲν θὰ παραχωρήσει τὴ θέση της σὲ ἄλλο λαό· θὰ συντρί-

καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας». Ἄγε μοι τοὺς Ἰουδαίους ἐνταῦθα. Τί ἂν εἴποιεν περὶ τῆς προφητείας ταύτης; Οὐ γὰρ δή που περὶ ἀνθρωπίνης ταῦτα θέμις εἰπεῖν, ὅτι ἄπειρος ἔσται ἡ βασιλεία, ἀλλ' εἰκὸς εἶναί τινα, περὶ οὗ ταῦτα λέλεκται. Εἰ δὲ λέγοις, περὶ τοῦ Πατρὸς εἰρῆσθαι, ἀλλ' ἄκουε τί φησι· «Ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων», τῶν Ρωμαίων δηλονότι. Ἄλλως δὲ εἰ λέγοιεν, Καὶ πῶς τὸν χρυσὸν συνέτριψε, τὴν Βαβυλωνίων βασιλείαν πάλαι κατασκευασθεῖσαν; πῶς δὲ τὸν ἄργυρον, τὴν Περσῶν; πῶς δὲ τὸν χαλκόν, τὴν Μακεδόνων, ταῦτα γὰρ πάλαι ἐγένετο, καὶ τέλος ἔλαβεν'.

Ἀλλὰ μὴ θαυμάσῃς, ἀγαπητέ. Εἰ γὰρ ὁ Παῦλος οὐκ ἐτόλμησε φανερῶς εἰπεῖν, ἀλλ', «Ἕως οὗ ὁ κατέχων», φησί, «ἐκ μέσου γένηται», πολλῷ μᾶλλον ὁ προφήτης. Τί γὰρ ὄφελος, εἰπέ μοι, ἀπὸ τοῦ φανερῶς εἰπεῖν ἐγίνετο; Εἰ δὲ λέγοιεν, 'Πῶς συνέτριψε τὸν χαλκόν, τὸν σίδηρον; τοῦτο κοινὸν ἔσται τὸ ζήτημα· καὶ γὰρ ἐπ' αὐτῶν ὁμοίως διαπορήσεται, 'πῶς τὰς ἤδη σβεσθείσας βασιλείας καθαιρεῖ;'. Ἀλλὰ τὸ καθαιρεῖν ἑτέρας, ἐν αἷς αἱ τοιαῦταί εἰσιν, εἰκότως ἐμποιεῖ. Ἄλλως δὲ λανθανόντως τοῦτο εἰργάζετο, καὶ πρὸ τούτου Θεὸς ὤν, καὶ οὐ τότε φανείς, ὥστε εἰκότως ἀμφισβητοῖτε. Εἰ δὲ βούλοιτό τις καὶ ἐν τῷ παρόντι καιρῷ λάμβάνειν τὴν προφητείαν, οὐκ ἂν ἁμαρτήσεται. Καὶ γὰρ καὶ νῦν συνέτριψε τὰς βασιλείας, τὸν τῦφον Μακεδόνων τὸ κῦρος. Ὅταν γὰρ ἴδῃς μάρτυρας, ἵνα τὸ πρόσταγμα ἐκείνου πληρωθῇ, τοῦτο ποιοῦντας, καὶ πολλῷ μᾶλλον τὸν θάνατον ὑπομένοντας, ὄψει αὐτοῦ τὴν βασιλείαν, καὶ πῶς τὴν γῆν ἐνέπλησεν. Εἶδες προφητείας. Εἰ μὴ ἐξέβη τὰ ἐπ' ἐκείνων, μηδὲ τῇ συντελείᾳ πίστευε.

---

14. Β' Θεσ. 2, 7.

ψει δὲ καὶ θὰ διασκορπίσει, ὅπως κατὰ τὸ λίχνισμα, ὅλες τὶς ἄλλες βασιλεῖες, καὶ θὰ ὑψωθεῖ αὐτὴ καὶ θὰ παραμείνει αἰώνια». Φέρε μου ἐδῶ τοὺς Ἰουδαίους. Τί θὰ μποροῦσαν νὰ ποῦν γιὰ τὴν προφητεία αὐτή; Διότι βέβαια ὁπωσδήποτε δὲν εἶναι δυνατὸ νὰ ποῦν ὅτι αὐτὰ λέγονται γιὰ ἀνθρώπινη βασιλεία, διότι ἡ βασιλεία αὐτὴ θὰ εἶναι ἀπέραντη, ἀλλὰ φυσικὸ εἶναι νὰ ὑπάρχει κάποιος γιὰ τὸν ὁποῖο ἔχουν λεχθεῖ αὐτά. Ἐὰν ὅμως ἔλεγες, ὅτι λέχθηκαν γιὰ τὸν Πατέρα, ὅμως ἄκουε τί λέγει· «Κατὰ τὶς ἡμέρες τῶν βασιλέων ἐκείνων», δηλαδὴ τῶν Ρωμαίων. Ἐξ ἄλλου δὲ ἐὰν ἔλεγαν, 'Καὶ πῶς συνέτριψε τὸν χρυσό, δηλαδὴ τὴ βαβυλώνια βασιλεία ποὺ ὑπῆρξε προηγουμένως; πῶς δὲ τὸν ἄργυρο, δηλαδὴ τὴ βασιλεία τῶν Περσῶν; πῶς τὸν χαλκό, δηλαδὴ τὴ βασιλεία τῶν Μακεδόνων; διότι οἱ βασιλεῖες αὐτὲς ὑπῆρξαν παλαιότερα καὶ ἔλαβε τέλος ἡ κυριαρχία τους'.

Ἀλλὰ μὴ ἀπορήσεις, ἀγαπητέ. Διότι, ἐὰν ὁ Παῦλος δὲν τόλμησε νὰ πεῖ φανερά, ἀλλ' εἶπε, «Μέχρι πού», λέγει, «ἐκεῖνος ποὺ ἐμποδίζει νὰ φύγει ἀπὸ τὸ μέσο»[14], πολὺ περισσότερο ὁ προφήτης. Διότι πές μου, ποιὰ ὠφέλεια προέκυπτε ἀπὸ τὸ νὰ τὰ πεῖ φανερά; Διότι, ἐὰν λέγει κάποιος, 'Πῶς συνέτριψε τὸν χαλκό, πῶς τὸ σίδερο;', κατὰ τὸν ἴδιο τρόπο θ' ἀπορήσει καὶ γι' αὐτὸ καὶ θὰ ρωτήσει, 'πῶς θὰ καταστρέψει τὶς βασιλεῖες ποὺ ἤδη ἔσβησαν καὶ ἐξαφανίσθηκαν;'· διότι αὐτὸ θὰ εἶναι τὸ ἴδιο πράγμα. Ὅμως τὸ νὰ καταστρέφει ἄλλες, μεταξὺ τῶν ὁποίων εἶναι καὶ αὐτές, αὐτὸ πολὺ δίκαια τὸ κάμνει. Ἄλλωστε δὲ αὐτὸ τὸ ἔκαμνε κρυφά, καὶ ἦταν πρὶν ἀπὸ αὐτὸ Θεός, καὶ δὲν παρουσιάσθηκε τότε, ὥστε πολὺ σωστὰ ν' ἀμφισβητεῖται. Ἂν ὅμως κάποιος θὰ ἤθελε κατὰ τὸν παρόντα καιρὸ νὰ ἐφαρμόσει τὴν προφητεία, δὲν θὰ σφάλει. Καθόσον καὶ τώρα συνέτριψε τὶς βασιλεῖες, τὴν ἀλαζονεία τῶν Μακεδόνων καὶ τὴν κυριαρχία αὐτῶν. Διότι ὅταν δεῖς μάρτυρες νὰ κάμνουν αὐτό, μὲ σκοπὸ νὰ ἐκπληρωθεῖ τὸ πρόσταγμα ἐκείνου, καὶ πολὺ περισσότερο νὰ ὑπομένουν τὸ θάνατο, θ' ἀντιληφθεῖς τὴ βασιλεία αὐτοῦ καὶ πῶς ἅπλωσε αὐτὴν σ' ὅλη τὴ γῆ. Εἶδες προφητεῖες. Ἂν δὲν πραγματοποιήθηκαν τὰ λεγόμενα ἀπὸ ἐκεῖνες, μὴ πιστεύεις τότε καὶ στὴ συντέλεια.

Εἶτα ἐπάγει· «Ὃν τρόπον εἶδες, ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον, τὸν σίδηρον, τὸν χαλκόν, τὸν ἄργυρον, τὸν χρυσόν, ὁ Θεὸς ἐγνώρισε τῷ βασιλεῖ ἃ δεῖ γενέσθαι μετὰ ταῦτα. Καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ». Ὅρα πῶς πιστοῦται τὰ λεχθέντα, ἀπὸ τῶν φανερῶν τὰ ἀφανῆ, τὸ μονονουχὶ λέγων, εἰπὼν τὸ ἐνύπνιον, πίστευε τῇ συγκρίσει. Τί οὖν ὁ βασιλεύς; «Τότε», φησίν, «ὁ βασιλεὺς Ναβουχοδονόσορ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ τῷ Δανιὴλ προσεκύνησεν, καὶ μάννα καὶ εὐωδίαν εἶπεν σπεῖσαι αὐτῷ». Εὐθέως οὕτως ἐπιστεύθη. Καὶ εἰκότως εἶπε, μάννα καὶ εὐωδίαν σπεῖσαι αὐτῷ. Εἶδες θαῦμα μέγιστον; Εἶδες πῶς ἔθος τοῖς Ἕλλησιν ἀπὸ ἀνθρώπων θεοὺς ποιεῖν; Ὥστε ὅταν λέγωσι, 'Πόθεν ἡ εἰδωλολατρία;' μάνθανε τὴν ἀρχήν. Οὕτω καὶ τοὺς ἀποστόλους ἐξ ἀνθρώπων ἐποίουν θεούς. Οὕτω καὶ ὁ διάβολος ἐφιλονείκησε παρὰ τὴν ἀρχὴν τὴν ἀσέβειαν εἰσαγαγεῖν, λέγων· «Ἔσεσθε ὡς θεοί». Καὶ ἐπειδὴ τότε οὐκ ἴσχυσεν, ὕστερον ἐπιχειρεῖ, πανταχοῦ φιλονεικῶν τὴν πολυθεΐαν εἰσαγαγεῖν.

«Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπε τῷ Δανιήλ· Ἐπ' ἀληθείας οἶδα ὅτι ὁ Θεὸς ὑμῶν αὐτός ἐστι Θεὸς ζῶν, καὶ Κύριος τῶν βασιλέων». Ἀπὸ τούτου μόνου οὕτως εὐθέως ἐπίστευσεν, οἱ δὲ Ἰουδαῖοι μυρία τοιαῦτα ἀκούοντες οὐ προσεῖχον. Ὁρᾷς πῶς σοι δείκνυσι τῶν ἐθνῶν εὐγνωμοσύνην; Ἐπειδὴ γὰρ ὁ καιρὸς παρεγένετο λοιπόν, καθ' ὃν ἔδει τὸ κήρυγμα εἰς ἐκείνους ἐξενεχθῆναι, προλαμβάνων ἀπολογεῖται διὰ τῶν προγόνων αὐτῶν, ὅτι οὐ μάτην, οὐδὲ ἁπλῶς ἐκείνους τούτων προτιμᾷ.

---

15. Πρ. 14, 11. 16. Γεν. 3, 5.

Στὴ συνέχεια προσθέτει· «Ὅπως εἶδες, ὅτι κόπηκε ἕνας λίθος χωρὶς τὴν ἐπέμβαση χεριῶν καὶ συνέτριψε τὸ ὄστρακο, τὸ σίδερο, τὸν χαλκό, τὸν ἄργυρο καὶ τὸν χρυσό, ἔτσι ὁ Θεὸς γνώρισε στὸ βασιλιὰ ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν στὸ μέλλον. Καὶ εἶναι ἀληθινὸ τὸ ὄνειρο καὶ ἀκριβὴς καὶ σωστὴ ἡ ἑρμηνεία του». Πρόσεχε πῶς ἐπιβεβαιώνει τὰ λεχθέντα, ἀπὸ τὰ φανερὰ τὰ ἄγνωστα, καὶ εἶναι σὰν νὰ λέγει· Σοῦ εἶπα καὶ σοῦ ἐξήγησα τὸ ὄνειρο, πίστευε σὺ στὴν ἐξήγηση. Τί λοιπὸν κάμνει ὁ βασιλιάς; «Τότε», λέγει, «ὁ βασιλιὰς Ναβουχοδονόσορ ἔπεσε μὲ τὸ πρόσωπό του πρὸς τὴ γῆ καὶ προσκύνησε τὸν Δανιὴλ καὶ διέταξε νὰ προσφέρουν πρὸς χάρη αὐτοῦ ἀναίμακτες θυσίες καὶ εὐώδη θυμιάματα». Ἀμέσως τόσο πολὺ πίστεψε. Καὶ πολὺ ὀρθὰ διέταξε νὰ προσφέρουν πρὸς χάρη του ἀναίμακτες θυσίες καὶ εὐώδη θυμιάματα. Εἶδες θαῦμα μέγιστο. Εἶδες πῶς ὑπῆρχε συνήθεια στοὺς Ἐθνικοὺς νὰ θεοποιοῦν ἀνθρώπους. Ὥστε ὅταν λένε, ''Ἀπὸ ποῦ προῆλθε ἡ εἰδωλολατρία;' μάθαινε τὴν ἀρχή. Κατὰ τὸ ἴδιο τρόπο καὶ τοὺς ἀποστόλους, ἂν καὶ ἦταν ἄνθρωποι, τοὺς θεοποιοῦσαν[15]. Κατὰ τὸν ἴδιο δὲ τρόπο καὶ ὁ διάβολος κατέβαλε ἀπὸ τὴν ἀρχὴ μεγάλες προσπάθειες νὰ εἰσαγάγει στοὺς ἀνθρώπους τὴν ἀσέβεια, λέγοντας· «Θὰ γίνετε σὰν θεοί»[16]. Καὶ ἐπειδὴ τότε δὲν τὸ κατόρθωσε, ἐπιχειρεῖ αὐτὸ νὰ τὸ κάνει ἀργότερα, φιλονεικώντας πάντοτε νὰ εἰσαγάγει τὴν πολυθεΐα.

«Καὶ ἀποκρίθηκε ὁ βασιλιὰς καὶ εἶπε στὸν Δανιήλ· Πράγματι βεβαιώθηκα ὅτι ὁ Θεός σας αὐτὸς εἶναι ὁ ζωντανὸς Θεὸς καὶ ὁ Κύριος τῶν βασιλέων». Ἀπὸ αὐτὸ μόνο τόσο πολὺ πίστεψε αὐτὸς ἀμέσως, ἐνῶ οἱ Ἰουδαῖοι, ἂν καὶ ἄκουαν ἀμέτρητα τέτοια, δὲν πρόσεχαν. Βλέπεις πῶς σοῦ δείχνει τὴν εὐγνωμοσύνη τῶν ἐθνικῶν; Ἐπειδὴ δηλαδὴ ὁ καιρὸς πλησίαζε πλέον, κατὰ τὸν ὁποῖο ἔπρεπε τὸ κήρυγμα ν' ἀκουσθεῖ σ' ἐκείνους, προλαβαίνοντας ἀπολογεῖται πρὸς χάρη τῶν προγόνων αὐτῶν, ὅτι δηλαδὴ δὲν προτιμᾶ ἄσκοπα καὶ χωρὶς λόγο ἐκείνους ἀπὸ αὐτούς.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

«Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν. Ὕψος αὐτῆς πηχέων ἑξήκοντα, καὶ εὖρος αὐτῆς πηχέων ἕξ· ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεηρᾷ ἐν χώρᾳ Βαβυλῶνος. Καὶ Ναβουχοδονόσορ ἀπέστειλε εἰσαγαγεῖν πάντας τοὺς ὑπάτους, καὶ στρατηγούς, καὶ τοπάρχας, ἡγουμένους καὶ τυράννους, καὶ τοὺς ἐπ' ἐξουσιῶν, καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος, ἧς ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς».

1. Ὅρα τὴν ἀλήθειαν τῶν πραγμάτων λάμπουσαν· καίτοι τίς οὐκ ἂν αἰσχυνθῇ τοῦτο ἀποκαλύψαι; Τί λέγεις; ὁ προσκυνήσας, ὁ μάννα σπείσας, ὁ τὸν Θεὸν οὕτω τιμῶν, καὶ θαυμάσας καὶ ὑπερεκπλαγείς, οὗτος, οὐδὲ μακροῦ παρελθόντος χρόνου, εὐθέως ἐπὶ τὴν προτέραν ἐπανέρχεται πλάνην; Καλῶς γε. Οὐ γὰρ αὐτὸν κατεπλήξατε τοῖς σημείοις· ἀλλ' οὐδὲν τούτων ἐνενόησαν, ἀλλ' ἓν μόνον ὁρῶσιν, ὅπως γυμνὴν τὴν ἀλήθειαν παρακατάθωνται. Ἐπειδὴ γὰρ τὴν πόλιν εἷλε (τότε γὰρ αὐτὴν εἷλε, καὶ αὐτῆς ἐκράτει), ἔστησε τὴν εἰκόνα, ἴσως εἰς τῦφον ἀρθείς. Τινές φασιν, ὅτι τῆς εἰκόνος ἐκείνης μεμνημένος τῆς ἐν τοῖς ὀνείροις αὐτῷ δειχθείσης· ἄλλοι δὲ λέγουσιν, ὅτι εἰς θεοὺς ἑαυτὸν ἀναγαγεῖν βουλόμενος. Καὶ γὰρ ταύτην εἶχον ἐπιθυμίαν οἱ παλαιοί, ὥστε νομίζεσθαι θεοί, καθάπερ ὁ διάβολος. Καὶ ὅρα τὴν ἔκβασιν. Ἀφεὶς ποιῆσαι ἑαυτὸν προσκυνεῖσθαι, τὴν εἰ-

ΚΕΦΑΛΑΙΟ Γ'.

«Κατὰ τὸ δέκατο ὄγδοο ἔτος τῆς βασιλείας του ὁ Ναβουχοδονόσορ κατασκεύασε ἕνα χρυσὸ ἄγαλμα. Τὸ ὕψος του ἦταν ἑξήντα πήχεις, καὶ τὸ πλάτος του ἕξι πήχεις. Τὸ ἄγαλμα αὐτὸ τὸ τοποθέτησε στὴν πεδιάδα Δεηρά, στὴν περιοχὴ τῆς Βαβυλώνας. Καὶ ἔστειλε τότε ὁ Ναβουχοδονόσορ ἀνθρώπους νὰ συγκεντρώσουν ὅλους τοὺς ὑπάτους, τοὺς στρατηγοὺς καὶ τοὺς τοπάρχες, τοὺς προϊσταμένους καὶ τοὺς ἄρχοντες, ἐκείνους ποὺ κατεῖχαν ἐξουσία καθὼς καὶ ὅλους γενικὰ τοὺς ἄρχοντες τῶν χωρῶν, γιὰ νὰ παραβρεθοῦν στὰ ἐγκαίνια τοῦ ἀγάλματος ποὺ ἔστησε ὁ βασιλιὰς Ναβουχοδονόσορ».

1. Πρόσεχε τὴν ἀλήθεια τῶν πραγμάτων ποὺ λάμπει· ἂν καὶ βέβαια ποιὸς δὲν θὰ ντρεπόταν ν' ἀποκαλύψει αὐτό; Τί λέγεις; ἐκεῖνος ποὺ προσκύνησε, ποὺ πρόσφερε ἀναίμακτες θυσίες, ποὺ τίμησε τόσο πολὺ τὸ Θεό, καὶ θαύμασε καὶ κυριεύθηκε ἀπὸ ἔκπληξη, αὐτός, χωρὶς νὰ πέρασε πολὺς χρόνος, ἐπιστρέφει ἀμέσως στὴν προηγούμενη πλάνη; Πολὺ καλὰ λοιπόν. Δὲν τὸν καταπλήξατε μὲ τὰ θαύματα· ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν σκέφθηκαν, ἀλλὰ σ' ἕνα μόνο ἀποβλέπουν, πῶς νὰ παρουσιάσουν γυμνὴ τὴν ἀλήθεια. Ἐπειδὴ δηλαδὴ κυρίευσε τὴν πόλη (διότι τότε κυρίευσε αὐτὴν καὶ ἐξουσίαζε αὐτήν), ἔστησε τὸ ἄγαλμα, κυριευθεὶς ἴσως ἀπὸ ἀλαζονεία. Μερικοὶ λένε, ὅτι ἔστησε αὐτὸ σ' ἀνάμνηση τῆς εἰκόνας ἐκείνης ποὺ παρουσιάσθηκε στὸ ὄνειρό του. Ἄλλοι δὲ λένε, ὅτι τὸ ἔκανε αὐτὸ θέλοντας νὰ καταστήσει τὸν ἑαυτό του θεό. Καθόσον οἱ παλιοὶ διακατέχονταν ἀπὸ αὐτὴν τὴν ἐπιθυμία, τὸ νὰ νομίζονται δηλαδὴ θεοί, ὅπως ἀκριβῶς καὶ ὁ διάβολος. Καὶ πρόσεχε τὸ ἀποτέλεσμα. Ἐπιθυμώντας νὰ κάνει τὸν ἑαυτό του νὰ προσκυνεῖται, συντέλε-

κόνα ἐποίησε προσκυνεῖσθαι, ἐκ πολλοῦ τοῦ περιόντος τοῦτο κατασκευάσαι βουλόμενος, καὶ τῷ μεγέθει, καὶ τῷ τοῦ σώματος ὄγκῳ καταπλῆξαι θέλων, καὶ ἀπὸ τοῦ τόπου πάλιν. «Ἐν τόπῳ Δεηρᾷ», φησί. Ὕπτιον ἴσως ἦν τὸ πεδίον.

«Εἰσὶν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα Βαβυλῶνος, Σεδράχ, Μισάχ, Ἀβδεναγώ. Οἱ ἄνδρες ἐκεῖνοι οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου, καὶ τοῖς θεοῖς σου οὐ λατρεύουσιν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦσι. Τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ».

«Πῶς ὁ Δανιὴλ ἐνταῦθα οὐ φαίνεται; Ἐμοὶ δοκεῖ, φοβουμένους ἐκείνους μὴ καταγγεῖλαι αὐτόν, ἢ τὸν βασιλέα αἰδούμενον μὴ ἀναγκάσαι, ὥστε μὴ ἔχειν κατήγορον φανερόν. Τινὲς δέ φασιν, ἐπειδὴ Βαλτάσαρ ἐκαλεῖτο· τὸ δὲ ὄνομα τοῦτο τοῦ εἰδώλου τοῦ παρ' αὐτοῖς ἦν. Ὁ Θεὸς οὖν ᾠκονόμησε μὴ ἐμβληθῆναι εἰς τὴν κάμινον, ὥστε μὴ τῇ προσηγορίᾳ τὴν ἰσχὺν ἐπιγράψαι, καὶ διαφυγεῖν. Τί οὖν οἱ τρεῖς παῖδες; Μάλιστα μὲν γὰρ ἔμελλον καὶ αὐτοὶ διελέγχειν τὸ πρᾶγμα. Πλὴν ἐπὶ τῆς προρρήσεως πῶς οὐκ ᾠκονόμησε τοῦτο ὁ Θεός; Διέβαλλον αὐτοὺς οἱ Χαλδαῖοι· πολλὰ γὰρ ἡ βασκανία ποιεῖ. Οὐκ ἔφερον τοὺς αἰχμαλώτους κρατοῦντας αὐτῶν ὁρῶντες. Ἀλλ' ὅρα. Καθάπερ ἐπὶ τοῦ Δανιήλ, πρότερον ἔμαθον αὐτοῦ τοὺς τρόπους καὶ τὴν ἐπιείκειαν, καὶ τότε τὰ σημεῖα ἑώρων, οὕτω καὶ ἐνταῦθα ἄγονται εἰς μέσον, καὶ πρῶτον αὐτῶν τὴν προαίρεσιν ἀπεγύμνωσεν ὁ Θεός· κἀκεῖνοί τε οὕτω παρεσκευασμένοι οὐκ ἐπεπήδησαν εἰς τὸ μέσον. Ἴστε δὲ ὅτι ἄνθρωπος τῆς παρούσης ζωῆς ἀπεγνωκώς, καὶ ῥᾳδίως φέρων τὴν τελευτήν, οὐδὲν παραιτήσαιτο τολμῆσαι, καὶ τῶν σφόδρα δοκούντων τολμηρῶν εἶναι. Ἀλλ' ὅμως καὶ οὗτοι θανάτου ὑπερορῶντες ἐπιεικεῖς ἦσαν, οὐδὲν ἀπὸ

---

1. Δαν. 3, 12-13.

σε νὰ προσκυνεῖται τὸ ἄγαλμα, ἐπιδιώκοντας νὰ ἐπιτύχει αὐτὸ μὲ κάθε τρόπο, καὶ μὲ τὸ μέγεθος τοῦ ἀγάλματος, καὶ μὲ τὸν ὄγκο τοῦ σώματός του, καθὼς καὶ ἀπὸ τὸν ἴδιο τὸν τόπο ὅπου τὸ ἔστησε. «Στὸν τόπο Δεηρά», λέγει. Ἴσως ἐπειδὴ ἦταν ὁμαλὴ ἡ πεδιάδα.

«Ὑπάρχουν ἀναμεταξύ μας ἄνδρες Ἰουδαῖοι, τοὺς ὁποίους σὺ τοποθέτησες στὰ ἔργα τῆς Βαβυλῶνας, ὁ Σιράχ, ὁ Μισὰχ καὶ ὁ Ἀβδεναγώ. Οἱ ἄνδρες αὐτοὶ δὲν ὑπάκουσαν, βασιλιά μου, στὴ διαταγή σου, δὲν λατρεύουν τοὺς θεούς σου, καὶ δὲν προσκυνοῦν τὸ χρυσὸ ἄγαλμα ποὺ ἔστησες. Τότε ὁ Ναβουχοδονόσορ θυμωμένος καὶ ὀργισμένος διέταξε νὰ φέρουν μπροστά του τὸν Σεδράχ, τὸν Μισὰχ καὶ τὸν Ἀβδεναγώ»[1].

Πῶς ὁ Δανιὴλ δὲν ἀναφέρεται ἐδῶ; Ἐγὼ νομίζω ἢ ἐπειδὴ φοβοῦνταν ἐκεῖνοι νὰ καταγγείλουν αὐτόν, ἢ ἐπειδὴ ὁ βασιλιὰς ἀπέφυγε ἀπὸ φόβο νὰ τὸν ἐξαναγκάσει, γιὰ νὰ μὴ ἔχει κατήγορο φανερό. Μερικοὶ ὅμως λένε, ἐπειδὴ ὀνομαζόταν Βαλτάσαρ· τὸ ὄνομα δὲ αὐτὸ ἦταν τὸ ὄνομα τοῦ εἰδώλου ποὺ λάτρευαν αὐτοί. Ὁ Θεὸς δηλαδὴ ρύθμισε τὰ πράγματα ἔτσι, ὥστε νὰ μὴ ριχθεῖ στὸ καμίνι, γιὰ νὰ μὴ ἀποδοθεῖ ἡ δύναμη στὸ ὄνομά του καὶ ἀποφύγει τὸν κίνδυνο. Τί κάμνουν λοιπὸν τὰ τρία παιδιά; Ὁπωσδήποτε βέβαια καὶ αὐτὰ ἐπρόκειτο ν' ἀποδείξουν ὅτι τὸ πράγμα αὐτὸ δὲν εἶναι σωστό. Ἀλλ' ὅμως στὴν περίπτωση τῆς προφητείας πῶς ὁ Θεὸς δὲν ρύθμισε αὐτὸ ἔτσι εὐνοϊκὰ γι' αὐτά; Κατηγόρησαν αὐτὰ οἱ Χαλδαῖοι· διότι πολλὰ κακὰ προξενεῖ ὁ φθόνος. Δὲν ὑπόφεραν νὰ βλέπουν τοὺς αἰχμαλώτους νὰ τοὺς ἐξουσιάζουν. Ἀλλὰ πρόσεχε. Ὅπως ἀκριβῶς στὴν περίπτωση τοῦ Δανιήλ, προηγουμένως γνώρισαν τὴ συμπεριφορὰ καὶ τὴν καλωσύνη ἐκείνου, καὶ μετὰ εἶδαν τὰ θαύματα, ἔτσι καὶ ἐδῶ ὁδηγοῦνται μπροστὰ στὸ βασιλιά, καὶ πρῶτα φανέρωσε ὁ Θεὸς τὴν προαίρεση αὐτῶν· καὶ αὐτοὶ ἦταν τόσο προετοιμασμένοι, καὶ δὲν ρίχθηκαν μέσα στὸ καμίνι. Γνωρίζετε ὅτι ὁ ἄνθρωπος ποὺ ἔχασε κάθε ἐλπίδα γιὰ τὴν παρούσα ζωὴ καὶ ἀντιμετωπίζει μὲ εὐκολία τὸ θάνατο, δὲν θ' ἀπέφευγε τίποτε τὸ τολμηρὸ νὰ πράξει καὶ ἀπὸ ἐκεῖνα ποὺ θεωροῦνται ὑπερβολικὰ τολμηρά. Ἀλλ' ὅμως καὶ αὐτοί, ἂν καὶ περιφρονοῦσαν τὸ θάνατο, συμπεριφέρονταν μὲ τὸν πρέποντα τρόπο, καὶ δὲν παρασύρθηκαν,

τῆς ἀνδρείας εἰς θρασύτητα παραβλαβέντες, οὐδὲ φιλοτιμίᾳ τοῦτο ποιοῦντες.

«Καὶ οἱ ἄνδρες ἐκεῖνοι οἱ τρεῖς, Σεδράχ, Μισάχ, Ἀβδεναγώ, ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, πεπεδημένοι, καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογός, ὑμνοῦντες τὸν Θεὸν καὶ εὐλογοῦντες τὸν Κύριον».

Ὅρα, οὐ θαυμαστὸν τοῦτο καὶ παράδοξον, τὸ καὶ περιπατεῖν καὶ ὑμνεῖν, καθάπερ ἐν κολυμβήθρᾳ ὑδάτων; Καίτοι οὐδὲν κωλύον ἦν ἐκεῖ, ἐπείπερ Θεὸς ἠβουλήθη. Τοιοῦτον εἶναι ἐμοὶ δοκεῖ κἀκεῖνο τὸ πῦρ, τὸ τοὺς ἔξω κατακαῦσαν· καὶ τοῦτο πῦρ, κἀκεῖνο τὸ πῦρ· καὶ ταῦτα σώματα, κἀκεῖνα τὰ σώματα· καὶ τῶν μὲν ἥψατο, τῶν δὲ ἀπέσχετο. Εἶδες ὅσον ἀγαθὸν προαίρεσις καλλίστη; ἐθαύμασας αὐτῶν τὴν προαίρεσιν; Θαύμασον τοῦ Δεσπότου τὴν εὔνοιαν, καὶ τὴν τιμήν, ἣν εἰς αὐτοὺς ἐπεδείξατο. «Τοὺς δοξάζοντάς με δοξάσω», φησί. Εἱστήκει τὸ θέατρον ἅπαν. Ὑπὲρ τὴν φύσιν ἐφθέγξαντο, ὑπὲρ τὴν φύσιν αὐτοὺς τιμᾷ. Ὅρα τὰ τοῦ Δεσπότου δυναμένους τοὺς οἰκέτας. Τί θαυμάζεις, εἰ βασιλέως καταγελῶσιν, ὅταν αὐτοὺς τὰ στοιχεῖα αἰδῆται καὶ θαυμάζῃ; Ἐκκλησία γέγονεν ἡ κάμινος, αὐτῷ ἐῴκει τῷ οὐρανῷ. Ἐνταῦθα ἤδη τῆς ἀφθαρσίας πεῖραν ἔλαβον. Ἐπεὶ καὶ παρὰ τὴν ἀρχὴν παθητὰ τὰ σώματα ἡμῶν ἡ ἁμαρτία πεποίηκεν, ὅταν γοῦν τὰ δίκαια πράττῃ, πάλιν ἀπαθῆ γίνεται.

«Καὶ περιεπάτουν», φησί. Ἀλλ' ἴδωμεν τί φθέγγονται· τῆς μυστικῆς ἀκούσωμεν φωνῆς μεθ' ἡσυχίας πολλῆς. Εἶδες ἄτακτον φωνὴν καὶ συγκεχυμένην τῆς σαμβύκης, καὶ τοῦ ψαλτηρίου, καὶ τῆς μουσικῆς; Ἄκουσον φωνῆς ἀπὸ πυρός. Οὐ θαυμαστὸν ἐδόκει σοι τὸ φωνὴν ἀπὸ πυρὸς φέρεσθαι Θεοῦ; Ἰδοὺ καὶ τοῖς δούλοις αὐτοῦ τοῦτο ἐχαρίσατο. Ποῖος ἀὴρ πληττόμενος τὴν φωνὴν ἀπετέλει; Οὐχὶ τοῦτο ἀεὶ τοῖς μέλλουσι κατακαίεσθαι παραινοῦσι, διανοίγειν τὰ στό-

2. Δαν. 3, 23. 3. Α' Βασ. 2, 30.
4. Σαμβύκη· ἔγχορδο μουσικὸ ὄργανο τοῦ εἴδους τῆς ἅρπας.

ἐξ αἰτίας τῆς ἀνδρείας τους, σὲ θρασύτητα, οὔτε τὸ ἔκαμναν αὐτὸ ἀπὸ φιλοδοξία.

«Καὶ οἱ τρεῖς ἐκεῖνοι ἄνδρες, ὁ Σεδράχ, ὁ Μισὰχ καὶ ὁ 'Αβδεναγώ, ρίχθηκαν δεμένοι μέσα στὸ ἀναμμένο καμίνι. Καὶ περπατοῦσαν αὐτοὶ ἀνάμεσα στὶς φλόγες, ὑμνολογώντας τὸ Θεὸ καὶ δοξολογώντας τὸν Κύριο»[2].

Πρόσεχε, δὲν εἶναι αὐτὸ ἀξιοθαύμαστο καὶ παράδοξο, τὸ νὰ περπατοῦν δηλαδὴ μέσα στὶς φλόγες καὶ νὰ ὑμνοῦν τὸ Θεό, σὰν ἀκριβῶς νὰ βρίσκονταν μέσα σὲ κολυμβήθρα ὑδάτων; Ἂν καὶ βέβαια δὲν ὑπῆρχε ἐκεῖ κανένα ἐμπόδιο, γιὰ τὸ λόγο ὅτι τὸ θέλησε ὁ Θεός. Ὅμοια μοῦ φαίνεται ὅτι ἦταν ἐκείνη ἡ φωτιὰ ποὺ κατέκαυσε ἐκείνους ποὺ βρίσκονταν ἔξω· καὶ αὐτὴ φωτιά, καὶ ἐκείνη φωτιά· καὶ αὐτὰ σώματα, καὶ ἐκεῖνα σώματα· καὶ τὰ μὲν κατέκαψε, τὰ δὲ ἄφησε ἄγγιχτα. Εἶδες πόσο μεγάλο ἀγαθὸ εἶναι ἡ ἀγαθὴ προαίρεση; Θαύμασες τὴν προαίρεση αὐτῶν; Θαύμασε τὴν εὔνοια τοῦ Κυρίου καὶ τὴν τιμὴ ποὺ ἔδειξε πρὸς αὐτούς. «'Εκείνους ποὺ μὲ δοξάζουν θὰ τοὺς δοξάσω»[3], λέγει. Στέκονταν ὄρθιοι ὅλοι θεατές. Τὰ λόγια τους ὑπερέβαιναν τὶς δυνατότητες τῆς ἀνθρώπινης φύσεως, γι' αὐτὸ καὶ οἱ τιμές του ὑπερβαίνουν τὶς τιμὲς τὶς ἀποδιδόμενες στὴν ἀνθρώπινη φύση. Πρόσεχε ποιὰ εἶναι ἐκεῖνα ποὺ κατορθώνουν νὰ πράξουν οἱ δοῦλοι τοῦ Κυρίου. Γιατί ἀπορεῖς, γιὰ τὸ ἂν περιφρονοῦν τὶς διαταγὲς τοῦ βασιλιᾶ, τὶ στιγμὴ ποὺ τοὺς σέβονται καὶ τοὺς τιμοῦν τὰ φυσικὰ στοιχεῖα; 'Εκκλησία ἔγινε τὸ καμίνι, καὶ ἔμοιαζε μὲ τὸν ἴδιο τὸν οὐρανό. Ἤδη ἐδῶ ἔλαβαν γνώση τῆς ἀφθαρσίας. Διότι ἀπὸ τὴν ἀρχὴ ἡ ἁμαρτία κατέστησε τὰ σώματά μας παθητά, ἐφόσον ὅμως πράττουν τὰ δίκαια, γίνονται πάλι ἀπαθῆ.

«Καὶ περπατοῦσαν», λέγει. 'Αλλ' ἂς δοῦμε τί λένε· ἂς ἀκούσομε τὴ μυστικὴ φωνὴ μὲ μεγάλη ἡσυχία. Ἄκουσες ἄρρυθμη καὶ συγκεχυμένη φωνὴ τῆς σαμβύκης[4], τοῦ ψαλτηρίου καὶ τῆς μουσικῆς; Ἄκουσε φωνὴ καὶ ἀπὸ φωτιά. Δὲν σοῦ φαινόταν ἄξιο θαυμασμοῦ τὸ ν' ἀκούεται ἡ φωνὴ τοῦ Θεοῦ μέσα ἀπὸ τὴ φωτιά; Νά, αὐτὴ τὴ δυνατότητα τὴ χάρισε καὶ στοὺς δούλους του. Ποιὸς ἀέρας δεχόμενος δονήματα δημιούργησε τὴ φωνὴ αὐτή; Δὲν συμβουλεύουν αὐτὸ πάντοτε σ' ἐκείνους ποὺ

ματα, ὡς οὐδὲ μικρὸν δυναμένης τῆς δυνάμεως ἐναπομεῖναι τῷ σώματι λοιπόν; Ὅρα συμφωνίαν μουσικήν, ὥσπερ ἐξ ἑνὸς στόματος πάντας ὑμνοῦντας.

2. «Καὶ συστὰς Ἀζαρίας προσηύξατο οὕτως· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν». Ἵνα μὴ νομίσῃς, ὅτι ὑπὲρ τῶν παρόντων εὐχαριστοῦσι μόνον, ὑπὲρ τῆς αἰχμαλωσίας, καὶ τῶν δεινῶν ἐκείνων τῶν συμβεβηκότων αὐτοῖς παρακαλοῦσι τὸν Θεόν. Ὅρα πῶς ἄρχονται. «Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας».

«Ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον· καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, καὶ οὐκ ἐλύπησεν αὐτούς, καὶ οὐ παρηνώχλησεν». Οὕτως οὐκ αὐτομάτως ταῦτα ἐγένετο. Καὶ οὐ μόνον οὐ κατεκαύθησαν, ἀλλ' οὐδὲ παρηνώχλησεν αὐτοὺς τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ τὸ τυχὸν οἷον, οὐδὲ θέρμην ᾔσθοντο. Διὰ τοῦτο δὲ καὶ ἐπὶ τοσοῦτον ἡ φλὸξ ἀνῆλθεν, ὥστε καὶ τοῖς ἔξωθεν φαίνεσθαι. Καὶ ἡ ἐμβαλλομένη δὲ ὕλη ἱκανὴ ἦν αὐτοὺς πιστώσασθαι, καὶ τὸ μὴ διαλείπειν, καὶ τὸ ἐπὶ πολὺ φαίνεσθαι καιομένην, καὶ πάντων ἔμπροσθεν τοῦτο γενέσθαι.

«Καὶ Ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν, καὶ ἐθαύμασε, καὶ ἐξανέστη ἐν σπουδῇ, καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ». Αὐτὸ δὲ τοῦτο ἐπῆλθε πόθεν τῷ Ναβουχοδονόσορ ἀκοῦσαι; Ἆρα πάντα τὸν χρόνον παρεκάθητο. Διὰ γὰρ τοῦτο εὐθέως οὐκ εἴασεν αὐτὸν ἀκοῦσαι, ἵνα καὶ ὁ χρόνος αὐτὸς μαρτυρήσῃ τῷ γενομένῳ, ὅτι καὶ πολὺν διατρίψαντες χρόνον, οὐδὲν ἔπαθον δεινόν.

«Οὐχὶ ἄνδρας τρεῖς ἐνεβάλομεν εἰς μέσον τοῦ πυρὸς πεπεδημένους; Καὶ ἀποκριθέντες λέγουσι τῷ βασιλεῖ· Ἀλη-

---

5. Δαν. 3, Προσευχὴ Ἀζαρίου 2. 6. Δαν. 3, Προσευχὴ Ἀζαρίου 24.

πρόκειται νὰ ριχτοῦν στὴ φωτιὰ γιὰ νὰ καοῦν, νὰ ἀνοίγουν δηλαδὴ τὸ στόμα τους, ὥστε οὔτε γιὰ ἐλάχιστο χρόνο νὰ μὴ μπορεῖ πλέον νὰ παραμείνει μέσα τους ἡ ψυχική τους δύναμη; Πρόσεχε μουσικὴ συμφωνία, σὰν δηλαδὴ ὅλοι τους νὰ δοξολογοῦν μὲ ἕνα στόμα τὸ Θεό.

2. «Ἀφοῦ ὁ Ἀζαρίας στάθηκε ὄρθιος μέσα στὴ φωτιὰ ἄνοιξε τὸ στόμα καὶ προσευχήθηκε, λέγοντας τὰ ἑξῆς». Γιὰ νὰ μὴ νομίσεις, ὅτι εὐχαριστοῦν τὸ Θεὸ μόνο γιὰ τὰ παρόντα, παρακαλοῦν τὸ Θεὸ καὶ γιὰ τὴν αἰχμαλωσία καὶ τὰ δεινὰ ποὺ συνέβηκαν σ' αὐτούς. Πρόσεχε πῶς ἀρχίζουν· «Εὐλογημένος εἶσαι, Κύριε ὁ Θεὸς τῶν πατέρων μας, καὶ ἂς εἶναι ἄξιο ἐπαίνου καὶ δοξασμένο τὸ ὄνομά σου στοὺς αἰῶνες»[5].

«Ἄγγελος δὲ Κυρίου κατέβηκε καὶ ἦταν μέσα στὸ καμίνι μαζὶ μὲ τὸν Ἀζαρία καὶ τοὺς ὑπόλοιπους καὶ ἀπομάκρυνε τὴ φλόγα τῆς φωτιᾶς μέσα ἀπὸ τὸ καμίνι, δημιουργώντας ἔτσι μέσα στὸ καμίνι δροσερὸ φύσημα ἀέρα. Καὶ δὲν τοὺς ἄγγισε καθόλου ἡ φωτιά, οὔτε τοὺς στενοχώρησε, οὔτε καὶ τοὺς ἐνόχλησε καθόλου». Ὥστε λοιπὸν αὐτὰ δὲν γίνονταν ἀπὸ μόνα τους καὶ στὴν τύχη. Καὶ ὄχι μόνο δὲν κατακάηκαν, ἀλλ' οὔτε καὶ τοὺς ἐνόχλησε ἡ φωτιά, οὔτε τοὺς στενοχώρησε, οὔτε τοὺς συνέβηκε τὸ παραμικρό, οὔτε δὲ αἰσθάνονταν τὴ ζέστη. Γι' αὐτὸ δὲ καὶ τόσο πολὺ ψηλὰ σηκώθηκε ἡ φλόγα, ὥστε νὰ τὴ βλέπουν καὶ ἐκεῖνοι ποὺ ἦταν ἔξω. Καὶ ἡ καύσιμη ὕλη δὲ ποὺ ριχνόταν μέσα στὸ καμίνι καὶ δὲν σταματοῦσε καθόλου, καὶ τὸ ὅτι φαινόταν γιὰ πολλὴ ὥρα νὰ καίει καὶ νὰ γίνεται αὐτὸ μπροστὰ στὰ μάτια ὅλων, ἦταν ἱκανὰ νὰ τοὺς κάνουν νὰ πιστέψουν.

«Καὶ ὁ Ναβουχοδονόσορ ἄκουσε αὐτοὺς ποὺ ἐξυμνοῦσαν τὸ Θεὸ καὶ θαύμασε καὶ σηκώθηκε βιαστικὰ ἀπὸ τὸ θρόνο του καὶ εἶπε στοὺς μεγιστάνες του»[6]. Ἀπὸ ποῦ δὲ ἄκουσε ὁ Ναβουχοδονόσορ τὸ ὅτι ἐξυμνοῦσαν αὐτοὶ τὸ Θεό; Ἑπομένως καθ' ὅλο τὸ χρόνο καθόταν ἐκεῖ κοντά. Καὶ γι' αὐτὸ δὲν ἄφησε αὐτὸν ν' ἀκούσει αὐτὸ ἀμέσως, ὥστε καὶ ὁ ἴδιος ὁ χρόνος νὰ ἐπιβεβαιώσει αὐτὸ ποὺ συνέβηκε, ὅτι δηλαδή, ἂν καὶ ἔμειναν ἐπὶ πολὺ χρόνο μέσα στὴ φωτιά, ἐν τούτοις δὲν ἔπαθαν κανένα κακό.

«Δὲν ρίξαμε τρεῖς ἄνδρες μέσα στὴ φωτιά; Ἀποκρίθηκαν καὶ εἶπαν στὸ βασιλιά· Ναί, βασιλιά μας. Καὶ εἶπε ὁ βασιλιάς·

θῶς, βασιλεῦ. Καὶ εἶπεν ὁ βασιλεύς· Ὧδε ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους, καὶ περιπατοῦντας ἐν μέσῳ τοῦ πυρός· καὶ διαφθορὰ οὐκ ἔστιν ἐν αὐτοῖς· καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ τοῦ Θεοῦ». Ἀπὸ τῆς θύρας εἶδεν τὰς ὄψεις. «Τότε προσῆλθε Ναβουχοδονόσορ πρὸς τὴν θύραν τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ εἶπεν· Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε, καὶ δεῦτε ὧδε. Καὶ ἐξῆλθον Σεδράχ, Μισάχ, Ἀβδεναγὼ ἐκ μέσου τοῦ πυρός».

Διὰ τί δ' οὐ πρότερον ἐξῆλθον ἕως ἐκάλεσεν αὐτούς; Καὶ καλῶς πρότερον ἐρωτᾷ τοὺς ἄρχοντας, ἵνα τῇ ἀποκρίσει προκατασχεθέντες μηδὲν ἐναντίον ἀποκρίνωνται, μηδὲ ὑπὸ τοῦ καιροῦ συναρπαγῶσιν. Ὥσπερ τῷ Μωϋσεῖ ἔλεγεν ὁ Θεός, «Τί τοῦτο ἐν τῇ χειρί σου;», οὕτω καὶ τούτους Ναβουχοδονόσορ προκαταλαμβάνει τῇ ἐρωτήσει. «Ἰδού», φησίν, «ὁρῶ ἄνδρας τέσσαρας λελυμένους, καὶ περιπατοῦντας ἐν μέσῳ τοῦ πυρός· καὶ διαφθορὰ οὐκ ἔστιν ἐν αὐτοῖς· καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ Θεοῦ». Πολὺ κάλλος ἴσως ἐνέφαινε. Πόθεν οἶδας, ὦ Ναβουχοδονόσορ, υἱὸν Θεοῦ; Ὅρα τοῦτον προφητεύοντα τὸν βάρβαρον ἀπὸ τῆς ὄψεως μόνης.

Καὶ προσῆλθε, καὶ ἐκάλεσεν αὐτούς· «Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε, καὶ δεῦτε». Ὅρα. Οὐκ ἐκέλευσε σβεσθῆναι τὴν κάμινον, ἀλλὰ τί; Ἐκάλεσεν αὐτοὺς ἐξελθεῖν. Εἶδες θαῦμα μέγα καὶ παράδοξον. Ὃ μάλιστα ᾔδει θεραπεῦσον, τοῦτο ἐκάλεσεν. Οὐδὲν ταύτης τῆς εὐγενείας ἴσον. Ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος· «Μωϋσῆς ὁ θεράπων μου τετελεύτηκε». «Καὶ Ἰσαάκ», φησί, «ὁ δοῦλός σου». Ταύτῃ οἱ ἄγγελοι τῇ προσηγορίᾳ ἀγάλλονται, καὶ τὰ Χερουβίμ, καὶ τὰ Σεραφίμ. Καὶ οὐχ ὡς ἄν τις φιλόνεικος ποιήσειεν, ἐναπέμειναν, ἀλλ' εὐθέως ὑπήκουσαν· καὶ συνῆλθον ἅπαντες ἰδεῖν τὸ θαῦμα.

7. Δαν. 3, 24-25.
8. Δαν. 3, 26.
9. Ἔξ. 4,2.
10. Ἰησοῦς Ναυῆ 1, 2.
11. Γεν. 24, 14.

'Εγὼ βλέπω νὰ ὑπάρχουν ἐδῶ μέσα τέσσερις ἄνδρες λυμένοι καὶ ποὺ περπατοῦν μέσα στὴ φωτιά, χωρὶς νὰ ὑπάρχει βλάβη σ' αὐτοὺς ἀπὸ τὴ φωτιά, καὶ ἡ ἐμφάνιση τοῦ τετάρτου εἶναι ὅμοια μὲ υἱοῦ τοῦ Θεοῦ»[7]. 'Απὸ τὴν πόρτα τοῦ καμινιοῦ εἶδε τὰ πρόσωπά τους. «Τότε πλησίασε ὁ Ναβουχοδονόσορ πρὸς τὴν πόρτα τοῦ καμινιοῦ μέσα στὸ ὁποῖο ἔκαιε ἀκόμα ἡ φωτιὰ καὶ εἶπε· Σεδράχ, Μισὰχ καὶ 'Αβδεναγώ, οἱ δοῦλοι τοῦ ὑψίστου Θεοῦ, βγαῖτε ἔξω καὶ ἐλάτε ἐδῶ. Καὶ βγῆκαν ἔξω ὁ Σεδράχ, ὁ Μισὰχ καὶ ὁ 'Αβδεναγώ, μέσα ἀπὸ τὴν φωτὰ τοῦ καμινιοῦ»[8].

Γιατί δὲν βγῆκαν ἔξω προτοῦ νὰ τοὺς καλέσει νὰ βγοῦν; Καὶ πολὺ σωστὰ ρωτᾶ προηγουμένως τοὺς ἄρχοντες, ὥστε, ἐπηρεασμένοι ἀπὸ τὴν προηγούμενη ἀπάντηση, νὰ μὴ ποῦν τίποτε ἐναντίον τους, οὔτε ἐξ αἰτίας τῆς καταστάσεως αὐτῆς τῶν πραγμάτων νὰ κυριευθοῦν ἀπὸ συγκίνηση καὶ κατάπληξη. Ὅπως ἀκριβῶς ὁ Θεὸς ἔλεγε στὸ Μωυσῆ, «Τί εἶναι αὐτὸ ποὺ κρατᾶς στὸ χέρι σου;»[9], ἔτσι καὶ ὁ Ναβουχοδονόσορ προλαβαίνει αὐτοὺς μὲ τὴν ἐρώτησή του. «Νά», λέγει, «βλέπω τέσσερις ἄνδρες λυμένους καὶ ποὺ περπατοῦν μέσα στὴ φωτιά, χωρὶς νὰ ὑπάρχει σ' αὐτοὺς καμιὰ βλάβη ἀπὸ τὴ φωτιά, ἡ δὲ ὄψη τοῦ τετάρτου μοιάζει μὲ υἱοῦ τοῦ Θεοῦ». Πολὺ σωστὰ ἴσως ἔκανε τὴ δήλωση αὐτή. 'Απὸ ποῦ, Ναβουχοδονόσορ, γνωρίζεις υἱὸ τοῦ Θεοῦ; Πρόσεχε αὐτὸν τὸν βάρβαρο ποὺ προφητεύει ἀπὸ μόνη τὴν ὄψη.

Καὶ πλησίασε στὸ καμίνι καὶ εἶπε πρὸς αὐτούς· «Σεδράχ, Μισὰχ καὶ 'Αβδεναγώ, οἱ δοῦλοι τοῦ ὑψίστου Θεοῦ, βγαῖτε ἔξω καὶ ἐλάτε ἐδῶ». Πρόσεχε. Δὲν πρόσταξε νὰ σβησθεῖ τὸ καμίνι, ἀλλὰ τί; πρόσταξε αὐτοὺς νὰ βγοῦν ἔξω. Εἶδες θαῦμα μεγάλο καὶ παράδοξο. 'Εκεῖνο ποὺ κατ' ἐξοχὴ γνώριζε ὅτι θὰ κάνουν μὲ προθυμία, αὐτὸ πρόσταξε. Τίποτε δὲν μπορεῖ νὰ ἐξισωθεῖ μὲ αὐτὴ τὴν εὐγένεια. Ἄκουε δὲ καὶ τὸ Θεὸ ποὺ λέγει· «Ὁ Μωυσῆς ὁ δοῦλος σου πέθανε»[10]. «Καὶ ὁ 'Ισαάκ», λέγει, «ὁ δοῦλος σου»[11]. Μὲ αὐτὴ τὴν ὀνομασία χαίρονται οἱ ἄγγελοι, καθὼς καὶ τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ. Καὶ δὲν παρέμειναν μέσα στὸ καμίνι, ὅπως θὰ ἔκαμνε κάποιος φιλόνεικος, ἀλλ' ἀμέσως ὑπάκουσαν στὴ διαταγὴ τοῦ βασιλιᾶ. Καὶ ὅλοι συγκεντρώθηκαν γιὰ νὰ δοῦν τὸ θαῦμα.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

«Ἐγὼ Ναβουχοδονόσορ εὐθηνῶν ἐν τῷ οἴκῳ μου, καὶ εὐθαλῶν ἐπὶ τοῦ θρόνου μου, καὶ πίων ἐν τῷ λαῷ μου».

1. Τίνος ἕνεκεν οὕτω τοῦτο ἔγραψεν, καὶ οὐχὶ ἔγραψεν, 'Ναβουχοδονόσορ ἦν εὐθηνῶν', ἀλλ' ὡς ἐκ προσώπου ἐκείνου; Ἐμοὶ δοκεῖ ταῦτα τὰ ρήματα αὐτοῦ εἶναι τοῦ Ναβουχοδονόσορ. Ἐπειδὴ γὰρ ἀνήνεγκεν ἀπ' ἐκείνης τῆς πλάνης, ἐν δημοσίοις αὐτὰ κατέθετο γράμματα ἴσως. Αὐτὸ οὖν σύνταγμα, ὥστε ἀξιόπιστον γενέσθαι, παράγει ὁ Δανιήλ. Τῇ γὰρ τῶν ἀνθρώπων φύσει αὐτὸς ὁ πεπονθὼς διαλέγεται. Καὶ θέα μοι πόση παίδευσις γίνεται κατὰ τῶν ὑπερηφάνων. Ἀπὸ γὰρ ὑπερηφανίας πέπονθεν ἅπερ ἔπαθεν, καὶ δείκνυσι τὴν αἰτίαν τῆς ὑπερηφανίας ἀπό τε τοῦ τέλους καὶ τῆς ἀρχῆς· ἐν μὲν τῷ τέλει λέγων, «Ὅτι πάντας τοὺς ὑπερηφάνους δύναται ταπεινῶσαι», ἐν ἀρχῇ δὲ καὶ ἐκ προοιμίων τὴν αἰτίαν τῆς ὑπερηφανίας διδάσκων. Ἐκεῖ μὲν γάρ, ὅτι διὰ τοῦτο ἐταπεινώθη, ἐδήλωσεν, ἐνταῦθα δὲ πόθεν τοιοῦτο ἐγένετο, ἐκ τοῦ πολλῆς ἀπολαῦσαι εὐπραγίας· ὥσπερ καὶ ὁ Δαυῒδ λέγει· «Διὰ τοῦτο ἐκράτησεν αὐτῶν ἡ ὑπερηφανία».

Οὕτω δὴ καὶ ἐνταῦθα πολλὰς τίθησιν εὐπραγίας. Ἐν τῇ ἀρχῇ φησιν· «Εὐθηνῶν ἤμην ἐν τῷ οἴκῳ μου, καὶ εὐθαλῶν ἐπὶ τοῦ θρόνου μου, καὶ πίων ἐν τῷ λαῷ μου». Οὐ γὰρ ἔστι πάντα ὁμοῦ συνδραμεῖν. Ἔνεστι κατὰ μὲν τὴν ἀρχὴν εὐπραγεῖν, κατὰ δὲ τὴν οἰκίαν δυσπραγεῖν, καθάπερ ὁ Ἡρώδης· καθάπερ ὁ Δαυῒδ· ἔνεστι πάλιν τοὐναντίον ἐν μὲν τῷ λαῷ δυσπραγεῖν, ἀπὸ δὲ τῆς οἰκίας μηδὲν πάσχειν δεινόν· ἐνε-

---

1. Δαν. 4, 34. 2. Ψαλμ. 72. 6.

ΚΕΦΑΛΑΙΟ Δ'

«Ἐγὼ ὁ Ναβουχοδονόσορ ζοῦσα μὲ ἀφθονία ἀγαθῶν στὰ ἀνάκτορά μου καὶ ἤμουν πανευτυχὴς στὸ θρόνο μου καὶ εὐημεροῦσα ἀνάμεσα στὸ λαό μου».

1. Γιὰ ποιὸ λόγο τὸ ἔγραψε αὐτὸ ἔτσι σὰν νὰ τὸ ἔλεγε ὁ ἴδιος, καὶ δὲν ἔγραψε, «Ὁ Ναβουχοδονόσορ εἶχε ἀφθονία ἀγαθῶν»; Ἐγὼ νομίζω ὅτι τὰ λόγια αὐτὰ εἶναι τοῦ Ναβουχοδονόσορ. Διότι, ἀφοῦ ἀπαλλάχτηκε ἀπὸ τὴν πλάνη ἐκείνη, ἀνέφερε αὐτὰ τὰ λόγια ἴσως παρουσία τοῦ λαοῦ. Γιὰ νὰ γίνει λοιπὸν ἀξιόπιστος ὁ Δανιὴλ ἀναφέρει αὐτὴ τὴν ἀνακοίνωση. Διότι συνομιλεῖ μὲ τὴν ἀνθρώπινη φύση αὐτὸς ὁ ἴδιος ποὺ ἔπαθε αὐτά. Καὶ πρόσεχε σὲ παρακαλῶ πόσο σπουδαῖο δίδαγμα γίνεται γιὰ τοὺς ὑπερήφανους. Διότι ἀπὸ ὑπερηφάνεια ἔπαθε ἐκεῖνα ποὺ ἔπαθε καὶ δείχνει τὴν αἰτία τῆς ὑπερηφάνειας του ἀπὸ τὸ τέλος καὶ τὴν ἀρχή· στὸ μὲν τέλος λέγοντας, «Ὅτι μπορεῖ νὰ ταπεινώσει ὁ βασιλιὰς τοῦ οὐρανοῦ ὅλους τοὺς ὑπερήφανους»[1], στὴν ἀρχὴ δὲ καὶ ἀπὸ τὴν πρώτη στιγμὴ διδάσκοντας τὴν αἰτία τῆς ὑπερηφάνειας. Διότι ἐκεῖ μὲν δήλωσε, ὅτι γι' αὐτὸ ταπεινώθηκε, ἐνῶ ἐδῶ λέγει ἀπὸ ποῦ συνέβηκε αὐτό, ἀπὸ τὸ ὅτι απόλαυσε μεγάλη ἐμπειρία, ὅπως ἀκριβῶς καὶ ὁ Δαυὶδ λέγει· «Γι' αὐτὸ τοὺς κυρίεψε ἡ ὑπερηφάνεια»[2].

Κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ἐδῶ ἀναφέρει πολλὲς μορφὲς εὐημερίας καὶ εὐτυχίας. Στὴν ἀρχὴ λέγει· «Ζοῦσα μὲ ἀφθονία ἀγαθῶν στὰ ἀνάκτορά μου καὶ ἤμουν πανευτυχὴς στὸ θρόνο μου καὶ εὐημεροῦσα ἀνάμεσα στὸ λαό μου». Διότι δὲν εἶναι δυνατὸ ὅλα μαζὶ νὰ συνυπάρξουν. Εἶναι δυνατὸ ὡς πρὸς μὲν τὴν ἐξουσία νὰ εὐημερεῖ κανείς, νὰ δυστυχεῖ ὅμως στὴν οἰκία του, ὅπως ἀριβῶς ὁ Ἡρώδης, ὅπως ἀκριβῶς ὁ Δαυίδ· εἶναι δυνατὸ πάλι νὰ συμβαίνει τὸ ἀντίθετο, ἀπὸ τὸν μὲν λαό του νὰ ὑποφέρει, ἐνῶ μέσα στὴν οἰκία του νὰ μὴ ὑφίσταται κανένα

στιν ἐν μὲν τῇ πόλει εἰρηνεύειν, τὴν δὲ ἀρχὴν ταράττεσθαι. Ἀλλ' οὗτος πάντοθεν εὐπραγεῖν εἶχεν· οὐδὲν ἦν αὐτὸν λυποῦν. Ὁρᾷς πόσον κακὸν ἄδεια; Καθάπερ γὰρ ἐπὶ τῶν σωμάτων, ὅταν μὴ γίνωνται οἱ κατὰ ἀνάγκην μόχθοι καὶ ἀσχολίαι, ἐπιτηδευτούς τινας ἐπιχειροῦσι ποιεῖν, πρὸς γυμνασίαν τοῦ σώματος, οὕτω καὶ ὁ Θεὸς ποιεῖν εἴωθε, ὥστε τὸ εὔτονον περιελεῖν.

«Ἐνύπνιον εἶδον, καὶ ἐφοβέρισέν με, καὶ ἐταράχθην ἐπὶ τῆς κοίτης μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάραξάν με. Καὶ παρ' ἐμοῦ ἐξετέθη δόγμα, ὥστε εἰσαγαγεῖν ἐνώπιον ἐμοῦ πάντας τοὺς σοφοὺς Βαβυλῶνος, ὅπως τὴν σύγκρισιν τοῦ ἐνυπνίου γνωρίσωσί μοι».

Ὅρα πῶς αὐτὸν καταστεῖλαι βούλεται, οὐχὶ τῇ πείρᾳ τῶν πραγμάτων, ἀλλὰ τῇ προρρήσει τῶν συμβαινομένων, καὶ ὅπως ἦν φοβερὸν τὸ ἐνύπνιον. Τίνος οὖν ἕνεκεν οὐχὶ καὶ νῦν ἀπέστη αὐτοῦ τὸ πνεῦμα, οὐδὲ ἠγνόησε τὸ ἐνύπνιον, καθάπερ καὶ πρότερον; Ὅτι ἱκανὴν πεῖραν δεδωκότος τοῦ Δανιὴλ πρότερον, ἤγουν ἐν τῷ πρὸ τούτου ἐνυπνίῳ, οὐδεμία λοιπὸν χρεία ἦν δευτέραν προσενεχθῆναι δοκιμασίαν. Πάντα γὰρ χρείας ἕνεκεν, οὐ φιλοτιμίας, ὁ Θεὸς πραγματεύεται. Ἄλλως δὲ καὶ πρὸς ἔλεγχον γίνεται τῶν μάγων. Ἵνα γὰρ μὴ λέγωσι πάλιν, «Εἰπάτω ὁ βασιλεὺς τὸ ἐνύπνιον, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελοῦμεν ἡμεῖς», ἐλέγχονται μηδὲ τοῦτο αὐτὸ δυνάμενοι, οὐ μόνον ἐκεῖνο. Οὐκ εἶχον λέγειν πάλιν· «Τὸ ῥῆμα, ὃ ὁ βασιλεὺς ἐπερωτᾷ, βαρύ· καὶ οὐκ ἔστιν ἄνθρωπος, ὃς δυνήσεται διακρῖναι αὐτό, ἀλλ' ἢ θεοί, ὧν οὐκ ἔστιν ἡ κατοικία μετὰ πάσης σαρκός». Ἐμάνθανεν ἐκ τούτων, ὅτι οὐδὲ τὰ πρότερα ἐκ τῆς σοφίας ταύτης εἶπεν ὁ Δανιήλ. Ἔμαθεν ὅτι οὐδὲν ἐν τοῖς ἔμπροσθεν χρόνοις ἔλεγόν τι ὑγιές, καθάπερ αὐτός φησιν, ἀλλ' ἢ πάντων ἐν ἐρημίᾳ τῶν ἐλεγχόντων ὄντες. Ὅτε δὲ ἦλθεν αὐτοῖς ἀπόδειξις ἐξ

---

3. Δαν. 2, 7. 4. Δαν. 2, 11.

κακό· ἐπίσης εἶναι δυνατὸ μέσα στὴν πόλη του νὰ ἐπικρατεῖ εἰρήνη, ἐνῶ ἡ ἐξουσία του νὰ κλονίζεται. Ἀλλ' αὐτὸς ἀπὸ παντοῦ ἀπολάμβανε εὐημερία καὶ εὐτυχία· τίποτε δὲν ὑπῆρχε ποὺ νὰ τὸ λυποῦσε. Βλέπεις πόσο κακὸ εἶναι ἡ εὐημερία; Διότι, ὅπως ἀκριβῶς στὴν περίπτωση τῶν σωμάτων, ὅταν δὲν γίνονται οἱ ἀναγκαῖοι κόποι καὶ ἀσχολίες, ὁρίζουν εἰδικοὺς γυμναστὲς πρὸς ἄσκηση τοῦ σώματος, ἔτσι καὶ ὁ Θεὸς συνήθως κάμνει, γιὰ νὰ διατηρήσει τὴν ψυχικὴ δύναμη στὸν ἄνθρωπο.

«Εἶδα ἕνα ὄνειρο ποὺ μοῦ προξένησε μεγάλο φόβο, καὶ καθὼς ἤμουν ξαπλωμένος ἐπάνω στὸ κρεβάτι μου ταράχθηκα καὶ μὲ συγκλόνισαν οἱ ὀπτασίες τῆς διανοίας μου. Καὶ ἔδωσα διαταγὴ νὰ παρουσιάσουν μπροστά μου ὅλους τοὺς σοφοὺς τῆς Βαβυλώνας, γιὰ νὰ μοῦ δώσουν τὴν ἑρμηνεία τοῦ ὀνείρου».

Πρόσεχε πῶς ἐπιδιώκει νὰ τὸν καθησυχάσει, ὄχι μὲ τὴ γνώση τῶν πραγμάτων, ἀλλὰ μὲ τὸ νὰ προείπει ἐκεῖνα ποὺ θὰ συμβοῦν, καθὼς ἐπίσης καὶ πόσο φοβερὸ ἦταν τὸ ὄνειρο. Γιὰ ποιὸ λόγο λοιπὸν καὶ τώρα δὲν τὸν ἐγκατέλειψε τὸ πνεῦμα του, οὔτε ξέχασε τὸ ὄνειρο, ὅπως ἀκριβῶς καὶ στὸ προηγούμενο ὄνειρο; Διότι τοῦ ἔδωσε ὁ Δανιὴλ πιὸ μπροστὰ ἱκανὴ ἀπόδειξη τῆς ἱκανότητάς του, δηλαδὴ κατὰ τὴν ἐξήγηση τοῦ ὀνείρου ποὺ εἶδε πρὶν ἀπὸ αὐτό, καὶ δὲν χρειαζόταν πλέον νὰ ὑποβληθεῖ σὲ δεύτερη δοκιμασία. Διότι ὁ Θεὸς ὅλα τὰ κάμνει ὄχι ἀπὸ φιλοδοξία, ἀλλ' ἀποβλέποντας πρὸς κάποια ὠφέλεια. Ἐξ ἄλλου δὲ αὐτὸ γίνεται καὶ πρὸς ἔλεγχο τῶν μάγων. Γιὰ νὰ μὴ λένε δηλαδὴ πάλι, «Ἄς πεῖ ὁ βασιλιὰς τὸ ὄνειρο καὶ ἐμεῖς θὰ τοῦ δώσομε τὴν ἑρμηνεία»[3], γίνεται φανερὸ μὲ αὐτὸ ὅτι οὔτε αὐτὸ μποροῦν νὰ κάνουν, καὶ ὄχι μόνο ἐκεῖνο. Δὲν μποροῦσαν πάλι νὰ λένε· «Τὴν ἐρώτηση ποὺ κάμνει ὁ βασιλιὰς εἶναι βαρειὰ καὶ πολὺ δύσκολη, καὶ δὲν ὑπάρχει κανένας ἄνθρωπος, ποὺ θὰ μπορέσει νὰ ἐξηγήσει αὐτήν, παρὰ μόνο οἱ θεοί, ποὺ δὲν κατοικοῦν ἀνάμεσά μας γιὰ νὰ τοὺς ρωτήσομε»[4]. Μάθαινε ἀπὸ αὐτά, ὅτι οὔτε τὰ σχετικὰ μὲ τὸ προηγούμενο ὄνειρο τὰ εἶπε ὁ Δανιὴλ ἀπὸ ἀνθρώπινη σοφία. Ἔμαθε ὅτι οὔτε κατὰ τὰ προηγούμενα χρόνια ἔλεγαν οἱ μάγοι κάτι τὸ σωστό, ὅπως αὐτὸς λέγει, ἀλλ' ὅλα ὅσα ἐξηγοῦσαν τὰ ἔκαμναν ἐντελῶς στὴν τύχη. Ὅταν ὅμως ἦρθε σ' αὐτοὺς ἡ ἀπόδειξη ἀπὸ τὴν Ἰουδαία, δηλαδὴ ὁ Δανιήλ,

Ἰουδαίας, ὁ Δανιήλ, οὐκέτι τολμῶσιν οὐδὲ πλάττεσθαι. Ὥστε οἰκονομικῶς πάλιν καλοῦνται οὗτοι. Καὶ γὰρ ἄξιον θαυμάσαι, τίνος ἕνεκεν λαβὼν πεῖραν τῆς τοῦ Δανιὴλ δυνάμεως ἐν τοσούτοις, οὐ πρῶτον αὐτὸν ἐκάλεσεν. Ὁ Θεὸς αὐτὸς γὰρ τοῦτο κατεσκεύασεν, ὥστε μετὰ τὴν ἐκείνων ἧτταν φανῆναι τὴν νίκην. «Ἐφοβέρισέν με», φησί· καὶ οὐδὲ οὕτως ἐγένετο βελτίων, ἀλλ' ἐπ' αὐτὴν ἠθέλησε τὴν πεῖραν ἐλθεῖν. Οὕτως ἀναίτιος ὁ Θεὸς πανταχοῦ.

2. «Καὶ εἰσεπορεύοντο οἱ ἐπαοιδοί, μάγοι, Γαζαρηνοί, Χαλδαῖοι· καὶ τὸ ἐνύπνιον εἶπον ἐνώπιον αὐτῶν· καὶ τὴν σύγκρισιν αὐτοῦ οὐκ ἐγνώρισάν μοι, ἕως οὗ ἕτερος εἰσῆλθε, Δανιήλ, ἐνώπιόν μου, οὗ τὸ ὄνομα Βαλτάσαρ κατὰ τὸ ὄνομα τοῦ θεοῦ μου, ὃς πνεῦμα Θεοῦ ἔχει ἐν ἑαυτῷ· καὶ τὸ ἐνύπνιον ἐνώπιον αὐτοῦ εἶπον».

«Ἕως οὗ ἕτερος», φησί, «εἰσῆλθεν ἐνώπιόν μου». Ὡς ἐπιλαθόμενος οὕτω φησί. Καὶ γὰρ πολλὰ ἔτη παρεληλύθει, καὶ ταχέως τὴν μνήμην ἀπέβαλεν, ἅτε ἐν τοσαύταις φροντίσιν ὤν, καὶ τοσαύτῃ συζῶν τρυφῇ. Τὸ εἰπεῖν ἕτερον, σημεῖόν ἐστι τοῦ σφόδρα αὐτὸν ἀγνοεῖν. «Κατὰ τὸ ὄνομα», φησί, τοῦ θεοῦ μου». Ἢ τοῦτο βούλεται εἰπεῖν, ὅτι οὕτως ἐτίμησα ὡς καὶ ἀπὸ τοῦ θεοῦ τοῦτο εἰπεῖν. Καὶ γὰρ ἔθος αὐτοῖς ἐπ' ὀνόματι τῶν θεῶν τοὺς παῖδας ὀνομάζειν· ἐπειδὴ καὶ ἐξ ἀνθρώπων ἐποίουν θεούς. Οὕτως ὁ ὄβελος, οὕτω καὶ ὁ Βήλαιος ἐκλήθη τις παρ' ἡμῖν. Ἐπειδὴ γὰρ εἶδον οἱ δαίμονες ταύτῃ τιμωμένους τοὺς ἀνθρώπους, καὶ θεοὺς καλουμένους, καὶ αὐτοὶ τοῦτο ἐζήλωσαν.

Τίνος ἕνεκέν φησι, «Δανιήλ, οὗ τὸ ὄνομα Βαλτάσαρ»; Ὅτι Θεοῦ δύναμιν εἶχε. Τοῦτο γὰρ παρ' ἐκείνοις μεγίστη τιμή. Καὶ ἠνείχετο Δανιὴλ δι' ἐκείνους τοῦτο καλεῖσθαι· οὐδαμοῦ δὲ ἐνταῦθα, αὐτοῦ μνημονεύων, Βαλτάσαρ αὐτὸν καλεῖ· ἀλλὰ τί; «Ἐγὼ Δανιήλ». Ὅσης ἠξιώθη τιμῆς ὁ τοῦ βασιλέως υἱός, τοσαύτης καὶ οὗτος, καὶ πρὸ τῆς πείρας ἐ-

5. Δαν. 4, 4-5.

δὲν τολμοῦν πλέον νὰ διατυπώσουν κάτι μὲ τὴ φαντασία τους. Ὥστε μὲ θεία μέριμνα καλοῦνται πάλι οἱ μάγοι. Καθόσον εἶναι ἄξιο θαυμασμοῦ γιὰ ποιὸ λόγο, ἂν καὶ γνώρισε σὲ τόσες περιπτώσεις τὴ δύναμη τοῦ Δανιήλ, δὲν κάλεσε πρῶτα αὐτόν. Διότι ὁ ἴδιος ὁ Θεὸς τὸ ρύθμισε αὐτὸ ἔτσι, ὥστε, μετὰ τὴν ἥττα ἐκείνων, νὰ φανεῖ ἡ νίκη τοῦ Δανιήλ. «Τὸν καταφόβισε», λέγει, «τὸ ὄνειρο»· καὶ ὅμως οὔτε καὶ ἔτσι ἔγινε καλύτερος, ἀλλὰ θέλησε καὶ πάλι νὰ κάνει τὴ δοκιμή. Τόσο πολὺ ἀναίτιος εἶναι ὁ Θεὸς σὲ κάθε περίπτωση.

2. «Καὶ ἦρθαν πρὸς ἐμένα οἱ ἐξορκιστές, οἱ μάγοι καὶ οἱ Χαλδαῖοι ἀστρολόγοι, καὶ τοὺς εἶπα τὸ ὄνειρο, ἀλλὰ δὲν μπόρεσαν ἐκεῖνοι νὰ μοῦ δώσουν τὴν ἑρμηνεία, μέχρι ποὺ προσῆλθε ἐνώπιόν μού κάποιος ἄλλος, ὁ Δανιήλ, τοῦ ὁποίου τὸ ὄνομά εἶναι Βαλτάσαρ, ἴδιο μὲ τὸ ὄνομα τοῦ θεοῦ μου, καὶ ὁ ὁποῖος ἔχει μέσα του πνεῦμα Θεοῦ. Σ' αὐτὸν εἶπα τὸ ὄνειρό μου»[5].

«Μέχρι ποὺ παρουσιάσθηκε», λέγει, «μπροστά μου κάποιος ἄλλος». Ὁμιλεῖ ἔτσι σὰν νὰ τὸν εἶχε ξεχάσει. Καθόσον εἶχαν περάσει ἀπὸ τὸ πρῶτο ὄνειρο ποὺ εἶδε πολλὰ χρόνια, καὶ γρήγορα τὸν ξέχασε, ἐπειδὴ εἶχε τόσες πολλὲς φροντίδες καὶ ἔκαμνε μιὰ τόσο ἀπολαυστικὴ ζωή. Μὲ τὸ νὰ πεῖ «μέχρι ποὺ παρουσιάσθηκε κάποιος ἄλλος, δείχνει ὅτι ἦταν ὑπερβολικὴ ἡ ἄγνοιά του γι' αὐτόν. «Ὁ ὁποῖος», λέγει, «ἔχει τὸ ἴδιο ὄνομα μὲ τὸ θεό μου». Ἢ αὐτὸ θέλει νὰ πεῖ, ὅτι τὸν τίμησα τόσο πολύ, ὥστε τοῦ ἔδωσα τὸ ὄνομα τοῦ θεοῦ μου. Καθόσον συνήθιζαν οἱ βασιλεῖς νὰ δίνουν στοὺς δούλους τους ὀνόματα τῶν θεῶν. Ἔτσι ὀνομάσθηκε ἀπὸ τοὺς ἀνθρώπους θεὸς ὁ Ὄβελος, ἔτσι καὶ ὁ Βήλαιος. Ἐπειδὴ δηλαδὴ εἶδαν οἱ δαίμονες νὰ τιμοῦνται οἱ ἄνθρωποι ἔτσι καὶ νὰ ὀνομάζονται καὶ θεοί, καὶ αὐτοὶ τὸ ζήλεψαν αὐτό.

Γιὰ ποιὸ λόγο λέγει, «Ὁ Δανιήλ, τοῦ ὁποίου τὸ ὄνομα ἦταν Βαλτάσαρ»; Διότι εἶχε δύναμη θεοῦ. Καθόσον αὐτὸ τὸ πράγμα τιμώνταν πάρα πολὺ ἀπὸ ἐκείνους. Καὶ γιὰ χάρη ἐκείνων ἀνεχόταν ὁ Δανιὴλ νὰ φέρει αὐτὸ τὸ ὄνομα· πουθενὰ δὲ ἐδῶ, μιλώντας γιὰ τὸν ἑαυτό του, δὲν ὀνομάζει τὸν ἑαυτό του Βαλτάσαρ· ἀλλὰ τί λέγει; «Ἐγὼ ὁ Δανιήλ». Ὅση τιμὴ ἀξιώθηκε ν' ἀπολαύσει ὁ υἱὸς τοῦ βασιλιᾶ, τόση ἀπόλαυσε καὶ αὐτός,

δοξεν εἶναι θαυμαστὸς ἀπ' αὐτῆς τῆς ὄψεως. Οὐ μὴν τῇ ἐκείνου δυνάμει, φησί, ἔλεγεν, ἀλλὰ «πνεῦμα Θεοῦ ἅγιον εἶχεν ἐν ἑαυτῷ». Πνεῦμα οὐχὶ τοῦτο, ὃ λέγομεν ἡμεῖς τὸν Παράκλητον, ἀλλ' ὡς ἂν εἴποι τις ἐπίπνοιαν, ἔνθους ἦν.

«Βαλτάσαρ», φησίν, «ὁ ἄρχων τῶν ἐπαοιδῶν». Πρῶτος αὐτῶν ἦν, φησί. Ὅρα πόσα τεκμήρια τοῦ βελτίονα αὐτὸν εἶναι· «Βαλτάσαρ ὁ ἄρχων τῶν ἐπαοιδῶν, ὃν ἔγνων, ὅτι πνεῦμα Θεοῦ ἅγιον ἐν σοί». Ὁ βελτίων, ὁ πάντων κρείττων, «ὃν ἐγὼ ἔγνωκα». Ἵνα γὰρ μὴ πάλιν εἰς ἀνάγκην καταστήσῃ τοῦ εἰπεῖν, «Καὶ ἐγὼ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοί», τούτῳ μάλιστα ἐπισπάσασθαι αὐτὸν προσεδόκησεν, καὶ τοῦτο πρὸ τῶν ἄλλων εἶπεν. Μὴ γάρ, ἐπειδὴ ἄρχοντα εἶπον ἐπαοιδῶν, νομίσῃς διὰ τοῦτό με εἰρηκέναι ὡς μαρτυροῦντα ἀνθρωπίνῃ σοφίᾳ ταῦτα λέγεσθαι· ἄρχων μὲν εἶ τῶν ἐπαοιδῶν, οἶδα δὲ ὅτι ὑπὸ θείας δυνάμεως κινούμενος ἅπαντα λέγεις· ἔγνων διὰ τῆς πείρας τῶν πραγμάτων. «Καὶ πᾶν μυστήριον», φησί, «οὐκ ἀδυνατεῖ σοι». Τοιαῦτα μὲν τὰ θεῖα. Τὰ μὲν γὰρ ἀνθρώπινα ἀτελῆ· τὰ δὲ τοῦ Θεοῦ οὐκέτι.

«Ἄκουσον οὖν τὴν ὅρασιν τοῦ ἐνυπνίου μου, οὗ εἶδον, καὶ τὴν σύγκρισιν αὐτοῦ εἰπέ μοι, καὶ τὰς ὁράσεις τῆς κεφαλῆς μου ἐπὶ τῆς κοίτης μου». Τί οὖν φησιν; «Ἐθεώρουν, καὶ ἰδοὺ δένδρον ἐν μέσῳ τῆς γῆς, καὶ τὸ ὕψος αὐτοῦ πολύ. Ἐμεγαλύνθη τὸ δένδρον καὶ ἴσχυσε, καὶ τὸ ὕψος αὐτοῦ ἔφθασεν ἕως τοῦ οὐρανοῦ, καὶ τὸ κύτος αὐτοῦ εἰς τὰ πέρατα πάσης τῆς γῆς, καὶ τὰ φύλλα αὐτοῦ ὡραῖα, καὶ ὁ καρπὸς αὐτοῦ πολύς, καὶ τροφὴ πάντων ἐν αὐτῷ, καὶ ὑποκάτω αὐτοῦ κατεσκήνουν τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατῴκουν τὰ ὄρνεα τοῦ οὐρανοῦ· ἐξ αὐτοῦ ἐτρέφετο πᾶσα σάρξ».

Τί βούλεται ἡ ὄψις; Πάλιν τὸ πρόσκαιρον δείκνυται τῶν πραγμάτων τῶν ἀνθρωπίνων. Τὰ πετεινά, φησί, καὶ τὰ

6. Δαν. 2, 30:

καὶ πρὶν ἀποδείξει τὶς ἱκανότητές του φαινόταν σὰν κάποιος θαυμαστὸς χάρη στὴν ὅλη παρουσία του. Δὲν ἔλεγε βέβαια ὅτι μὲ τὴ δύναμη ἐκείνου κατορθώνονταν αὐτά, ἀλλὰ ὅτι «πνεῦμα ἅγιο Θεοῦ εἶχε μέσα του». Λέγοντας πνεῦμα δὲν ἐννοεῖ αὐτὸ ποὺ ἐμεῖς τὸ ὀνομάζομε Παράκλητο, ἀλλ' ἦταν πλήρης ἀπὸ θεία δύναμη, ἀπὸ θεία ἔμπνευση, ὅπως θὰ ἔλεγε κανείς.

«Βαλτάσαρ», λέγει, «ἄρχοντα τῶν μάγων». Ἀνώτερος, λέγει, ἦταν ἀπὸ ὅλους αὐτούς. Πρόσεχε πόσες ἀποδείξεις ὅτι αὐτὸς ἦταν ἀνώτερος. «Βαλτάσαρ, ποὺ εἶσαι ἄρχοντας τῶν μάγων, γνωρίζω πολὺ καλὰ ὅτι πνεῦμα Θεοῦ κατοικεῖ σὲ σένα». Σὺ εἶσαι ὁ ἀνώτερος, ὁ πιὸ σπουδαῖος ἀπ' ὅλους, «πράγμα ποὺ τὸ γνωρίζω πολὺ καλά». Γιὰ νὰ μὴ τὸν ἐξαναγκάσει δηλαδὴ πάλι νὰ πεῖ, «Καὶ ἐγὼ δὲ ὄχι μὲ τὴ δύναμη τῆς ἀνθρώπινης σοφίας ποὺ ὑπάρχει μέσα μου»[6], ἔλπισε ὅτι μὲ αὐτὸ πρὸ πάντων θὰ προσελκύσει αὐτὸν καὶ αὐτὸ εἶπε πρὶν ἀπὸ ὅλα. Μὴ δηλαδή, ἐπειδὴ εἶπα ὅτι εἶσαι ἄρχοντας τῶν μάγων, νομίσεις ὅτι γι' αὐτὸ τὸ εἶπα αὐτό, γιὰ νὰ βεβαιώσω δηλαδὴ ὅτι αὐτὰ τὰ λέγεις ἀπὸ ἀνθρώπινη σοφία· εἶσαι μὲν ἄρχοντας τῶν μάγων, ἀλλὰ γνωρίζω ὅτι ὅλα αὐτὰ τὰ λέγεις ἐμπνεόμενος ἀπὸ θεία δύναμη· τὸ διαπίστωσα αὐτὸ ἀπὸ τὴν ἐμπειρία ποὺ εἶχα ἀπὸ τὰ ἴδια τὰ πράγματα. «Καὶ κανενὸς μυστηρίου», λέγει, «δὲν εἶναι γιὰ σένα ἀδύνατη ἡ λύση». Τέτοια εἶναι τὰ θεῖα. Τὰ μὲν ἀνθρώπινα δηλαδὴ εἶναι ἀτελή, ἐνῶ τὰ τοῦ Θεοῦ ὄχι.

«Ἄκουσε λοιπὸν τὸ ὅραμα τοῦ ὀνείρου ποὺ εἶδα, καὶ πές μου τὴν ἑρμηνεία του, δηλαδὴ τὰ ὁράματα τῆς διάνοιάς μου ποὺ τὰ εἶδα ἐνῶ ἤμουν ξαπλωμένος στὸ κρεβάτι μου». Τί λοιπὸν λέγει; «Ἔβλεπα ὅτι ὑπῆρχε στὸ μέσο τῆς πεδιάδας ἕνα πανύψηλο δένδρο. Τὸ δένδρο αὐτὸ μεγάλωσε καὶ ἀναπτύχθηκε ὑπερβολικὰ καὶ τὸ ὕψος του ἔφθασε μέχρι τὸν οὐρανὸ καὶ ἡ ἔκτασή του κάλυψε ὅλα τὰ μέρη τῆς γῆς. Τὰ φύλλα του ἦταν ὡραῖα, οἱ καρποί του ὑπεράφθονοι καὶ ὅλοι τρέφονταν ἀπ' αὐτούς. Κάτω ἀπ' αὐτὸ εἶχαν τὶς φωλιές τους τὰ ἄγρια θηρία καὶ στὰ κλαδιά του κατοικοῦσαν τὰ πουλιὰ τοῦ οὐρανοῦ· ἀπ' αὐτὸ τρέφονταν ὅλες οἱ ζωντανὲς ὑπάρξεις».

Τί νόημα εἶχε τὸ ὄνειρο; Πάλι δείχνει τὸ πρόσκαιρο τῶν ἀνθρώπινων πραγμάτων. Τὰ πουλιά, λέγει, καὶ τὰ θηρία ἀπο-

θηρία ἐν αὐτῷ σκιᾶς ἀπέλαυον, καὶ ᾤκουν· καὶ τροφὴ αὐτοῖς ἐκεῖθεν ἦν. Τὴν ἀρχὴν αὐτοῦ λέγει, πᾶσαν ἐπισχοῦσαν τὴν οἰκουμένην. Πρότερον μὲν οὖν δι' εἰκόνος, νῦν δὲ διὰ δένδρου δείκνυται αὐτῷ τὰ πράγματα. Διὰ τί γὰρ μὴ ἔπεμψε τὸν Δανιὴλ ἐροῦντα ταῦτα; Ὅτι οὕτως ἀξιοπιστότερος ὁ λόγος ἔμελλεν ἔσεσθαι, καὶ φοβερώτερος, ὑπ' ὄψιν τῶν πραγμάτων ἀγομένων, ἵνα μάθῃς ὅτι ὁ αὔξων τὰ φυτά, οὗτος καὶ τὴν βασιλείαν λανθανόντως, καὶ οὐκ εἰδότων ἡμῶν.

«Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς ἐπὶ τῆς κοίτης μου, καὶ ἰδοὺ εἲρ, καὶ ἅγιος ἀπ' οὐρανοῦ κατέβη καὶ ἐφώνησεν ἐν ἰσχύϊ, καὶ οὕτως εἶπεν· Ἐκκόψατε τὸ δένδρον, ἐκτίλατε τοὺς κλάδους αὐτοῦ, καὶ ἐκτινάξατε τὰ φύλλα αὐτοῦ, καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ. Σαλευθήτωσαν τὰ θηρία ὑποκάτωθεν αὐτοῦ, καὶ τὰ ὄρνεα ἀπὸ τῶν κλάδων αὐτοῦ. Πλὴν τὴν φυὴν τῶν ριζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε· καὶ ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ, καὶ ἐν τῇ χλόῃ τῇ ἔξω, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται, καὶ μετὰ τῶν θηρίων ἡ μερὶς αὐτοῦ ἐν τῷ χόρτῳ τῆς γῆς· ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων ἀλλοιωθήσεται, καὶ καρδία θηρίου δοθήσεται αὐτῷ, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτόν. Διὰ συγκρίματος εἲρ ὁ λόγος, καὶ ρῆμα ἁγίων τὸ ἐπερώτημα, ἵνα γνῶσιν οἱ ζῶντες, ὅτι Κύριός ἐστιν ὁ ὕψιστος τῆς βασιλείας, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν, καὶ ἐξουθένημα ἀνθρώπων ἀναστήσει ἐπ' αὐτήν».

Ὅρα· φησὶν «Εἲρ» φῶς μέγα, καὶ λαμπηδόνα. «Καὶ ἅγιος ἀπ' οὐρανοῦ κατέβη, καὶ ἐφώνησεν ἐν ἰσχύϊ», ὥστε τοῦτον ἐκπλῆξαι. «Καὶ οὕτως εἶπεν· ἐκκόψατε τὸ δένδρον, πλὴν τὴν φυὴν τῶν ριζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε». Ἀλλ' ἐπειδὴ φθείρεσθαι εἴωθεν ἡ φυὴ πολλάκις, οὕτως «Ἐάσατε,

λάμβαναν κάτω ἀπ' αὐτὸ τὴ σκιὰ καὶ σ' αὐτὸ εἶχαν τὶς κατοικίες τους· καὶ ἡ τροφὴ αὐτῶν ἀπ' αὐτὸ προερχόταν. Ἐννοεῖ τὴν ἐξουσία αὐτοῦ ποὺ κατέλαβε ὁλόκληρη τὴν οἰκουμένη. Στὴν ἀρχὴ λοιπὸν μὲ εἰκόνα, ἐνῶ τώρα μὲ δένδρο δείχνονται σ' αὐτὸν τὰ πράγματα τοῦ κόσμου. Καὶ γιατί δὲν ἔστειλε ἀνθρώπους γιὰ νὰ ρωτήσει τὸν Δανιὴλ γι' αὐτά; Διότι ἔτσι ἐπρόκετο νὰ γίνει πιὸ ἀξιόπιστος ὁ λόγος καὶ πιὸ φοβερός, βλέποντας τὰ πράγματα μὲ τὰ μάτια του, γιὰ νὰ μάθεις ὅτι ἐκεῖνος ποὺ αὐξάνει τὰ φυτά, αὐτὸς εἶναι ποὺ κατευθύνει κατὰ τρόπο ἀόρατο καὶ τὴ βασιλεία, χωρὶς νὰ τὸ γνωρίζομε ἐμεῖς.

«Ἐνῶ λοιπὸν ἤμουν ξαπλωμένος στὸ κρεβάτι μου καὶ ἔβλεπα μέσα στὴ νύχτα τὰ ὄνειρα αὐτά, ξαφνικὰ κατέβηκε ἀπὸ τὸν οὐρανὸ κάποιος ἅγιος ἄγγελος καὶ φώναξε μὲ δυνατὴ φωνὴ καὶ εἶπε τὰ ἑξῆς· Κόψτε τὸ δένδρο, μαδῆστε τὰ κλαδιά του, τινάξτε τὰ φύλλα του καὶ σκορπίστε τὸν καρπό του. Ἄς φύγουν τρομαγμένα τὰ θηρία ποὺ βρίσκονται κάτω ἀπ' αὐτὸ καὶ τὰ πτηνὰ ποὺ φωλιάζουν στὰ κλαδιά του. Ἀφῆστε μόνο τὸ φύτρο τῶν ριζῶν του μέσα στὴ γῆ, δεμένο σὰν μὲ σιδερένια καὶ χάλκινα δεσμά, καὶ αὐτὸς στὸ ἑξῆς θὰ κοιμᾶται ἔξω στὴ χλόη κάτω ἀπὸ τὴ δροσιὰ τοῦ οὐρανοῦ. Θὰ ζεῖ καὶ θὰ συναναστρέφεται ἀνάμεσα στὰ θηρία καὶ θὰ τρώγει τὸ χορτάρι τῆς γῆς. Ἡ καρδιά του θ' ἀλλάξει καὶ θὰ γίνει διαφορετικὴ ἀπὸ τὴν καρδιὰ τῶν ἄλλων ἀνθρώπων, διότι θὰ δοθεῖ σ' αὐτὸν καρδιὰ θηρίου, καὶ ἑφτὰ χρόνια θὰ παραμείνει αὐτὸς στὴν κατάσταση αὐτή. Ὁ λόγος αὐτὸς ἀποτελεῖ οὐράνια ἀπόφαση καὶ θὰ φωτισθεῖ μὲ κατάλληλη ἑρμηνεία, ἡ ἀπάντηση δὲ στὸ ἐρώτημα αὐτὸ θὰ δοθεῖ ἀπὸ τοὺς ἁγίους, γιὰ νὰ μάθουν, ὅσοι ζοῦν ἐπάνω στὴ γῆ, ὅτι Κύριος τῆς βασιλείας εἶναι ὁ Ὕψιστος, καὶ θὰ δώσει αὐτὴν σ' ὁποιον θελήσει αὐτός, καὶ ἔχει τὴ δύναμη νὰ ἐγκαταστήσει σ' αὐτὴν καὶ ν' ἀναδείξει ἄνθρωπο ἄσημο καὶ περιφρονημένο».

Πρόσεχε· Λέγοντας «Εἴρ», ἐννοεῖ φῶς μέγα καὶ οὐράνια ἀκτινοβολία. «Καὶ ἅγιος κατέβηκε ἀπὸ τὸν οὐρανὸ καὶ φώναξε μὲ δυνατὴ φωνή», ὥστε νὰ προκαλέσει ἔκπληξη σ' αὐτόν. «Καὶ εἶπε τὰ ἑξῆς· Κόψτε αὐτὸ τὸ δένδρο, καὶ μόνο τὸ φύτρο τῶν ριζῶν αὐτοῦ ἀφῆστε μέσα στὴ γῆ». Ἀλλ' ἐπειδὴ συνήθως καταστρέφεται πολλὲς φορὲς τὸ φύτρο, ἔτσι, «Ἀφῆστε το», λέγει,

φησί, «ὡς ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ». «Καὶ ἑπτὰ καιροί», φησί, «ἐπ' αὐτὸν ἀλλαγήσονται, καὶ μετὰ τῶν θηρίων ἡ κατοίκησις αὐτοῦ». Ὅτι γὰρ περὶ ἀνθρώπου ταῦτα ἦν, τὰ ὕστερα ἐδήλωσεν. «Καὶ καρδία», φησί, «θηρίου δοθήσεται αὐτῷ». Ὅτι «Διὰ συγκρίματος εἶρ ὁ λόγος»· αὐτόθεν οὐ δυνατὸς φωτισθῆναι, φησί, ἀλλὰ δεῖ τοῦ ἑρμηνεύοντος. «Καὶ ῥῆμα», φησί, «ἁγίων τὸ ἐπερώτημα»· καὶ ἅγιοι δυνήσονται τοῦτο εἰπεῖν. Ἢ τοῦτο λέγει, ἢ ἐκεῖνο, ὅτι τὴν ἐρώτησιν δοῦναι, καὶ τὴν αἰτίαν, δι' ἣν ταῦτα γίνεται, καὶ διὰ ἀποκρίσεως ἐφωτίσθη. «Ἵνα γνῶσι», φησί, «οἱ ζῶντες, ὅτι Κύριός ἐστιν ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων». Αὕτη ἡ αἰτία. Ὁρᾷς πῶς προνοεῖ τῶν ἀνθρώπων ὁ Θεός; πῶς οὐκ εἰς Ἰουδαίους συγκέκλειστο αὐτοῦ ἡ ἀρχή;

«Τοῦτο τὸ ἐνύπνιον εἶδον ἐγὼ ὁ βασιλεὺς Ναβουχοδονόσορ, καὶ σὺ Βαλτάσαρ σύγκριμα εἰπέ, ὅτι πάντες οἱ σοφοὶ τῆς βασιλείας μου οὐ δύνανται τὸ σύγκριμα αὐτοῦ δηλῶσαί μοι. Σὺ δὲ δύνασαι, ὅτι πνεῦμα Θεοῦ ἅγιον ἐν σοί».

«Ὅτι πάντες οἱ σοφοὶ τῆς βασιλείας μου οὐ δύνανται». Ἤδει τοῦτο πάλιν εὐφραῖνον τὸν Δανιήλ, τὸ πάντα ὁμολογῆσαι ἡττῆσθαι, οὐ διὰ τὴν αὐτοῦ δόξαν, ἀλλὰ διὰ τὸ τὴν τοῦ Θεοῦ δύναμιν κηρύττεσθαι πάλιν. «Σὺ δὲ δύνασαι», φησί, «εἰπέ». Διὰ τί; «Ὅτι πνεῦμα Θεοῦ ἐν σοί». Ὅρα ἐντεῦθεν ἀρχόμενον, καὶ ἐντεῦθεν λήξαντα.

3. «Τὸ δένδρον, ὃ εἶδες, τὸ μεγαλυνθὲν καὶ τὸ ἰσχυκός, οὗ τὸ ὕψος ἔφθασεν εἰς τὸν οὐρανόν, καὶ τὸ κύτος αὐτοῦ εἰς πᾶσαν τὴν γῆν, καὶ τὰ φύλλα αὐτοῦ εὐθαλῆ, καὶ ὁ καρπὸς αὐτοῦ πολύς, καὶ τροφὴ πᾶσιν ἐν αὐτῷ· ὑποκάτω αὐτοῦ κατῴκει τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατε-

σὰν νὰ εἶναι κατὰ κάποιο τρόπο δεμένο μὲ σιδερένια καὶ χάλκινα δεσμά». «Καὶ ἑφτὰ χρονικὲς περιόδους», λέγει, «θὰ περάσει αὐτὸς στὴν κατάσταση αὐτὴ καὶ θὰ κατοικεῖ ἀνάμεσα στὰ θηρία». Τὸ ὅτι βέβαια αὐτὰ ἀναφέρονται σὲ ἄνθρωπο τὸ φανερώνουν τὰ ὅσα λέγει στὴ συνέχεια. Διότι, λέγει, «Θὰ δοθεῖ σ' αὐτὸν καρδιὰ θηρίου». «Καὶ ὁ λόγος αὐτὸς θὰ φωτισθεῖ μετὰ ἀπὸ κατάλληλη ἑρμηνεία»· ὁ λόγος, λέγει, αὐτὸς δὲν μπορεῖ ἀπὸ μόνος του νὰ φωτισθεῖ, ἀλλὰ χρειάζεται κάποιον νὰ τὸν ἑρμηνεύσει. «Καὶ τὴν ἑρμηνεία», λέγει, «αὐτοῦ τοῦ ἐρωτήματος θὰ τὴν δώσουν οἱ ἅγιοι»· καὶ οἱ ἅγιοι θὰ μπορέσουν νὰ ἑρμηνεύσουν αὐτό. Ἢ αὐτὸ ἐννοεῖ, ἢ ἐκεῖνο, ὅτι δηλαδὴ αὐτοὶ θὰ δώσουν τὴν ἑρμηνεία καὶ θὰ ἐξηγήσουν τὴν αἰτία, γιὰ τὴν ὁποία γίνονται αὐτά, καὶ θὰ φωτισθοῦν ὅλα αὐτὰ μὲ ἑρμηνεία ἀπ' αὐτούς. «Γιὰ νὰ γνωρίσουν», λέγει, «ὅλοι ὅσοι ζοῦν ἐπάνω στὴ γῆ, ὅτι Κύριος τῆς βασιλείας τῶν ἀνθρώπων εἶναι ὁ Ὕψιστος». Αὐτὴ εἶναι ἡ αἰτία. Βλέπεις πῶς ὁ Θεὸς φροντίζει γιὰ τοὺς ἀνθρώπους; πῶς ἡ ἐξουσία αὐτοῦ δὲ περιοριζόταν μόνο στοὺς Ἰουδαίους;

«Αὐτὸ εἶναι τὸ ὄνειρο ποὺ εἶδα ἐγὼ ὁ βασιλιὰς Ναβουχοδονόσορ, καὶ σύ, Βαλτάσαρ, δός μου τὴν ἑρμηνεία, διότι ὅλοι οἱ σοφοὶ τῆς βασιλείας μου δὲν μποροῦν νὰ μοῦ δώσουν τὴν ἑρμηνεία αὐτοῦ. Σὺ ὅμως μπορεῖς, διότι ὑπάρχει μέσα σὲ σένα ἅγιο πνεῦμα Θεοῦ».

«Διότι ὅλοι οἱ σοφοὶ τῆς βασιλείας μου δὲν μποροῦν νὰ τὸ ἑρμηνεύσουν». Γνώριζε ὅτι αὐτὸ εὐχαριστεῖ πάλι τὸν Δανιήλ, τὸ νὰ ὁμολογήσουν δηλαδὴ ὅλοι τὴν ἧττα τους, ὄχι γιὰ τὴ δική του δόξα, ἀλλὰ γιὰ νὰ διακηρυχθεῖ καὶ πάλι ἡ δύναμη τοῦ Θεοῦ. «Σὺ ὅμως», λέγει, «μπορεῖς νὰ τὸ ἑρμηνεύσεις». Γιατί; «Διότι ὑπάρχει σὲ σένα πνεῦμα Θεοῦ». Πρόσεχε ποὺ μὲ τὰ ἴδια λόγια ἄρχισε τὴν περιγραφὴ τοῦ ὀνείρου καὶ μὲ τὰ ἴδια τὴν τελείωσε.

3. «Τὸ δένδρο ποὺ εἶδες, τὸ τόσο μεγάλο καὶ τὸ τόσο ἰσχυρό, τοῦ ὁποίου τὸ ὕψος ἔφθασε μέχρι τὸν οὐρανό, τὸ πλάτος του κάλυπτε ὁλόκληρη τὴ γῆ, τὰ φύλλα του ἦταν θαλλερά, ὁ καρπός του ἦταν ὑπεράφθονος, παρέχοντας τροφὴ σ' ὅλους, καὶ κατοικοῦσαν κάτω μὲν ἀπὸ αὐτὸ τὰ ἄγρια θηρία, στὰ δὲ

σκήνουν τὰ πετεινὰ τοῦ οὐρανοῦ, σὺ εἶ, βασιλεῦ, ὅτι ἐμεγαλύνθης καὶ ἴσχυσας, καὶ ἡ μεγαλωσύνη σου ἐμεγαλύνθη, καὶ ἔφθασεν εἰς τὸν οὐρανόν, καὶ ἡ κυρία σου εἰς τὰ πέρατα τῆς γῆς. Καὶ ὅτι εἶδεν ὁ βασιλεὺς εἶρ, καὶ ἅγιον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν, Ἐκτίλατε τὸ δένδρον καὶ διαφθείρατε αὐτό, πλὴν τὴν φυὴν τῶν ριζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ, καὶ ἐν χλόῃ τῇ ἔξω, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται, καὶ μετὰ θηρίων ἀγρίων ἡ μερὶς αὐτοῦ, ἕως ἑπτὰ καιροὶ ἀλλαγῶσιν ἐπ' αὐτὸν τοῦτο ἡ σύγκρισις αὐτοῦ, βασιλεῦ, καὶ σύγκριμα Ὑψίστου ἐστὶν ὃ ἔφθασεν ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα· καὶ σὲ ἐκδιώξουσιν ἀπὸ τῶν ἀνθρώπων, καὶ μετὰ θηρίων ἔσται ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ βαφήσεται τὸ σῶμά σου, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σοί, ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτήν. Καὶ ὅτι εἶπεν, Ἐάσατε τὴν φυὴν τῶν ριζῶν τοῦ δένδρου, ἡ βασιλεία σου σοὶ μενεῖ, ἀφ' ἧς ἂν γνῷς τὴν ἐξουσίαν τὴν οὐράνιον».

Τί οὖν φησι; πῶς ἔσται ἡ λύσις τοῦ δεινοῦ; «Διὰ τοῦτο, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων. Ἴσως ἔσται μακροθυμία τοῖς παραπτώμασί σου». Τί λέγεις, «Ἴσως ἔσται», καὶ τοῦ φαρμάκου τὴν ἰσχὺν ὑπό τινα ἀμφιβολίαν καθιστᾷς; Οὐ διὰ τοῦτο εἶπον, «Ἴσως», οὐκ ἀμφιβάλλων, μὴ γένοιτο, ἀλλ' ἐκείνῳ τὸν φόβον ἐπιτεῖναι βουλόμενος, ὡς πάσης θεραπείας καὶ πάσης συγγνώμης ἀνώτερα αὐτοῦ ἡμαρτηκότος. Εἰ γὰρ καὶ μετὰ τὸ οὕτω λεχθῆναι ἐπέμεινε τῇ μανίᾳ, πολλῷ μᾶλλον εἰ μὴ μετὰ ἀμφι-

κλαδιά του ἦταν κατασκηνωμένα τὰ πτηνὰ τοῦ οὐρανοῦ, σὺ εἶσαι, βασιλιά μου, διότι πράγματι ἔγινες πολὺ μεγάλος καὶ πολὺ ἰσχυρός, καὶ τὸ μεγαλεῖο σου ἁπλώθηκε τόσο πολὺ καὶ ἔφθασε μέχρι τὸν οὐρανὸ καὶ ἡ ἐξουσία σου μέχρι τὰ πέρατα τῆς γῆς. Καὶ τὸ ὅτι εἶδε ὁ βασιλιὰς φῶς οὐράνιο καὶ ἅγιο νὰ κατεβαίνει ἀπὸ τὸν οὐρανὸ καὶ εἶπε· Μαδῆστε τὸ δένδρο καὶ καταστρέψτε το, καὶ μόνο τὴ φύτρα τῶν ριζῶν του ἀφῆστε μέσα στὴ γῆ, σὰν μέσα σὲ σιδερένια καὶ χάλκινα δεσμά, καὶ ὅτι θὰ κοιμᾶται ἔξω στὴ χλόη καὶ κάτω ἀπὸ τὴ δροσιὰ τοῦ οὐρανοῦ, θὰ ζεῖ δὲ καὶ θὰ συναναστρέφεται ἀνάμεσα στὰ ἄγρια θηρία, καὶ θὰ διαρκέσει αὐτὴ ἡ κατάσταση ἑφτὰ χρονικὲς περιόδους, ὡς ἑξῆς ἑρμηνεύονται αὐτά, βασιλιά μου, ἡ δὲ ἑρμηνεία τους προέρχεται ἀπὸ τὸν Ὕψιστο Θεὸ καὶ σύντομα θὰ βρεῖ πραγματοποίηση στὸν κύριό μου τὸ βασιλιά. Θὰ σὲ διώξουν ἀνάμεσα ἀπὸ τοὺς ἀνθρώπους καὶ θὰ κατοικεῖς μαζὶ μὲ τὰ θηρία, ὅπου θὰ σὲ τρέφουν μὲ χορτάρι σὰν τὸ βόδι, τὸ δὲ σῶμα σου θὰ βρέχεται ἀπὸ τὴ δροσιὰ τοῦ οὐρανοῦ. Θὰ περάσουν ἑφτὰ χρονικὲς περίοδοι κατὰ τὶς ὁποῖες θὰ βρίσκεσαι σ' αὐτὴ τὴν κατάσταση, μέχρι ποὺ θὰ γνωρίσεις ὅτι ὁ Ὕψιστος εἶναι ὁ ἐξουσιαστὴς τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ θὰ δώσει αὐτὴν σ' ἐκεῖνον ποὺ θὰ θελήσει αὐτός. Καὶ τὸ ὅτι εἶπε, Ἀφῆστε μόνο τὴ φύτρα τῶν ριζῶν τοῦ δένδρου, σημαίνει ὅτι ἡ βασιλεία σου θὰ παραμείνει σὲ σένα ἀπὸ τὴ στιγμὴ ἐκείνη ποὺ θὰ γνωρίσεις τὴν οὐράνια ἐξουσία».

Τί λοιπὸν λέγει στὴ συνέχεια; πῶς θ' ἀπαλλαχθεῖ ἀπὸ τὸ κακό; «Γι' αὐτό, βασιλιά μου, ἄς γίνει ἀποδεκτὴ ἀπὸ σένα ἡ συμβουλή μου καὶ φρόντισε νὰ ἐξαλείψεις τὶς ἁμαρτίες σου μὲ ἐλεημοσύνες καὶ τὶς ἀδικίες σου μὲ φιλανθρωπικὲς πράξεις πρὸς τοὺς φτωχούς. Ἴσως δείξει ὁ Θεὸς φιλανθρωπία γιὰ τὰ ἁμαρτήματά σου». Γιατί λέγεις, «Ἴσως δείξει φιλανθρωπία», καὶ θέτεις ὑπὸ ἀμφιβολία τὴ δύναμη τοῦ φαρμάκου; Δὲν εἶπα γι' αὐτὸ «ἴσως», ἐπειδὴ δηλαδὴ ἀμφιβάλλω, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλὰ θέλοντας ν' αὐξήσω τὸ φόβο σ' ἐκεῖνον, διότι τὰ ἁμαρτήματα ποὺ διέπραξε βρίσκονται πάνω ἀπὸ κάθε προσπάθεια ἐπανορθώσεως καὶ κάθε συγγνώμης. Διότι, ἐὰν καὶ μετὰ τὸ ὅτι λέχθηκαν αὐτὰ κατ' αὐτὸ τὸν τρόπο ἐξακολούθησε

βολίας ἐρρέθη. Καὶ γὰρ καὶ ἀλλαχοῦ τοῦτο βούλεται, διὰ τοῦ προφήτου λέγων· «Ἐὰν ἀποπλύνῃς ἐν νίτρῳ, κεκηλίδωσαι ἐναντίον μου, λέγει Κύριος». Καὶ πάλιν· «Εἰ ἀλλάξει Αἰθίοψ τὸ δέρμα, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς». Ὥσπερ οὖν ἐκεῖ ἀποκλείει τὴν μετάνοιαν, οὐχ ἵνα ἀποκλείσῃ, ἀλλ' ἵνα μᾶλλον φοβήσῃ, οὕτω καὶ ἐνταῦθα βουλόμενος δεῖξαι τὸ μέγεθος τῶν ἡμαρτημένων, εἶπεν, «Ἴσως».

Τίνος δὲ ἕνεκεν οὐκ εἶπε· 'Ταπεινοφρόνησον, ἐπίγνωθι τὸν Θεόν'; Εἰ γὰρ διὰ τοῦτο ταῦτα πάσχει, καθὼς καὶ αὐτός φησι, τίνος ἕνεκεν ἕτερα παραινεῖς; Εἶπεν, «Ἵνα γνῶσιν ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων». Τί οὖν; ἵνα ἕτεροι σωφρονισθῶσιν, ἐγὼ κολάζομαι; Οὐχί, ἀλλ' ἐν μὲν τῷ ὀνείρῳ ἅτε μὴ βουλόμενος ἐμφῆναι τὸ σαφές, εἶπεν, «Ἵνα γνῶσιν οἱ ζῶντες», ὁ δὲ Δανιὴλ φησι, «Ἕως οὗ σὺ γνῷς, ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτήν». Εἶδες πῶς ἐνταῦθα περὶ ταπεινοφροσύνης διελέχθη; Ἀλλ' ἐν μὲν τῷ ὀνείρῳ, φησί, τοῦτο τὸ φάρμακον, ἐγὼ δὲ καὶ ἕτερον λέγω. Καθάπερ ἐπὶ ἄρχοντος ὀργιζομένου, αὐτὸς μὲν οὐδὲν ἂν εἴποι, τῶν δὲ οἰκείων τις τῶν ἐκείνου προσελθὼν τῷ ὑπευθύνῳ λέγοι· 'Τὸ ποίησον, καὶ τό· δὸς χρήματα, καὶ πολλάκις δυνάμεθα ἐξαρπάσαι σε τῶν ἐπικειμένων κακῶν'.

«Ἔτι τοῦ λόγου ἐν στόματι βασιλέως ὄντος, φωνὴ ἀπὸ τοῦ οὐρανοῦ ἐγένετο· Σοὶ λέγεται, Ναβουχοδονόσορ βασιλεῦ· ἡ βασιλεία σου παρῆλθεν ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐκδιώξουσί σε, καὶ μετὰ θηρίων ἀγρίων ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε· καὶ ἑπτὰ καιροὶ ἀλ-

7. Ἰερ. 2, 22. 8. Ἰερ. 13, 23.

νὰ παραμένει στὴ μανία του, πολὺ περισσότερο θὰ συνέβαινε αὐτὸ ἂν δὲν λέγονταν μὲ κάποια ἀμφιβολία. Καθόσον καὶ ἀλλοῦ αὐτὸ θέλει νὰ ἐπιτύχει, λέγοντας μέσω τοῦ προφήτη· «Ἐὰν πλυθεῖς ἐξωτερικὰ μὲ νίτρο, θὰ παραμείνεις ἐνώπιόν μου κηλιδωμένη καὶ πάλι, λέγει ὁ Κύριος»[7]. Καὶ πάλι· «Ἐὰν μπορέσει κάποτε ὁ Αἰθίοπας ν' ἀλλάξει τὸ δέρμα του καὶ ἡ πάρδαλη τὰ ποικίλα χρώματά της»[8]. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖ ἀποκλείει τὴ μετάνοια, ὄχι γιὰ ν' ἀποκλείσει ἀπὸ τὴ μετάνοια, ἀλλὰ γιὰ νὰ προκαλέσει μεγαλύτερο φόβο, ἔτσι καὶ ἐδῶ, θέλοντας νὰ δείξει τὸ μέγεθος τῶν ἁμαρτημάτων, εἶπε, «Ἴσως».

Γιὰ ποιὸ λόγο δὲ δὲν εἶπε, 'Δεῖξε ταπεινοφροσύνη, γνώρισε τὸ Θεὸ καὶ δεῖξε σεβασμὸ πρὸς αὐτόν'; Διότι, ἐὰν γι' αὐτὸ τὰ παθαίνει αὐτά, καθὼς καὶ αὐτὸς λέγει, γιὰ ποιὸ λόγο δίνεις καὶ ἄλλες συμβουλές; Εἶπε, «Γιὰ νὰ γνωρίσουν ὅτι ὁ Ὕψιστος εἶναι ὁ ἐξουσιαστὴς τῆς βασιλείας τῶν ἀνθρώπων». Τί λοιπόν; γιὰ νὰ σωφρονισθοῦν ἄλλοι, ἐγὼ τιμωροῦμαι; Ὄχι, ἀλλὰ στὸ μὲν ὄνειρο, ἐπειδὴ δὲν ἤθελε νὰ παρουσιάσει αὐτὸ ξεκάθαρα, εἶπε, «Γιὰ νὰ γνωρίσουν ὅλες οἱ ζωντανὲς ὑπάρξεις», ἐνῶ ὁ Δανιὴλ λέγει, «Μέχρι ποὺ νὰ γνωρίσεις σύ, ὅτι ὁ Ὕψιστος εἶναι ὁ ἐξουσιαστὴς τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ θὰ δώσει αὐτὴν σ' ἐκεῖνον ποὺ θὰ θελήσει αὐτός». Εἶδες πῶς ἐδῶ μίλησε γιὰ ταπεινοφροσύνη; Ἀλλὰ στὸ μὲν ὄνειρο, λέγει, αὐτὸ εἶναι τὸ φάρμακο, ἐγὼ ὅμως σοῦ λέγω καὶ ἄλλο φάρμακο. Ὅπως ἀκριβῶς στὴν περίπτωση κάποιου ἄρχοντα ποὺ εἶναι ὀργισμένος, αὐτὸς μὲν τίποτε δὲν θὰ μποροῦσε νὰ πεῖ, ἐνῶ κάποιος ἀπὸ τοὺς γνωστοὺς τοῦ ἄρχοντα πλησιάζοντας τὸν ὑπεύθυνο θὰ μποροῦσε νὰ πεῖ· 'Κάνε αὐτὸ καὶ αὐτό· δῶσε χρήματα, καὶ θὰ μπορέσομε ὁπωσδήποτε νὰ σὲ σώσομε ἀπὸ τὰ κακὰ ποὺ βρίσκονται μπροστά σου'.

«Ἐνῶ ἔλεγε ἀκόμα τὰ λόγια αὐτὰ ὁ βασιλιάς, ἀκούστηκε ἡ φωνὴ ἀπὸ τὸν οὐρανὸ ποὺ ἔλεγε· Σὲ σένα, βασιλιὰ Ναβουχοδονόσορ, ἀπευθύνονται τὰ λόγια αὐτά· ἡ βασιλεία σου πέρασε ἀπὸ σένα καὶ σοῦ ἀφαιρέθηκε· θὰ σὲ διώξουν μέσα ἀπὸ τοὺς ἀνθρώπους καὶ θὰ κατοικεῖς ἀνάμεσα στὰ ἄγρια θηρία, ὅπου θὰ σὲ τρέφουν μὲ χορτάρι σὰν τὸ βόδι· ἑφτὰ καιροὶ θὰ περά-

λαγήσονται ἐπὶ σοί, ἕως γνῷς ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν. Αὐτῇ τῇ ὥρᾳ συνετελέσθη ὁ λόγος ἐπὶ Ναβουχοδονόσορ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιεν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ αἱ τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν, καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέου».

Ὅρα τὴν ἀπόφασιν ἄνωθεν φερομένην πρὸς αὐτὸν τὸν Ναβουχοδονόσορ. Καὶ εἰς τέλος ἐξέβη τὰ πράγματα. Ἠγνόησας, φησί, τὴν ἀνθρωπίνην εὐγένειαν, κατέπεσας πρὸς θηρίων ἀτιμίαν. Οὐδὲν ἀτιμότερον γένοιτ' ἂν τούτου, οὔτε εἰ πένητα, οὔτε εἰ δεσμώτην, οὔτε εἰ ἄλλο τι τοιοῦτον εἰργάσατο αὐτόν. Οὐδαμῶς ἂν αὐτὸν τῆς κατὰ τὴν φύσιν εὐγενείας ἐξέβαλεν, οὐ τὸ σῶμα πρὸς θηρίου φύσιν μεταβαλών, ἀλλ' ὃ τῶν ἀλόγων διέστηκε, τοῦτο πρὸς θηριωδίαν μεταστήσας. Πῶς οὖν; Ἵνα καὶ οἱ λοιποὶ μάθωσιν ἀπὸ τῆς τροφῆς, ἀπὸ τῆς ὄψεως. Τί δὲ παιδευόμεθα ἐκ τούτων; Ὅτι τούτων οὐδὲν ἄμεινον διακείμεθα, κἂν μὴ τὰ αὐτὰ γένηται ἐφ' ἡμῶν, ὅταν εἰς ὑπερηφανίαν ἢ τὸ θηριῶδες ἐξολισθήσωμεν πάθος. Πόσοι νῦν κατὰ τὸν Ναβουχοδονόσορ ἐκεῖνον θηρίου διάνοιαν ἔχουσι; Ἄκουσον γοῦν τοῦ Ἰωάννου λέγοντος· «Ὄφεις, γεννήματα ἐχιδνῶν»· καὶ πάλιν ἑτέρου προφήτου λέγοντος· «Ἵπποι θηλυμανεῖς ἐγένοντο· ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον ἐχρεμέτιζον»· καὶ ἑτέρου πάλιν· «Κύνες ἐνεοὶ οὐ δυνάμενοι ὑλακτεῖν»· καὶ ἄλλου πάλιν ἀλώπεκας καλοῦντος, καὶ ἄλλου δράκοντας καὶ βασιλίσκους. Πολλῷ δὲ χεῖρον ἐν ταύτῃ ὄντας τῇ ζωῇ ἐκθηριοῦσθαι, ἢ τὰ τοῦ Ναβουχοδονόσορ παθεῖν. Ἐκεῖνος μὲν γὰρ οὐδὲν ἔπα-

---

9. Ματθ. 23, 33 καὶ 3, 7.
10. Ἱερ. 5, 8.
11. Ἡσ. 56, 10.
12. Ἰεζ. 13, 4.
13. Πρβλ. Δαν. 32, 3 καὶ Ἡσ. 27, 1.

σουν κατὰ τοὺς ὁποίους θὰ βρίσκεσαι ἐσὺ σ' αὐτὴν τὴν κατάσταση, μέχρι ποὺ νὰ μάθεις ὅτι ὁ Ὕψιστος εἶναι ὁ ἐξουσιαστὴς τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ θὰ δώσει αὐτὴν ἐκεῖνος σ' ὁποιον αὐτὸς θελήσει. Κατὰ τὴ στιγμὴ αὐτὴ πραγματοποιήθηκε ἡ προφητεία γιὰ τὸν Ναβουχοδονόσορ, καὶ διώχθηκε μέσα ἀπὸ τὴν κοινωνία τῶν ἀνθρώπων, καὶ ἔτρωγε χορτάρι σὰν τὸ βόδι καὶ ἡ δροσιὰ τοῦ οὐρανοῦ ἔβρεχε τὸ σῶμα του, μέχρι ποὺ οἱ τρίχες του μεγάλωσαν σὰν τὶς τρίχες τοῦ λεονταριοῦ καὶ τὰ νύχια του σὰν τὰ νύχια τῶν ἁρπακτικῶν πτηνῶν».

Πρόσεχε τὴν ἀπόφαση ποὺ στέλνεται στὸν Ναβουχοδονόσορ ἀπὸ τὸν οὐρανό. Καὶ τὰ λεγόμενα γι' αὐτὸν βρῆκαν τὴν πραγματοποίησή τους. Ξέχασες, λέγει, τὴν ἀνθρώπινη εὐγένεια καὶ κατέπεσες πρὸς τὴν ἀτιμία τῶν θηρίων. Τίποτε δὲν θὰ μποροῦσε νὰ ὑπάρξει ἀτιμότερο ἀπὸ αὐτό, οὔτε ἐὰν ἔκαμνε αὐτὸν φτωχὸ ἢ δεσμώτη, ἢ κάτι ἄλλο παρόμοιο μὲ αὐτά. Διότι μὲ κανένα τρόπο δὲν θὰ ξερρίζωνε μέσα ἀπ' αὐτὸν τὴ φυσικὴ εὐγένειά του, οὔτε θὰ μετέβαλλε τὸ σῶμα του πρὸς τὴ φύση τοῦ θηρίου, ἀλλ', ἐκεῖνο μὲ τὸ ὁποῖο διαφέρει ἀπὸ τὰ ἄλογα ζῶα, αὐτὸ θὰ τὸ ἀντικαταστοῦσε μὲ τὴ θηριωδία. Γιὰ ποιὸ λόγο λοιπόν; Γιὰ νὰ διδαχθοῦν καὶ οἱ ὑπόλοιποι ἀπὸ τὴν τροφή του, ἀπὸ τὴν ὅλη ἐμφάνισή του. Τί δὲ διδασκόμαστε ἀπ' αὐτά; Ὅτι δὲν βρισκόμαστε σὲ καθόλου καλύτερη κατάσταση ἀπ' αὐτά, ἔστω καὶ ἂν ἀκόμα δὲν συμβαίνουν σ' ἐμᾶς αὐτὰ ποὺ συμβαίνουν σ' ἐκεῖνα, ὅταν ἐκτραποῦμε καὶ κυριευθοῦμε ἀπὸ τὴν ὑπερηφάνεια ἢ τὸ πάθος τῶν θηρίων. Πόσοι σήμερα κατ' ἀναλογία μὲ τὸν Ναβουχοδονόσορ ἐκεῖνον ἔχουν διάνοια θηρίου καὶ ἐνεργοῦν ὅπως αὐτά; Ἄκουσε λοιπὸν τὸν Ἰωάννη ποὺ λέγει· «φίδια, γεννήματα τῶν ἐχιδνῶν»[9]· ἐπίσης καὶ ἄλλον προφήτη ποὺ λέγει· «Ἵπποι θηλυμανεῖς ἔγιναν· ὁ καθένας τους χλιμίντριζε σὰν ἵππος γιὰ τὴ γυναίκα τοῦ πλησίον του»[10]· καὶ ἄλλον πάλι ποὺ λέγει· «Ὅλοι εἶναι σὰν σκύλοι ἄφωνοι ποὺ δὲν μποροῦν νὰ γαυγίζουν»[11]· καὶ ἄλλον πάλι ἄκουσε ποὺ τοὺς ὀνομάζει ἀλεποῦδες[12], καθὼς καὶ ἄλλον ποὺ τοὺς ἀποκαλεῖ δράκοντες καὶ βασιλίσκους[13]. Πολὺ πιὸ χειρότερο εἶναι ἐνῶ βρισκόμαστε σ' αὐτὴ τὴ ζωὴ νὰ μεταβαλλόμαστε σὲ θηρία, παρὰ ἂν πάθομε ἐκεῖνα ποὺ ἔπαθε ὁ Ναβουχοδονόσορ. Διότι ἐκεῖνος μὲν

σχε δεινὸν εἰς ψυχήν, ἡμεῖς δὲ οὕτω μυρία ἁμαρτήματα συλλέγοντες, πόσῳ χείρους ἐσμὲν ἤδη, καθὰ λέλεκται. Μετέβαλον δὲ οἱ τῶν ἔξωθεν σοφοὶ ἀνθρώπους εἰς θηρία.

4. Ἀλλ' ἴδωμεν πῶς; Ἐκεῖνα μὲν μῦθος, ταῦτα δὲ ἀλήθεια. Τίνος γὰρ ἕνεκεν ἐκείνους μετέβαλον; Δι' οὐδέν· ἡ δὲ Γραφὴ καὶ τὴν αἰτίαν φησί· «Ἵνα γνῶσι πάντες, ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων». Ὁρᾷς πῶς πάντα τῷ Θεῷ δυνατά; καὶ ἐξ ἀνθρώπων θηρία ποιῆσαι, καὶ διάνοιαν μεταβαλεῖν; Ἐννόει ὅσον ἦν ὁρᾶν τὸν ἐν τοσαύτῃ πρὸ τούτου λαμπρότητι μετὰ τῶν θηρίων διαιτώμενον, γυμνόν. Οὐ γὰρ δὴ τὴν μορφὴν μετέβαλεν, ἐπεὶ οὐδὲν ἦν φρικτόν. Τὸ δὲ θηρίου καρδίαν λαβεῖν οὐ τοῦτό φησι, ὅτι ἐξεστήκει τῆς διανοίας, ἀλλ' ὅτι, ἀνθρωπίνην ἔχων ψυχήν, ᾐσθάνετο τῶν πραγμάτων. Οὐκ ἄν, εἰ μετεβλήθη εἰς θηρίον, ἔγνω τὰ συμβαίνοντα. Τί οὖν ἐστι, «Καρδία θηρίου ἐδόθη αὐτῷ;». Ἐξηγριώθη τουτέστιν, οὐδὲ ἐβούλετο μετὰ ἀνθρώπων εἶναι, ἢ καὶ ἐδεδοίκει μετὰ ἀνθρώπων εἶναι, ἢ τοὺς ἀνθρώπους καθάπερ τὰ θηρία. Τί γένοιτ' ἂν ὑψηλότερον ἐκείνου; τί ταπεινότερον αὐτοῦ;

«Καὶ ἐξεδιώχθη ἀπὸ ἀνθρώπων». Οὐδαμοῦ ἡ δύναμις αὐτοῦ προέστη. Οὐκ ἦν σαρκοφάγον θηρίον, ἀλλὰ χόρτον ἤσθιεν, καὶ ἦν εἰκὼν τοῦ ἀλόγου. Ἵνα πιστεύσῃς, φησίν· ὡς ἐπὶ συνήθη τροφὴν ἕξεις τὸν χόρτον. Πῶς αὐτὸν οὐ κατέφαγε τὰ θηρία; πῶς ἴσχυσε τὸ σῶμα πέψαι; πῶς οὐ διεφθάρη; Οὐ γὰρ ὀλίγος ὁ χρόνος ἦν· περιῄει, πᾶσιν ὑπόδειγμα ταπεινοφροσύνης, ἐν ἑαυτῷ τὰ γνωρίσματα φέρων τῆς κολάσεως, καθάπερ στιγματίας. Καὶ μὴν βέλτιον ἦν, ἴσως εἴποι τις

---

14. Δαν. 4, 13. 15. Δαν. 4, 30.

δὲν πάθαινε κανένα κακὸ στὴν ψυχή του, ἐμεῖς ὅμως συγκεντρώνοντας τόσα ἀμέτρητα ἁμαρτήματα, σὲ πόσο χειρότερη, ὅπως λέχθηκε, θέση βρισκόμαστε καὶ ἀπὸ τὴ στιγμὴ ἀκόμα αὐτή. Μετέτρεψαν οἱ ἐκτὸς τῆς Ἐκκλησίας σοφοὶ τοὺς ἀνθρώπους σὲ θηρία.

4. Ἀλλ' ἂς δοῦμε πῶς; Ἐκεῖνα μὲν εἶναι μῦθος, ἐνῶ αὐτὰ ἀληθινά. Γιὰ ποιὸ λόγο λοιπὸν τοὺς μετέβαλαν σὲ θηρία; Γιὰ κανένα· ἡ Γραφὴ ὅμως λέγει καὶ τὴν αἰτία· «Γιὰ νὰ γνωρίσουν ὅλοι, ὅτι ὁ Ὕψιστος εἶναι ὁ ἐξουσιαστὴς τῆς βασιλείας τῶν ἀνθρώπων». Βλέπεις πῶς τὰ πάντα εἶναι δυνατὰ στὸ Θεό; πῶς καὶ ἀπὸ ἀνθρώπους μπορεῖ νὰ δημιουργήσει θηρία καὶ τὴ διάνοια αὐτῶν νὰ μεταβάλει; Σκέψου τί πράγμα ἦταν τὸ νὰ βλέπει κανεὶς νὰ ζεῖ καὶ νὰ τρέφεται μαζὶ μὲ τὰ θηρία καὶ νὰ εἶναι γυμνὸς ἐκεῖνος πού, πρὶν ἀπ' αὐτό, ζοῦσε μέσα σὲ τόση λαμπρότητα. Διότι, βέβαια, δὲν μετέβαλε τὴ μορφή του, καθόσον αὐτὸ δὲν θὰ ἦταν φρικτό. Ὅταν λέγει ὅτι ἔλαβε καρδιὰ θηρίου, δὲν ἐννοεῖ αὐτό, ὅτι ἔπαθε σύγχυση καὶ παραφροσύνη ὁ νοῦς του, ἀλλ' ὅτι, ἔχοντας ἀνθρώπινη ψυχή, αἰσθανόταν τὰ πράγματα. Δὲν θὰ ἦταν δυνατό, ἂν μεταβαλόταν σὲ θηρίο, νὰ αἰσθανόταν ἐκεῖνα ποὺ συνέβαιναν. Τί λοιπὸν σημαίνει, «Ὅτι δόθηκε καρδιὰ θηρίου σ' αὐτόν»[14]; Ὅτι δηλαδὴ ἐξαγριώθηκε καὶ δὲν ἤθελε νὰ ζεῖ μαζὶ μὲ ἀνθρώπους, ἢ ὅτι φοβόταν νὰ ζεῖ μαζὶ μὲ ἀνθρώπους, ἢ ὅτι θεωροῦσε τοὺς ἀνθρώπους σὰν τὰ θηρία. Τί θὰ μποροῦσε νὰ ὑπάρξει ἀνώτερο ἀπὸ ἐκεῖνον πρὶν ἀπ' αὐτό; τί δὲ ταπεινότερο ἀπ' αὐτὸν τώρα ποὺ βρισκόταν σ' αὐτὴ τὴν κατάσταση;

«Καὶ διώχθηκε ἀπὸ τὴν κοινωνία τῶν ἀνθρώπων»[15]. Πουθενὰ ἡ δύναμή του δὲν εἶχε ἰσχύ. Δὲν ἦταν σαρκοφάγο θηρίο, ἀλλ' ἔτρωγε χόρτο καὶ παρουσίαζε τὴν εἰκόνα τοῦ ἀλόγου ζώου. Γιὰ νὰ πιστέψεις, λέγει· διότι θὰ τρῶς τὸ χόρτο σὰν φυσικὴ τροφή. Πῶς δὲν τὸν ἔφαγαν τὰ θηρία; πῶς κατόρθωσε νὰ διαθρέψει καὶ νὰ συντηρήσει τὸ σῶμα του; πῶς δὲν πέθανε; Διότι δὲν ἦταν λίγος ὁ χρόνος. Περιφερόταν ἐδῶ καὶ ἐκεῖ, γενόμενος πρὸς ὅλους παράδειγμα ταπεινοφροσύνης, φέροντας ἐπάνω του τὰ γνωρίσματα τῆς τιμωρίας, σὰν ἀκριβῶς κακοποιὸς ἔχοντας ἐπάνω του τὰ στίγματα. Καὶ ὅμως, ἴσως θὰ μποροῦσε

ἄν, μετὰ ἀνθρώπων αὐτὸν εἶναι, καὶ τοῦτο παθεῖν· ἀλλ' ὥστε ἐπιταθῆναι τὰ τῆς τιμωρίας αὐτῷ, τοῦτο γέγονεν. Ὁ γὰρ σωφρονισμὸς ὁμοίως ἔμενε πάντων ἀπαγγελλόντων τὰ κατ' αὐτόν, καὶ ἴσως αὐτῶν θεωμένων ἔξω· τοῦτο δὲ ἰδεῖν πολλῷ φοβερώτερον ἦν. Καὶ οὐδὲ ὁ χρόνος ὀλίγος ἦν, ἀλλὰ καὶ αὐτὸς σαββατικός. «Ἑπτὰ γὰρ καιροί», φησί, «ἀλλαγήσονται»· τρία ἥμισυ ἔτη.

«Καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν, ἐγώ», φησί, «Ναβουχοδονόσορ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ αἱ φρένες μου ἐπ' ἐμὲ ἐπεστράφησαν, καὶ τὸν Ὕψιστον ηὐλόγησα, καὶ τὸν ζῶντα εἰς τοὺς αἰῶνας ᾔνεσα καὶ ἐδόξασα, ὅτι ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. Καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν, ὡς οὐδὲν ἐλογίσθησαν. Καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς· καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ χειρὶ αὐτοῦ, καὶ ἐρεῖ αὐτῷ· Τί ἐποίησας;».

«Τοὺς ὀφθαλμούς μου», φησί, «εἰς τὸν οὐρανὸν ἀνέλαβον». Τουτέστι, προσῆλθε καὶ ηὔξατο τῷ Θεῷ, καὶ ἐκεῖθεν τὴν βοήθειαν ἐζήτησε. Καίτοι τοῦ χρόνου πληρωθέντος, οὐκ ἐθάρρει. Καθάπερ γὰρ κύριος ἦν μηδὲ ἀφεῖναι εἰς πεῖραν τὰ πράγματα ἐλθεῖν, οὕτως εἰ καὶ τοῦ χρόνου τοῦ ὁρισθέντος πληρωθέντος ἔμελλεν ἀδιόρθωτος μένειν, οὐδὲν αὐτὸν ὠφελῆσαι ὁ ὁρισμὸς εἶχεν. Οὐ γὰρ κατὰ ἀνάγκην ἡ ἀπόφασις τοῦ Θεοῦ, ἀλλὰ πρὸς τὰ ἡμέτερα πράγματα τυποῦται. Οὕτω καὶ ὁ Δανιήλ, εἰ καὶ ἐπληρώθη ὁ χρόνος, εἰκότως εὔχεται, μήποτε κακίας προσγινομένης, προστεθῇ πάλιν. Ὥσπερ γὰρ ἐπὶ φιλανθρωπίας γίνεται τοῦτο, οἷον ἐπὶ τοῦ Ἐζεκίου, οὕτω καὶ ἐπὶ τιμωρίας εἰκὸς γίνεσθαι, καθάπερ

---

16. Δαν. 4, 22. 17. Δ' Βασ. κεφ. 20.

νὰ πεῖ κάποιος, προτιμότερο θὰ ἦταν νὰ ζοῦσε μαζὶ μὲ τοὺς ἀνθρώπους καὶ νὰ τὸ πάθαινε αὐτό· ναί, ἀλλ' αὐτὸ ἔγινε γιὰ ν' αὐξηθεῖ ἡ τιμωρία πρὸς αὐτόν. Διότι ὁ σωφρονισμὸς γιὰ τοὺς ἄλλους ἦταν ὁ ἴδιος, καθόσον ὅλοι μιλοῦσαν καὶ διηγοῦνταν τὰ ὅσα συνέβαιναν σ' αὐτόν, καὶ ἴσως ἦταν μεγαλύτερος βλέποντας αὐτὸν νὰ ζεῖ ἔξω ἀπὸ τὴν κοινωνία τῶν ἀνθρώπων· τὸ νὰ ἔβλεπε κανεὶς αὐτὸ ἦταν πολὺ πιὸ φοβερότερο. Καὶ οὔτε ὁ χρόνος ἦταν λίγος, ἀλλὰ καὶ αὐτὸς διάρκειας ἑφτὰ χρονικῶν περιόδων. Διότι, λέγει, «Ἑφτὰ καιροὶ θὰ διαδεχθοῦν ὁ ἕνας τὸν ἄλλο»[16]· τρία δηλαδὴ μισὰ ἔτη.

«Καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν αὐτῶν», λέγει, «ἐγὼ ὁ Ναβουχοδονόσορ ὕψωσα τὰ μάτια μου πρὸς τὸν οὐρανὸ καὶ ξαναῆρθε τὸ λογικὸ σὲ μένα. Καὶ εὐχαρίστησα τότε τὸν Ὕψιστο καὶ ὑμνολόγησα καὶ δόξασα ἐκεῖνον ποὺ ζεῖ στοὺς αἰῶνες, διότι ἡ ἐξουσία του πράγματι εἶναι αἰώνια καὶ ἡ βασιλεία του φθάνει σ' ὅλες τὶς γενεὲς τῶν ἀνθρώπων. Καὶ σκέφθηκα καὶ εἶπα ὅτι ὅλοι οἱ ἄνθρωποι ποὺ κατοικοῦν στὴ γῆ, εἶναι ἕνα τίποτα μπροστά του. Καὶ σύμφωνα μὲ τὸ θέλημά του ἐκδηλώνει τὴν ἐνέργειά του, τόσο στὶς οὐράνιες δυνάμεις, ὅσο καὶ πρὸς τοὺς ἀνθρώπους ποὺ κατοικοῦν στὴ γῆ. Καὶ δὲν ὑπάρχει κανένας ποὺ θὰ μπορέσει νὰ προβάλει ἀντίσταση στὸ παντοδύναμο χέρι του καὶ νὰ πεῖ πρὸς αὐτόν· Τί ἔκανες;».

«Τὰ μάτια μου», λέγει, «Ὕψωσα πρὸς τὸν οὐρανό». Δηλαδὴ προσῆλθε καὶ προσευχήθηκε στὸ Θεὸ καὶ ζήτησε ἀπὸ ἐκεῖνον τὴ βοήθειά του. Ἂν καὶ βέβαια δὲν πίστευε ὅτι θὰ εἰσακουσθεῖ, ἐπειδὴ συμπληρώθηκε ὁ χρόνος. Διότι, ὅπως ἀκριβῶς ἦταν στὸ χέρι του νὰ μὴ ἀφήσει τὰ πράγματα νὰ λάβουν αὐτὴ τὴν ἐξέλιξη, ἔτσι ἐὰν θὰ παρέμενε ἀδιόρθωτος, ἀφοῦ συμπληρώθηκε ὁ χρόνος τῆς προφητείας, δὲν θὰ παρεῖχε σ' αὐτὸν ὁ ὁρισμὸς καμιὰ ὠφέλεια. Διότι ἡ ἀπόφαση τοῦ Θεοῦ δὲν ἐκδίδεται κατ' ἀνάγκη, ἀλλ' ἀνάλογα μὲ τὴ δική μας συμπεριφορὰ καὶ ἐνέργεια. Ἔτσι καὶ ὁ Δανιήλ, ἂν καὶ συμπληρώθηκε ὁ χρόνος, πολὺ σωστὰ προσεύχεται, μὴ τυχὸν καί, ἀφοῦ πραγματοποιηθεῖ τὸ κακὸ αὐτό, προστεθεῖ πάλι καὶ ἄλλο. Διότι, ὅπως ἀκριβῶς γίνεται αὐτὸ ἀπὸ φιλανθρωπία τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπο, ὅπως στὴν περίπτωση τοῦ Ἐζεκία[17], ἔτσι φυσικὸ εἶναι

καὶ ἐπὶ τῶν Ἰουδαίων, ἐβούλετο αὐτοὺς εὐθέως εἰς Παλαιστίνην ἀπελθεῖν· ἐκεῖνοι τεσσαράκοντα ἔτη προστεθῆναι αὐτοῖς ἐποίησαν διὰ τῆς παρανομίας. Ὅρα δὲ αὐτὸν πρὸς τὸν Θεὸν φεύγοντα. Ἀνέβλεψα, φησί, εἰς τὸν οὐρανόν, καὶ γέγονα πάλιν ἄνθρωπος.

«Καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ' ἐμέ». Ὥσπερ ἡ μορφὴ αὐτοῦ ἐξήλλακτο μὲν τῆς ἀνθρωπείας, οὐ μὴν εἰς θηρίον μετεβέβλητο· οὕτω καὶ ἡ διάνοια. Καὶ τί; «Ἥνεσα καὶ ἐδόξασα». Τί τεκμήριον; «Τὸν Ὕψιστον», φησί, «ηὐλόγησα, καὶ τὸν ζῶντα εἰς τοὺς αἰῶνας ᾔνεσα, καὶ ἐδόξασα». Οὐδὲν γὰρ οὕτω νομίζουσι Θεοῦ εἶναι ἄξιον, ὡς τὸ διὰ παντὸς εἶναι. «Ὅτι ἡ ἐξουσία αὐτοῦ», φησί, «ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν». Ἐπειδὴ τούτῳ μάλιστα ἄνθρωπος αὐτοῦ διέστηκεν, καὶ τοῦτο ἦν παρὰ ἀνθρώποις τὸ μακαριστόν. «Ὅτι ἡ ἐξουσία αὐτοῦ», φησί, «ἐξουσία αἰώνιος», παρὰ πάντα τὸν χρόνον ἐστί. Χωρὶς τροφῆς, φησί, ἔθρεψε· χωρὶς τῶν ἐνδυμάτων, χωρὶς τῶν ἄλλων ἁπάντων οὐ διεφθάρη μοι τὸ σῶμα. Ἐννόησον οἷος ἦν ἐπανιὼν ἀπὸ τῆς ἐρήμου πρὸς τὴν βασιλείαν.

«Αὐτῷ» γάρ, φησί, «τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν, καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον· καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ' ἐμέ· καὶ οἱ τύραννοί μου, καὶ οἱ μεγιστᾶνές μου ἐζήτησάν με· καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι». «Καὶ ἐζήτησάν με», φησί, «οἱ μεγιστᾶνές μου», οἱ κρατοῦντα καὶ βασιλεύοντα διώξαντες. Ἀλλὰ διὰ τὸ πρόσταγμα τοῦ Θεοῦ. Διὰ γὰρ τοῦτο χρόνος ὁρίζεται, ἵνα μὴ αὐτομάτως νομίσῃς τι γενέσθαι.

5. «Καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν· καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν ὡς οὐδὲν ἐλογίσθησαν». Εἰ

18. Δαν. 4, 33.

νὰ γίνεται καὶ πρὸς τιμωρία τοῦ ἀνθρώπου, ὅπως ἀκριβῶς συνέβηκε καὶ στὴν περίπτωση τῶν 'Ιουδαίων· ἤθελε ἀμέσως νὰ ἐπανέλθουν αὐτοὶ στὴν Παλαιστίνη, ἐκεῖνοι ὅμως ἔγιναν αἰτία νὰ προστεθοῦν σαράντα χρόνια ἐξ αἰτίας τῆς παρανομίας τους. Πρόσεχε δὲ αὐτὸν ποὺ καταφεύγει πρὸς τὸ Θεό. Διότι, λέγει, ἔστρεψα τὸ βλέμμα μου πρὸς τὸν οὐρανὸ καὶ ἔγινα πάλι ἄνθρωπος.

«Καὶ ἐπέστρεψε σ' ἐμένα ἡ προηγούμενη μορφή μου». Ὅπως ἀκριβῶς ἡ μορφή του ἄλλαξε καὶ ἔχασε τὴν ἀνθρωπιά της, δὲν μεταβλήθηκε ὅμως σὲ θηρίο, ἔτσι καὶ τὸ λογικό του. Καὶ τί ἔκανε; «Ὑμνολόγησα», λέγει, «καὶ δόξασα τὸ Θεό». Τί ἀποδεικνύει αὐτό; «Τὸν Ὕψιστο», λέγει, «εὐχαρίστησα καὶ ὑμνολόγησα καὶ δόξασα ἐκεῖνον ποὺ ζεῖ στοὺς αἰῶνες». Πράγματι τίποτε δὲν θεωροῦν οἱ ἄνθρωποι περισσότερο ἄξιο τοῦ Θεοῦ, ὅσο τὴν αἰώνια ὕπαρξή του. «Διότι ἡ ἐξουσία του», λέγει, «εἶναι ἐξουσία αἰώνια καὶ ἡ βασιλεία του ἐπεκτείνεται σ' ὅλες τὶς γενεὲς τῶν ἀνθρώπων». 'Επειδὴ ὡς πρὸς αὐτὸ πρὸ πάντων ὁ ἄνθρωπος διαφέρει ἀπὸ τὸ Θεό, καὶ αὐτὸ θεωροῦνταν ἀπὸ τοὺς ἀνθρώπους ἀξιομακάριστο. «Διότι ἡ ἐξουσία του», λέγει, «εἶναι ἐξουσία αἰώνια», διαρκεῖ δηλαδὴ καθ' ὅλο τὸ χρόνο. Χωρὶς τροφή, λέγει, μὲ ἔθρεψε· χωρὶς ἐνδύματα, χωρὶς ὅλα τὰ ἄλλα, δὲν ἔπαθε καμιὰ βλάβη τὸ σῶμα μου. Σκέψου τί λογῆς ἦταν ὅταν ἐπέστρεψε ἀπὸ τὴν ἐρημιὰ στὰ ἀνάκτορά του.

Πράγματι, λέγει, «Κατ' αὐτὸν τὸν χρόνο ἀποκαταστάθηκαν τὰ λογικά μου καὶ ἐπέστρεψα στὴ δόξα τῆς βασιλείας μου. Ἡ μορφὴ καὶ ὅλη ἡ ἐμφάνισή μου ἀποκαταστάθηκαν, οἱ ἄρχοντές μου καὶ οἱ μεγιστάνες μου μὲ ἀναζήτησαν καὶ πάλι, ἡ βασίλεία μου ἰσχυροποιήθηκε καὶ προστέθηκε περισσότερη δόξα σὲ μένα»[18]. «Καὶ μὲ ἀναζήτησαν», λέγει, «οἱ μεγιστάνες μου», ἐκεῖνοι δηλαδὴ ποὺ μὲ ἔδιωξαν ὅταν ἤμουν κυρίαρχος καὶ βασιλιάς. 'Αλλ' αὐτὸ ἔγινε ἐξ αἰτίας τῆς προσταγῆς τοῦ Θεοῦ. Διότι γι' αὐτὸ ὁρίζεται χρόνος ἀπὸ πρίν, γιὰ νὰ μὴ νομίσεις ὅτι τὸ κάθε τι γίνεται στὴν τύχη.

5. «Καὶ ἡ βασιλεία του ἐπεκτείνεται σ' ὅλες τὶς γενεὲς τῶν ἀνθρώπων, ὅλοι δὲ οἱ ἄνθρωποι ποὺ κατοικοῦν στὴ γῆ εἶναι μπροστά του σὰν ἕνα τίποτα». Πράγματι, ἐὰν ἐγώ, ποὺ εἶμαι

γὰρ ὁ πάντων κρατῶν ἐγὼ ὡς οὐδὲν ἐλογίσθην, πολλῷ μᾶλλον οἱ πάντες. Ὁ γὰρ τὸν οὕτως ἰσχυρὸν ἀποστήσας τῆς βασιλείας, πολλῷ μᾶλλον τοὺς ἀρχομένους.

«Καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς». Τό, «Ὡς οὐδὲν ἐλογίσθησαν», οὐχ ὅτι καταφρονεῖ αὐτῶν, μὴ γένοιτο, ἀλλ᾽ ὅτι ἰσχυρός ἐστι, καὶ ὡς βούλεται, αὐτοὺς ἄγει. Τοῦτο γοῦν καὶ τὸ ἐφ᾽ ἑξῆς δηλοῖ· «Καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖν ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς». Ἔστω μὲν γάρ, περὶ τῆς γῆς οἶδας, περὶ τοῦ οὐρανοῦ, πόθεν ἐπίστασαι; Ἀπὸ τοῦ ὀνείρατος. Ἐπέταξε. Πῶς ὑπήκουσαν; Ἀπὸ τοῦ πυρὸς τῆς καμίνου.

«Καὶ οὐκ ἔστιν ὅς ἀντιστήσεται τῇ χειρὶ αὐτοῦ, καὶ ἐρεῖ αὐτῷ· Τί ἐποίησας;». Οὐ μόνον, φησί, οὐκ ἐναντιώσεται, ἀλλ᾽ οὐδὲ μέχρι ρημάτων ἐρεῖ. Πάντων αὐτὸς κρατεῖ, πάντα αὐτός ἐστιν.

«Αὐτῷ», φησί, «τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν ἐπ᾽ ἐμέ». «Αὐτῷ»· ποίῳ; Τῷ λεχθέντι παρὰ τοῦ Θεοῦ. Πόθεν αὐτὸν καὶ εἰς τὴν βασιλείαν ἐπανήγαγον; οἱ γὰρ οὕτως ἰσχυρὸν καταβαλόντες, πῶς ἀσθενῆ γενόμενον ἐπανήγαγον;

«Καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον, καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ᾽ ἐμέ· καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με· καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι». Ὁρᾷς πῶς καὶ στῆσαι καὶ καθελεῖν δύναται βασιλείαν; Ἔδει μὲν γὰρ διὰ τῶν προτέρων ταῦτα πεισθῆναι, ἐπειδὴ δὲ ἀγνοεῖς, καθεῖλεν αὐτήν, καὶ πάλιν ἔστησεν.

«Νῦν οὖν ἐγὼ Ναβουχοδονόσορ αἰνῶ καὶ ὑψῶ καὶ δοξάζω τὸν Βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀ-

ἐξουσιαστὴς ὅλων, θεωρήθηκα σὰν ἕνα τίποτα, πολὺ περισσότερο ὅλοι οἱ ἄλλοι ἄνθρωποι. Διότι, ἐκεῖνος ποὺ ἀπομάκρυνε ἀπὸ τὴ βασιλεία του τὸν τόσο ἰσχυρό, μὲ πολὺ περισσότερη εὐκολία θ' ἀπομακρύνει τοὺς ἀρχομένους.

«Καὶ σύμφωνα μὲ τὸ θέλημά του ἐκδηλώνει τὴν ἐνέργειά του τόσο πρὸς τὶς οὐράνιες δυνάμεις, ὅσο καὶ πρὸς τοὺς ἀνθρώπους τῆς γῆς». Λέγοντας τὸ «Ὅλοι οἱ ἄνθρωποι θεωροῦνται μπροστά του σὰν ἕνα τίποτα», δὲν σημαίνει ὅτι περιφρονεῖ αὐτούς, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλ' ὅτι εἶναι ἰσχυρὸς καὶ ὁδηγεῖ αὐτοὺς ὅπως αὐτὸς θέλει. Αὐτὸ βέβαια τὸ δηλώνει καὶ τὸ λεγόμενο στὴ συνέχεια· «Καὶ σύμφωνα μὲ τὸ θέλημά του ἐκδηλώνει τὴν ἐνέργειά του τόσο πρὸς τὶς οὐράνιες δυνάμεις, ὅσο καὶ πρὸς τοὺς ἀνθρώπους τῆς γῆς». Ἔστω λοιπὸν ὅτι γιὰ μὲν τὴ γῆ γνωρίζεις ὅτι ὑποτάσσεται καὶ ὑπακούει σ' αὐτόν, γιὰ τὶς οὐράνιες δυνάμεις ἀπὸ ποῦ τὸ γνωρίζεις; Ἀπὸ τὸ ὄνειρο. Πρόσταξε. Πῶς ὑπάκουσαν; Ἀπὸ τὴ φωτιὰ τῆς καμίνου.

«Καὶ δὲν ὑπάρχει κανένας ποὺ θὰ μπορέσει ν' ἀντισταθεῖ στὸ παντοδύναμο χέρι αὐτοῦ καὶ νὰ πεῖ σ' αὐτόν· Τί ἔκανες;». Ὄχι μόνο, λέγει, δὲν θ' ἀντισταθεῖ, ἀλλ' οὔτε κὰν λέξη θὰ τολμήσει νὰ πεῖ σ' αὐτόν. Ὅλα αὐτὸς τὰ ἐξουσιάζει, τὰ πάντα αὐτὸς εἶναι.

«Κατ' αὐτὸν τὸν καιρό», λέγει, «ἀποκαταστάθηκαν τὰ λογικά μου». «Κατ' αὐτὸν τὸν καιρό»· ποιόν; Κατ' αὐτὸν ποὺ λέχθηκε ἀπὸ τὸ Θεό. Ἀπὸ ποῦ παρακινούμενοι ἐπανέφεραν αὐτὸν στὴ βασιλεία; διότι, ἐκεῖνοι ποὺ τὸν ἐκδίωξαν ἐνῶ ἦταν τόσο ἰσχυρός, πῶς τὸν ἐπανέφεραν ὅταν ἔγινε ἀνίσχυρος;

«Καὶ ἐπανῆλθα στὴ δόξα τῆς βασιλείας μου· ἡ μορφή μου καὶ ἡ ὅλη ἐμφάνισή μου ἀποκαταστάθηκαν· οἱ ἄρχοντές μου καὶ οἱ μεγιστάνες μου μὲ ἀναζητοῦσαν· ἡ βασιλεία μου ἔγινε πάλι πανίσχυρη καὶ προστέθηκε περισσότερη δόξα σὲ μένα». Βλέπεις πῶς μπορεῖ καὶ νὰ ἐγκαταστήσει τὴ βασιλεία καὶ νὰ τὴν καταργήσει; Ἔπρεπε λοιπὸν νὰ πιστέψεις σ' αὐτὰ ἐξ αἰτίας τῶν προηγουμένων, ἐπειδὴ δὲ τὰ ἀγνόησες, κατάργησε τὴ βασιλεία σου, ἀλλὰ καὶ πάλι τὴν ἐπανέφερε.

«Τώρα λοιπὸν ἐγὼ ὁ Ναβουχοδονόσορ ὑμνολογῶ καὶ ἐξυμνῶ καὶ δοξάζω τὸν βασιλιὰ τοῦ οὐρανοῦ, διότι ὅλα τὰ ἔργα

ληθινά, καὶ αἱ τρίβοι αὐτοῦ κρίσεις, καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι». Οὐκ ἔστιν εἰπεῖν, ὅτι δύναμιν μὲν ἔχει, ἄδικον δέ· ἀλλὰ καὶ ἡ δικαιοσύνη μεγάλη. «Καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι». Οὐκ εἶπε, ταπεινοῖ, ἵνα σοι καὶ τὴν μακροθυμίαν ἐνδείξηται, καὶ ἵνα μάθῃς, ὅτι οὐ παρὰ ἀσθένειαν, ἀλλὰ δι' ἑνὸς τοὺς ἄλλους σωφρονίζει. Εἶδες δύναμιν; εἶδες δικαιοσύνην; εἶδες φιλανθρωπίαν; εἶδες ἀπὸ στόματος βαρβαρικοῦ ταῦτα λεγόμενα; Τίς ἂν οὕτως ἐφιλοσόφησεν; Οἱ προφήταις ἐντρεφόμενοι οὐδὲν τούτων οὕτως ἐφθέγγοντο, ἀλλὰ τἀναντία. «Οὐ μὴ ἀγαθοποιήσῃ Κύριος», φησί, «οὐδὲ οὐ μὴ κακοποιήσῃ». Καὶ πάλιν, «Οὐκ ἐν τῇ ἰσχύϊ ἡμῶν ἔσχομεν κέρατα;». Καί, «Πᾶς ποιῶν πονηρόν, καλὸν ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς ηὐδόκησε». Καί, «Τί ὄφελος ὅτι ἐδουλεύσαμεν αὐτῷ;». Εἶδες ἐν Παλαιστίνῃ δόγματα σατανικά; εἶδες ἐπὶ τῆς βαρβάρου φιλοσοφίαν προφητικήν; Ταῦτα τύποι τῶν ἐθνῶν τῆς μελλούσης ἔσεσθαι χάριτος, ὅτι προπηδῆσαι εἶχον οὗτοι ἐκείνων.

Εἶτα ὁ Βαλτάσαρ ἐν μέθῃ συμποσίου γενομένου κελεύει τὰ σκεύη ἐξενεχθῆναι, ὥσπερ φιλοτιμούμενος ἐπὶ τῇ νίκῃ τοῦ πατρός, μᾶλλον δὲ ἐμπαροινῶν· ἢ ἐπειδὴ θεαταὶ τῶν γενομένων ἦσαν ἐκεῖνοι, ὥστε καθελεῖν αὐτῶν τὸ θαῦμα, ὃ περὶ τὸν Θεὸν εἶχον. Καὶ τοῦτο ἐξ ὑπερηφανίας εἶχον, ἤγουν ἐγίνετο, καὶ μέθης.

Φυλαττώμεθα μέθην, ἀγαπητοί. Πολλὰ γὰρ ἄτοπα γίνεται ὑπὸ ταύτης. Ἀλλὰ καὶ μεγάλων περιγίνεται ἀνδρῶν ἡ μέθη· ἐν γὰρ τῷ γεύσασθαι τοῦ οἴνου ἐκέλευσε τοῦτο. Ἅπερ ὁ πατὴρ ἐκβαλὼν ἐφείσατο, καὶ αὐτὸς τὴν πόλιν ἑλὼν οὐκ ἐτόλμησεν εἰς ἀνθρωπίνην ἐνεγκεῖν διακονίαν ταῦτα, οὗτος οὐχὶ αὐτὸς μόνος, ἀλλὰ καὶ μεγιστᾶσι καὶ παλλακίσι καὶ παρακοίτοις εἰς χρῆσιν ἐξέδωκεν.

---

19. Δαν. 4, 34.
20. Σοφ. 1, 12.
21. Ἀμὼς 6, 14.
22. Μαλ. 2, 17.
23. Μαλ. 3, 14.
24. Δαν. 5, 2.

αὐτοῦ εἶναι ἀληθινά, οἱ δρόμοι του δίκαιοι, καὶ μπορεῖ νὰ ταπεινώσει ὅλους ἐκείνους ποὺ πορεύονται μὲ ὑπερηφάνεια»[19]. Δὲν εἶπε, ταπεινώνει, γιὰ νὰ σοῦ δείξει καὶ τὴ μακροθυμία του καὶ γιὰ νὰ μάθεις, ὅτι δὲν τὸ κάνει ἀπὸ ἀδυναμία, ἀλλά, ταπεινώνοντας τὸν ἕνα, σωφρονίζει τοὺς ἄλλους. Εἶδες δύναμη; εἶδες δικαιοσύνη; εἶδες φιλανθρωπία; εἶδες τὰ λόγια αὐτὰ ποὺ λέγονται ἀπὸ βαρβαρικὸ στόμα; Ποιὸς θὰ μποροῦσε νὰ φιλοσοφήσει κατ' αὐτὸν τὸν τρόπο; Ἐκεῖνοι ποὺ διδάσκονταν ἀπὸ τοὺς προφῆτες τίποτε παρόμοιο μὲ αὐτὰ δὲν ἔλεγαν, ἀλλὰ τὰ ἀντίθετα. Διότι, λέγει, «Ὁ Κύριος οὔτε τὸ καλὸ θ' ἀμείψει, οὔτε τὸ κακὸ θὰ τιμωρήσει»[20]. Καὶ πάλι· «Μὲ τὴ δική μας δύναμη δὲν ἐπικρατήσαμε ἐπὶ τῶν ἄλλων;»[21]. Καί· «Ὁ καθένας ποὺ πράττει τὸ κακὸ βρίσκει καλὸ ἀπὸ τὸν Κύριο, καὶ μὲ αὐτοὺς εὐαρεστεῖται αὐτός»[22]. Καί· «Ποιὸ τὸ ὄφελος ποὺ δουλέψαμε στὸν Κύριο;»[23]. Εἶδες σατανικὰ διδάγματα στὴν Παλαιστίνη; εἶδες προφητικὴ φιλοσοφία στὴ χώρα τοῦ βαρβάρου; Αὐτὰ ἦταν προτυπώσεις τῆς χάριτος ποὺ ἐπρόκειτο νὰ δοθεῖ στοὺς Ἐθνικούς, ὅτι δηλαδὴ μποροῦσαν οἱ Ἐθνικοὶ νὰ καταλάβουν καλύτερη θέση ἀπὸ ἐκείνους.

Στὴ συνέχεια ὁ Βαλτάσαρ ὁ βασιλιάς, βρισκόμενος κατὰ τὴν ὥρα συμποσίου σὲ κατάσταση μέθης, προστάζει νὰ φέρουν ἐκεῖ τὰ σκεύη τοῦ ναοῦ[24], νιώθοντας κατὰ κάποιο τρόπο ὑπερηφάνεια γιὰ τὴ νίκη τοῦ πατέρα του, ἢ καλύτερα ὅμως γιὰ νὰ τὰ ἐμπαίξει· ἢ ἐπειδὴ ἐκεῖνοι ἦταν θεατὲς τῶν ὅσων συνέβηκαν, ὥστε νὰ ἐξαλείψει τὸ θαυμασμὸ ποὺ ἔτρεφαν αὐτοὶ γιὰ τὸ Θεό. Καὶ αὐτὸ γινόταν ἀπὸ ὑπερηφάνεια καὶ ἐξ αἰτίας τῆς μέθης.

Ἂς προφυλαγόμαστε, ἀγαπητοί, ἀπὸ τὴ μέθη. Διότι πολλὰ παράδοξα γίνονται ἐξ αἰτίας αὐτῆς. Ἀλλὰ καὶ μεγάλους ἄνδρες τοὺς νικᾶ ἡ μέθη· διότι ἔδωσε αὐτὴ τὴν ἐντολὴ ἀφοῦ ἤπιε τὸ κρασί. Ἐκεῖνα ποὺ ὁ πατέρας του, ἀφοῦ τὰ ἀφαίρεσε ἀπὸ τὸ ναὸ καὶ τὰ ἔφερε στὴ χώρα του, τὰ σεβάστηκε, καί, ἐνῶ κυρίεψε τὴν πόλη, δὲν τόλμησε νὰ χρησιμοποιήσει αὐτὰ σὲ ἀνθρώπινη ἀνάγκη, αὐτὸς ὄχι αὐτὸς μόνος, ἀλλ' ἐπέτρεψε νὰ χρησιμοποιήσουν αὐτὰ καὶ μεγιστάνες καὶ παλλακίδες καὶ οἱ γυναῖκες του.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

«Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δεῖπνον μέγα τοῖς μεγιστᾶσιν αὐτοῦ χιλίοις, καὶ κατέναντι τῶν χιλίων ὁ οἶνος. Πίνων Βαλτάσαρ ὁ βασιλεὺς εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου, τοῦ ἐνεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ τοῦ ἐν Ἱερουσαλήμ, καὶ πιέτωσαν ἐν αὐτοῖς ὁ βασιλεύς, καὶ οἱ μεγιστᾶνες αὐτοῦ, καὶ αἱ παράκοιτοι, καὶ αἱ παλλακαὶ αὐτοῦ. Καὶ ἠνέχθησαν τὰ σκεύη τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ἐκ τοῦ ναοῦ τοῦ Θεοῦ ἐν Ἱερουσαλήμ· καὶ ἔπινον ἐν αὐτοῖς ὁ βασιλεύς, καὶ οἱ μεγιστᾶνες αὐτοῦ, καὶ οἱ παράκοιτοι αὐτοῦ, καὶ αἱ παλλακαὶ αὐτοῦ. Καὶ ἔπινον οἶνον, καὶ ᾔνεσαν τοὺς θεοὺς τοὺς χρυσοῦς, καὶ ἀργυροῦς, καὶ χαλκοῦς, καὶ σιδηροῦς, καὶ ξυλίνους, καὶ λιθίνους».

1. Εἶδες αὐτὰ λαμβανόμενα; Ἀλλ' ὅρα αὐτῶν τὴν ἰσχύν, καὶ μετὰ τὸ ἁλῶναι, καὶ τεθῆναι ἐν τῷ εἰδωλείῳ. Ἔστω κατὰ γνώμην ἐκεῖνος αὐτοῦ. Διὰ τί καὶ τοῦτο; Διὰ τὰς ἁμαρτίας ἐλήφθη ταῦτα· ἔδωκαν δίκην. Τί τὸ πέρας καὶ μετὰ τὰ σημεῖα; πῶς οὐδὲν ἔπαθον ἐκεῖνοι, ἀλλ' ὁ βασιλεὺς μόνος; Οὗτος γὰρ εἶπεν, αὐτὸς αἴτιος ἦν.

«Ἤνεσαν», φησί, «τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς». Τίνος ἕνεκεν ἡ διαφορὰ αὕτη τῶν θεῶν παρ' αὐτοῖς ἦν; Ὁ διάβολος, βουλόμενος αὐτοὺς πάσης ἀποστερῆσαι συγγνώμης, πολλάκις ἐκέλευσε ξυλίνους γενέσθαι, ἵνα μη-

1. Δαν. 5, 1-4.

ΚΕΦΑΛΑΙΟ Ε′

«Ὁ βασιλιὰς Βαλτάσαρ ἔκαμε μεγάλο δεῖπνο σὲ χίλιους ἀπὸ τοὺς μεγιστάνες του καὶ τοποθετήθηκε μπροστά τους πολὺ κρασί. Πίνοντας ὁ βασιλιὰς Βαλτάσαρ καὶ βρισκόμενος σὲ κατάσταση εὐθυμίας εἶπε νὰ φέρουν ἐκεῖ τὰ ἀργυρὰ καὶ χρυσὰ σκεύη, τὰ ὁποῖα ὁ πατέρας του ὁ Ναβουχοδονόσορ εἶχε πάρει ἀπὸ τὸ ναὸ τοῦ Σολομῶντος στὴν Ἰερουσαλήμ, γιὰ νὰ πιεῖ μὲ αὐτὰ ὁ βασιλιάς, οἱ μεγιστάνες του, οἱ γυναῖκες του, καὶ οἱ παλλακίδες του. Καὶ ἔφεραν ἐκεῖ τὰ ἀργυρὰ καὶ χρυσὰ σκεύη, τὰ ὁποῖα ὁ πατέρας του ὁ Ναβουχοδονόσορ εἶχε πάρει ἀπὸ τὸ ναὸ τοῦ Θεοῦ στὴν Ἰερουσαλὴμ καὶ ἔπιναν μὲ αὐτὰ ὁ βασιλιάς, οἱ μεγιστάνες του, οἱ γυναῖκες του, καὶ οἱ παλλακίδες του. Ἔπιναν κρασὶ καὶ ἐξυμνοῦσαν τοὺς θεούς τους τοὺς χρυσούς, τοὺς ξύλινους, καὶ τοὺς πέτρινους»[1].

1. Εἶδες αὐτὰ νὰ παίρνονται καὶ νὰ προσκομίζονται ἐκεῖ; Ἀλλὰ πρόσεχε τὴ δύναμη αὐτῶν καὶ μετὰ τὴν ἀπόκτησή τους ἀπὸ αὐτοὺς καὶ τὴν τοποθέτησή τους στὸ ναὸ τῶν εἰδώλων. Ἔστω ὅτι ἐκεῖνος εἶχε λάβει τὴν ἀπόφαση αὐτή. Γιατί γίνεται καὶ αὐτό; Ἐξ αἰτίας τῶν ἁμαρτιῶν ἐκείνων ἐλήφθησαν αὐτὰ καὶ τιμωρήθηκαν. Ποιὸ τὸ τέλος καὶ μετὰ τὰ θαύματα; πῶς ἐκεῖνοι δὲν ἔπαθαν τίποτε, παρὰ μόνο ὁ βασιλιάς; Διότι αὐτὸς ἔδωσε τὴν ἐντολὴ καὶ αὐτὸς ἦταν αἴτιος.

«Ἐξυμνοῦσαν», λέγει, «τοὺς χρυσοὺς καὶ τοὺς ἀργυροὺς θεούς». Γιὰ ποιὸ λόγο ὑπῆρχε σ' αὐτοὺς αὐτὴ ἡ διαφορὰ τῶν θεῶν; Ὁ διάβολος, θέλοντας νὰ στερήσει ἀπ' αὐτοὺς κάθε συγγνώμη, πολλὲς φορὲς τοὺς παρότρυνε νὰ τοὺς κάνουν ξύλι-

δὲ ἀπὸ τῆς ὕλης πολυτέλειαν ἔχωσιν εἰς ἀπολογίαν. Ὕμνουν εἰς αὐτούς. Ὅρα οὐδαμοῦ τὸν Θεὸν ἄρχοντα, ἀλλ' ἑπόμενον. Τίνος ἕνεκεν ἐπηκολούθησεν ἡ δίκη ταχέως, καὶ αὐτῇ τῇ ὥρᾳ; Ἵνα μὴ τὰ γενόμενα ἐκ τῶν προτέρων θαυμάτων καταλυθῇ ὑβριζομένου τοῦ Θεοῦ διὰ τῶν σκευῶν, ἐβουλήθη ἄνδρας ἐνυβρίσαι. Καὶ ὅρα τί γίνεται. Ἐβουλήθη σκεύη· καὶ αὐτῇ τῇ ὥρᾳ ἡ τιμωρία. Τίνος ἕνεκεν οὐκ ἀποστέλλεται ὁ προφήτης ἐγκαλέσων, ἀλλὰ ἀστράγαλος χειρός; Ὥστε μείζω γενέσθαι τὴν ἔκπληξιν.

«Ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς ἀνθρώπου, καὶ ἔγραφον κατέναντι τῆς λαμπάδος ἐπὶ τὸ κονίαμα τοῦ τοίχου τοῦ οἴκου τοῦ βασιλέως· καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς ἀστραγάλους τῆς χειρὸς τῆς γραφούσης». Πρόσθες καὶ ἑσπέραν οὖσαν. Ἔδει τὴν οἴδησιν τὴν ἀπὸ τῆς μέθης κατασταλῆναι. Εἶτα ἔδει μαθεῖν τοὺς παρόντας ἅπαντας, ὅτι δίκην δίδωσιν. Διὰ τί μὴ σκηπτὸν ἀφῆκεν εὐθέως ἐκ τοῦ οὐρανοῦ; Ὥστε πάλιν καὶ τὸν οἰκέτην δοξασθῆναι τὸν αὐτοῦ· ὥστε αὐτὸν ἀκοῦσαι διὰ τί ταῦτα πάσχει. Ὁ γὰρ Δανιὴλ εἰσελθὼν οὐχὶ τὴν γραφὴν ἑρμηνεύει μόνον, ἀλλὰ καὶ μακροὺς ἀποτείνει λόγους, καὶ συμβουλευτικούς, οὐχ ὡς ὠφελήσων αὐτόν, ἀλλ' ὡς τοὺς ἄλλους βελτίους ποιήσων.

«Τότε Δανιὴλ εἰσῆλθεν ἐνώπιον τοῦ βασιλέως. Καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Σὺ εἶ Δανιήλ, ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ἧς κατήγαγεν ὁ βασιλεὺς ὁ πατήρ μου ἀπὸ τῆς Ἰουδαίας;». Ὡς καταπληττόμενος αὐτὸν καὶ εἰς ἀνάγκην καθιστῶν, ταῦτά φησιν. Εἰπὼν δέ, «Ὃν ἤγαγεν ὁ βασιλεὺς ὁ πατήρ μου ἀπὸ τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας», ταῦτα κατ' αὐτοῦ τὰ ῥήματα ἔλεγεν, εἰ τῶν αἰχμαλώτων δέεται πανταχοῦ.

---

2. Δαν. 5, 5. 3. Δαν. 5, 13.

νους, ὥστε νὰ μὴ μποροῦν νὰ δικαιολογηθοῦν οὔτε ἀπὸ τὴν πολυτέλεια τῆς ὕλης αὐτῶν. «Ἐξυμνοῦσαν αὐτούς». Πρόσεχε ὅτι πουθενὰ δὲν προηγεῖται ὁ Θεός, ἀλλ' ἀκολουθεῖ. Γιὰ ποιὸ λόγο ἐπακολούθησε ἀμέσως ἡ τιμωρία καὶ τὴν ἴδια ἀκριβῶς ὥρα; Γιὰ νὰ μὴ καταλυθοῦν, μὲ τὴν περιφρόνηση τοῦ Θεοῦ μέσω τῶν σκευῶν, ὅλα ἐκεῖνα ποὺ προέκυψαν ἀπὸ τὰ προηγούμενα θαύματα, θέλησε νὰ ἐμπαίξει ἄνδρες. Καὶ πρόσεχε τί γίνεται. Θέλησε νὰ ἐμπαίξει τὰ σκεύη, καὶ τὴν ἴδια ἀκριβῶς ὥρα ἔρχεται ἡ τιμωρία. Γιὰ ποιὸ λόγο δὲν στέλνεται ὁ προφήτης γιὰ νὰ τὸν ἐπιπλήξει γιὰ ὅλα αὐτά, ἀλλὰ ἀστράγαλος χεριοῦ; Γιὰ νὰ γίνει μεγαλύτερη ἡ ἔκπληξη.

«Ἀκριβῶς τὴ στιγμὴ ἐκείνη ποὺ γίνονταν αὐτὰ βγῆκαν δάχτυλα χεριοῦ ἀνθρώπου καὶ ἔγραψαν ἀπέναντι ἀπὸ τὴ λυχνία ἐπάνω στὸ ἀσβέστωμα τοῦ τοίχου τοῦ βασιλικοῦ ἀνακτόρου, καὶ ὁ βασιλιὰς ἔβλεπε τὰ δάχτυλα τοῦ χεριοῦ ποὺ ἔγραφαν»[2]. Πρόσθεσε καὶ τὸ ὅτι ἦταν ἑσπέρα. Ἔπρεπε τὴν ὥρα ἐκείνη νὰ σταματήσει ὁ ἀναβρασμὸς ἀπὸ τὴ μέθη. Ἔπειτα ἔπρεπε νὰ μάθουν ὅλοι οἱ παραβρισκόμενοι, ὅτι τιμωροῦνται γιὰ ὅλα αὐτά. Γιατί τὴν ἴδια στιγμὴ δὲν ἔρριξε κεραυνὸ ἀπὸ τὸ οὐρανό; Μὲ σκοπὸ νὰ δοξασθεῖ καὶ πάλι ὁ δοῦλος αὐτοῦ, καὶ γιὰ ν' ἀκούσει αὐτὸς γιατί τὰ παθαίνει ὅλα αὐτά. Διότι εἰσερχόμενος ὁ Δανιὴλ στὰ ἀνάκτορα, ὄχι μόνο ἑρμηνεύει τὰ ὅσα γράφτηκαν στὸν τοῖχο, ἀλλ' ἀπευθύνει καὶ μακροὺς καὶ συμβουλευτικοὺς λόγους, ὄχι τόσο γιὰ νὰ ὠφελήσει αὐτόν, ὅσο τὸ νὰ κάνει τοὺς ἄλλους καλύτερους.

«Τότε ὁδηγήθηκε ὁ Δανιὴλ μπροστὰ στὸ βασιλιά, καὶ εἶπε ὁ βασιλιὰς στὸν Δανιήλ· Σὺ εἶσαι ὁ Δανιήλ, ὁ προερχόμενος ἀπὸ τοὺς Ἰουδαίους αἰχμαλώτους, τοὺς ὁποίους ἔφερε ἐδῶ ἀπὸ τὴν Ἰουδαία ὁ βασιλιὰς πατέρας μου;»[3]. Αὐτὰ τὰ λέγει γιὰ νὰ δημιουργήσει κατάπληξη σ' αὐτὸν καὶ γιὰ νὰ τὸν ἐξαναγκάσει. Λέγοντας δέ, «Τὸν ὁποῖο ἔφερε ὁ βασιλιὰς ὁ πατέρας μου μαζὶ μὲ τοὺς αἰχμαλώτους Ἰουδαίους», αὐτὰ τὰ λόγια τὰ ἔλεγε ἐναντίον τοῦ ἑαυτοῦ του, ἐφόσον παντοῦ εἶχε τὴν ἀνάγκη τῶν αἰχμαλώτων.

2. Ἤκουσα περὶ σοῦ, ὅτι πνεῦμα Θεοῦ ἅγιον ἐν σοί, καὶ γρήγορσις καὶ σύνεσις καὶ σοφία περισσὴ εὑρέθη ἐν σοί. Καὶ νῦν εἰσῆλθον ἐνώπιόν μου οἱ σοφοί, μάγοι, Γαζαρηνοί, Χαλδαῖοι, ἵνα τὴν γραφὴν ταύτην ἀναγνῶσι, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσωσί μοι· καὶ οὐκ ἠδυνήθησαν τὴν σύγκρισιν τοῦ λόγου τούτου ἀναγγεῖλαί μοι. Καὶ ἐγὼ ἤκουσα περὶ σοῦ, ὅτι δύνασαι συγκρίματα συγκρῖναι, καὶ λύειν συνδέσμους. Καὶ νῦν ἐὰν δυνηθῇς ἀναγνῶναι τὴν γραφήν, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσαι μοι, πορφύραν ἐνδύσῃ, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἔσται ἐπὶ τὸν τράχηλόν σου, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξεις». Ὁμολογεῖ καὶ τὴν τῶν οἰκείων ἧτταν, καί φησιν· εἰπέ, καὶ λαβὲ τάδε.

Ἀλλ' ὅρα τὸν προφήτην, ἐπὶ μὲν τοῦ πατρὸς αὐτοῦ πῶς ἠθύμησεν, ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· ἀλλὰ τί φησι; «Τότε ἀπεκρίθη Δανιήλ, καὶ εἶπεν ἐνώπιον τοῦ βασιλέως· Τὸ δόμα σου σοὶ ἔστω, καὶ τὴν δωρεὰν τῆς οἰκίας σου ἑτέρῳ δός· ἐγὼ δὲ τὴν γραφὴν ἀναγνώσομαι τῷ βασιλεῖ, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσω σοι, βασιλεῦ». Τίνος ἕνεκεν παραιτεῖται; Ἵνα μάθῃς, ὅτι οὐ δι' ἐκεῖνα λέγει. Ὅτι γὰρ οὐκ ὀργιζόμενος ἁπλῶς ταῦτα εἶπεν, «Ἐγὼ δέ», φησί, «τὴν γραφὴν ἀναγνώσομαι, καὶ τὴν σύγκρισιν αὐτῆς ἀναγγελῶ τῷ βασιλεῖ». Ὁρᾷς αὐτὸν χρημάτων κρείττω; τιμῆς ἀνώτερον; οὐδενὸς δεόμενον τῶν βασιλικῶν; Οὕτω δεῖ τοὺς τὰ Θεοῦ λέγοντας εἶναι. Ἵνα μὴ νομίσῃ ὅτι ταύτῃ αὐτὸν ἐπεσπάσατο, ἢ ἀνθρώπινόν τι τῶν λεγομένων ἐστί. Τί οὖν φησι; Ἀφεὶς εἰπεῖν τὴν γραφήν, συμβουλὴν ἀποτείνει, ἐξ αὐτῶν τῶν προοιμίων αὐτὸν ἀναμιμνήσκων τῶν τῷ πατρὶ συμβεβηκότων.

«Ὁ Θεὸς ὁ ὕψιστος τὴν βασιλείαν, καὶ τὴν μεγαλωσύνην, καὶ τὴν τιμήν, καὶ τὴν δόξαν ἔδωκε Ναβουχοδονόσορ

4. Δαν. 5, 14-16. 5. Δαν. 5, 17.

2. «Ἄκουσα γιὰ σένα, ὅτι ὑπάρχει σὲ σένα ἅγιο πνεῦμα Θεοῦ, καὶ ὅτι ὑπάρχει σὲ σένα σωφροσύνη, σύνεση καὶ περίσσεια σοφία. Καὶ τώρα συγκεντρώθηκαν μπροστά μου οἱ σοφοί, οἱ μάγοι, καὶ οἱ ἀστρολόγοι Χαλδαῖοι, γιὰ νὰ διαβάσουν αὐτὰ τὰ γράμματα καὶ νὰ μοῦ γνωρίσουν τὴν ἑρμηνεία αὐτῶν, καὶ δὲν μπόρεσαν νὰ μοῦ δώσουν τὴν ἑρμηνεία τῶν γραμμάτων αὐτῶν. Ἐγὼ ὅμως ἄκουσα γιὰ σένα, ὅτι μπορεῖς νὰ ἑρμηνεύεις τὶς ἀποφάσεις τοῦ Θεοῦ καὶ νὰ λύνεις τὰ ἄλυτα. Καὶ τώρα ἂν μπορέσεις νὰ διαβάσεις τὴ γραφὴ αὐτὴ καὶ νὰ μοῦ γνωρίσεις τὴν ἑρμηνεία αὐτῆς, θὰ φορέσεις βασιλικὴ πορφύρα, θὰ κρεμαστεῖ τὸ χρυσὸ περιδέραιο στὸν τράχηλό σου καὶ θ' ἀνακηρυχθεῖς τρίτος ἄρχοντας στὸ βασίλειό μου»[4]. Ὁμολογεῖ τὴν ἧττα τῶν δικῶν του καὶ λέγει· δῶσε τὴν ἐξήγηση καὶ λάβε ἔναντι αὐτῆς αὐτά.

Ἀλλὰ πρόσεχε τὸν προφήτη, πῶς στὴν μὲν περίπτωση τοῦ πατέρα του κυριεύθηκε ἀπὸ λύπη, ἐνῶ τώρα τίποτε παρόμοιο δὲν συνέβηκε· ἀλλὰ τί λέγει; «Τότε ἀποκρίθηκε ὁ Δανιὴλ καὶ εἶπε πρὸς τὸν βασιλιά· Τὸ δῶρο σου ἂς παραμείνει σὲ σένα καὶ τὰ ἀγαθὰ τοῦ οἴκου σου δῶσε τα σ' ἄλλον· ἐγὼ θὰ διαβάσω τὴ γραφὴ αὐτὴ στὸ βασιλιὰ καὶ θὰ σοῦ γνωρίσω, βασιλιά μου, την ἑρμηνεία της»[5]. Γιὰ ποιὸ λόγο παραιτεῖται ἀπὸ τὰ δῶρα; Γιὰ νὰ μάθεις ὅτι δὲν ἐξηγεῖ τὴ γραφὴ γιὰ τὰ δῶρα ἐκεῖνα. Τὸ ὅτι λοιπὸν δὲν τὰ εἶπε αὐτὰ ὀργιζόμενος, λέγει· «Ἐγὼ ὅμως θὰ διαβάσω τὴ γραφὴ καὶ θὰ γνωρίσω στὸ βασιλιὰ τὴν ἑρμηνεία αὐτῆς». Βλέπεις αὐτὸν ποὺ εἶναι ἀνώτερος χρημάτων; ποὺ εἶναι ἀνώτερος τιμῆς; ποὺ δὲν ἔχει καμιὰ ἀνάγκη ἀπὸ τὰ βασιλικὰ δῶρα; Τέτοιοι πρέπει νὰ εἶναι ἐκεῖνοι ποὺ κηρύσσουν τὸ λόγο τοῦ Θεοῦ. Γιὰ νὰ μὴ νομίσει ὅτι μὲ τὸν τρόπο αὐτὸ τὸν κέρδισε, ἢ ὅτι τὰ λεγόμενα ἀναφέρονται σὲ κάτι τὸ ἀνθρώπινο. Τί λοιπὸν λέγει; Ἀποφεύγοντας νὰ ἑρμηνεύσει τὴ γραφὴ ἀπευθύνει πρὸς αὐτὸν συμβουλή, ὑπενθυμίζοντας σ' αὐτὸν ἀπὸ τὴν πρώτη στιγμὴ ἐκεῖνα ποὺ συνέβηκαν στὸν πατέρα του.

«Ὁ Θεὸς ὁ ὕψιστος χάρισε στὸν πατέρα σου τὸν Ναβουχοδονόσορ τὴ βασιλεία, τὴ μεγαλοπρέπεια, τὴν τιμὴ καὶ τὴ δό-

τῷ πατρί σου. Καὶ ἀπὸ τῆς μεγαλωσύνης, ἧς ἔδωκεν αὐτῷ, πάντες οἱ λαοί, φυλαί, γλῶσσαι ἦσαν τρέμοντες, καὶ φοβούμενοι ἀπὸ προσώπου αὐτοῦ. Οὓς ἐβούλετο αὐτὸς ἀνῄρει καὶ οὓς ἐβούλετο αὐτὸς ἔτυπτεν, καὶ οὓς ἐβούλετο αὐτὸς ἐταπείνου. Καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ ὑπερηφανεύσασθαι, κατηνέχθη ἀπὸ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ ἡ τιμὴ αὐτοῦ ἀφῃρέθη ἀπ' αὐτοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ ἡ καρδία αὐτοῦ μετὰ τῶν θηρίων ἐδόθη, καὶ μετὰ ὄνων ἀγρίων ἡ κατοικία αὐτοῦ, καὶ χόρτον ὡς βοῦν ἐψώμιζον αὐτόν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ ἔγνω ὅτι κυριεύει ὁ Θεὸς ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτήν». Εἰ γὰρ ἐκεῖνος, φησί, ἀσύγγνωστος, σὺ ὁ μετὰ παράδειγμα τοιοῦτον μὴ σωφρονισθείς, τίνος ἄξιος, εἰπέ μοι; Οὐδὲ γὰρ εἰς ἄγνοιαν ἔχεις καταφυγεῖν. Οὐδὲ πάντα ταῦτα ᾔδεις; Τίνα τίνος προτιμᾷς; τοὺς οὐκ ἀκούοντας, οὐδὲ βλέποντας;

3. «Καὶ σὺ ὁ υἱὸς αὐτοῦ, Βαλτάσαρ, οὐκ ἐταπείνωσας τὴν καρδίαν σου κατ' ἐνώπιον τοῦ Θεοῦ. Οὐ πάντα ταῦτα ἔγνως; Καὶ ἐπὶ τὸν Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ ὑψώθης, καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκας ἐνώπιόν σου· καὶ σύ, καὶ οἱ μεγιστᾶνές σου, καὶ αἱ παράκοιτοί σου, καὶ αἱ παλλακαί σου ἐπίνετε οἶνον ἐν αὐτοῖς. Καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς, καὶ ἀργυροῦς, καὶ χαλκοῦς, καὶ σιδηροῦς, καὶ ξυλίνους, καὶ λιθίνους, οἳ οὐ βλέπουσι, καὶ οὐκ ἀκούουσι, καὶ οὐ γινώσκουσι, ᾔνεσας, καὶ τὸν Θεόν, οὗ ἡ πνοή σου ἐν χειρὶ αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοί σου, αὐτὸν οὐκ ἐδόξασας. Διὰ τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος χειρός, καὶ τὴν γραφὴν ταύτην ἐνέταξε. Καὶ αὕτη ἡ γραφὴ ἡ ἐντεταγμένη· Μανή, Θεκέλ, Φαρές· καὶ τοῦτο τὸ σύγκριμα τοῦ ὁράματος. Μανή· ἐμέτρησεν ὁ Θεὸς τὴν βασιλείαν σου, καὶ

---

6. Δαν. 5, 18-21.

ξα. Καὶ ἐξ αἰτίας τοῦ μεγαλείου αὐτοῦ ποὺ τοῦ ἔδωσε ὅλοι οἱ λαοί, οἱ φυλὲς καὶ οἱ γλῶσσες τῆς γῆς τὸν ἔτρεμαν καὶ τὸν φοβοῦνταν. Αὐτὸς ἐκείνους ποὺ ἤθελε τοὺς φόνευε, ἐκείνους ποὺ ἤθελε τοὺς ἔδερνε, καὶ ἐκείνους ποὺ ἤθελε τοὺς ταπείνωνε. Ὅταν ὅμως ἡ καρδιά του κυριεύθηκε ἀπὸ ἀλαζονεία καὶ τὸ λογικό του ἐξ αἰτίας τῆς ὑπερηφάνειάς του σκληρύνθηκε ἀπομακρύνθηκε ἀπὸ τὸ θρόνο τῆς βασιλείας του, ἀφαιρέθηκε ἀπ' αὐτὸν ἡ τιμή του, διώχθηκε ἀπὸ τοὺς ἀνθρώπους, ἡ καρδιά του ἐξομοιώθηκε μὲ τὴν τῶν ἀγρίων θηρίων, κατοικοῦσε μαζὶ μὲ τοὺς ἄγριους ὄνους, ἔτρωγε σὰν βόδι χορτάρι, καὶ βρεχόταν τὸ σῶμα του ἀπὸ τὴ δροσιὰ τοῦ οὐρανοῦ, μέχρι ποὺ ἀναγνώρισε ὅτι ὁ Θεὸς ὁ Ὕψιστος εἶναι ἐξουσιαστὴς τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ δίνει αὐτὴν σ' ἐκεῖνον ποὺ θὰ θελήσει αὐτός»[6]. Ἐὰν δηλαδή, λέγει, ἐκεῖνος εἶναι ἀσυγχώρητος, σὺ πού, μετὰ ἀπὸ τέτοιο παράδειγμα, δὲν σωφρονίσθηκες, πές μου, ποιοῦ πράγματος εἶσαι ἄξιος; Διότι οὔτε ἄγνοια μπορεῖς νὰ ἐπικαλεσθεῖς. Δὲν τὰ γνώριζες ὅλα αὐτά; Ποιοὺς ἀντὶ αὐτοῦ προτιμᾶς; ἐκείνους ποὺ δὲν ἀκοῦν καὶ οὔτε βλέπουν;

3. «Καὶ σύ, Βαλτάσαρ, ὁ υἱὸς αὐτοῦ, δὲν ταπείνωσες τὴν καρδιά σου ἐνώπιον τοῦ Θεοῦ. Δὲν τὰ εἶχες γνωρίσει ὅλα αὐτά; Καὶ ἔδειξες ἀπέναντι στὸ Θεὸ τοῦ οὐρανοῦ ἀλαζονεία καὶ ὑψηλοφροσύνη καὶ ἔδωσες ἐντολὴ καὶ ἔφεραν μπροστά σου τὰ ἱερὰ σκεύη τοῦ ναοῦ αὐτοῦ· καὶ σύ, οἱ μεγιστάνες σου, οἱ γυναῖκες σου καὶ οἱ παλλακίδες σου πίνατε κρασὶ μ' αὐτά. Καὶ τοὺς ἐξύμνησες τοὺς χρυσοὺς θεούς, τοὺς ἀργυρούς, τοὺς χάλκινους, τοὺς σιδερένιους, τοὺς ξύλινους καὶ τοὺς πέτρινους, οἱ ὁποῖοι δὲν βλέπουν καὶ δὲν ἀκοῦν καὶ δὲν καταλαβαίνουν τίποτε, καὶ τὸ Θεό, στὸ χέρι τοῦ ὁποίου βρίσκεται ἡ πνοή σου καὶ ὅλα τὰ βήματα τῆς ζωῆς σου, αὐτὸν δὲν τὸν δόξασες. Γι' αὐτὸ ἀπ' αὐτὸν τὸν ἴδιο στάλθηκαν δάχτυλα χεριοῦ καὶ ἔγραψαν αὐτὴ τὴ γραφή. Καὶ ἡ γραφὴ αὐτὴ ἡ γραμμένη ἐπάνω στὸν τοῖχο λέγει· Μανή, Θεκέλ, Φαρές, ἡ δὲ ἑρμηνεία τοῦ δράματος αὐτοῦ εἶναι ἡ ἑξῆς. «Μανὴ» σημαίνει, μέτρησε ὁ Θεὸς τὴ βασιλεία σου καὶ τὴν συμπλήρωσε. «Θεκὲλ» σημαίνει, τοποθετήθηκε ἐ-

ἐπλήρωσεν αὐτήν. Θεκέλ· ἐστάθη ἐν ζυγῷ, καὶ εὑρέθη ὑστεροῦσα. Φαρές· διῃρέθη ἡ βασιλεία σου, καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις». Διὰ τοῦτο, φησί, ἐμέτρησεν ὁ Θεὸς τὴν βασιλείαν σου, καὶ διῃρέθη. Καὶ τοῦτο εἰς τιμωρίαν, τὸ διαιρεθῆναι, καὶ μὴ μένειν αὐτὴν ὁλόκληρον. Ὅπερ οὖν καὶ ἐπὶ Σολομῶντος γέγονεν. Οὐ μόνον τὸ μὴ λαβεῖν τὸν υἱόν, ἀλλὰ καὶ τὸ διαιρεθῆναι.

Ὅρα ἀπολογούμενον αὐτῷ τὸν Θεόν· ὅρα αὐτὸν αἴτιον ὄντα. «Οὗ ἡ πνοή σου», φησί, «ἐν χειρὶ αὐτοῦ». Μὴ γὰρ οὐκ ἠδύνατο εὐθέως ἀνελεῖν; Ἀλλ' ἐμακροθύμησεν. Τίνα οὐκ ἂν ἐφόβησεν ἡ τιμωρία, καὶ ταῦτα ἐγγὺς οὖσα; Εἶδες τὴν ἐφ' ἑκάτερα δύναμιν; πόθεν ἄξιος εἶ, εἰπέ μοι, συγγνώμης; καὶ σὺ ὁ υἱὸς αὐτοῦ, οὐκ ἔχω εἰπεῖν, ὁ ἔκγονος, οὐ πάντα ταῦτα ἔγνως; Καθάπερ ἐπὶ δικαστηρίου ἡ ἀπόφασις γράφεται, οὕτος ἑρμηνεύει τὰ λεγόμενα. Πόθεν ἐπῆλθεν αὐτῷ τιμῆσαι τὸν Δανιήλ; Ὡς ἐμοὶ δοκεῖ, ὥστε μὴ καταγνωσθῆναι παρὰ τῶν παρόντων, προσδοκῶν ἴσως εὑρεῖν λύσιν διὰ ταῦτα.

---

7. Δαν. 5, 22-28.
8. Δαν. 5, 23.
9. Δηλαδὴ τοῦ Ναβουχοδονόσορ.

πάνω σὲ ζυγαριὰ καὶ βρέθηκε ἐλλιπής. «Φαρὲς» σημαίνει, διαιρέθηκε ἡ βασιλεία σου καὶ δόθηκε στοὺς Μήδους καὶ στοὺς Πέρσες»[7]. Γι' αὐτό, λέγει, μέτρησε ὁ Θεὸς τὴ βασιλεία σου καὶ διαιρέθηκε. Καὶ αὐτὸ ἔγινε γιὰ τιμωρία, ὥστε νὰ διαιρεθεῖ καὶ νὰ μὴ εἶναι πιὰ αὐτὴ ὁλόκληρη. Αὐτὸ ἀκριβῶς ἔγινε καὶ στὴν περίπτωση τοῦ Σολομῶντα. Ὄχι μόνο δὲν ἔλαβε τὴ βασιλεία ὁ υἱός του, ἀλλὰ καὶ διαιρέθηκε αὐτή.

Πρόσεχε τὸ Θεὸ ποὺ ἀπολογεῖται σ' αὐτόν· πρόσεχε αὐτὸν ποὺ εἶναι αἴτιος γιὰ ὅλα. «Στὰ χέρια τοῦ ὁποίου», λέγει, «βρίσκεται ἡ ζωή σου»[8]. Μήπως δηλαδὴ δὲν μποροῦσε ἀμέσως νὰ σὲ ἐξολοθρεύσει; Ἀλλ' ὅμως ἔδειξε μακροθυμία. Ποιὸν λοιπὸν θὰ ἦταν δυνατὸ νὰ μὴ φοβήσει ἡ τιμωρία, καὶ ὅλα αὐτὰ τὴ στιγμὴ ποὺ αὐτὴ βρισκόταν πολὺ κοντά; Εἶδες τὴ δύναμή του καὶ στὶς δυὸ περιπτώσεις; Ἀπὸ ποῦ, πές μου, εἶσαι ἄξιος συγγνώμης; Καὶ σὺ ποὺ εἶσαι ὁ υἱὸς ἐκείνου, ὁ ἀπόγονός του, δὲν ξέρω τί νὰ πῶ, δὲν τὰ γνώριζες ὅλα αὐτά; Σὰν ἀκριβῶς σὲ δικαστήριο ἡ ἀπόφαση γράφεται καὶ αὐτὸς ἑρμηνεύει τὰ λεγόμενα. Γιὰ ποιὸ λόγο σκέφθηκε αὐτὸς νὰ τιμήσει τὸν Δανιήλ; Ἐγὼ νομίζω γιὰ νὰ μὴ κατηγορηθεῖ καὶ περιφρονηθεῖ ἀπὸ τοὺς παρόντες, περιμένοντας ἴσως νὰ βρεῖ λύση γι' αὐτά.

ΚΕΦΑΛΑΙΟΝ Ϛ΄.

«Καὶ ὁ βασιλεὺς κατέστησεν αὐτὸν ἐφ' ὅλης τῆς βασιλείας αὐτοῦ. Καὶ οἱ τακτικοὶ καὶ οἱ σατράπαι ἐζήτουν πρόφασιν εὑρεῖν κατὰ Δανιὴλ ἐκ τῆς βασιλείας. Καὶ πᾶσαν πρόφασιν καὶ παράπτωμα οὐχ εὗρον κατ' αὐτοῦ, ὅτι πιστὸς ἦν».

1. Τουτέστι καὶ εὔνους τῷ βασιλεῖ ἦν. Ἢ, «Ὅτι πιστὸς ἦν», τουτέστι, ἐθάρρει τῷ Θεῷ, κἀκεῖνος πάντα ἐκυβέρνα· Θεοῦ δὲ κυβερνῶντος, τίς ἂν γένοιτο βλάβη; Τί οὖν φησι; «Εἶπον οἱ τακτικοὶ ἐκεῖνοι, Οὐχ εὑρήσομεν κατὰ Δανιὴλ πρόφασιν, εἰ μὴ ἐν νομίμοις Θεοῦ αὐτοῦ». Οὐδέν, φησί, δυνατὸν εὑρεῖν. Διὰ τί; Μὴ οὐκ ἄνθρωπός ἐστιν; ἐν πᾶσιν ἄπταιστος γέγονεν; Τὸ μέλλον ἄδηλον, καὶ ὑπὲρ τῶν μελλόντων πῶς ἀποφαίνεσθε; Καί φησι, Πεῖραν ἐλάβομεν ἀπὸ τῶν πραγμάτων. «Εἰ μὴ ἐν νομίμοις», φησί, «Θεοῦ αὐτοῦ, οὐχ εὑρήσομεν πρόφασιν». Καὶ μὴν ἐκεῖ ἄληπτος πολλῷ πλέον. Συγχωρεῖ τὸν πειρασμὸν ὁ Θεὸς πρὸς δοκιμήν. Μὴ γὰρ οὐκ ἠδύνατο κωλῦσαι τὴν κακίαν ἐκείνων; Ἀλλ' ἵνα διὰ τούτου

---

1. Δαν. 6, 3-4.
2. Ὁ Θεοδώρητος παρατηρεῖ· «ἐπειδὴ φύλαττε τὴν εὐσέβεια πρὸς τὸ Θεό, γι' αὐτὸ καὶ ἀπολάμβανε μεγάλη εὔνοια ἀπὸ τοὺς βασιλεῖς.

ΚΕΦΑΛΑΙΟ S'.

«Καὶ ὁ βασιλιὰς διόρισε αὐτὸν γενικὸ ἀρχηγὸ σ' ὅλο τὸ βασίλειό του. Καὶ οἱ ἀνώτατοι διοικητὲς καὶ οἱ σατράπες ζητοῦσαν, κινούμενοι ἀπὸ φθόνο, νὰ βροῦν κάποια κατηγορία ἐναντίον τοῦ Δανιὴλ γιὰ νὰ τὸν ἀπομακρύνουν ἀπὸ τὴ βασιλικὴ ἐξουσία ποὺ τοῦ δόθηκε. Ὅμως δὲν βρῆκαν καμιὰ κατηγορία καὶ κανένα παράπτωμα σὲ βάρρος του, διότι ἦταν πιστὸς στὸ βασιλιά»[1].

1. «Ἦταν πιστός», δηλαδὴ εἶχε τὴν εὔνοια τοῦ βασιλιᾶ[2]. Ἢ «ὅτι πιστὸς ἦταν», σημαίνει ὅτι εἶχε στηριγμένη τὴν ἐμπιστοσύνη του στὸ Θεὸ καὶ ἐκεῖνος διεύθυνε τὰ πάντα· ὅταν δὲ ὁ Θεὸς εἶναι ὁ κυβερνήτης, ποιὰ βλάβη θὰ ἦταν δυνατὸ νὰ συμβεῖ; Τί λοιπὸν λέγει; «Εἶπαν λοιπὸν οἱ ἀνώτατοι ἐκεῖνοι διοικητές· δὲν θὰ μπορέσομε νὰ βροῦμε κατηγορία ἐναντίον τοῦ Δανιήλ, παρὰ μόνο κάτι ποὺ νὰ ἔχει σχέση μὲ τοὺς νόμους τοῦ Θεοῦ». Δὲν μποροῦμε, λέγει, νὰ βροῦμε τίποτε ἐναντίον του. Γιατί; Μήπως αὐτὸς δὲν εἶναι ἄνθρωπος; σ' ὅλα ὑπῆρξε ἄπταιστος; Τὸ μέλλον εἶναι ἄγνωστο καὶ πῶς βγάζετε τὰ συμπεράσματά σας γιὰ ἐκεῖνα ποὺ πρόκειται νὰ λάβουν χώρα στὸ μέλλον; Καὶ ἡ ἀπάντησή τους εἶναι· Τὸ διαπιστώσαμε ἀπὸ τὰ ἴδια τὰ πράγματα. «Δὲν θὰ βροῦμε», λέγει, «κατηγορία ἐναντίον του παρὰ μόνο κάτι ποὺ θὰ ἔχει σχέσει μὲ τοὺς νόμους καὶ τὶς ἐντολὲς τοῦ Θεοῦ». Καὶ ὅμως στὸ θέμα αὐτὸ εἶναι πολὺ περισσότερο ἀδύνατο νὰ τὸν πιάσομε νὰ παρανομεῖ. Ἐπιτρέπει ὁ Θεὸς τὸν πειρασμὸ γιὰ δοκιμή. Μήπως δηλαδὴ δὲν μποροῦσε νὰ ἐμποδίσει τὴν κακία ἐκείνων; Ἀλλὰ γιὰ νὰ μάθεις μὲ αὐτὸ

μάθης, καὶ τοῦτον θαυμάσης, οὐ φθονεῖ τοῦ στεφάνου τοῖς οἰκέτοις αὐτοῦ.

«Τότε οἱ τακτικοὶ καὶ οἱ σατράπαι παρέστησαν τῷ βασιλεῖ, καὶ εἶπον αὐτῷ· Δαρεῖε βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. Συνεβουλεύσαντο πάντες οἱ ἐπὶ τῆς βασιλείας σου στρατηγοὶ καὶ σατράπαι, ὕπατοι καὶ τοπάρχαι, τοῦ στῆσαι στάσει βασιλικῇ, καὶ ἐνισχῦσαι ὁρισμόν, ὅπως ὃς ἂν αἰτήσῃ παρὰ παντὸς θεοῦ ἢ ἀνθρώπου αἴτημα ἕως ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων. Νῦν οὖν, βασιλεῦ, στῆσον τὸν ὁρισμόν, καὶ ἔκθες γραφήν, ὅπως μὴ ἀλλοιωθῇ τὸ δόγμα Μήδων καὶ Περσῶν, ὅπως ἂν μὴ παραγραφῇ, κατ' ἔναντι τούτου. Τότε ὁ βασιλεὺς Δαρεῖος ἐπέταξε γραφῆναι τὸ δόγμα».

Ὅρα τί ποιοῦσι, πῶς ἀλόγιστον δόγμα ἐσπούδαζον στῆσαι. Καὶ κατὰ σπουδὴν τοῦτο αἰτοῦσι. Τὸ μὲν γὰρ λέγειν, «Ὃς ἂν αἰτήσῃ παρὰ ἀνθρώπου», λόγον εἶχεν; Ἀλλ' ἐδόκουν σοφίζεσθαι τὸν λόγον τῆς αἰτήσεως τῷ βραχεῖ χρόνῳ. Ποία ὑπόθεσις αὕτη; διὰ τί τοῦτο εἶπες; «Ἔδοξε», φησί· πάντες συνελθόντες τοῦτο ἐκυρώσαμεν, ὥστε ἐν τριάκοντα ἡμέραις παρὰ σοῦ μόνου αἰτεῖν. Ὦ βαρβαρικὸν αἴτημα· ὦ πολλῆς ἀλογίας γέμουσα χάρις, αὐτὸν τὸν δοκοῦντα τιμᾶσθαι καταισχύνουσα! Εἰ μὲν γὰρ τοῦτο καλόν, ἔδει διηνεκὲς τοῦτο εἶναι, εἰ δὲ φαῦλον, οὐδὲ τὰς τριάκοντα ἡμέρας. Πάλιν εἰ καλόν, τί τὸ πλῆθος προβάλλεσθε; Καὶ γὰρ χωρὶς τούτου ἐπινεῦσαι δεῖ, εἰ δὲ φαῦλον, οὐδὲ πάσης τῆς οἰκουμένης κελευούσης ὑπείκειν ἐχρῆν. Οὐ προεῖδε τὸν δόλον ὁ βασιλεύς· καὶ δῆλον ἐκ τῶν μετὰ ταῦτα. Ὥρισε

---

3. Δαν. 6, 6-9.

καὶ νὰ θαυμάσεις αὐτόν, ὅτι δηλαδὴ δὲν φθονεῖ τὰ στεφάνια τῶν δούλων του.

«Τότε οἱ ἀνώτατοι διοικητὲς καὶ οἱ σατράπες παρουσιάσθηκαν στὸ βασιλιὰ καὶ εἶπαν σ' αὐτόν· Δαρεῖε βασιλιά μας, νὰ ζήσεις στοὺς αἰῶνες. Συσκέφθηκαν καὶ συμφώνησαν ὅλοι οἱ στρατηγοί, οἱ σατράπες, οἱ ὕπατοι καὶ οἱ τοπάρχες τῆς βασιλείας σου νὰ ἐκδοθεῖ καὶ νὰ ἰσχύσει σὰν βασιλικὴ διαταγή, σύμφωνα μὲ τὴν ὁποία ἐκεῖνος ποὺ θὰ ζητήσει ἐπὶ τριάντα ἡμέρες κάτι ἀπὸ ὁποιονδήποτε θεὸ ἢ ἄνθρωπο ἐκτὸς ἀπὸ σένα, βασιλιά μας, νὰ ρίχνεται στὸ λάκκο τῶν λεονταριῶν. Τώρα λοιπόν, βασιλιά μας, ἔκδωσε τὴ διαταγὴ καὶ ὑπόγραψέ την, γιὰ νὰ μὴ μπορεῖ νὰ τροποποιηθεῖ ἡ ἀπόφαση τοῦ βασιλιᾶ τῶν Μήδων καὶ τῶν Περσῶν καὶ νὰ μὴ εἶναι δυνατὸ νὰ ἀκυρωθεῖ ἀπὸ αὐτὸν τὸν ἴδιο. Τότε ὁ βασιλιὰς Δαρεῖος διέταξε νὰ γραφεῖ καὶ νὰ δημοσιευθεῖ τὸ βασιλικὸ διάταγμα»[3].

Πρόσεχε τί κάνουν, πῶς φρόντιζαν νὰ ἐκδοθεῖ τελείως ἀπερίσκετο διάταγμα. Καὶ τὸ αἴτημά τους γίνεται μὲ πολλὴ προσοχή. Διότι τὸ νὰ ποῦν, «ὁποιος θὰ ζητήσει κάτι ἀπὸ ἀνθρώπους», ἀποτελοῦσε δικαιολογία; Ἀλλὰ πίστευαν ὅτι εἶχε μεθοδευθεῖ πολὺ καλὰ ἡ δικαιολογία τοῦ αἰτήματός τους μὲ τὸ σύντομο χρόνο, ποὺ ζήτησαν γιὰ νὰ ἰσχύσει τὸ διάταγμα. Ποιὰ ἦταν ἡ ἀφορμὴ γι' αὐτό; Γιατί τὸ εἴπατε αὐτό; Ἔτσι ἀποφάσισαν, λέγει. Συγκεντρώθηκαν ὅλοι καὶ ἐπικύρωσαν τὴν ἀπόφαση αὐτή, ὥστε γιὰ τριάντα ἡμέρες ἀπὸ σένα μόνο νὰ ζητοῦν ὅ,τι θέλουν. Πώ, πὼ βαρβαρικὸ αἴτημα· πώ, πὼ χάρη γεμάτη ἀπὸ μεγάλο παραλογισμό, ποὺ περιβάλλει μὲ ντροπὴ αὐτὸν ποὺ νομίζουν ὅτι τιμοῦν. Διότι, ἐὰν μὲν αὐτὸ ἦταν καλό, ἔπρεπε νὰ ἰσχύσει γιὰ πάντα, ἐὰν ὅμως εἶναι κακό, ἔπρεπε νὰ μὴ ἰσχύσει οὔτε τὶς τριάντα ἡμέρες. Πάλι ἐὰν εἶναι καλό, γιατί προβάλλετε τὸ πλῆθος; Καθόσον ἔπρεπε καὶ χωρὶς αὐτὸ νὰ δεχθεῖ, ἐὰν ὅμως εἶναι κακὸ ἔπρεπε νὰ μὴ ὑποχωροῦσε καὶ ἂν ἀκόμα τὸν προέτρεπε ὁλόκληρη ἡ οἰκουμένη. Δὲν ἀντιλήφθηκε τὸ δόλο ὁ βασιλιάς, καὶ αὐτὸ γίνεται φανερὸ ἀπὸ τὰ ὅσα λέγονται στὴ συνέχεια. Διότι ἐξέδωσε τὸ διάταγμα καὶ τὸ καταχύρω-

γάρ, καὶ γράμμασιν αὐτὸ ἠσφαλίσαντο, ὥστε μηδὲ βουλομένῳ μετὰ ταῦτα γενέσθαι καιρὸν τοῦ ἀνανεῦσαι.

2. Τί οὖν ἀκούσας φησὶν ὁ Δανιήλ; Οὐκ ἐταράχθη, οὐ προσέθηκεν, οὐκ ἀφεῖλεν. Ὅρα τὸν ἐνάρετον ὁμαλῶς ἀεὶ ζῶντα, ὥσπερ τινὰ ἄνθη παρατρέχοντα πάντα, ὥσπερ ἐν σκιαῖς καὶ τὰ χρηστὰ καὶ τὰ λυπηρὰ θεώμενον. Εἰ γὰρ ἐν ἀρχῇ οὕτως ἀκατάπληκτος ἔμενε, πολλῷ μᾶλλον νῦν μετὰ τὴν πεῖραν τῶν ἀγώνων τοσούτους ἀναδησάμενος στεφάνους. Τίνος ἕνεκεν οὐ προσῆλθε; τίνος ἕνεκεν οὐκ ἐμέμψατο, τοσαύτην παρὰ τῷ βασιλεῖ παρρησίαν ἔχων; Οὐκ ἐβούλετο ῥήμασιν, ἀλλὰ πράγμασι τοῦτο ποιῆσαι. Ἄλλως δὲ πανταχοῦ αὐτὸν εὑρίσκομεν, τῆς χρείας καλούσης, ἐπιπηδῶντα, καὶ παραγινόμενον.

«Καὶ Δανιὴλ ἡνίκα ἔγνω ὅτι ἐνετάγη τὸ δόγμα, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· καὶ αἱ θυρίδες ἀνεῳγμέναι ἐν τοῖς ὑπερῴοις αὐτοῦ κατέναντι Ἱερουσαλήμ· καὶ καιροὺς τρεῖς τῆς ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ, καὶ προσευχόμενος, καὶ ἐξομολογούμενος ἐναντίον τοῦ Θεοῦ αὐτοῦ, καθὼς ἦν ποιῶν ἔμπροσθεν».

Τίνος ἕνεκεν τῶν θυρίδων ἡμῶν ἀνέμνησεν, ὅτι ἀνεῳγμέναι ἦσαν πρὸς Ἱερουσαλήμ; Σφοδρὸν τῆς θέας εἶχον πόθον. Καθάπερ οὖν τις ποθουμένην ἔχων ἀποῦσαν, καὶ τὰς ὁδοὺς τὰς ἐκεῖ φερούσας φιλεῖ, οὕτω δὴ καὶ οὗτος. Ἐπεθύμουν δὲ αὐτῆς ἄλλοι τῶν σωματικῶν ἕνεκεν, οὗτος δὲ οὐχί, ἀλλὰ διὰ τὴν δόξαν τοῦ Θεοῦ. Ἐπεὶ ὅτι τοῦτό ἐστι, δῆλον ἐκεῖθεν· οὐ γὰρ εἵλετο ἀνελθεῖν, τοῦ σπουδαζομένου πέρας εἰληφότος αὐτῷ. Διὰ τοῦτο καὶ ἡμεῖς, καθὼς οἱ πατέρες ἡμῖν παρέδωκαν, πρὸς ἀνατολὰς ὁρῶντες εὐχόμεθα, πόλιν καὶ ἡμεῖς καὶ πατρίδα ἀρχαίαν ζητοῦμεν· καὶ γὰρ ὄντως ἄξιον ζητῆσαι. Πῶς, πανταχοῦ τοῦ Θεοῦ ὄντος, καὶ λέγοντος τοῦ προφήτου, «Τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα

σαν μὲ τὴν ὑπογραφή του, ὥστε νὰ μὴ μπορεῖ στὴ συνέχεια, καὶ ἂν ἀκόμα θέλει, νὰ τὸ ἀρνηθεῖ.

2. Τί λοιπὸν ἔκανε ὁ Δανιὴλ ὅταν τὸ ἄκουσε; Δὲν ταράχθηκε, οὔτε πρόσθεσε οὔτε ἀφαίρεσε κάτι ἀπὸ ἐκεῖνα ποὺ ἔκαμνε. Πρόσεχε τὸν ἐνάρετο ποὺ πάντα ζεῖ τὴν κανονικὴ ζωή, ποὺ παρατρέχει τὰ πάντα σὰν κάποια ἄνθη, ποὺ βλέπει τὰ εὐχάριστα καὶ τὰ δυσάρεστα σὰν σκιές. Διότι, ἐὰν στὴν ἀρχὴ ἔμενε τόσο πολὺ ἀκατάπληκτος, πολὺ περισσότερο τώρα πού, μετὰ τὴν πεῖρα τῶν ἀγώνων, εἶχε φορέσει τόσα πολλὰ στεφάνια. Γιὰ ποιὸ λόγο δὲν ἐπισκέφθηκε τὸ βασιλιά; γιὰ ποιὸ λόγο δὲν τὸν ἔλεγξε, ἀφοῦ εἶχε τόσο θάρρος ἀπέναντι στὸ βασιλιά; Δὲν ἤθελε νὰ τὸ κάνει αὐτὸ μὲ λόγια, ἀλλὰ μὲ ἔργα. Ἄλλωστε δὲ παντοῦ βρίσκομε αὐτόν, ὅταν τὸν καλεῖ ἡ ἀνάγκη, νὰ τρέχει καὶ νὰ δίνει τὸ παρόν.

«Καὶ ὁ Δανιήλ, ὅταν πληροφορήθηκε ὅτι δημοσιεύθηκε τὸ διάταγμα αὐτό, εἰσῆλθε στὴν οἰκία του, τὰ παράθυρα τοῦ ὑπερώου τῆς ὁποίας ἔβλεπαν πρὸς τὴν Ἱερουσαλήμ. Τρεῖς φορὲς τὴν ἡμέρα γονάτιζε καὶ προσευχόταν, δοξολογώντας τὸ Θεό, ὅπως ἔκαμνε καὶ κατὰ τὸν προηγούμενο χρόνο.

Γιὰ ποιὸ λόγο μᾶς ἀνέφερε ὅτι τὰ παράθυρα τοῦ ὑπερώου του ἔβλεπαν πρὸς τὴν Ἱερουσαλήμ; Ποθοῦσαν ὑπερβολικὰ νὰ βλέπουν αὐτήν. Ὅπως ἀκριβῶς λοιπὸν κάποιος τρέφει ὑπερβολικὸ πόθο γιὰ τὴν ἀγαπημένη του ποὺ ἀπουσιάζει καὶ ἀγαπᾶ καὶ τοὺς δρόμους ποὺ ὁδηγοῦν πρὸς ἐκείνην, ἔτσι λοιπὸν καὶ αὐτός. Ἐπιθυμοῦσαν δὲ αὐτὴν ἄλλοι μὲν ἐξ αἰτίας τῶν ὑλικῶν ἀγαθῶν της, αὐτὸς ὅμως ὄχι γι' αὐτό, ἀλλ' ἐξ αἰτίας τῆς δόξας τοῦ Θεοῦ. Διότι, τὸ ὅτι αὐτὸς εἶναι ὁ λόγος, γίνεται φανερὸ ἀπὸ τὸ ἑξῆς· δὲν θέλησε νὰ ἀνέλθει, ἀφοῦ εἶχε λάβει τέλος γι' αὐτὸν τὸ ἀντικείμενο τῆς ἀγάπης του. Γι' αὐτὸ καὶ ἐμεῖς, ὅπως μᾶς παρέδωσαν οἱ πατέρες μας, προσευχόμαστε βλέποντας πρὸς τὴν ἀνατολή, ἀναζητώντας καὶ ἐμεῖς τὴν πόλη καὶ τὴν πατρίδα τὴν ἀρχαία· καθόσον ἀξίζει νὰ τὴν ἀναζητοῦμε. Πῶς, ἀφοῦ ὁ Θεὸς βρίσκεται παντοῦ, ὁ δὲ προφήτης λέγει, «Ἑτοιμάσατε τὸ δρόμο γιὰ ἐκεῖνον ποὺ βαδίζει πρὸς δυσμάς, τὸ ὄνομα τοῦ ὁ-

αὐτῷ», πρὸς ἀνατολάς ἐσμεν τετραμμένοι; Ἐκεῖ ὥσπερ ἰατρεῖον ἦν τὸ ἀρχαῖον. Ἀλλ' οὐκ ἔλαβες αὐτοῦ πεῖραν; Ἀλλὰ ζήτει. Ἐν αἰχμαλωσίᾳ καὶ ἡμεῖς ᾠκοῦμεν, ἀλλὰ πρὶν ἐλθεῖν τὸν Χριστόν. Τίνος δ' ἕνεκεν τρεῖς μόνους καιροὺς τῆς ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ; Τί γάρ; τοῦτο οὐ θαυμαστόν; Ἄνθρωπος τοσαύταις κυκλούμενος φροντίσι, καὶ οὐδὲ μικρὸν ἀναπνεῦσαι ἔχων. Ὅρα δὲ καὶ τὸ ἀποστολικὸν ἐκεῖνο πληρούμενον· «Ἐν παντὶ τόπῳ», φησί, «ἐπαίροντες ὁσίους χεῖρας». Καὶ ὅπερ ὁ Χριστὸς ἐκέλευσε, τοῦτο ἐπλήρουν. «Καὶ κλείσας», φησί, «τὴν θύραν σου, πρόσευξαι τῷ Πατρί σου».

«Τότε ἀπεκρίθησαν, καὶ λέγουσιν ἐνώπιον τοῦ βασιλέως· Δανιήλ, ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, οὐχ ὑπετάγη τῷ δόγματί σου καὶ περὶ τοῦ ὁρισμοῦ, οὗ ἔταξας· καὶ καιροὺς τρεῖς ἡμέρας αἰτεῖ παρὰ τοῦ Θεοῦ αὐτοῦ τὰ αἰτήματα. Τότε ὁ βασιλεύς, ὡς τὸ ῥῆμα ἤκουσε, πολὺ ἐλυπήθη ἐπ' αὐτῷ, καὶ περὶ τοῦ Δανιὴλ ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτόν· καὶ ἕως πρὸς δυσμὰς ἡλίου ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτόν, καὶ ἦν ἀγωνιζόμενος περὶ αὐτοῦ. Τότε οἱ ἄνδρες ἐκεῖνοι παρετηρήσαντο ἐπὶ τὸν βασιλέα, καὶ λέγουσι τῷ βασιλεῖ· Γνῶθι, βασιλεῦ, ὅτι τὸ δόγμα τοῖς Μήδοις καὶ Πέρσαις, τοῦ πάντα ὁρισμὸν καὶ στάσιν, ἣν ἂν ὁ βασιλεὺς στήσῃ, οὐ δεῖ παραγράψαι. Τότε ὁ βασιλεὺς εἶπε, καὶ ἤγαγον τὸν Δανιήλ, καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων».

Τάχα τινὲς ὑμῶν λέγουσιν, ὅτι Οὐχ ἴσχυσεν αὐτὸν ἐξελέσθαι; Μάλιστα μὲν ἠδύνατο ὁ Θεὸς ποιῆσαι τὸν βασιλέα δυνατώτερον, ἀλλὰ ἐπὶ τὸ σκάμμα ἄγει τὸν ἀθλητήν. Ἤδει τὸ τέλος, οὐκ ἠγνόει τὸ πέρας. Οὐδὲ ὁ βασιλεὺς εἰ τοῦτο ἤ-

---

4. Ψαλμ. 67, 5.
5. Α' Τιμ. 2, 8.
6. Ματθ. 6, 6.
7. Δαν. 6, 13-16.

ποίου εἶναι Κύριος»[4], ἐμεῖς στρεφόμαστε κατὰ τὴν ὥρα τῆς προσευχῆς πρὸς ἀνατολάς; Διότι ἐκεῖ ἦταν κατὰ κάποιο τρόπο τὸ ἀρχαῖο ἰατρεῖο. Ἀλλὰ δὲν ἔλαβες γνώση αὐτοῦ; Τότε ἀναζήτησέ το. Μέσα σὲ αἰχμαλωσία καὶ ἐμεῖς ζούσαμε, ἀλλ' αὐτὸ συνέβαινε προτοῦ νὰ ἔρθει στὸν κόσμο ὁ Χριστός. Γιὰ ποιὸ λόγο δὲ τρεῖς φορὲς μόνο τὴν ἡμέρα γονάτιζε καὶ προσευχόταν πρὸς τὸ Θεό; Τί λοιπόν; δὲν εἶναι αὐτὸ ἄξιο θαυμασμοῦ; Διότι ἦταν ἄνθρωπος περικυκλουμένος ἀπὸ τόσες φροντίδες καὶ δὲν μποροῦσε οὔτε στιγμὴ ν' ἀναπνεύσει. Πρόσεχε δὲ ἐφαρμοζόμενη καὶ τὴν ἀποστολικὴ ἐκείνη ἐντολή. «Νὰ προσεύχονται», λέγει, «σὲ κάθε τόπο, σηκώνοντας χέρια καθαρά»[5]. Καὶ ἐκεῖνο ποὺ παράγγειλε ὁ Χριστὸς νὰ κάμνομε κατὰ τὴν ὥρα τῆς προσευχῆς, αὐτὸ ἐφάρμοζαν ἐκεῖνοι. «Ἀφοῦ κλείσεις», λέγει, «τὴν πόρτα σου, προσευχήσου στὸν Πατέρα σου»[6].

«Τότε ἀποκρίθηκαν οἱ ἄνδρες ἐκεῖνοι καὶ εἶπαν στὸ βασιλιά· ὁ Δανιήλ, ποὺ εἶναι ἕνας ἀπὸ τοὺς αἰχμαλώτους Ἰουδαίους, δὲν ὑπάκουσε στὸ πρόσταγμά σου καὶ στὸ διάταγμα ποὺ δημοσίευσες, καὶ τρεῖς φορὲς τὴν ἡμέρα ἀπευθύνει πρὸς τὸ Θεό του τὰ αἰτήματά του. Τότε ὁ βασιλιάς, μόλις ἄκουσε τὰ λόγια αὐτά, στενοχωρέθηκε πάρα πολὺ καὶ κατέβαλε μεγάλη προσπάθεια γιὰ νὰ σώσει τὸν Δανιὴλ ἀπὸ τὴν καταδίκη καὶ ἡ προσπάθειά του αὐτὴ γιὰ νὰ τὸν σώσει διήρκεσε μέχρι τὴ δύση τοῦ ἡλίου, καὶ ἐξακολούθησε ν' ἀγωνίζεται γιὰ τὴ σωτηρία αὐτοῦ. Τότε οἱ ἄνδρες ἐκεῖνοι, ἐπειδὴ ἀντιλήφθηκαν τὶς προσπάθειες αὐτὲς τοῦ βασιλιᾶ, λένε πρὸς τὸ βασιλιά· Ἔχε ὑπ' ὄψη σου, βασιλιά μας, ὅτι τὸ διάταγμά σου, ποὺ ἀπευθυνόταν πρὸς τοὺς Μήδους καὶ τοὺς Πέρσες, δημοσιεύθηκε σὰν νόμος καὶ δὲν μπορεῖ νὰ τροποποιηθεῖ, πολὺ περισσότερο δὲ ν' ἀκυρωθεῖ. Τότε ὁ βασιλιὰς διέταξε καὶ ὁδήγησαν τὸν Δανιὴλ καὶ τὸν ἔρριξαν στὸ λάκκο τῶν λεονταριῶν»[7].

Ἴσως μερικοὶ ἀπὸ σᾶς νὰ λένε, μὰ δὲν κατόρθωσε νὰ τὸν σώσει; Καὶ βέβαια ὁ Θεὸς μποροῦσε νὰ κάνει τὸ βασιλιὰ ἰσχυρότερο, ἀλλὰ προτιμᾶ νὰ ὁδηγήσει τὸν ἀθλητὴ στὸ σκάμμα. Γνώριζε τὸ τέλος, δὲν ἀγνοοῦσε τὸ ἀποτέλεσμα. Οὔτε ὁ βασι-

δει τὸ τέλος ἐκβησόμενον, ἠγωνίσατο ἄν· ἀλλ' οὐκ ἴσχυσεν. Ἀπόδεκτος τῆς προθυμίας, συγγνωστὸς τῆς ἀγωνίας. Οὕτω ποθεινὸς ἦν ὁ Δανιήλ· ἀλλ' ὁ φθόνος οὐδὲ τὰ καλὰ ἀφίησι βλέπειν, μᾶλλον δὲ βλέπειν μὲν αὐτά, οὐ τοῖς αὐτοῖς δὲ ὀφθαλμοῖς. Οὐ δεῖ, φασίν, οὕτως ἔκλυτα εἶναι τὰ πράγματα, οὐδὲ ἀβεβαίους τοὺς νόμους τοὺς παρ' ἡμῖν. Τὸ ἔθνος ὅλον ὑβρίζεται. Ἐμβάλλουσιν εἰς τὸν λάκκον· ἐπιτιθέασι λίθον.

3. «Καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Ὁ Θεός, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, αὐτὸς ἐξελεῖταί σε. Καὶ ἤνεγκαν λίθον ἕνα καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου· καὶ ἐσφραγίσατο ὁ βασιλεὺς τῷ δακτυλίῳ αὐτοῦ, καὶ τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιωθῇ πρᾶγμα ἐν τῷ Δανιήλ. Καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐκοιμήθη ἄδειπνος, καὶ ἐδέσματα οὐκ εἰσήνεγκαν αὐτῷ, καὶ ὁ ὕπνος ἀπέστη ἀπ' αὐτοῦ». Ἀναμνήσθητί μοι τοῦ μνημείου τοῦ Χριστοῦ, ἔνθα τὰ σήμαντρα ἐπέθηκαν οἱ Ἰουδαῖοι. Εἰ γὰρ μὴ τοῦτο ἦν, εἶπαν ἄν, ὅτι κατὰ γοητείαν τὸ πρᾶγμα γέγονεν. Ἀλλὰ πανταχοῦ τὰ παρὰ τῶν ἐχθρῶν γινόμενα, ὑπὲρ ἡμῶν ἐστιν. Ἵνα γὰρ πᾶσαν αὐτοῖς ἀνέλῃ πρόφασιν, τοῦτο γίνεται καὶ ὁ βασιλεὺς τίθησι σημεῖα, ἵνα ἐκείνοις μὴ ἐκγένηταί τι ποιῆσαι, ἢ ἐξελεῖν, καὶ τοὺς λέοντας αἰτιάσασθαι· κἀκεῖνοι δὲ τιθέασιν, ἵνα μὴ ἐξῇ τῷ βασιλεῖ ρύσασθαι αὐτόν, ἀλλ' οὕτως ἀδέκαστον γενέσθαι τὴν ψῆφον. Καὶ οὐκ ἐδείπνησε, φησί, ὁ βασιλεύς, οὐδὲ ἐκαθεύδησεν. Ὅρα πόσον ποιεῖ φίλτρον. Καὶ τί; Πρῶτον μὲν παρεθάρσυνεν αὐτὸν λέγων· «Ὁ Θεὸς ᾧ σὺ λατρεύεις ἐνδελεχῶς». Πάλιν αἰτίαν τίθησι δι-

---

8. Δαν. 6, 16-18.

λιάς, ἂν γνώριζε ὅτι αὐτὸ θὰ ἦταν τὸ ἀποτέλεσμα, θὰ κατέβαλλε προσπάθεια γιὰ νὰ τὸν πείσει· ἀλλὰ δὲν κατόρθωσε νὰ τὸν πείσει. Εἶναι ἀποδεκτὴ ἡ προθυμία του καὶ ἄξια συγγνώμης ἡ προσπάθειά του. Τόσο ἀξιαγάπητος ἦταν ὁ Δανιήλ. Ἀλλ' ὁ φθόνος δὲν ἀφήνει οὔτε τὰ καλὰ νὰ βλέπομε, ἢ καλύτερα ἀφήνει μὲν νὰ τὰ βλέπομε, ὄχι ὅμως μὲ τὰ ἴδια μάτια. Δὲν πρέπει, λένε, νὰ εἶναι τόσο παραλυμένα τὰ πράγματα, οὔτε τόσο ἀσταθεῖς καὶ ἀνασφαλεῖς οἱ νόμοι μας. Ὅλο τὸ ἔθνος περιφρονεῖται. Τοὺς ρίχνουν λοιπὸν στὸ λάκκο, καὶ τοποθετοῦν πέτρα στὸ στόμιό του.

3. «Καὶ εἶπε ὁ βασιλιὰς στὸ Δανιήλ· Ὁ Θεός, τὸν ὁποῖο σὺ λατρεύεις ἀκατάπαυστα, αὐτὸς θὰ σὲ σώσει. Καὶ ἔφεραν μία πέτρα καὶ τὴν τοποθέτησαν στὸ στόμιο τοῦ λάκκου, ὁ δὲ βασιλιὰς σφράγισε αὐτὸν μὲ τὸ δαχτυλίδι του καὶ μὲ τὰ δαχτυλίδια τῶν μεγιστάνων του, ὥστε νὰ μὴ γίνει καμιὰ τροποποίηση πρὸς ὄφελος τοῦ Δανιήλ. Καὶ ἐπέστρεψε ὁ βασιλιὰς στὸ ἀνάκτορό του καὶ κοιμήθηκε χωρὶς βραδυνὸ φαγητό, δίνοντας ἐντολὴ νὰ μὴ τοῦ φέρουν φαγητά, ἀλλ' ὁ ὕπνος ἔφυγε ἀπὸ τὰ βλέφαρά του»[8]. Θυμήσου, σὲ παρακαλῶ, τὸ μνῆμα τοῦ Χριστοῦ, ὅπου τοποθέτησαν οἱ Ἰουδαῖοι τὰ σήμαντρα καὶ σφράγισαν αὐτό. Διότι, ἐὰν δὲν γινόταν αὐτό, θὰ μποροῦσαν νὰ ποῦν, ὅτι ἡ ἀνάσταση τοῦ Χριστοῦ ἦταν κάποιο ἀπατηλὸ φαινόμενο. Ἀλλὰ σ' ὅλες τὶς περιπτώσεις εἰ ἐνέργειες τῶν ἐχθρῶν ἀποβαίνουν πρὸς ὄφελός μας. Γιὰ νὰ τοὺς ἀφαιρέσει λοιπὸν κάθε δικαιολογία γίνεται αὐτὸ καὶ ὁ βασιλιὰς τοποθετεῖ τὰ ἀποδεικτικὰ στοιχεῖα, γιὰ νὰ μὴ δοθεῖ ἡ δυνατότητα σ' ἐκείνους νὰ κάνουν κάτι ἢ νὰ τὸν θανατώσουν καὶ ν' ἀποδώσουν τὴν κατηγορία στὰ λεοντάρια· καὶ ἐκεῖνοι δὲ τοποθετοῦν τὶς δικές τους σφραγίδες, γιὰ νὰ μὴ μπορεῖ ὁ βασιλιὰς νὰ ἐλευθερώσει αὐτόν, καὶ ἔτσι νὰ εἶναι ἀμερόληπτη ἡ ἀπόφαση. Καὶ δὲν ἔφαγε, λέγει, ὁ βασιλιὰς βραδυνὸ φαγητό, οὔτε κοιμήθηκε. Πρόσεχε πόση ἀγάπη δείχνει. Καὶ μὲ ποιὸ τρόπο; Στὴν ἀρχὴ μὲν ἔδωσε θάρρος σ' αὐτὸν λέγοντας· «Ὁ Θεὸς ποὺ λατρεύεις πάντοτε ἐσύ». Πάλι ἀναφέρει δίκαια αἰτία, ποὺ ἔχει τὴ δύναμη νὰ δυναμώσει τὴν

καίαν, δυναμένην αὐτοῦ ἀναστῆσαι τὴν ψυχήν. Καὶ γὰρ ἦν ἴσως ἀκηκοώς. Εἶτα παραγίνεται ὕμνον ἀναφέρων.

«Τότε ὁ βασιλεὺς πολὺ ἠγαθύνθη ἐπ' αὐτῷ· καὶ τὸν Δανιὴλ εἶπεν ἀνενεγκεῖν ἐκ τοῦ λάκκου. Καὶ ἀνηνέχθη Δανιὴλ ἐκ τοῦ λάκκου, καὶ πᾶσα διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ, ὅτι ἐπίστευσε τῷ Θεῷ αὐτοῦ. Καὶ εἶπεν ὁ βασιλεύς, καὶ ἤγαγον τοὺς ἄνδρας τοὺς διαβάλλοντας τὸν Δανιήλ· καὶ εἰς τὸν λάκκον τῶν λεόντων ἐνεβλήθησαν αὐτοί, καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν· καὶ οὐκ ἔφθασαν εἰς τὸ ἔδαφος τοῦ λάκκου, ἕως οὗ ἐκυρίευσαν αὐτῶν οἱ λέοντες, καὶ πάντα τὰ ὀστᾶ αὐτῶν ἐλέπτυναν».

Τίνος ἕνεκεν παῖδες καὶ γυναῖκες ἀπόλλυνται; τί ἥμαρτον οὗτοι; Ἴσως καὶ αὐτοὶ τοῖς αὐτοῖς ἐκοινώνουν. Εἶδες τῶν πονηρῶν τὴν τιμωρίαν; εἶδες τῶν δικαίων τὰ ἔπαθλα; Πάντοθεν παιδεύου, πάντοθεν οἰκοδομοῦ. Εἶδες ὅτι κἂν καταλίπῃ Θεός, ἐπὶ χρησίμῳ τοῦτο ποιεῖ. Περιεγένετο πυρός· περιεγένετο θηρίων. Μηκέτι λοιπὸν ἐξετάσῃς, διὰ τί λέοντες, καὶ παρδάλεις, καὶ τὰ λοιπὰ θηρία; Καθάπερ γὰρ δήμιοί τινες παρὰ τὰς πλευρὰς ἑστῶτες τοῦ Δανιήλ, ὥσπερ ἐν θείῳ τινὶ καὶ φρικτῷ δικαστηρίῳ τοῦτο ποιοῦντες· οὕτως οὐκ ἐτόλμησαν διορύξαι τὰς πλευρὰς τοῦ δικαίου. Οὐ γὰρ ἤκουσαν ἐπιτάγματος δικαστοῦ. Ἐπειδὴ δὲ τοὺς ἄλλους ἔβαλον, ἐπιτάξαντος τοῦ Θεοῦ, διέφθειραν, «Καὶ τὰ ὀστᾶ αὐτῶν», φησί, «ἐλέπτυναν». Τίς ἐχαλίνου αὐτῶν τὰ στόματα; τίς τροφῆς παρακειμένης ἀποσχέσθαι ἐκέλευσεν; ποῖος οὕτω φιλόσοφος ἐγκρατής, ὡς λιμοῦ κελεύοντος, καὶ τῆς λύσεως τοῦ λιμοῦ παρούσης, μὴ ἂν θελῆσαι λῦσαι τὸ δεινόν; Πάλιν διαγράμματα, πάλιν κήρυγμα θεῖον, πάλιν ἡ διὰ τῶν ἔργων μαρτυρία.

---

9. Δαν. 6, 23-24.

ψυχὴ αὐτοῦ. Καθόσον εἶχε ἀκούσει ἴσως γι' αὐτήν. Ἔπειτα ἔρχεται στὴν ἐξύμνηση αὐτοῦ.

«Τότε ὁ βασιλιὰς χάρηκε πάρα πολὺ γιὰ τὸ γεγονὸς αὐτὸ καὶ διέταξε νὰ βγάλουν ἀμέσως ἀπὸ τὸ λάκκο τὸν Δανιήλ. Ἀνασύρθηκε λοιπὸν ἀπὸ τὸ λάκκο ὁ Δανιὴλ καὶ δὲν βρέθηκε καμιὰ βλάβη σ' αὐτόν, διότι ἔτρεφε μεγάλη πίστη στὸ Θεό του. Καὶ εἶπε ὁ βασιλιὰς καὶ τοῦ ἔφεραν τοὺς ἄνδρες ἐκείνους ποὺ συκοφάντησαν τὸν Δανιὴλ καὶ ρίχθηκαν αὐτοὶ στὸ λάκκο τῶν λεονταριῶν μαζὶ μὲ τὰ παιδιά τους καὶ τὶς γυναῖκες τους, πρὶν δὲ καλὰ - καλὰ φθάσουν στὸν πυθμένα τοῦ λάκκου τοὺς ἅρπαξαν τὰ λεοντάρια καὶ τοὺς κατέφαγαν μέχρι καὶ τὰ κόκκαλά τους»[9].

Γιὰ ποιὸ λόγο θανατώνονται τὰ παιδιὰ καὶ οἱ γυναῖκες; ποιὰ ἁμαρτία ἔκαναν αὐτοί; Ἴσως καὶ αὐτοὶ συμμετεῖχαν στὶς ὅλες ἐνέργειες ἐκείνων. Εἶδες τὴν τιμωρία τῶν κακῶν; Εἶδες τὰ βραβεῖα τῶν δικαίων; Ἀπὸ παντοῦ νὰ διδάσκεσαι, ἀπὸ παντοῦ νὰ οἰκοδομεῖσαι. Εἶδες ὅτι καὶ ἂν ἀκόμα μᾶς ἐγκαταλείπει ὁ Θεός, τὸ κάνει αὐτὸ πρὸς ὠφέλειά μας. Ὑπερίσχυσε τῆς φωτιᾶς, ὑπερίσχυσε τῶν θηρίων. Μὴ λοιπὸν ρωτᾶς, γιατί ὑπάρχουν τὰ λεοντάρια, οἱ λεοπάρδαλες καὶ τὰ ὑπόλοιπα θηρία; Διότι σὰν κάποιοι δήμιοι στέκονται δίπλα στὸν Δανιήλ, κάμνοντας αὐτὸ σὰν νὰ παραβρίσκονται σὲ κάποιο θεῖο καὶ φρικτὸ δικαστήριο· γιὰ τὸ λόγο αὐτὸ δὲν τόλμησαν νὰ ξεσχίσουν τὶς πλευρὲς τοῦ δικαίου. Διότι δὲν ἄκουσαν πρόσταγμα δικαστοῦ. Μόλις ὅμως ἔρριξαν μέσα στὸ λάκκο τοὺς ἄλλους, ἐπειδὴ τὸ πρόσταξε ὁ Θεός, τοὺς κατέφαγαν. «Καὶ τὰ κόκκαλά τους», λέγει, «κατέφαγαν». Ποιὸς ἔθεσε χαλινάρια στὸ στόμα αὐτῶν; Ποιὸς τὰ πρόσταξε, ἐνῶ ἡ τροφὴ βρισκόταν δίπλα τους, νὰ ἀπέχουν ἀπ' αὐτήν; ποιὸς φιλόσοφος εἶναι τόσο πολὺ ἐγκρατής, ὥστε, ἐνῶ ἡ πείνα τὸν θερίζει καὶ ἡ λύση γιὰ τὴν ἀπαλλαγὴ ἀπ' αὐτὴν εἶναι ἐκεῖ παρούσα, θὰ ἤθελε νὰ μὴ ἀπαλλαχθεῖ ἀπὸ τὸ κακό; Πάλι διατάγματα ἀποστέλλονται, πάλι κήρυγμα θεῖο ἀκούεται, πάλι ἀκολουθεῖ ἡ ἔμπρακτη ἐπιβεβαίωση τῆς δυνάμεως τοῦ Θεοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

«Ἐν τῷ πρώτῳ ἔτει Βαλτάσαρ, βασιλέως Χαλδαίων, Δανιὴλ ἐνύπνιον εἶδεν· καὶ αἱ ὁράσεις τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ, καὶ τὸ ἐνύπνιον ἔγραψεν. Ἀρχὴ λόγων αὐτοῦ».

1. «Καὶ ἀποκριθεὶς εἶπεν· Ἐγὼ Δανιὴλ ἐθεώρουν ἐν τῇ ὁράσει μου τῆς νυκτός· καὶ ἰδοὺ οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλλον εἰς τὴν θάλασσαν τὴν μεγάλην. Καὶ τέσσαρα θηρία μεγάλα ἀνέβαινεν ἐκ τῆς θαλάσσης, διαφέροντα ἀλλήλων. Τὸ πρῶτον, ὡσεὶ λέαινα καὶ πτερὰ αὐτῆς ὡσεὶ ἀετοῦ. Ἐθεώρουν ἕως οὗ ἐξετίλαντο τὰ πτερὰ αὐτῆς, καὶ ἐξήρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ. Καὶ ἰδοὺ θηρίον ἕτερον ὅμοιον ἄρκῳ καὶ εἰς μέρος ἓν ἐστάθη· καὶ τρία πλευρὰ ἐν τῷ στόματι αὐτῆς, ἀνὰ μέσον τῶν ὀδόντων αὐτῆς. Καὶ οὕτως ἔλεγον αὐτῇ· Ἀνάστα, φάγε σάρκας πολλάς. Ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ ἕτερον θηρίον ὡσεὶ πάρδαλις· καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ, καὶ ἐξουσία ἐδόθη αὐτῷ. Ὀπίσω τούτου ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ θηρίον τέταρτον, φοβερόν, καὶ ἔκθαμβον, καὶ ἰσχυρὸν περισσῶς· καὶ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ μεγάλοι· ἐσθίον, καὶ λεπτῦνον· καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶ συνεπάτει· καὶ αὐτὸ διαφέρον περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ· καὶ κέρατα αὐτοῦ

ΚΕΦΑΛΑΙΟ Ζ'.

«Κατὰ τὸ πρῶτο ἔτος τῆς βασιλείας τοῦ βασιλιᾶ τῶν Χαλδαίων Βαλτάσαρ ὁ Δανιὴλ εἶδε ἕνα ὄνειρο, καὶ παρουσιάσθηκαν στὴ διάνοιά του, ἐνῶ κοιμόταν στὸ κρεββάτι του, θεῖες ἀποκαλύψεις, καὶ ἔγραψε τὸ ὄνειρο αὐτό. Αὐτὴ εἶναι ἡ ἀρχὴ τῶν λόγων του».

1. «Καὶ ἀποκρίθηκε καὶ εἶπε· Ἐγὼ ὁ Δανιὴλ εἶδα κατὰ τὴ διάρκεια τῆς νύχτας ἕνα ὅραμα· εἶδα ὅτι τέσσερις ἄνεμοι ἀπὸ τὸν οὐρανὸ ἔπεσαν μὲ ὁρμὴ καὶ τάραξαν τὴ θάλασσα τὴ μεγάλη. Τέσσερα δὲ μεγάλα θηρία ἀνέβαιναν ἀπὸ τὴ θάλασσα, ποὺ διέφεραν τὸ ἕνα ἀπὸ τὸ ἄλλο. Τὸ πρῶτο ἔμοιαζε μὲ λέαινα καὶ εἶχε φτερὰ ὅμοια μὲ τοῦ ἀετοῦ. Τὴν ἔβλεπα μὲ προσοχὴ μέχρι ποὺ μαδήθηκαν τὰ φτερά της, σηκώθηκε ὄρθια ἐπάνω στὴ γῆ καὶ στάθηκε ἐπάνω σὲ ἀνθρώπινα πόδια, δόθηκε δὲ σ' αὐτὴν καρδιὰ ἀνθρώπου. Καὶ νὰ ἀμέσως παρουσιάσθηκε ἄλλο θηρίο ὅμοιο μὲ ἀρκούδα, ποὺ στάθηκε σὲ ἕνα μέρος καὶ κρατοῦσε στὸ στόμα της ἀνάμεσα στὰ δόντια της τρία πλευρά. Κάποια φωνὴ δὲ ἔλεγε πρὸς αὐτήν· Σήκω καὶ φάγε πολλὲς σάρκες. Ἔβλεπα καὶ ἀμέσως πίσω ἀπ' αὐτὸ εἶδα νὰ ἔρχεται ἄλλο θηρίο ποὺ ἔμοιαζε μὲ πάρδαλη. Σ' αὐτὴν καὶ στὸ ἐπάνω μέρος τοῦ σώματός της ὑπῆρχαν τέσσερα φτερὰ πτηνοῦ, ἔφερνε δὲ τὸ θηρίο τέσσερα κεφάλια καὶ τοῦ δόθηκε μεγάλη ἐξουσία. Ἔβλεπα κατὰ τὴ διάρκεια τοῦ νυχτερινοῦ ὁράματός μου πίσω ἀπὸ αὐτὸ καὶ εἶδα νὰ ἔρχεται ἕνα τέταρτο φοβερὸ θηρίο, ποὺ μοῦ προξένησε μεγάλη ἔκπληξη καὶ ἦταν πάρα πολὺ ἰσχυρό. Τὰ δόντια του ἦταν μεγάλα καὶ σιδερένια· ἔτρωγε ξεσχίζοντας τὶς σάρκες καὶ τὰ ὑπολείμματα τὰ καταπατοῦσε μὲ τὰ πόδια του. Αὐτὸ τὸ θηρίο διέφερε πάρα πολὺ ἀπὸ ὅλα τὰ προηγούμενα θηρία, ἔφερ-

δέκα. Προσενόουν τοῖς κέρασιν αὐτοῦ· καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν ἀνέβαινεν ἐν τῷ μέσῳ αὐτοῦ, καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξερριζώθη ἀπὸ προσώπου αὐτοῦ. Καὶ ἰδοὺ ὀφθαλμοί, ὡσεὶ ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ, καὶ στόμα λαλοῦν μεγάλα».

Τίνος ἕνεκεν οὐχὶ γυναῖκας εἶπεν ὅτι εἶδεν; Ἀλλ' ὅτε μὲν δίκην καὶ ἀρὰν ἔδει παραστῆσαι, γυναῖκας παρήγαγεν, ὅτε δὲ βασιλείας, θηρία. Πρᾶγμά ἐστιν ἀσώματον ἡ βασιλεία, σωματοποιεῖ οὖν αὐτό. Οὐκ οὖν ἐχρῆν; Καὶ καλῶς. Ἀλλ' ἐπειδὴ αἱ ποιότητες αὐτῶν μάλιστα ἐν τοῖς θηρίοις εἰσί, διὰ τοῦτο αὐτῶν ἐδεήθη. Ἐβουλήθη δεῖξαι τὸ ἐν ἀγριότητι ἁβρόν, καὶ λέαιναν παρήγαγεν. Ἐβουλήθη δεῖξαι τὸ νωθές, καὶ ἄρκον παρήγαγεν. Ἐβουλήθη δεῖξαι τὸ ταχὺ καὶ κοῦφον, καὶ ἐπειδὴ πολέμοις κατέλυσαν ἅπαντες τὰς ἀρχάς, καὶ πάρδαλιν παρήγαγε. Καὶ ὅρα ὅπως καλῶς ἐθεώρησε τὴν θάλασσαν πρῶτον, πᾶσαν τὴν οἰκουμένην. Τοσαύτης γὰρ γέμει ταραχῆς, καὶ οὕτω φέρεται, ὡς ἰχθύων, οὐχὶ ἀνθρώπων πεπληρωμένη. Τοῦτο καὶ ὁ Χριστὸς δηλοῖ, ὅτι θάλασσα ὁ παρὼν βίος ἐστίν, ἐν τῷ λέγειν· «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγούσῃ».

«Καὶ ἰδού», φησί, «οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλλον εἰς τὴν θάλασσαν τὴν μεγάλην». Δηλοῖ ὅτι ἐκεῖθεν τὰ θηρία, καὶ τὸ ταχὺ τῆς τοῦ Θεοῦ προνοίας. Καὶ γὰρ ἡμεῖς ἐπὶ τῆς ταχυτῆτος τοὺς ἀνέμους παράγομεν εἰς μέσον. Ἐνέπεσαν εἰς τὴν θάλασσαν· καὶ ἀνέδυ, φησί, τὰ θηρία ἀπὸ τῆς θαλάσσης. Καὶ γὰρ ἀπὸ τῆς φύσεως τῆς ἡμετέρας οἱ ἄρχοντες ἡμῶν. Οὕτω καὶ τὸν βασιλέα λέοντα καλεῖ πολλά-

---

1. Δαν. 7, 1-8.
2. Ματθ. 13, 47.
3. Πρόκειται γιὰ τὴ Μεσόγειο Θάλασσα.

νε δὲ δέκα κέρατα. Παρατηροῦσα μὲ προσοχὴ τὰ κέρατά του καὶ νά, εἶδα ἕνα ἄλλο μικρὸ κέρατο ποὺ ἀνέβαινε ἀνάμεσα ἀπὸ τὰ ἄλλα καὶ τρία ἀπὸ τὰ προηγούμενα κέρατά του ξερριζώθηκαν μόλις ἐμφανίσθηκε τὸ μικρὸ καὶ ἐξαφανίσθηκαν. Καὶ νά, εἶδα στὸ κέρατο αὐτὸ ὅτι ὑπῆρχαν κάτι σὰν ἀνθρώπινα μάτια καὶ ἕνα στόμα ποὺ ἔλεγε λόγια ἀλαζονικά»[1].

1. Γιὰ ποιὸ λόγο δὲν εἶπε ὅτι εἶδε γυναῖκες; Διότι ὅταν μὲν ἔπρεπε νὰ παραστήσει τιμωρία καὶ καταστροφή, παρουσίασε γυναῖκες, τώρα δὲ ποὺ πρόκειται νὰ παραστήσει βασιλεῖες, παρουσιάζει θηρία. Πράγμα ἀσώματο εἶναι ἡ βασιλεία, γι' αὐτὸ λοιπὸν καὶ τὸ σωματοποιεῖ. Δὲν ἔπρεπε δηλαδή; Καὶ βέβαια πολὺ καλὰ ἔκανε. Ἀλλ' ἐπειδὴ οἱ ποιότητες αὐτῶν φαίνονται πρὸ πάντων σὲ σχέση μὲ τὰ θηρία, γι' αὐτὸ χρειάσθηκε νὰ παρουσιάσει αὐτά. Θέλησε νὰ δείξει τὴ λεπτότητα μέσα στὴν ἀγριότητα, καὶ παρουσίασε τὴ λέαινα. Θέλησε νὰ δείξει τὴ νωθρότητα, καὶ παρουσίασε ἀρκούδα. Θέλησε νὰ δείξει τὴν ταχύτητα καὶ τὸ ἀνάλαφρο καὶ ἐπειδὴ ὅλοι μὲ πολέμους κατέλυσαν τὶς ἐξουσίες, γι' αὐτὸ παρουσίασε τὴν πάρδαλη. Καὶ πρόσεχε πῶς πολὺ σωστὰ εἶδε πρῶτα τὴ θάλασσα, δηλαδὴ ὅλη τὴν οἰκουμένη. Διότι εἶναι γεμάτη ἀπὸ τόση μεγάλη ταραχή, καὶ εἶναι τέτοια ἡ συμπεριφορά της, σὰν νὰ εἶναι γεμάτη ἀπὸ ψάρια καὶ ὄχι ἀπὸ ἀνθρώπους. Αὐτὸ καὶ ὁ Χριστὸς διδάσκει, ὅτι δηλαδὴ ὁ παρὼν βίος εἶναι θάλασσα, λέγοντας τὰ ἑξῆς· «Μοιάζει ἡ βασιλεία τῶν οὐρανῶν μὲ δίχτυ ποὺ ρίχθηκε στὴ θάλασσα καὶ μάζεψε ψάρια ἀπὸ κάθε εἶδος»[2].

«Καὶ νά», λέγει, «οἱ τέσσερις ἄνεμοι τοῦ οὐρανοῦ ἔπεσαν μὲ ὁρμὴ στὴ θάλασσα τὴ μεγάλη»[3]. Δείχνει ὅτι ἀπὸ αὐτὴν βγῆκαν τὰ θηρία καθὼς καὶ τὴν ταχύτητα τῆς πρόνοιας τοῦ Θεοῦ. Καθόσον ἐμεῖς, ὅταν θέλομε νὰ μιλήσομε γιὰ ταχύτητα, ἀναφέρομε τοὺς ἀνέμους. Ἔπεσαν μὲ ὁρμὴ στὴ θάλασσα καὶ βγῆκαν, λέγει, τὰ θηρία ἀπὸ τὴ θάλασσα. Καθόσον οἱ ἄρχοντές μας προέρχονται μέσα ἀπὸ τὴ φύση μας τὴν ἀνθρώπινη. Ἔτσι καὶ τὸ βασιλιὰ τὸν ὀνομάζει πολλὲς φορὲς λεοντάρι, θέλοντας συγχρόνως νὰ δείξει τὸ βασιλικὸ καὶ τὸ θηριῶδες γνώρισμά

κις, τὸ βασιλικὸν ὁμοῦ καὶ θηριῶδες δεῖξαι βουλόμενος. Ἢ ἐπειδὴ ὁ μὲν ἀνατολικώτερος, ὁ δὲ ἐξ ἄρκτου, ὁ δὲ ἀπὸ νότου. Ὡς ἂν εἴποι τις, 'Ἀνέτρεψε τὴν θάλασσαν', ἀνετάραξαν ἐκ τοῦ οὐρανοῦ. «Διαφέροντα ἀλλήλων».

«Τὸ πρῶτον ὡσεὶ λέαινα». Καθάπερ ἐν ὀνείρῳ· οὐ γὰρ αὕτη τῶν πραγμάτων ἡ φύσις ἦν. Διὰ δύο συμβόλων τὸ βασιλικὸν ἐνδείκνυται. Τινὲς δέ φασιν, ὅτι τὸν Ἀσσύριον ἐκράτησε, διὰ τοῦτο δύο. «Καὶ ἐθεώρουν ἕως οὗ ἐξετίλαντο τὰ πτερὰ αὐτῆς», τουτέστι ἡ ἀρχή, «καὶ ἤρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη· καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ». Γοργὸν τὸ ζῶον. Ἑκατέρωθεν εἶχε τὴν ἰσχὺν ταχυτῆτος, ἄνωθεν μὲν ἀπὸ τῶν πτερῶν, κάτωθεν δὲ ἀπὸ τῶν ποδῶν· ἀλλ' ἑκατέρα ἡ ταχυτὴς ἀνῃρέθη, ἐκείνων μὲν ἐκτιλέντων, καὶ μηδὲ φανέντων λοιπόν, τούτων δὲ μεταπεσόντων ἐπὶ τοὺς ἀσθενεστέρους, τοὺς ἀνθρώπους. «Καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ». Τοῦτο γὰρ ἐν ἐκείνῳ τῷ ζώῳ, τὸ γαῦρον. Ταπεινός, φησί, ἥμερος, χειροήθης ἐγένετο ὁ βασιλεύς.

2. «Καὶ ἰδοὺ θηρίον ἕτερον ὅμοιον ἄρκῳ, καὶ εἰς μέρος ἓν ἐστάθη, καὶ τρία πλευρὰ ἐν τῷ στόματι αὐτῆς ἀνὰ μέσον τῶν ὀδόντων αὐτῆς. Καὶ οὕτως ἔλεγον αὐτῇ· Ἀνάστηθι, φάγε σάρκας πολλάς». Ἐπεὶ τῶν Περσῶν ἐγένετο τὸ βραδὺ τῶν ἀνθρώπων. Ἐπὶ Μήδων καὶ Περσῶν τρία πλευρά, ἤτοι τόπους, ἢ τὰς βασιλείας, ἃς συνεῖλεν. «Ἔλεγον αὐτῷ· Ἀνάστηθι, φάγε σάρκας πολλάς». Οὗτοι γὰρ εἷλον καὶ Βαβυλῶνα, καὶ τὰς πολλὰς εἰργάσαντο συμφοράς.

«Ὀπίσω τούτου ἐθεώρουν· καὶ ἰδοὺ ἕτερον θηρίον, ὡσεὶ πάρδαλις· καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ· καὶ ἐξουσία ἐδόθη

---

4. Δαν. 7, 4. 5. Δαν. 7, 5.

του. Ἢ ἐπειδὴ ὁ μὲν ἕνας προέρχεται ἀπὸ τὴ μακρυνὴ ἀνατολή, ὁ ἄλλος ἀπὸ τὸ βορρᾶ, καὶ ὁ ἄλλος ἀπὸ τὸ νότο. Ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος, "Ἀνέτρεψαν τὴ θάλασσα, τὴν ἀνατάραραν ἀπὸ τὸν οὐρανό. «Τὰ ὁποῖα ἦταν διαφορετικὰ τὸ ἕνα ἀπὸ τὸ ἄλλο».

«Τὸ πρῶτο ἔμοιαζε μὲ λέαινα». Ὅπως ἀκριβῶς τὸ εἶδε στὸ ὄνειρό του· διότι δὲν ἦταν ἡ ἴδια ἡ φύση τῶν πραγμάτων. Μὲ τὰ δύο σύμβολα δείχνει τὸ βασιλικὸ ἀξίωμα. Μερικοὶ δὲ λένε, ὅτι γι' αὐτὸ εἶναι δύο τὰ σύμβολα, ἐπειδὴ νίκησε τὸν Ἀσσύριο βασιλιά. «Καὶ τὴν παρατηροῦσα μὲ προσοχὴ μέχρι ποὺ μαδήθηκαν τὰ φτέρά της», δηλαδὴ ἡ ἐξουσία της, «καὶ σηκώθηκε ὄρθια στὴ γῆ καὶ σταμάτησε ἐπάνω σὲ πόδια ἀνθρώπινα, δόθηκε δὲ σ' αὐτὴν καρδιὰ ἀνθρώπου»[4]. Τὸ ζῶο αὐτὸ εἶναι πολὺ ταχύ. Καὶ ἀπὸ τὰ δύο μέρη εἶχε τὴ δύναμη τῆς ταχύτητας, ἀπὸ μὲν τὸ ἐπάνω μέρος τὴν εἶχε ἀπὸ τὰ φτερά, ἀπὸ τὸ δὲ κάτω τὴν εἶχε ἀπὸ τὰ πόδια, ἀλλ' ἡ κάθε μιὰ ἀπ' αὐτὲς τὶς ταχύτητες ἐξαφανίσθηκε, τὰ μὲν φτερὰ ἀφοῦ μαδήθηκαν, καὶ δὲν ξαναβγῆκαν πλέον, τὰ δὲ πόδια ἀφοῦ κατάντησαν σὲ ἀσθενέστερα, σὲ πόδια δηλαδὴ ἀνθρώπου. «Καὶ δόθηκε σ' αὐτὴ καρδιὰ ἀνθρώπου». Διότι αὐτὸ ὑπάρχει σ' ἐκεῖνο τὸ ζῶο, δηλαδὴ ἡ ὁρμητικότητα καὶ ἡ ὑπερηφάνεια. Ἔγινε, λέγει, ὁ βασιλιὰς ταπεινός, ἥμερος, ἤρεμος.

2. «Καὶ νὰ εἶδα ἄλλο θηρίο ποὺ ἔμοιαζε μὲ ἀρκούδα, ποὺ στάθηκε σὲ ἕνα μέρος καὶ ὑπῆρχαν μέσα στὸ στόμα της καὶ ἀνάμεσα στὰ δόντια της τρία πλευρά. Καὶ ἔλεγαν σ' αὐτὴν τὰ ἑξῆς· Σήκω καὶ φάγε πολλὲς σάρκες»[5]. Κατὰ τὶς ἡμέρες τῆς βασιλείας τῶν Περσῶν σημειώθηκε ἡ νωθρότητα. Στοὺς Μήδους καὶ τοὺς Πέρσες ἀναφέρονται τὰ τρία πλευρά, δηλαδὴ οἱ τόποι ἢ οἱ βασιλεῖς, τὶς ὁποῖες ἐκμηδένισε. «Ἔλεγαν σ' αὐτό· Σήκω καὶ φάγε πολλὲς σάρκες». Διότι αὐτοὶ κυρίεψαν καὶ τὴ Βαβυλώνα καὶ προξένησαν τὶς πολλὲς συμφορές.

«Ἔβλεπα πίσω ἀπ' αὐτό, καὶ νὰ εἶδα ἄλλο θηρίο, ποὺ ἔμοιαζε μὲ πάρδαλη· σ' αὐτὴν ὑπῆρχαν τέσσερα φτερὰ πτηνοῦ στὸ ἐπάνω μέρος της καὶ ἔφερνε τὸ θηρίο τέσσερα κεφάλια, δό-

αὐτῷ». «Εἶτα», φησί, «πάρδαλις»· Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεύς, πᾶσαν διαπτὰς τὴν οἰκουμένην. Οὐδὲν γὰρ τούτου γοργότερον, οὐδὲ ὀξύτερον γέγονεν, ἀλλὰ σφοδρός τις ἦν καὶ ὀξύς, καθάπερ τοῦτο τὸ θηρίον. «Τέσσαρα», φησί, «πτερὰ πετεινοῦ ὑπεράνω αὐτῆς». Τουτέστιν, ἅπασαν προσέλαβε τὴν ἰσχύν. Πέρσας γὰρ εἰς δέκα τρεῖς βασιλείας διελών, ἅπαντας ἐχειρώσατο. Εἶδες αὐτοῦ τὴν ταχυτῆτα; Καὶ ἀπὸ τῆς φύσεως τοῦ θηρίου, καὶ ἀπὸ τῶν πτερῶν. Πᾶσαν διέδραμε τὴν οἰκουμένην. «Καὶ κεφαλαί», φησί, «τέσσαρες τῷ θηρίῳ. Καὶ ἡ βασιλεία καὶ ἡ ἐξουσία ἐδόθη αὐτῷ».

Εἶτα λέγει τετάρτης τὴν παρουσίαν, τὴν ποικίλην καὶ παντοδαπῆ, καὶ οὐκ ἔχει εἰκόνα εἰπεῖν· οὕτως ἐξαλλάττον τι τὸ θηρίον ἦν. Πάσας γὰρ ἐκείνας ἐνίκησε. Ταῖς μὲν ἄλλαις, ἀπὸ τοῦ τάχους ἦν ἡ ἰσχύς, τούτου δὲ ἀπὸ τῶν ὀδόντων· σιδηροῖ ἦσαν. «Καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει». Τοὺς πολλοὺς λέγει πολέμους. Τίνες οἱ δέκα βασιλεῖς; τί τὸ μικρὸν κέρας; Ἐγὼ τὸν Ἀντίχριστόν φημι μεταξύ τινων φαίνεσθαι βασιλέων. «Καὶ ὀφθαλμοί, ὡς ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ, καὶ στόμα λαλοῦν μεγάλα». Τί γὰρ ἐκείνου τοῦ στόματος μεῖζον γένοιτ' ἂν τοῦ λέγοντος, «Ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ καθίσαι»; Εἰ δὲ ὀφθαλμοὶ ἀνθρώπου, μὴ θαυμάσῃς· καὶ γὰρ τοιαῦτα φθέγγεται. Ἄνθρωπός ἐστι, φησί. Διὰ τί δὲ μικρόν, καὶ οὐκ ἐξ ἀρχῆς μέγα φαίνεται; Ἀλλ' ὕστερον αὐξηθήσεται, καὶ κρατήσει τινῶν βασιλέων. Τί οὖν; Οὐκέτι βασιλεία διαδέχεται τοῦτον, ἀλλ' αὐτὸς ὁ Θεὸς καταλύει.

6. Δαν. 7, 6. 7. Β' Θεσ. 2, 4.

θηκε δὲ ἐξουσία σ' αὐτό»[6]. «Ἔπειτα», λέγει, «βγῆκε ἡ πάρδαλη»· δηλαδὴ ὁ Ἀλέξανδρος, ὁ βασιλιὰς τῶν Μακεδόνων, ποὺ διέσχισε σὰν πουλὶ ὁλόκληρη τὴν οἰκουμένη. Διότι τίποτε δὲν ὑπῆρξε ταχύτερο ἀπ' αὐτόν, τίποτε περισσότερο εὐκίνητο ἀπ' αὐτόν, ἀλλ' ἦταν ὁρμητικὸς καὶ εὐκίνητος σὰν αὐτὸ τὸ θηρίο. «Τέσσερα», λέγει, «φτερὰ πτηνοῦ ὑπῆρχαν ἐπάνω ἀπ' αὐτήν». Δηλαδὴ κατέλαβε ὁλόκληρη τὴ δύναμη καὶ ἐξουσία. Διότι, ἀφοῦ διαίρεσε τοὺς Πέρσες σὲ δεκατρεῖς βασιλεῖες, ὅλους τοὺς ὑπέταξε. Εἶδες τὴν ταχύτητα αὐτοῦ; Καὶ ἀπὸ τὴ φύση τοῦ θηρίου καὶ ἀπὸ τὰ φτερά. Ὁλόκληρη τὴν οἰκουμένη διέτρεξε. «Ὑπῆρχαν», λέγει, «τέσσερα κεφάλια στὸ θηρίο. Καὶ δόθηκε σ' αὐτὸ ἡ βασιλεία καὶ ἡ ἐξουσία».

Ἔπειτα ὁμιλεῖ γιὰ τὴν παρουσία τῆς τετάρτης, τὴν ποικίλη καὶ παντοειδή, καὶ δὲν ἔχει εἰκόνα νὰ τὴν παραβάλει· τόσες πολλὲς διαφορετικὲς μορφὲς παρουσίαζε αὐτή. Διότι ὅλες ἐκεῖνες τὶς νίκησε. Στὶς μὲν ἄλλες ἡ δύναμη προερχόταν ἀπὸ τὴν ταχύτητα, σ' αὐτὸ δὲ προερχόταν ἀπὸ τὰ δόντια· διότι ἦταν σιδερένια. «Καὶ καταπατοῦσε μὲ τὰ πόδια του τὰ ὑπολείμματα τοῦ φαγητοῦ του». Ἐννοεῖ τοὺς πολλοὺς πολέμους. Ποιοὶ ἦταν δὲ οἱ δέκα βασιλεῖς; ποιὸ τὸ μικρὸ κέρατο; Ἐγὼ νομίζω ὅτι ἀνάμεσα ἀπὸ μερικοὺς ἀπ' αὐτοὺς τοὺς βασιλεῖς διαφαίνεται ὁ Ἀντίχριστος. «Ὑπῆρχαν στὸ κέρατο αὐτὸ καὶ μάτια, ὅμοια μὲ ἀνθρώπινα μάτια, καθὼς καὶ στόμα τὸ ὁποῖο μιλοῦσε κατὰ τρόπο ἀλαζονικό». Πράγματι τί θὰ μποροῦσε νὰ ὑπάρξει μεγαλύτερο ἀπὸ τὸ στόμα ἐκεῖνο ποὺ ἔλεγε· «Ὁ ὁποῖος ἐναντιώνεται πρὸς ὁποιονδήποτε ποὺ λέγεται θεὸς ἢ ποὺ λατρεύεται σὰν θεός, ὥστε νὰ καθήσει αὐτὸς σὰν θεὸς στὸ ναὸ τοῦ Θεοῦ»[7]; Ἐὰν δὲ ὑπῆρχαν σ' αὐτὸ μάτια ἀνθρώπων, μὴ ἀπορήσεις· καθόσον αὐτὰ γιὰ τὰ ὁποῖα ὁμιλεῖ ἀναφέρονται σὲ ἄνθρωπο. Ἄνθρωπος εἶναι, λέγει. Γιατί δὲ τὸ κέρατο εἶναι μικρὸ καὶ δὲν φαίνεται ἀπὸ τὴν ἀρχὴ νὰ εἶναι μεγάλο; Διότι ἀργότερα θ' αὐξηθεῖ καὶ θὰ ὑπερισχύσει ὁρισμένων βασιλέων. Τί λοιπόν; Αὐτὸν δὲν τὸν διαδέχεται πλέον ἄλλη βασιλεία, ἀλλ' ὁ ἴδιος ὁ Θεὸς θὰ τὸν ἐξολοθρεύσει.

3. «Ἐθεώρουν, ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς ἡμερῶν ἐκάθητο· καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυρός· οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. Ποταμὸς πυρὸς εἷλκεν ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ. Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. Κριτήριον ἐκάθισε, καὶ βίβλοι ἀνεῴχθησαν».

Συντείνωμεν τὴν διάνοιαν, ἀγαπητοί. Οὐ γὰρ περὶ μικρῶν ὁ λόγος ἐστί. «Θρόνοι», φησίν «ἐτέθησαν, καὶ ὁ Παλαιὸς ἡμερῶν ἐκάθητο». Τίς ἐστιν οὗτος; Ὥσπερ ἀκούσας ἄρκον, οὐκ ἄρκον ἐνόησας, καὶ λέαιναν, οὐ τοῦτο ὑπώπτευες, ἀλλὰ βασιλείας, καὶ θάλασσαν, οὐ θάλασσαν, ἀλλὰ τὴν οἰκουμένην, δι' ἑτέρων ἕτερα, οὕτω καὶ νῦν. «Παλαιὸς ἡμερῶν» τί ἐστιν; Γεγηρακότι τινὶ ἐῴκει. Πρὸς γὰρ τὰς χρείας τῶν πραγμάτων, δι' ἃς φαίνεται, τυποῖ ἑαυτόν, δεικνὺς ὅτι τοῖς τοιούτοις πιστεύεσθαι τὰ κριτήρια χρή. Ὥσπερ γὰρ θρόνον ἀκούων οὐχὶ καθέδραν νοεῖς· ἀλλὰ πῶς τὸν χυδαῖόν τις ἐπισπάσαιτο; ἐπεὶ καὶ ἀλλαχοῦ ὡπλισμένος φαίνεται, καὶ ἑτέρωθεν ᾑμαγμένος. Τοῦτο οὖν βούλεται δεῖξαι, ὅτι κρίσεως καιρός.

«Τὸ ἔνδυμα αὐτοῦ, ὡσεὶ χιών, λευκόν». Τίνος ἕνεκεν; Ὅτι οὐχὶ κρίσεως καιρὸς μόνον, ἀλλὰ καὶ ἀνταποδόσεως· ὅτι πάντας δεῖ αὐτῷ παραστῆναι· ὅτι «Τὸ κρῖμα αὐτοῦ», φησί, «ὡς φῶς ἐξελεύσεται». Εἶτα «Θρόνοι ἐτέθησαν». Οὐ θρόνοι, ἐν οἷς «Καθήσεσθε», φησί, «ἐπὶ δώδεκα θρόνους». «Καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν». Τὸ

---

8. Δαν. 7, 9-10.
9. Δαν. 7, 9.
10. Ἠσ. 63, 3.
11. Ὠσηὲ 6, 5.
12. Ματθ. 19, 28.

3. «Παρατηροῦσα μὲ προσοχὴ μέχρι ποὺ τοποθετήθηκαν θρόνοι καὶ κάθησε ὁ Παλαιὸς τῶν ἡμερῶν. Τὸ ἔνδυμά του ἦταν λευκὸ σὰν τὸ χιόνι, οἱ τρίχες τῆς κεφαλῆς του ὁλόλευκες σὰν τὸ ὁλόλευκο μαλλί, ὁ θρόνος του ἦταν σὰν τὴ φλόγα τοῦ πυρὸς καὶ οἱ τροχοὶ τοῦ θρόνου του ἦταν πύρινοι ποὺ ἐξέπεμπαν φλόγες. Πύρινο ποτάμι ἔτρεχε μπροστά του. Χίλιες χιλιάδες ἀγγέλων τὸν ὑπηρετοῦσαν καὶ μύριες μυριάδες ἀγγέλων στέκονταν μπροστά του. Δικαστήριο στήθηκε καὶ τὰ βιβλία ἀνοίχθηκαν»[8].

Ἂς ἐντείνομε τὴν προσοχή μας, ἀγαπητοί, διότι ὁ λόγος δὲν εἶναι γιὰ ἀσήμαντα πράγματα. «Θρόνοι», λέγει, «τοποθετήθηκαν καὶ κάθησε σ' αὐτὸν ὁ Παλαιὸς τῶν ἡμερῶν»[9]. Ποιὸς εἶναι αὐτός; Ὅπως ἀκριβῶς ὅταν ἄκουσες γιὰ ἀρκούδα, δὲν σκέφθηκες γιὰ πραγματικὴ ἀρκούδα, καὶ ὅταν ἄκουσες γιὰ λέαινα δὲν ὑποπτεύθηκες αὐτό, ἀλλὰ βασιλεῖες, καθὼς καὶ ὅταν ἄκουσες γιὰ θάλασσα, δὲν σκέφθηκες ὅτι πρόκειται γιὰ τὴ θάλασσα, ἀλλὰ γιὰ τὴν οἰκουμένη, παρουσιαζόμενα ἄλλα μέσω ἄλλων, ἔτσι καὶ τώρα. «Παλαιὸς τῶν ἡμερῶν» τί σημαίνει; Ἔμοιαζε μὲ κάποιον πολὺ γερασμένο. Διότι δίνει μορφὴ στὸν ἑαυτό του ἀνάλογα μὲ τὶς ἀνάγκες τῶν πραγμάτων, ἐξ αἰτίας τῶν ὁποίων κάνει τὴν ἐμφάνισή του, γιὰ νὰ δείξει ὅτι πρέπει αὐτὰ νὰ γίνονται πιστευτὰ μὲ αὐτὰ τὰ κριτήρια. Ὅπως δηλαδὴ ἀκούοντας θρόνο, δὲν σκέφτεσαι ὅτι πρόκειται γιὰ πραγματικὸ θρόνο· διότι πῶς ἀλλιῶς θὰ προσέλκυε κανεὶς τὸ ἐνδιαφέρον τοῦ πνευματικὰ ἀνώριμου ἀνθρώπου; καθόσον καὶ σ' ἄλλες περιπτώσεις παρουσιάζεται ὁπλισμένος, σ' ἄλλες δὲ καὶ ματωμένος. Αὐτὸ λοιπὸν θέλει νὰ δείξει, ὅτι εἶναι καιρὸς κρίσεως.

«Τὸ ἔνδυμά του ἦταν λευκὸ σὰν τὸ χιόνι». Γιὰ ποιὸ λόγο; Διότι δὲν εἶναι μόνο καιρὸς κρίσεως, ἀλλὰ καὶ ἀνταποδόσεως[10]· καθόσον πρέπει ὅλοι νὰ παρουσιασθοῦν μπροστὰ σ' αὐτόν, διότι, λέγει, «Ἡ δίκαια κρίση του θὰ ἐξέλθει καὶ θὰ λάμψει σὰν φῶς»[11]. Στὴ συνέχεια «Θρόνοι τοποθετήθηκαν». Ὄχι οἱ θρόνοι γιὰ τοὺς ὁποίους λέγει «θὰ καθήσετε ἐπάνω σὲ δώδεκα θρόνους»[12]. «Οἱ τρίχες τῆς κεφαλῆς του ἦταν λευκὲς

πῦρ οὐδὲν ἀνήλισκεν, ἐπειδὴ γὰρ ἥμερον. Εἶδες ὄψιν καὶ σχῆμα πολιτικὸν καὶ δημαγωγικόν; Ὁ θρόνος ἐφόβει, τῷ πολύπυρος εἶναι· πῦρ οὐχ ἁπλῶς, ἀλλὰ φλέγον. Ἵνα γὰρ μὴ νομίσῃς διὰ τὴν εἰκόνα παραβεβλῆσθαι, προσέθηκεν αὐτοῦ τὴν ἐνέργειαν, εἰπὼν οὐχ ἁπλῶς πῦρ, ἀλλά, «Πῦρ φλέγον».

4. «Ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ. Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. Κριτήριον ἐκάθισεν». Τουτέστι, διὰ τοῦτο παρεγένετο, ὥστε κριτήριον καθίσαι. «Καὶ βίβλοι ἀνεῴχθησαν». Τί λέγεις; βιβλίων ὁ Θεὸς δεῖται, «Ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν»; «Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν»; Ἀλλὰ κατὰ τὸν νόμον τῶν ἀρχόντων τούτων λέγει, ὥσπερ τὰ ὑπομνήματα πράττεται παρ' ἡμῖν. Καθάπερ γὰρ ἐνταῦθα οὐ διὰ τοῦτο ἀναγινώσκεται, ὥστε μαθεῖν τὸν ἄρχοντα μόνον, ἀλλ' ὥστε φανῆναι δικαίαν οὖσαν τὴν κρίσιν, οὕτω καὶ τότε, εἰ καὶ οἶδε δικαίως δικάζων, ἀλλ' ὅμως ἀνοίγει τὰς βίβλους. Τίνος ἕνεκεν; Τί λέγεις, καὶ τί θέλεις εἰπεῖν; Τίνος ἕνεκεν οὐ λέγει καὶ τὰς τιμάς; Εἶπεν, «Θρόνοι ἐτέθησαν», ἐπεὶ καὶ ὁ Θεὸς ταύτας ὥρισεν· ἐπειδὴ δὲ καὶ οὐκ ἠκούσαμεν, τότε τὴν τιμωρίαν καὶ τὴν κόλασιν. Καὶ οὐχ ἡμῖν πρώτην ταύτην ἀφῆκε φωνήν; «Ἀπὸ τότε ἤρξατο», φησί, «κηρύσσειν τὴν βασιλείαν τῶν οὐρανῶν». Μηδὲν σωματικὸν ὑπολάβῃς, ἀγαπητέ, μηδὲ ἐμπεριειλῆφθαι θρόνῳ τὸν ἄπειρον Θεὸν νομίσῃς. Εἰ γὰρ «Ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς», εἰ «Τὰ ὄρη ἔστησε ζηγῷ», εἰ «Πάντα τὰ ἔθνη ὡς σίελος ἐνώπιον αὐτοῦ ἐλογίσθη, καὶ ὡς κονιορτὸς ἐνώπιον αὐτοῦ τὰ πάντα», ὡς αὐτός φησι, ποῖος τόπος ὅλον ὁμοῦ περιβαλεῖν δυνήσεται;

Ἀλλὰ τί; Οὐκ ἔστι τοῦτο, οὐκ ἐναπείληπται θρόνῳ. Εἰ

---

13. Δαν. 7, 10.
14. Δαν. Σωσσάνα 42.
15. Ψαλμ. 32, 15.
16. Ματθ. 4, 17.
17. Ψαλμ. 94, 4.
18. Ἡσ. 40, 12.
19. Ἡσ. 40, 15.

σὰν τὸ κατάλευκο μαλλί». Τὸ πῦρ τίποτε δὲ κατέκαιε, ἐπειδὴ ἦταν ἥμερο. Εἶδες ὄψη καὶ μορφὴ πολιτικὴ καὶ δημαγωγική; Ὁ θρόνος προξενοῦσε φόβο, ἐπειδὴ περιβαλλόταν ἀπὸ παντοῦ μὲ φωτιά, καὶ ὄχι ἀπὸ ἁπλὴ φωτιά, ἀλλὰ ἀπὸ φωτιὰ ποὺ ἔκαιε. Διότι, γιὰ νὰ μὴ νομίσεις ὅτι ἔχει παρεμβληθεῖ ἐξ αἰτίας τῆς εἰκόνας, πρόσθεσε τὴν ἐνέργεια αὐτοῦ, λέγοντας ὄχι ἁπλῶς πῦρ, ἀλλὰ «Πῦρ ποὺ ἐξέπεμπε φλόγες».

4. «Πύρινος ποταμὸς ἔτρεχε μπροστά του. Χίλιες χιλιάδες ἀγγέλων τὸν ὑπηρετοῦσαν καὶ μύριες μυριάδες στέκονταν μπροστά του. Δικαστήριο στήθηκε»[13]. Δηλαδὴ γι' αὐτὸ ἦρθε, γιὰ νὰ στήσει δικαστήριο. «Καὶ βιβλία ἀνοίχθηκαν». Τί λές; Ὁ Θεὸς ἔχει ἀνάγκη ἀπὸ βιβλία, «Αὐτὸς ποὺ τὰ γνωρίζει ὅλα προτοῦ νὰ γίνουν»[14]; «Αὐτὸς ποὺ μόνος του ἔπλασε τὶς καρδιὲς αὐτῶν»[15]; Ὁμιλεῖ σύμφωνα μὲ τὴ συνήθεια τῶν ἀρχόντων τοῦ κόσμου αὐτοῦ, ὅπως ἀκριβῶς συμβαίνει μὲ ἐμᾶς ποὺ διαβάζομε τὰ ὑπομνήματα. Διότι ὅπως ἀκριβῶς ἐδῶ στὰ κοσμικὰ δικαστήρια δὲν διαβάζονται μόνο γι' αὐτό, γιὰ νὰ λάβει γνώσει αὐτῶν ὁ ἄρχοντας, ἀλλὰ γιὰ νὰ φανεῖ ὅτι εἶναι δίκαια ἡ ἀπόφαση, ἔτσι καὶ τότε, ἂν καὶ γνωρίζει νὰ δικάζει μὲ δικαιοσύνη, ἀλλ' ὅμως ἀνοίγει καὶ τὰ βιβλία. Γιὰ ποιὸ λόγο; Τί λὲς καὶ τί θέλεις νὰ πεῖς; Γιὰ ποιὸ λόγο δὲν λέγει καὶ τίς τιμές; Τίς εἶπε· Διότι λέγει, «θρόνοι τοποθετήθηκαν»· καθόσον ὁ Θεὸς ὅρισε καὶ αὐτές, ἐπειδὴ ὅμως δὲν ὑπακούσαμε, γι' αὐτὸ ἐπιβάλλει τὴν τιμωρία καὶ τὴν κόλαση. Καὶ μήπως δὲν ἀπηύθυνε πρὸς ἐμᾶς ἀπὸ τὴν πρώτη στιγμὴ αὐτὴ τὴ διακήρυξη; «Ἀπὸ τότε», λέγει, «ἄρχισε καὶ κηρύττει τὴ βασιλεία τῶν οὐρανῶν»[16]. Τίποτε τὸ σωματικὸ μὴ σκεφθεῖς, ἀγαπητέ, οὔτε νὰ νομίσεις ὅτι ὁ ἄπειρος Θεὸς ἔχει χωρέσει μέσα σὲ θρόνο. Διότι, ἐὰν «Μέσα στὸ χέρι του βρίσκεται ἡ γῆ μέχρι τὰ πέρατά της»[17], ἐὰν «Τὰ ὄρη τὰ σήκωσε καὶ τὰ ζύγισε σὲ ζυγαριά»[18], ἐὰν «Ὅλα τὰ ἔθνη θεωροῦνται ἐνώπιόν του σὰν σάλιο καὶ τὰ πάντα ἐνώπιόν του εἶναι σὰν σκόνη»[19], καθὼς αὐτὸς λέγει, ποιὸς τόπος θὰ μπορέσει νὰ τὸν χωρέσει ὅλον μαζί;

Ἀλλὰ τί; Δὲν συμβαίνει αὐτό, δὲν περιορίζεται μέσα σὲ

δὲ ἔνδυμα εἶχε, πῶς οὐκ ἀνήλωσεν αὐτὸ τὸ πῦρ; πῶς εἶ δὲ «Παλαιὸς ἡμερῶν», ὃς πρὸ πάντων τῶν αἰώνων ὑπῆρχε; πῶς δὲ καὶ παλαιός; «Σὺ» γάρ, φησί, «ὁ αὐτὸς εἶ». Πῶς οὖν παλαιός; «Καὶ τὰ ἔτη σου» γάρ, φησί, «οὐκ ἐκλείψουσιν». Πῶς δὲ καὶ ἔνδυμα γένοιτ' ἂν περὶ τὸν ἄπειρον καὶ ἀσώματον; «Οὐδὲ γὰρ τῆς μεγαλωσύνης αὐτοῦ», φησί, «ἔστι πέρας». Καὶ πάλιν· «Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει». Πῶς οὖν ἱματίῳ περιεγράφετο ἀνθρωπίνῳ, καὶ οὔτε τοῦτο ἀνήλισκεν; Ἀλλὰ μὴν καὶ ἕτερα πολλὰ ἠδύνατο ἰδεῖν ὁ προφήτης. Πῶς δὲ τρίχες ἐν πυρὶ οὐκ ἀνηλίσκοντο; Διὰ γὰρ τοῦτο ἐπήγαγεν· «Ὁ θρόνος αὐτοῦ πῦρ φλέγον». «Καὶ βίβλοι ἀνεῴχθησαν». Ὥστε αὐτοκατάκριτον γενέσθαι τὸν κρινόμενον.

5. «Ἐθεώρουν τότε ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων, ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει. Θεωρῶν ἤμην, ἕως ἀνῃρέθη τὸ θηρίον, καὶ ἀπώλετο», ἀπὸ τῆς μεγαληγορίας. Καίτοι Ἀλέξανδρος προσεκύνησε τὸν Θεόν. «Καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός. Καὶ τῶν λοιπῶν θηρίων μετεστάθη ἡ ἀρχή· καὶ μακρότης ζωῆς ἐδόθη αὐτοῖς ἕως καιρῶν καὶ καιροῦ». Εἰ καὶ τέλος ἔσχον, ἀλλ' ὅμως τοῦτο ἐγένετο. «Καὶ κετεκαύθη τὸ θηρίον, καὶ τὸ σῶμα αὐτοῦ ἐκαύθη». Τὸ παντελῶς ἀνῃρῆσθαι δηλοῖ.

«Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός· καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν». Τίς ταῦτα ἀγνοεῖ; τίς διαβλέψαι δυνήσεται; μὴ γὰρ Πέτρος ταῦτα λέγει, ὦ Ἰουδαῖε; μὴ γὰρ Παῦλος; «Καὶ ἰδού», φησί, «ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν». Ἰδοὺ καὶ τὸ ὁμότιμον. «Ἐνώπιον αὐτοῦ προσηνέχθη αὐτῷ». Ἵνα ὅταν ἴδῃς διδομένην αὐτῷ

20. Ψαλμ. 101, 28.
21. Ψαλμ. 144, 3.
22. Ψαλμ. 138, 8.
23. Δαν. 7, 11-12.
24. Δαν. 7, 13

θρόνο. Ἐὰν δὲ εἶχε ἔνδυμα, πῶς δὲν κατέκαψε αὐτὸ ἡ φωτιά; πῶς δὲ εἶναι «Παλαιὸς τῶν ἡμερῶν», αὐτὸς ποὺ ὑπῆρχε πρὸ πάντων τῶν αἰώνων; πῶς δὲ εἶναι καὶ παλαιός; Διότι, λέγει «Σὺ εἶσαι πάντοτε ὁ ἴδιος»[20]. Πῶς λοιπὸν εἶναι παλαιός; Διότι, λέγει, «Καὶ τὰ ἔτη σου δὲν θὰ τελειώσουν ποτέ»[21]. Πῶς δὲ θὰ ἦταν δυνατὸ νὰ περιβάλλεται καὶ ἔνδυμα αὐτὸς ποὺ εἶναι ἄπειρος καὶ ἀσώματος; Διότι λέγει, «Ἡ μεγαλωσύνη αὐτοῦ δὲν ἔχει τέλος»[21]. Καὶ πάλι· «Ἐὰν ἀνεβῶ στὸν οὐρανὸ σὺ ὑπάρχεις ἐκεῖ· ἐὰν κατεβῶ στὸν ἅδη, παραβρίσκεσαι καὶ ἐκεῖ»[22]. Πῶς λοιπὸν περιβαλλόταν μὲ ἔνδυμα ἀνθρώπινο καὶ οὔτε αὐτὸ καιγόταν; Ἀλλὰ βέβαια καὶ πολλὰ ἄλλα μποροῦσε νὰ δεῖ ὁ προφήτης. Πῶς δὲ οἱ τρίχες βρίσκονταν μέσα στὴ φωτιὰ καὶ δὲν καίγονταν; Γι' αὐτὸ λοιπὸν πρόσθεσε· «Ὁ θρόνος αὐτοῦ ἦταν πῦρ ποὺ ἐξέπεμπε φλόγες». «Καὶ ἀνοίχθηκαν τὰ βιβλία». Ὥστε ὁ δικαζόμενος νὰ καταδικασθεῖ ἀπὸ τὰ ὅσα ὁ ἴδιος ἔπραξε».

5. «Στράφηκα τότε καὶ ἔβλεπα πρὸς τὸ μέρος ἀπὸ τὸ ὁποῖο ἀκουόταν ἡ φωνὴ τῶν μεγάλων λόγων ποὺ τοὺς ἐξεστόμιζε τὸ μικρὸ ἐκεῖνο κέρατο, μέχρι ποὺ φονεύθηκε τὸ θηρίο καὶ ἐξαφανίσθηκε», ἐξ αἰτίας τῆς καυχησιολογίας. Ἂν καὶ βέβαια ὁ Ἀλέξανδρος προσκύνησε τὸ Θεό. «Καὶ τὸ σῶμα του παραδόθηκε γιὰ νὰ καεῖ στὴ φωτιά. Καὶ ἀπὸ τὰ ὑπόλοιπα θηρία ἀφαιρέθηκε ἡ ἐξουσία, ἀλλὰ δόθηκε σ' αὐτὰ παράταση τῆς ζωῆς τους μέχρι ἕνα ὁρισμένο χρόνο». Ἂν καὶ τελείωσε ἡ ἐξουσία τους, ἀλλ' ὅμως αὐτὸ ἔγινε[23]. «Καὶ κατακάηκε τὸ θηρίο καὶ τὸ σῶμα του ρίχτηκε στὴ φωτιά». Δηλώνει τὴν ὁλοκληρωτικὴ καταστροφὴ καὶ ἐξαφάνιση.

«Ἔβλεπα κατὰ τὴ δάρκεια τοῦ νυχτερινοῦ ὁράματος καὶ ξαφνικὰ κάποιος σὰν Υἱὸς ἀνθρώπου φάνηκε νὰ ἔρχεται ἀπὸ τὸν οὐρανὸ μαζὶ μὲ τὰ σύννεφα». Ποιὸς τὰ ἀγνοεῖ αὐτά; ποιός θὰ μπορέσει νὰ τὰ παραβλέψει; Μήπως λοιπὸν αὐτά, Ἰουδαῖε, τὰ λέγει ὁ Πέτρος; μήπως ὁ Παῦλος; «Καὶ ξαφνικά», λέγει, κάποιος, σὰν Υἱὸς ἀνθρώπου, φάνηκε νὰ ἔρχεται ἀπὸ τὸν οὐρανὸ καὶ ἔφθασε μέχρι τὸν Παλαιὸ τῶν ἡμερῶν». Νὰ καὶ τὸ ἰσότιμο. «Καὶ ὁδηγήθηκε ἐνώπιον αὐτοῦ[24]. Ὥστε, ὅταν δεῖς νὰ δίνεται σ' αὐτὸν ἡ βασιλεία, νὰ μὴ νομίσεις ὅτι αὐτὴ δίνεται σ' αὐτὸν

τὴν βασιλείαν, μὴ ἀνθρωπίνως νομίσῃς εἶναι τὸ δεδόσθαι. «Ἀπὸ γὰρ τῶν νεφελῶν τοῦ οὐρανοῦ», φησί· τὰς δὲ νεφέλας ἀντὶ τοῦ οὐρανοῦ παραλαμβάνειν εἴωθεν ἡ Γραφή.

«Καὶ αὐτῷ ἐδόθη ἡ ἀρχή, καὶ ἡ τιμή, καὶ ἡ βασιλεία· καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσιν. Ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται· καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται». Τί τούτου σαφέστερον; εἰπέ μοι. «Καὶ πάντες λαοί», φησί, «φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσιν». Ὅρα πῶς ἅπαν τὸ ἔθνος τῆς οἰκουμένης περιέγραψεν. Ὅρα καὶ τὸ κριτήριον αὐτὸν λαβόντα. Ἵνα γὰρ μὴ χρόνου νομίσῃς εἶναι τοῦτο, φησί· «Ἥτις οὐ παρελεύσεται· καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται, ἀλλ' ἕστηκε καὶ μένει. Εἰ δὲ ἀπιστεῖς, ἀπὸ πραγμάτων πείθου.

Εἶδες ὁμοτιμίαν αὐτοῦ πρὸς τὸν Πατέρα; Ἐπειδὴ γὰρ ὕστερος ἐφάνη τοῦ Πατρός, διὰ τοῦτό φησι, ὅτι ἦλθε μετὰ τῶν νεφελῶν. Ὅτι δὲ ἦν καὶ πρώην, δῆλον ἐκ τῶν νεφελῶν· ἐπὶ τῶν νεφελῶν γὰρ ἔρχεται. «Καὶ αὐτῷ προσηνέχθη ἡ τιμή». Ἣν εἶχε, τουτέστι. «Καὶ λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσι». Τὴν μὲν γὰρ ἀρχὴν εἶχεν ἄνω, τότε δὲ ἔλαβεν αὐτὴν ἣν εἶχεν. Ὥσπερ γὰρ ἐπὶ τοῦ Πατρὸς νοεῖς τὰς τρίχας, καὶ τὰ λοιπά, οὕτω καὶ τοῦτο. Τὸ δὲ «Ἐδόθη», καὶ ὅσα τοιαῦτα ἀκούων, μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς, μηδὲ ταπεινὸν περὶ τοῦ Υἱοῦ. Ὥσπερ γὰρ γεγηρακότα ὁρῶν, οὐχὶ γέροντα ὑποπτεύεις, οὕτω καὶ τὰ λοιπά. Μὴ γὰρ ζήτει τὴν σαφήνειαν ἐν ταῖς προφητείαις, ἔνθα σκιαὶ καὶ αἰνίγματα· ὥσπερ ἐπὶ τῆς ἀστραπῆς οὐ ζητεῖς διηνεκὲς φῶς, ἀλλὰ ἀρκεῖ φανῆναι μόνον.

«Ἔφριξε τὸ πνεῦμα μου, ἐγὼ Δανιὴλ ἐν τῇ ἕξει μου· καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου ἐτάρασσόν με». Εἰκότως ὑπὸ

25. Δαν. 7, 14. 26. Δαν. 7, 15.

κατ' ἀνθρώπινο τρόπο. Διότι λέγει, «ἐρχόταν μέσα ἀπὸ τὰ σύννεφα τοῦ οὐρανοῦ», τὰ δὲ σύννεφα ἡ Γραφὴ συνηθίζει νὰ τὰ ἀναφέρει ἀντὶ τοῦ οὐρανοῦ.

«Καὶ παραδόθηκε σ' αὐτὸν ἡ ἐξουσία, ἡ τιμὴ καὶ ἡ βασιλεία· καὶ ὅλοι οἱ λαοί, οἱ φυλὲς καὶ οἱ γλῶσσες θὰ ὑπηρετήσουν αὐτόν. Ἡ ἐξουσία αὐτοῦ θὰ εἶναι ἐξουσία αἰώνια, ποὺ δὲν θὰ τελειώσει ποτέ, καὶ ἡ βασιλεία του δὲν θὰ φθαρεῖ καὶ δὲν θὰ σβήσει ποτέ»[25]. Τί ὑπάρχει, πές μου, σαφέστερο ἀπ' αὐτό; «Καὶ ὅλοι οἱ λαοί», λέγει, «καὶ οἱ φυλὲς καὶ οἱ γλῶσσες θὰ ὑπηρετήσουν αὐτόν». Πρόσεχε πῶς περιέγραψε ὁλόκληρο τὸ ἔθνος τῆς οἰκουμένης. Πρόσεχε αὐτὸν ποὺ ἔλαβε καὶ τὸ κριτήριο. Διότι, γιὰ νὰ μὴ νομίσεις ὅτι αὐτὸ περιορίζεται σὲ ὁρισμένο χρόνο, λέγει· «Ἡ ὁποία δὲν θὰ τελειώσει ποτέ, καὶ ἡ βασιλεία του δὲν θὰ φθαρεῖ καὶ δὲν θὰ σβήσει ποτέ», ἀλλὰ παραμένει ἀτελείωτη. Ἐὰν δὲ ἀπιστεῖς, πίστεψε ἀπὸ τὰ ἴδια τὰ πράγματα.

Εἶδες ἰσοτιμία αὐτοῦ πρὸς τὸν Πατέρα του; Διότι, ἐπειδὴ ἡ φανέρωσή του ἔγινε μετὰ τὸν Πατέρα, γι' αὐτὸ λέγει, ὅτι ἦρθε μαζὶ μὲ τὰ σύννεφα. Τὸ ὅτι ὅμως ὑπῆρχε καὶ προηγουμένως, γίνεται φανερὸ ἀπὸ τὰ σύννεφα· διότι ἔρχεται φερόμενος ἐπάνω στὰ σύννεφα. «Καὶ σ' αὐτὸν παραδόθηκε ἡ τιμή». Δηλαδὴ ἐκείνη ποὺ τὴν εἶχε καὶ προηγουμένως. «Καὶ οἱ λαοί, οἱ φυλὲς καὶ οἱ γλῶσσες θὰ ὑπηρετήσουν αὐτόν». Τὴν μὲν δηλαδὴ ἐξουσία τὴν εἶχε ἀπὸ τὴν ἀρχή, τότε δὲ ἔλαβε αὐτὴν ποὺ εἶχε. Ὅπως ἀκριβῶς λοιπὸν στὴν περίπτωση τοῦ Πατέρα ἐκλαμβάνεις τὶς τρίχες καὶ τὰ ὑπόλοιπα, ἔτσι θεώρησε καὶ αὐτό. Τὸ δὲ «Δόθηκε», καὶ ὅσα ἄλλα παρόμοια ἀκοῦς, τίποτε τὸ ἀνθρώπινο μὴ σκεφθεῖς γιὰ τὸν Υἱό, οὔτε ταπεινό. Διότι, ὅπως ἀκριβῶς βλέποντας αὐτὸν νὰ εἶναι γερασμένος, δὲν σκέφτεσαι ὅτι εἶναι γέρος, ἔτσι καὶ τὰ ὑπόλοιπα. Μὴ ψάχνεις νὰ βρεῖς στὶς προφητεῖες σαφήνεια, ἐκεῖ ὅπου ὑπάρχει σκιὰ καὶ αἰνίγματα· διότι ὅπως ἀκριβῶς στὴν περίπτωση τῆς ἀστραπῆς δὲν ζητᾶς νὰ ὑπάρχει συνεχὲς φῶς, ἀλλ' ἀρκεῖ καὶ μόνο νὰ φανεῖ αὐτή.

«Ἔφριξε μέσα μου τὸ πνεῦμα μου, σᾶς τὸ βεβαιώνω ἐγὼ ὁ Δανιήλ, καὶ μὲ συντάραξαν αὐτὰ τὰ ὁράματα τῆς κεφαλῆς μου»[26]. Πολὺ σωστὰ συνέβηκε αὐτὸ ἐξ αἰτίας τῆς θέας ἐκείνων

τῆς ὄψεως τῶν ὁρωμένων. Πατέρα καὶ Υἱὸν οὗτος καὶ πρῶτος καὶ μόνος ὁρᾷ, ὡς ἐν ὄψει. Τί ἂν ἔχοιεν Ἰουδαῖοι πρὸς τοῦτο εἰπεῖν; Μελλούσης γὰρ τῆς παρουσίας αὐτοῦ λοιπὸν ἐγγυτέρω εἶναι, εἰκότως καὶ αἱ ὄψεις θαυμασταὶ φαίνονται.

6. «Καὶ προσῆλθον ἑνὶ τῶν ἑστηκότων, καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ' αὐτοῦ μαθεῖν περὶ τούτων πάντων. Καὶ εἶπέ μοι τὴν ἀλήθειαν, καὶ τῶν λόγων τὴν σύγκρισιν ἐγνώρισέ μοι». Ἐρωτᾷ τί ποτέ ἐστι τὰ φαινόμενα· καὶ μανθάνει περὶ τοῦ Ἀντιχρίστου, καὶ μανθάνει βασιλείαν τέλος οὐκ ἔχουσαν.

«Ταῦτα», φησί, «τὰ θηρία τὰ μεγάλα, τέσσαρες βασιλεῖαι ἀναστήσονται. Καὶ παραλήψονται τὴν βασιλείαν ἅγιοι Ὑψίστου, καὶ καθέξουσιν αὐτὴν ἕως αἰῶνος, καὶ ἕως αἰῶνος αἰώνων. Καὶ ἐζήτουν ἀκριβῶς περὶ τοῦ θηρίου τοῦ τετάρτου, ὅτι ἦν διαφέρον παρὰ πᾶν θηρίον, καὶ φοβερὸν περισσῶς· οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, οἱ ὄνυχες αὐτοῦ χαλκοῖ· ἐσθίον καὶ λυπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει. Καὶ περὶ τῶν κεράτων αὐτοῦ τῶν δέκα, τῶν ἐν τῇ κεφαλῇ αὐτοῦ, καὶ τοῦ ἑτέρου τοῦ ἀναβάντος, καὶ ἐκτινάξαντος τῶν προτέρων τρία· καὶ τὸ κέρας ἐκεῖνο, ᾧ ὀφθαλμοὶ αὐτῷ, καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἡ ὅρασις αὐτοῦ μείζων τῶν λοιπῶν. Ἐθεώρουν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυσε πρὸς αὐτούς, ἕως οὗ ἦλθεν ὁ Παλαιὸς τῶν ἡμερῶν, καὶ τὸ κρῖμα ἔδωκεν ἁγίοις Ὑψίστου· καὶ ὁ καιρὸς ἔφθασε, καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι».

«Καὶ εἶπεν οὕτως· Τὸ θηρίον τὸ τέταρτον βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ, ἥτις ὑπερέξει πάσας τὰς βασιλείας, καὶ καταφάγεται πᾶσαν τὴν γῆν, καὶ συμπατήσει αὐτήν, καὶ κατακόψει αὐτήν. Καὶ τὰ δέκα κέρατα αὐτοῦ δέκα βασιλεῖς

---

27. Δαν. 7, 16.

ποὺ ἔβλεπε. Αὐτὸς πρῶτος καὶ μόνος βλέπει Πατέρα καὶ Υἱό, ὑπὸ μορφὴ βέβαια δράματος. Τί θὰ μποροῦσαν νὰ ποῦν σχετικὰ μ' αὐτὸ οἱ Ἰουδαῖοι; Διότι, ἐπειδὴ ἡ παρουσία του στὸν κόσμο βρίσκεται πλέον πλησιέστερα, πολὺ σωστὰ καὶ τὰ δράματα παρουσιάζονται θαυμαστά.

6. «Πλησίασα τότε ἕνα ἀπὸ τὰ παραβρισκόμενα πνεύματα καὶ ζητοῦσα ἀπ' αὐτὸ νὰ μάθω τὴν ἀκριβὴ σημασία ὅλων αὐτῶν. Καὶ μοῦ εἶπε τὴν ἀλήθεια, γνωρίζοντάς μου τὴν ἑρμηνεία αὐτῶν τῶν πραγμάτων»[27]. Ἐρωτᾶ τί τέλος πάντων σημαίνουν ὅλα αὐτὰ τὰ πράγματα, καὶ μαθαίνει ὅτι πρόκειται γιὰ τὸν Ἀντίχριστο, καὶ πληροφορεῖται ὅτι πρόκειται γιὰ βασιλεία ποὺ δὲν ἔχει τέλος.

«Αὐτά», λέγει, «τὰ θηρία τὰ μεγάλα εἶναι οἱ τέσσερις βασιλεῖες ποὺ θὰ ἐμφανισθοῦν ἐπάνω στὴ γῆ. Στὴ συνέχεια θὰ λάβουν τὴ βασιλεία οἱ ἅγιοι τοῦ Ὑψίστου καὶ θὰ κρατήσουν αὐτὴν αἰώνια. Ἰδιαίτερα ζήτησα ἀκριβέστερες πληροφορίες γιὰ τὸ τέταρτο θηρίο, διότι ἦταν διαφορετικὸ ἀπὸ κάθε ἄλλο θηρίο καὶ ὑπερβολικὰ φοβερό. Τὰ δόντια του ἦταν σιδερένια, τὰ νύχια του χάλκινα· ἔτρωγε καὶ χώνευε τὰ ὅσα ἔτρωγε, καταπατώντας μὲ τὰ πόδια του τὰ ὑπολείμματα τοῦ φαγητοῦ του. Ζήτησα πληροφορίες καὶ γιὰ τὰ δέκα κέρατα αὐτοῦ, ποὺ ὑπῆρχαν στὸ κεφάλι του, καὶ γιὰ τὸ ἄλλο ποὺ φύτρωσε καὶ ξερρίζωσε τὰ τρία ἀπὸ τὰ ἄλλα· ἐπίσης καὶ γιὰ τὸ κέρατο ἐκεῖνο, τὸ ὁποῖο εἶχε μάτια ἀνθρώπου καὶ στόμα, ποὺ μιλοῦσε μὲ τρόπο ἀλαζονικό, ἡ δὲ παρουσία αὐτοῦ ἦταν περισσότερο ἐντυπωσιακὴ ἀπὸ τὴν ἐμφάνιση τῶν ἄλλων κεράτων. Ἐνῶ ἔβλεπα μὲ προσοχὴ εἶδα τὸ κέρατο ἐκεῖνο ὅτι ἔκαμνε πόλεμο ἐναντίον τῶν ἀνθρώπων τοῦ Θεοῦ καὶ νικοῦσε αὐτούς, μέχρι ποὺ ἦρθε ὁ Παλαιὸς τῶν ἡμερῶν καὶ ἔδωσε τὴ νίκη στοὺς ἀνθρώπους τοῦ Ὑψίστου, καὶ ἔτσι ἔφθασε ὁ καιρὸς καὶ κατέλαβαν τὴ βασιλεία οἱ ἅγιοι τοῦ Θεοῦ».

«Καὶ εἶπε τὸ πνεῦμα ποὺ ρώτησα τὰ ἑξῆς· Τὸ τέταρτο θηρίο θὰ εἶναι ἡ τέταρτη βασιλεία ἐπάνω στὴ γῆ, ἡ ὁποία θὰ ὑπερέχει ἀπὸ ὅλες τὶς ἄλλες βασιλεῖες καὶ θὰ κατακυριεύσει ὁλόκληρη τὴ γῆ, θὰ καταπατήσει αὐτὴν καὶ θὰ τὴν κατακόψει. Τὰ

ἀναστήσονται· καὶ ὀπίσω αὐτῶν ἀναστήσεται ἕτερος, ὃς ὑπεροίσει κακοῖς πάντας τοὺς ἔμπροσθεν, καὶ τρεῖς βασιλεῖς ταπεινώσει. Καὶ λόγους πρὸς τὸν Ὕψιστον λαλήσει, καὶ τοὺς ἁγίους Ὑψίστου παλαιώσει, καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς καὶ νόμον· καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ. Καὶ τὸ κριτήριον ἐκάθισε· καὶ τὴν ἀρχὴν αὐτοῦ μεταστήσουσι, τοῦ ἀφανίσαι καὶ ἀπολέσαι ἕως τέλους. Καὶ ἡ βασιλεία, καὶ ἡ ἐξουσία, καὶ ἡ μεγαλωσύνη τῶν βασιλέων τῶν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἐδόθη ἁγίοις Ὑψίστου· καὶ πᾶσαι αἱ ἀρχαὶ αὐτῷ δουλεύσουσι καὶ ὑπακούσονται. Ἕως ὧδε τὸ πέρας τοῦ λόγου. Ἐγὼ Δανιήλ· οἱ διαλογισμοί μου ἐπὶ πολὺ συνετάρασσόν με, καὶ ἡ μορφή μου ἠλλοιώθη ἐπ' ἐμοί, καὶ τὸ ῥῆμα ἐν τῇ καρδίᾳ μου συνετήρησα».

Καὶ τίνος ἕνεκεν οὐκ εἶπες, ἄνθρωπε; Ὅτι οὐδὲν πρὸς Ἰουδαίους ἦν· ἀλλὰ τοὐναντίον ἐν μὲν τοῖς ῥήμασι διὰ τῆς ἀσαφείας αὐτὰ συνεκάλυπτεν, ἐν δὲ τῷ προφήτῃ συνετήρησεν ἐν τῇ καρδίᾳ. Καὶ γὰρ πρὸς τῷ τέλει φησίν· «Ἰδοὺ οἱ λόγοι ἐσφραγισμένοι· καὶ βούλεται αὐτοὺς ἀσαφεῖς εἶναι». Τοῦτο ποιεῖ καὶ αὐτὸς διὰ παραβολῶν λέγων. Ὅρα πανταχοῦ πῶς τὴν βασιλείαν ἐπαίρει, ἵνα μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς. Εἰ γὰρ καὶ πᾶσαν τὴν γῆν κατέσχον οἱ ἄνθρωποι, ἀλλ' οὐκ ἀεί, οὐδὲ εἰς ἄπειρον αἰῶνα. Καὶ μή μοι λεγέτω τις, ὅτι βραχὺν χρόνον λέγει. Τὸ γάρ, «Οὐ παρελεύσεται», τί ἐστιν; «οὐδὲ ἔθνει ἑτέρῳ δοθήσεται»; Καὶ ὅρα τὰ κατὰ Δαρεῖον καὶ Μακεδόνας. Τίνος ἕνεκεν ταῦτα; Διὰ τοὺς Ἰουδαίους. Διὰ τοῦτο καὶ Ἀλέξανδρος προσεκύνησε τὸν ναόν, ὥς φασι, τὸ βιβλίον τοῦτο ἰδών· καὶ Ἕλληνες ἐθαύμασαν αὐτοῦ τὴν ἰσχὺν τῆς προρρήσεως. Περὶ τούτων οὐδεὶς εἶπεν, ἀλλ' ἢ οὗτος μόνος.

---

28. Δαν. 7, 17-28. 29. Δαν. 12, 9. 30. Δαν. 2, 44.

δέκα κέρατα αὐτοῦ τοῦ θηρίου συμβολίζουν τοὺς δέκα βασιλεῖς ποὺ θὰ βασιλεύσουν, πίσω δὲ ἀπὸ αὐτοὺς θὰ ἐμφανισθεῖ ἕνας ἄλλος, ὁ ὁποῖος θὰ ξεπεράσει ὅλους τοὺς προηγούμενους ὡς πρὸς τὰ κακὰ καὶ θὰ ταπεινώσει τρεῖς βασιλεῖς. Αὐτὸς θὰ ἐκστομίσει λόγια ἀλαζονικὰ πρὸς τὸν Ὕψιστο καὶ θὰ προσπαθήσει νὰ ἐξαφανίσει τοὺς ἀνθρώπους του, θὰ σκεφθεῖ δὲ καὶ θὰ θελήσει νὰ ἀλλάξει τὴν ἐπικρατοῦσα κατάσταση καὶ τὸ νόμο αὐτοῦ, πράγμα ποὺ θὰ τοῦ ἐπιτραπεῖ μέχρις ἕνα ὁρισμένο καιρό. Μετὰ ὅμως θὰ στηθεῖ τὸ κριτήριο τοῦ Θεοῦ καὶ θ' ἀφαιρεθεῖ ἡ ἐξουσία αὐτοῦ, ὁ ἴδιος δὲ ἐξαφανισθεῖ καὶ θὰ ἐξολοθρευθεῖ ὁλοκληρωτικά. Τότε ἡ βασιλεία, ἡ ἐξουσία καὶ ἡ μεγαλωσύνη ὅλων τῶν βασιλέων ποὺ βρίσκονται κάτω ἀπὸ τὸν οὐρανὸ θὰ δοθεῖ στοὺς ἀνθρώπους τοῦ Ὑψίστου, ἡ δὲ βασιλεία αὐτοῦ θὰ εἶναι βασιλεία αἰώνια, καὶ ὅλες οἱ ἐξουσίες θὰ ὑπηρετοῦν καὶ θὰ ὑπακούουν σ' αὐτόν. Ἐδῶ τελειώνει ὁ λόγος. Τὰ ἐπιβεβαιώνω ἐγὼ ὁ Δανιήλ. Οἱ σκέψεις μου γιὰ πολὺ χρόνο μὲ συντάρασσαν καὶ ἡ μορφὴ τοῦ προσώπου μου ἀλλοιώθηκε, τὰ λόγια δὲ αὐτὰ τὰ διαφύλαξα μὲ ἀκρίβεια μέσα στὴν καρδιά μου»[28].

Καὶ γιὰ ποιὸ λόγο δὲν τὰ εἶπες, ἄνθρωπε; Ἐπειδὴ δὲν εἶχαν καμιὰ σχέση μὲ τοὺς Ἰουδαίους, ἀλλ' ἀντίθετα συγκάλυπτε μὲν αὐτὰ μὲ τὴν ἀσάφεια μέσα στὰ λόγια, τὰ διαφύλαξε δὲ μὲ ἀκρίβεια μέσα στὴν καρδιὰ τοῦ προφήτη. Καθόσον πρὸς τὸ τέλος λέγει· «Νὰ τὰ λόγια αὐτὰ εἶναι σφραγισμένα καὶ θέλει αὐτὰ νὰ εἶναι ἀσαφή»[29]. Αὐτὸ κάμνει καὶ αὐτὸς μιλώντας μὲ παραβολές. Πρόσεχε πῶς παντοῦ προβάλλει τὴ βασιλεία, γιὰ νὰ μὴ σκεφθεῖς τίποτε τὸ ἀνθρώπινο. Διότι καὶ ἂν ἀκόμα οἱ ἄνθρωποι κυρίευσαν ὁλόκληρη τὴ γῆ, ἀλλ' ὅμως ὄχι γιὰ πάντα, οὔτε στὸν ἄπειρο αἰῶνα. Καὶ ἂς μὴ μοῦ λέγει κάποιος, ὅτι ἐννοεῖ σύντομο χρόνο. Διότι τό, «Οὐ παρελεύσεται», τί σημαίνει; καθὼς καὶ τὸ «Οὔτε σὲ ἄλλο ἔθνος θὰ δοθεῖ»; Καὶ πρόσεχε τὰ σχετικὰ μὲ τὸ Δαρεῖο καὶ τοὺς Μακεδόνες. Γιὰ ποιὸ λόγο συμβαίνουν ὅλα αὐτά; Ἐξ αἰτίας τῶν Ἰουδαίων. Γι' αὐτὸ καὶ ὁ Ἀλέξανδρος προσκύνησε τὸ ναό, ὅπως λένε, ὅταν εἶδε τὸ βιβλίο αὐτό, καὶ οἱ Ἕλληνες θαύμασαν τὴ δύναμη τῆς προφητείας αὐτοῦ. Γι' αὐτὰ κανένας δὲν μίλησε, παρὰ μόνο αὐτός.

ΚΕΦΑΛΑΙΟΝ Η'.

«Ἐν ἔτει τρίτῳ τῆς βασιλείας Βαλτάσαρ ὅρασις ὤφθη πρός με, ἐγὼ Δανιήλ, μετὰ τὴν ὀφθεῖσάν μοι ἐν τῇ ἀρχῇ».

1. «Καὶ εἶδον ἐν τῇ ὁράσει· καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με, καὶ ἤμην ἐν Σούσοις τῇ βάρει, ἥ ἐστιν ἐν χώρᾳ Ἐλάμ. Καὶ εἶδον ἐν ὁράματι, καὶ ἤμην ἐπὶ τοῦ Οὐβάλ. Καὶ εἶδον ἐν ὁράματι, καὶ ἤμην ἐπὶ τοῦ Οὐβάλ. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον· καὶ ἰδοὺ κριὸς εἷς ἑστηκὼς πρὸ τοῦ Οὐβάλ· καὶ αὐτῷ κέρατα, καὶ τὰ κέρατα ὑψηλά· καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτων. Καὶ εἶδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν, καὶ βορρᾶν, καὶ νότον, καὶ λίβα· καὶ πάντα τὰ θηρία οὐ στήσονται ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ· καὶ ἐποίησε κατὰ θέλημα αὐτοῦ, καὶ ἐμεγαλύνθη. Καὶ ἐγὼ ἤμην συνιών· καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς· καὶ οὐκ ἦν ἀπτόμενος τῆς γῆς· καὶ τῷ τράγῳ ἐκείνῳ κέρας θεωρητὸν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. Καὶ ἦλθεν ὁ τράγος ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, ὃν εἶδον ἑστῶτα ἐνώπιον τοῦ Οὐβάλ· καὶ ἔδραμε πρὸς αὐτὸν ἐν ὁρμῇ τῆς ἰσχύος αὐτοῦ. Καὶ εἶδον αὐτὸν φθάσαντα ἕως τοῦ κριοῦ, καὶ ἐξηγριώθη πρὸς αὐτόν, καὶ ἔπαισε τὸν κριόν, καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ· καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ. Καὶ ἔρρι-

ΚΕΦΑΛΑΙΟ Η΄.

«Κατὰ τὸ τρίτο ἔτος τῆς βασιλείας τοῦ Βαλτάσαρ, εἶδα ἐγὼ ὁ Δανιὴλ ἕνα ὅραμα, ἔπειτα ἀπὸ τὸ ὅραμα ποὺ εἶδα προηγουμένως».

1. «Εἶδα λοιπὸν κατὰ τὸ ὅραμά μου αὐτὸ ὅτι βρισκόμουν στὰ Σοῦσα, ἕνα ὀχυρὸ πύργο αὐτῶν, ποὺ βρίσκεται στὴ χώρα Ἐλάμ». Εἶδα κατὰ τὸ ὅραμά μου ὅτι βρισκόμουν κοντὰ στὸν ποταμὸ Οὐβάλ. Σήκωσα τὰ μάτια μου καὶ εἶδα· καὶ νά, ἕνας κριὸς στεκόταν κοντὰ στὸν ποταμὸ Οὐβάλ, ποὺ εἶχε δυὸ κέρατα ψηλά, ἀπὸ τὰ ὁποῖα τὸ ἕνα ἦταν ψηλότερο ἀπὸ τὸ ἄλλο, αὐτὸ δὲ τὸ ψηλότερο μεγάλωνε ὅλο καὶ περισσότερο. Εἶδα τὸν κριὸ ποὺ χτυποῦσε μὲ τὰ κέρατά του πρὸς τὴ δύση ποὺ ἦταν ἡ θάλασσα, πρὸς βορρά, πρὸς νότο καὶ πρὸς τὸ μέρος ποὺ φυσᾶ ὁ Λίβας. Κανένα θηρίο δὲν ἦταν δυνατὸ ν' ἀντισταθεῖ σ' αὐτὸν καὶ δὲν μποροῦσε κανένας νὰ γλυτώσει ἀπὸ τὴ δύναμη αὐτοῦ. Ἐνεργοῦσε ὅπως ἤθελε καὶ γι' αὐτὸ ἔγινε μεγάλος καὶ ἔνδοξος». Ἔβλεπα μὲ μεγάλη προσοχή, καὶ νά, παρουσιάσθηκε ἕνας τράγος αἰγῶν, ποὺ ἐρχόταν ἀπὸ τὰ νοτιοδυτικὰ καὶ προχωροῦσε πρὸς ὅλη τὴ γῆ, καὶ φαινόταν σὰν νὰ μὴ πατοῦσε ἐπάνω στὴ γῆ, ἔφερνε δὲ ἀνάμεσα στὰ μάτια του ἕνα κέρατο ἄξιο προσοχῆς. Καὶ ἦρθε ὁ τράγος μέχρι τὸν κριὸ ποὺ εἶχε τὰ κέρατα καὶ τὸν ὁποῖο εἶδα νὰ στέκεται κοντὰ στὸν ποταμὸ Οὐβάλ, καὶ ἔτρεξε ἐναντίον αὐτοῦ μὲ ὅλη τὴν ὁρμὴ τῆς δυνάμεώς του. Τὸν εἶδα νὰ φθάνει μέχρι τὸν κριὸ καὶ ἐξαγριώθηκε μόλις τὸν εἶδε, τὸν χτύπησε δυνατὰ καὶ συνέτριψε καὶ τὰ δυὸ κέρατά του, καὶ δὲν εἶχε πλέον δυνάμεις νὰ ἀντισταθεῖ ἐναντίον αὐτοῦ.

ψεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνεπάτησεν αὐτόν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ. Καὶ ὁ τράγος τῶν αἰγῶν ἐμεγαλύνθη ἕως σφόδρα».

«Καὶ ἐν τῷ ἰσχῦσαι αὐτόν, συνετρίβη τὸ κέρας αὐτοῦ τὸ μέγα· καὶ ἀνέβη τέσσαρα κέρατα ὑποκάτωθεν αὐτοῦ εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ. Καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν ἐξῆλθε κέρας ἓν ἰσχυρόν, καὶ ἐμεγαλύνθη περισσῶς πρὸς τὸν νότον, καὶ πρὸς ἀνατολήν, καὶ πρὸς τὴν δύσιν. Καὶ ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ· καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῶν ἀστέρων, καὶ συνεπάτησεν αὐτούς. Καὶ ἕως ἄρχοντος τῆς δυνάμεως ἡδρύνθη· καὶ δι' αὐτὸν θυσία ἐταράχθη, καὶ ἐγεννήθη, καὶ κατευωδώθη αὐτῷ. Καὶ τὸ ἅγιον ἐρημωθήσεται· καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία, καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη. Καὶ ἐποίησε, καὶ εὐωδώθη. Καὶ ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος, καὶ εἶπεν εἷς ἅγιος τῷ φελμουνὶ τῷ λαλοῦντι· Ἕως πότε ἡ ὅρασις στήσεται, καὶ ἡ θυσία ἡ ἀρθεῖσα, καὶ ἡ ἁμαρτία τῆς ἐρημώσεως ἡ δοθεῖσα, καὶ τὸ ἅγιον, καὶ ἡ δύναμις συμπατηθήσεται; Καὶ εἶπεν αὐτῷ· Ἕως ἑσπέρας καὶ πρωΐ ἡμέραι δισχίλιαι καὶ τριακόσιαι, καὶ καθαρισθήσεται τὸ ἅγιον».

«Καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με, ἐγὼ Δανιήλ, τὴν ὅρασιν, καὶ ἐζήτουν σύνεσιν. Καὶ ἰδοὺ ἔστη ἐνώπιόν μου. Καὶ ὅρασις ἀνδρὸς ἀνὰ μέσον τοῦ Οὐβάλ. Καὶ ἐκάλεσε, καὶ εἶπεν· Γαβριήλ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν. Καὶ ἦλθε, καὶ ἔστη ἐχόμενος τῆς στάσεώς μου. Καὶ ἐν τῷ ἐλθεῖν αὐτόν, ἐθαμβήθην, καὶ πίπτω ἐπὶ πρόσωπόν μου. Καὶ εἶπε πρός με· Σύνες, υἱὲ ἀνθρώπου· ἔτι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις. Καὶ

Ἔρριξε τότε ὁ τράγος τὸν κριὸ ἐπάνω στὴ γῆ καὶ τὸν καταπάτησε καὶ δὲν ὑπῆρχε κανένας γιὰ νὰ τὸν γλυτώσει ἀπὸ τὴν ὁρμή του. Ὁ τράγος αὐτὸς τῶν αἰγῶν ἀπέκτησε μεγάλη δύναμη καὶ ἔγινε πολὺ ἔνδοξος».

«Ὅμως ἐνῶ ἔφθανε στὴ μεγάλη αὐτὴ δύναμη καὶ δόξα, συντρίφθηκε τὸ μεγάλο καὶ μοναδικὸ κέρατό του, καὶ φύτρωσαν τέσσερα κέρατα κάτω ἀπὸ αὐτὸ μὲ κατεύθυνση πρὸς τὰ τέσσερα σημεῖα τοῦ ὁρίζοντα. Ἀπὸ ἕνα ἀπὸ αὐτὰ φύτρωσε ἕνα ἄλλο ἰσχυρὸ κέρατο ποὺ μεγάλωσε ὑπερβολικὰ μὲ κατεύθυνση πρὸς τὸ νότο, τὴν ἀνατολὴ καὶ τὴ δύση. Αὐτὸ μεγάλωσε καὶ ὑψώθηκε μέχρι τὶς δυνάμεις τοῦ οὐρανοῦ, καὶ τότε ἕνα μέρος τῶν δυνάμεων τοῦ οὐρανοῦ καὶ τῶν ἄστρων ἔπεσε κάτω στὴ γῆ καὶ καταπάτησε τοὺς ἀνθρώπους, καὶ ἡ δύναμή του μεγάλωσε ὑπερβολικὰ μέχρι ποὺ ἐπικράτησε πλήρως, καὶ ἐξ αἰτίας αὐτοῦ διαταράχθηκαν οἱ θυσίες καὶ τὸ ἔργο αὐτοῦ κατευοδώθηκε ἀπὸ ἐπιτυχία, ὁ δὲ ναὸς τοῦ Θεοῦ ἐρημώθηκε, διότι ἐκεῖνοι ποὺ πρόσφερναν θυσία διέπρατταν ἁμαρτία καὶ ἔτσι ἔπεσε κάτω καὶ ποδοπατήθηκε ἡ δικαιοσύνη. Ἔτσι ἐνήργησε αὐτὸς καὶ τὸ ἔργο του στέφθηκε ἀπὸ ἐπιτυχία. Καὶ ἄκουσα τότε κάποιον ἅγιο νὰ ὁμιλεῖ καὶ κάποιος ἄλλος ἅγιος εἶπε σ' αὐτὸν ποὺ μιλοῦσε· Μέχρι πότε θὰ διαρκέσει αὐτὸ ποὺ συμβαίνει τώρα, καὶ ἡ κατάπτωση δηλαδὴ τῆς θυσίας καὶ ἡ ἐρήμωση τοῦ τόπου ἐξ αἰτίας τῆς ἁμαρτίας καὶ ὁ ναὸς καὶ ἡ δύναμη τοῦ Ἰσραὴλ θὰ καταπατοῦνται ἔτσι; Καὶ εἶπε σ' αὐτόν· Μέχρι νὰ περάσουν δύο χιλιάδες τρακόσια ἡμερονύκτια, καὶ τότε θὰ καθαρισθεῖ ὁ ναὸς ἀπὸ τὴ βεβήλωση».

«Καὶ συνέβηκε ἐγὼ ὁ Δανιὴλ ποὺ εἶδα αὐτὸ τὸ ὅραμα νὰ νὰ σκέφτομαι καὶ νὰ προσπαθῶ νὰ ἐξηγήσω ὅλα αὐτά. Καὶ τότε στάθηκε κάποιος κοντά μου καὶ φάνηκε κάποιος ποὺ στεκόταν στὸ μέσο τοῦ ποταμοῦ Οὐβάλ, ὁ ὁποῖος μίλησε καὶ εἶπε· Γαβριήλ, ἐξήγησε σ' αὐτὸν αὐτὸ τὸ ὅραμα. Καὶ ἦρθε καὶ στάθηκε σχεδὸν δίπλα μου, ἐγὼ δέ, μόλις πλησίασε κοντά μου, ἔμεινα κατάπληκτος καὶ ἔπεσα κάτω μὲ τὸ πρόσωπό μου πρὸς τὴ γῆ. Καὶ εἶπε πρὸς ἐμένα· Υἱὲ τοῦ ἀνθρώπου, κατανόησε, ὅτι τὸ

ἐν τῷ λαλεῖν αὐτὸν μετ' ἐμοῦ, πίπτω ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν· καὶ ἥψατό μου, καὶ ἔστησέ με ἐπὶ τοὺς πόδας μου. Καὶ εἶπεν· Ἰδοὺ ἐγὼ γνωρίζω σοι τὰ ἐσόμενα ἐπ' ἐσχάτων τῆς ὀργῆς· ἔτι γὰρ εἰς καιροῦ πέρας. Ὁ κριὸς ὃν εἶδες, ὁ ἔχων τὰ κέρατα, βασιλεὺς Μήδων καὶ Περσῶν. Καὶ ὁ τράγος τῶν αἰγῶν, βασιλεὺς Ἑλλήνων. Καὶ τὸ κέρας τὸ μέγα, ὃ ἦν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ, αὐτός ἐστιν ὁ βασιλεὺς ὁ πρῶτος».

«Καὶ ὅτι συνετρίβη, καὶ ἀνέστη τέσσαρα κέρατα ὑποκάτωθεν αὐτοῦ, τέσσαρες βασιλεῖς ἀναστήσονται ἀπὸ τοῦ ἔθνους αὐτοῦ, καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ. Καὶ ἐπ' ἐσχάτων τῆς βασιλείας αὐτῶν, πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστήσεται βασιλεὺς ἀναιδὴς προσώπῳ, καὶ συνιὼν προβλήματα. Καὶ κραταιὰ ἡ ἰσχὺς αὐτοῦ, καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ· καὶ θαυμαστὰ διαφθερεῖ, καὶ ποιήσει, καὶ διαφθερεῖ ἰσχυρούς, καὶ λαὸν ἅγιον. Καὶ ὁ ζυγὸς τοῦ κλοιοῦ αὐτοῦ κατευθυνεῖ. Δόλος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐν καρδίᾳ αὐτοῦ μεγαλυνθήσεται, καὶ δόλῳ διαφθερεῖ πολλούς, καὶ ἐπὶ ἀπωλείᾳ πολλῶν στήσεται, καὶ ὡς ᾠὰ ἐν χειρὶ συντρίψει αὐτούς. Καὶ ἡ ὅρασις τῆς ἑσπέρας, καὶ τῆς πρωΐας τῆς ῥηθείσης, ἀληθής ἐστιν. Καὶ σὺ σφράγισαι τὴν ὅρασιν, ὅτι εἰς ἡμέρας πολλὰς ἔσται».

2. «Καὶ εἶπε, φησί, «Γνώρισον ἐκείνῳ τὴν ὅρασιν, Γαβριήλ». Ὅρα ἐπιτάγματα ἀγγέλων καὶ ἀρχαγγέλων. Μείζων ἴσως δύναμις ἑτέρα; «Καὶ ἦλθε», φησί, «καὶ ἐθαμβήθην. Καὶ ἔστη ἐχόμενα τῆς στάσεώς μου. Καὶ ἐν τῷ ἐλθεῖν αὐτόν, ἐθαμβήθην». Ποῦ τοίνυν οἱ τοὺς ἀγγέλους κακῶς λέ-

---

1. Δαν. 8, 1-26. 2. Δαν. 8, 16. 3. Δαν. 8, 17

δραμα αὐτὸ φανερώνει τὸ τέλος τῆς κυριαρχίας τῶν θηρίων. Καὶ ἐνῶ μιλοῦσε αὐτὸς μὲ ἐμένα, ἐγὼ ἤμουν *πεσμένος* μὲ τὸ *πρόσωπο πρὸς* τὴ γῆ· τότε μὲ ἔπιασε καὶ μὲ σήκωσε στὰ πόδια μου. Καὶ εἶπε· Νά, σοῦ γνωρίζω ἐκεῖνα ποὺ θὰ συμβοῦν τότε ποὺ θὰ λάβει τέλος ἡ ὀργὴ τοῦ Θεοῦ. Τὸ δραμα φανερώνει τὸ τέλος τῆς κυριαρχίας τῶν θηρίων. Ὁ κριὸς ποὺ εἶδες καὶ εἶχε κέρατα, εἶναι ὁ βασιλιὰς τῶν Μήδων καὶ τῶν Περσῶν. Ὁ Τράγος τῶν αἰγῶν εἶναι ὁ βασιλιὰς τῶν Ἑλλήνων. Τὸ δὲ μεγάλο κέρατο, ποὺ ἦταν φυτρωμένο ἀνάμεσα στὰ μάτια αὐτοῦ εἶναι αὐτὸς ὁ ἴδιος ὁ βασιλιὰς ὁ πρῶτος τῶν Ἑλλήνων».

«Τὸ ὅτι δὲ συντρίφθηκε αὐτὸ τὸ κέρατο καὶ φύτρωσαν κάτω ἀπ' αὐτὸ τέσσερα ἄλλα κέρατα, σημαίνει ὅτι θὰ ἐμφανισθοῦν τέσσερις βασιλεῖς ἀπὸ τὸ ἔθνος αὐτὸ τῶν Ἑλλήνων, ποὺ δὲν θὰ ἔχουν τὴν ἴδια δύναμη μ' αὐτόν. Κατὰ τὸ τέλος τῆς βασιλείας αὐτῶν, ὅταν οἱ ἁμαρτίες τῶν Ἰουδαίων θὰ ἔχουν ὁλοκληρωθεῖ, θὰ ἐμφανισθεῖ ἕνας ἀδιάντροπος βασιλιὰς ποὺ θὰ δημιουργήσει πολλὰ προβλήματα. Ἡ δύναμη αὐτοῦ θὰ εἶναι μεγάλη καὶ δὲν θὰ ὑπάρχει ἄλλος ποὺ νὰ ἔχει τὴ δύναμη αὐτοῦ. Θὰ προξενήσει φοβερὲς καταστροφές, θὰ καταστρέψει ἰσχυροὺς ἄρχοντες καὶ λαούς, καθὼς καὶ τὸν ἅγιο λαὸ τοῦ Θεοῦ. Ὁ ζυγὸς τῆς τυραννίας του θ' ἁπλωθεῖ πολύ· μὲ δολιότητα θὰ ἐνεργεῖ, ἡ καρδιά του θὰ κυριευθεῖ ἀπὸ ἀλαζονεία, θὰ καταστρέψει πολλοὺς μὲ ὕπουλο τρόπο, καὶ θὰ στηρίξει τὴ δύναμή του ἐπάνω στὴν καταστροφὴ πολλῶν ἄλλων, τοὺς ὁποίους θὰ συντρίψει μὲ τὴ δύναμή του σὰν αὐγά. Τὸ δραμα αὐτό, ποὺ ἀντιστοιχεῖ στὰ δύο χιλιάδες τριακόσια ἡμερονύκτια, ὅπως προλέχθηκε, εἶναι ἀληθινό. Σὺ ὅμως διαφύλαξε καλὰ τὸ δραμα αὐτὸ ποὺ ἀναφέρεται σὲ μεγάλο χρονικὸ διάστημα»[1].

2. «Καὶ εἶπε», λέγει· «Ἐξήγησε, Γαβριήλ, σ' αὐτὸν τὸ δραμα αὐτό»[2]. Πρόσεχε προστάγματα ἀγγέλων καὶ ἀρχαγγέλων. Μήπως ὑπάρχει κάποια ἄλλη ἀνώτερη δύναμη; «Καὶ ἦρθε», λέγει, «καὶ μὲ γέμισε ἀπὸ κατάπληξη. Σταμάτησε δὲ δίπλα σὲ μένα, καὶ ἀμέσως μὲ τὸν ἐρχομό του κυριεύθηκα ἀπὸ ἔκπληξη»[3]. Ποῦ εἶναι λοιπὸν ἐκεῖνοι ποὺ κακολογοῦν τοὺς ἀγγέλους; Δὲν

γοντες;· Οὐκ ἀφ' ἑαυτοῦ τι ἐποίησεν. Ὁρᾷς καὶ αὐτοὺς εἰς τάξεις πολλὰς καὶ διατυπώσεις τεταγμένους; Ἐν τῇ πρώτῃ, «Προσῆλθον», φησί, «καὶ ἠρώτησα». Ἐνταῦθα οὐκέτι. «Καὶ ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος». Καὶ ἕτερος ἠρώτησεν, ἤτοι ἀγνοῶν, ἵνα οὗτος μάθῃ. «Καὶ ἀπεκρίνατο», φησί. «Καὶ ἐπ' ἐσχάτων τῆς βασιλείας, πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστήσεται βασιλεὺς ἀναιδὴς προσώπῳ». Ὅρα πῶς δείκνυσιν αὐτοῖς, ὅτι αὐτοὶ αἴτιοι. Διὰ τοῦτο οὐ φανεροῖ τοὺς λόγους, ἵνα μὴ ἐθελοκακήσαντες μένωσιν· εἰ γάρ, μηδενὸς τούτων εἰρημένων, ἔμενον, πολλῷ μᾶλλον, φανερωθέντων· καὶ ἵνα μάθῃς ὅτι πανταχοῦ τὸ Πνεῦμα ἰσχὺν ἔχει, καὶ ὅτι πάντα πρόοιδεν ὁ Θεός, καὶ ὅτι εἰδὼς ἁμαρτήσοντας ἀνήγαγε. Καὶ ὅρα, ἐπειδὴ εἶπεν ἐνιαυτούς, ὀλίγος χρόνος ἐφαίνετο, εἰς ἡμερῶν ἀναλύει ἀριθμόν, ἵνα τῷ πλήθει φοβήσῃ, οὐχ ἡμέρας, ἀλλὰ καὶ νύκτας ἀριθμῶν. Καὶ ἐνδιατρίβει τῇ τραγῳδίᾳ τῇ κατὰ Ἀντίοχον, ἵνα κἂν οὕτω φοβήσῃ.

«Καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ». Τουτέστιν, ὅτι ἠδύνατο ὁ Θεὸς κωλῦσαι αὐτόν, ἀλλ' ἐπέτρεψε διὰ τὰς ἁμαρτίας, καὶ οὐχ ἁπλῶς ἁμαρτόντων, ἀλλ' ἡνίκα ἐπληρώθησαν. Ἄρα μέτρον τί ἐστιν; «Οὔπω γὰρ ἂν ἐπεπλήρωντο», φησί, «αἱ ἁμαρτίαι τῶν Ἀμορραίων». Καὶ ὅρα, οὔπω λοιπὸν ἐμπρησμός, ἀλλὰ σφαγῶν ἀναιρέσεις. Ἐπειδὴ γὰρ ἔμελλόν τινες εἶναι οἱ καλοί, καὶ προϊστάμενοι τῶν πατέρων, καὶ τὰ τῆς τιμωρίας ἐλάττω γέγονε. Ταῦτα δὲ λέγεται, ἵνα μὴ ταῖς νίκαις ταῖς ἐπὶ Ζοροβάβελ ἐπαρθέντες, ῥάθυμοι γίνωνται. Καὶ ὅρα πῶς οὐ τίθησι λαμπρά τινα ἐνταῦθα μετὰ τὰ κατὰ Ἀντίοχον,

---

4. Δαν. 7, 16.
5. Δαν. 8, 13.
6. Δαν. 8, 23.
7. Γεν. 15, 16.

ἔκανε κάτι ἀπὸ μόνος του. Βλέπεις καὶ αὐτοὺς ποὺ εἶναι χωρισμένοι σὲ πολλὲς τάξεις καὶ σχήματα; Κατὰ τὸ πρῶτο ὅραμα, λέγει, «Πλησίασα»[4]. Ἐδῶ δὲν συμβαίνει αὐτό. «Καὶ ἄκουσα ἕναν ἀπὸ τοὺς ἁγίους νὰ ὁμιλεῖ»[5]. Καὶ ἄλλος ρώτησε, ἀσφαλῶς ἀπὸ ἄγνοια, γιὰ νὰ μάθει καὶ αὐτός. «Καὶ ἀποκρίθηκε», λέγει, «καὶ εἶπε. Κατὰ τὸ τέλος τῆς βασιλείας αὐτῶν, ὅταν πλέον θὰ ἔχουν ὁλοκληρωθεῖ οἱ ἁμαρτίες αὐτῶν, θὰ ἐμφανισθεῖ ἕνας ἀδιάντροπος βασιλιάς»[6]. Πρόσεχε πῶς δείχνει σ' αὐτούς, ὅτι αὐτοὶ εἶναι αἴτιοι. Γι' αὐτὸ δὲν φανερώνει τοὺς λόγους, γιὰ νὰ μὴ ἐξακολουθοῦν νὰ παραμένουν μὲ τὴ θέλησή τους κακοί· διότι, ἐάν, χωρὶς νὰ λέχθηκε τίποτε, ἔμεναν ἐθελόκακοι, πολὺ περισσότερο θὰ συνέβαινε αὐτὸ ἐὰν φανερώνονταν· καὶ γιὰ νὰ μάθεις ὅτι παντοῦ τὸ Πνεῦμα τὸ ἅγιο ἔχει δύναμη, καὶ ὅτι ὅλα τὰ προγνωρίζει ὁ Θεός, καὶ ὅτι, ἂν καὶ τὸ γνώριζε, τοὺς ἐπανέφερε στὴν πατρίδα τους. Καὶ πρόσεχε, ἐπειδή, ἐὰν ἔλεγε χρόνια, θὰ φαινόταν ὁ χρόνος λίγος, ἀναλύει τὰ ἔτη σὲ ἀριθμὸ ἡμερῶν, ἀριθμώντας ὄχι μόνο τὶς ἡμέρες, ἀλλὰ καὶ τὶς νύχτες, ὥστε μὲ τὸ πλῆθος νὰ τοὺς φοβήσει. Καὶ ἐπιμένει στὴν τραγωδία τὴ σχετικὴ μὲ τὸν Ἀντίοχο, ὥστε καὶ ἔτσι νὰ τοὺς φοβήσει.

«Χωρὶς νὰ ἔχουν τὴ δύναμη τοῦ πρὶν ἀπ' αὐτούς». Δηλαδή, ὅτι μποροῦσε ὁ Θεὸς νὰ ἐμποδίσει αὐτόν, ἀλλὰ τὸν ἐπέτρεψε ἐξ αἰτίας τῆς ἁμαρτίας αὐτῶν, καὶ ὄχι ἁπλῶς ὅταν ἁμάρτησαν, ἀλλ' ὅταν ὁλοκληρώθηκαν οἱ ἁμαρτίες τους. Ὥστε λοιπὸν ὑπάρχει κάποιο μέτρο; «Διότι», λέγει, «οἱ ἁμαρτίες τῶν Ἀμορραίων δὲν θὰ ἔχουν φθάσει στὴν ὁλοκλήρωσή τους»[7]. Καὶ πρόσεχε, ὅτι δὲν γίνεται καθόλου λόγος γιὰ ἐμπρησμό, ἀλλὰ γιὰ σφαγὲς καὶ ἀνθρωποκτονίες. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο μερικοὶ νὰ εἶναι οἱ καλοὶ καὶ προϊστάμενοι τῶν πατέρων, γι' αὐτὸ καὶ οἱ τιμωρίες ὑπῆρξαν μικρότερες. Αὐτὰ δὲ λέγονται γιὰ νὰ μὴ γίνουν πιὸ ἀδιάφοροι, κυριευμένοι ἀπὸ ἀλαζονεία ἐξ αἰτίας τῶν νικῶν κατὰ τοὺς χρόνους τοῦ Ζοροβάβελ. Καὶ πρόσεχε πῶς ἐδῶ δὲν ἀναφέρει ὁρισμενα λαμπρὰ γεγονότα ποὺ συνέβηκαν, μετὰ τὰ ὅσα συνέβηκαν στὰ χρόνια τῆς βασιλείας

ἀλλὰ μόνον λύσιν τῶν δεινῶν λέγει, καὶ τὸν κατασχόντα καιρόν. Τί οὖν; ταύτην οὐ προεῖπε τὴν αἰχμαλωσίαν; Ναί, σφόδρα αἰνιγματωδῶς· διὸ καὶ ὁ Χριστὸς εἶπεν· «Ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, ὁ ἀναγινώσκων νοείτω». Ἐλεύσονται, φησί, οὐχ ὡς προειπόντος. Καί τινες μὲν λέγουσιν, ὅτι εἰκότως ταῦτα οὐ προερρήθη· οὐ γὰρ εἶχε χρόνον ἡ αἰχμαλωσία αὕτη λαβεῖν. «Δώσω» γάρ, φησί, «καὶ τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ».

3. «Καὶ σὺ σφράγισαι τὴν ὅρασιν ταύτην, ὅτι εἰς ἡμέρας πολλὰς ἔσται». Τουτέστι, φύλαξον, διατήρησον, ἵνα μὴ τῷ μακρῷ χρόνῳ διαφθαρῇ. Ὅρα πανταχοῦ τὸν Θεὸν φειδόμενον αὐτῶν. Κατῆλθον εἰς Αἴγυπτον, ἐγένοντο φαῦλοι· οὐκ ἀπέστη, ἤγαγεν εἰς τὴν ἔρημον. Ἐπέμειναν τῇ κακίᾳ· οὐκ ἀπέστη, εἰσήγαγεν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Ἀνήγαγε πάλιν αὐτοὺς ἐπὶ Ἀντιόχου· πάλιν οἱ αὐτοὶ ἔμενον. Ἐπὶ τοῦ Χριστοῦ πάλιν οἱ αὐτοί· καὶ οὐδὲ οὕτως ἀπέστη, ἀλλ' ἀεὶ κήδεται. Καὶ καθάπερ τὰ φυσικὰ οὐκ ἂν ἀποσταίη, τὰ φύσεως προσόντα ἡμῖν, ὅπερ ἂν γένηται, οὕτως οὐδὲ Θεός· μᾶλλον δὲ ἐκεῖνα δυνατὸν ἀποστῆναι, αὐτὸν δὲ οὐδαμῶς προνοοῦντα, καὶ κηδόμενον. «Εἰ γὰρ καὶ ἐπιλάθοιτο, φησί, «γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου». Καθάπερ γὰρ ἐκείνη οὐ πρὸς τὴν ἀρετὴν ὁρᾷ τῶν παίδων, ἀλλὰ φύσεως νόμον πληροῖ, οὕτω, καὶ πολλῷ μᾶλλον, ὁ Θεὸς ἀεὶ κήδεται, οὐδέποτε ἀφίσταται, ἀεὶ τὸ αὐτὸ μέτρον ἐπιδείκνυται.

---

8. Δηλαδὴ τὸ εἴδωλο τοῦ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ποὺ στήθηκε μέσα στὸ ναό.
9. Ματθ. 24, 15.
10. Ἠσ. 53, 9.
11. Ἠσ. 49, 15.

τοῦ 'Αντιόχου, ἀλλ' ὁμιλεῖ μόνο γι' ἀπαλλαγὴ ἀπὸ τὰ δεινὰ καὶ γιὰ τὸν χρόνο τῆς αἰχμαλωσίας. Τί λοιπόν; αὐτὴν τὴν αἰχμαλωσία δὲν τὴν προεῖπε; Ναὶ τὴν προεῖπε, ἀλλὰ πολὺ αἰνιγματικά· γι' αὐτὸ καὶ ὁ Χριστὸς εἶπε· «Ὅταν θὰ δεῖτε τὸ βδέλυγμα τῆς ἐρημώσεως[8], αὐτὸς ποὺ διάβασε στὸ Δανιὴλ τὰ σχετικὰ μ' αὐτὸ θὰ τὰ κατανοήσει»[9]. Θὰ ἔρθουν, λέγει, ὄχι ἐπειδὴ τὰ προεῖπε. Καὶ ὁρισμένοι μὲν λέγουν, ὅτι πολὺ σωστὰ δὲν προλέχθηκαν· διότι ἡ αἰχμαλωσία αὐτὴ δὲν χρειαζόταν νὰ προσδιορισθεῖ. Διότι λέγει, «θὰ παραδώσω σὲ τιμωρία αὐτοὺς τοὺς πονηροὺς καὶ τοὺς πλουσίους γιὰ τὸν ἄδικο θάνατο καὶ τὴν ταφὴ αὐτοῦ»[10].

3. «Καὶ σὺ φύλαξε καλὰ αὐτὸ τὸ ὅραμα, διότι ἀναφέρεται σὲ μεγάλο χρονικὸ διάστημα». Δηλαδή, φύλαξέ το, διατήρησέ το, γιὰ νὰ μὴ λησμονηθεῖ καὶ ἀλλοιωθεῖ ἐξ αἰτίας τοῦ μακροῦ χρόνου. Πρόσεχε τὸ Θεὸ παντοῦ ποὺ δείχνει τὴ φροντίδα του γι' αὐτούς. Κατέβηκαν στὴν Αἴγυπτο καὶ ἔγιναν κακοί· δὲν τοὺς ἐγκατέλειψε, ἀλλὰ τοὺς ὁδήγησε στὴν ἔρημο. 'Εξακολούθησαν νὰ ζοῦν μέσα στὴν κακία· δὲν τοὺς ἐγκατέλειψε καὶ πάλι, ἀλλὰ τοὺς εἰσήγαγε στὴ γῆ τῆς ἐπαγγελίας. 'Επὶ τῆς ἐποχῆς τοῦ 'Αντιόχου τοὺς ἐπανέφερε πάλι ἀπὸ τὴν αἰχμαλωσία· πάλι παρέμεναν οἱ ἴδιοι. Στοὺς χρόνους τοῦ Χριστοῦ πάλι οἱ ἴδιοι· ὅμως καὶ οὔτε ἔτσι τοὺς ἐγκατέλειψε, ἀλλὰ πάντοτε φρόντιζε γι' αὐτούς. Καὶ ὅπως ἀκριβῶς δὲν θὰ ἦταν δυνατὸ τὰ φυσικὰ προσόντα ποὺ ὑπάρχουν σὲ μᾶς ν' ἀποχωρισθοῦν ἀπὸ μᾶς ὅ,τι καὶ ἂν ἤθελε συμβεῖ, ἔτσι οὔτε ὁ Θεός· μᾶλλον δὲ ἐκεῖνα μὲν εἶναι δυνατὸ νὰ ἀποχωρισθοῦν ἀπὸ μᾶς, ὁ Θεὸς ὅμως μὲ κανένα τρόπο δὲν θὰ παύσει νὰ φροντίζει καὶ νὰ ἐνδιαφέρεται γιὰ μᾶς. Διότι, λέγει, «καὶ ἂν ἀκόμα συμβεῖ νὰ λησμονήσει ἡ μητέρα νὰ φροντίσει γιὰ τὰ σπλάχνα τῆς κοιλιᾶς της, ἐγὼ ὅμως δὲν θὰ σὲ λησμονήσω»[11]. Διότι, ὅπως ἀκριβῶς ἐκείνη δὲν ἀποβλέπει πρὸς τὴν ἀρετὴ τῶν παιδιῶν, ἀλλ' ἐκπληρώνει τὸ νόμο τῆς φύσεως, ἔτσι, καὶ πολὺ περισσότερο, ὁ Θεὸς φροντίζει πάντοτε γιὰ μᾶς, ποτὲ δὲν μᾶς ἐγκαταλείπει, πάντοτε δείχνει τὸ ἴδιο μέτρο φροντίδας.

«Καὶ ἐγὼ Δανιὴλ ἐκοιμήθην, καὶ ἐμαλακίσθην ἡμέρας· καὶ ἀνέστην, καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως· καὶ ἐθαύμαζον τὴν ὅρασιν· καὶ οὐκ ἦν ὁ συνιών». Πόθεν ἐμαλακίσθη; Ὑπὸ τῆς ἀθυμίας ἴσως τῶν ἐσομένων δεινῶν, λογισάμενος πρὸς ἑαυτόν, ὅτι οὐδέπω τὰ παρόντα τέλος ἔχει. Καὶ τοσαῦτα, φησί, πάλιν δεινά. Ἢ πάλιν οὔπω κατήλλαξα αὐτοῖς τὸν Θεόν, καὶ αὐτοὶ ἐκπολεμοῦσιν αὐτόν. «Καὶ ἀνέστην, καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως». Τουτέστην, ὑπηρέτουν. «Καὶ ἐθαύμαζον τὴν ὅρασιν· καὶ οὐκ ἦν ὁ συνιών». Μάλιστα τοῦτο φέρει τινὰ ὀδύνην, ὅταν μηδὲ ἐξενεγκεῖν ἐξῇ εἴς τινα τὰ λυπηρά· ἢ ὅτι πονηροὶ ἦσαν. «Καὶ ἐποίουν», φησί, «τὰ ἔργα τοῦ βασιλέως». Τουτέστιν, οὐδὲν παρελίμπανον, ἀλλ' ἐποίουν τὰ ἔργα.

---

12. Ἠσ. 8, 28.

«Στὴ συνέχεια ἐγὼ ὁ Δανιὴλ κοιμήθηκα· ἀσθένησα γιὰ μερικὲς ἡμέρες καὶ ὅταν σηκώθηκα ἐκτελοῦσα τὶς ἐργασίες τοῦ βασιλιᾶ· παράλληλα ὅμως σκεφτόμουν μὲ θαυμασμὸ τὸ ὅραμα, δὲν μποροῦσα ὅμως νὰ κατανοήσω τὸ βαθύτερο νόημά του»[12]. Ἀπὸ ποιὰ αἰτία ἀσθένησε; Ἐξ αἰτίας ἴσως τῆς στενοχώριας του γιὰ τὰ κακὰ ποὺ ἐπρόκειτο νὰ συμβοῦν, σκεφτόμενος μόνος του, ὅτι δὲν πρόκειται ἀκόμα νὰ τελειώσουν τὰ παρόντα κακά. Καὶ τόσα πολλά, λέγει, κακὰ καὶ πάλι θὰ συμβοῦν. Ἢ πάλι δὲν συμφιλίωσα αὐτοὺς μὲ τὸ Θεὸ καὶ αὐτοὶ πολεμοῦν αὐτόν. «Καὶ ὅταν σηκώθηκα ἐκτελοῦσα τὶς ἐργασίες τοῦ βασιλιᾶ». Δηλαδὴ τὸν ὑπηρετοῦσα. «Καὶ σκεφτόμουν μὲ θαυμασμὸ τὸ ὅραμα, ἀλλ' ὅμως δὲν μποροῦσα νὰ κατανοήσω τὸ βαθύτερο νόημα αὐτοῦ». Αὐτὸ πρὸ πάντων δημιουργεῖ στενοχώρια, ὅταν δὲν μπορεῖ κάποιος νὰ ὑποφέρει τὰ λυπηρά, ἢ διότι ἦταν γεμάτοι ἀπὸ κακία. «Καὶ ἐκτελοῦσα», λέγει, «τὰ ἔργα τοῦ βασιλιᾶ». Δηλαδὴ τίποτε δὲν παρέλειπα, ἀλλ' ἐκτελοῦσα τὰ ὑπηρεσιακά μου καθήκοντα.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

«Ἐν τῷ πρώτῳ ἔτει Δαρείου, τοῦ υἱοῦ Ἀσσουήρου, ἀπὸ τοῦ σπέρματος Μήδων, ὃς ἐβασίλευσεν ἐπὶ τὴν βασιλείαν Χαλδαίων, ἐν ἔτει ἑνὶ τῆς βασιλείας αὐτοῦ, ἐγὼ Δανιὴλ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, περὶ οὗ ἐγενήθη λόγος Κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν ἐρημώσεως τῆς Ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη. Καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς Κύριον τὸν Θεόν, τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δέησιν ἐν νηστείαις καὶ σάκκῳ καὶ σποδῷ».

1. Οὗτος ὁ Μῆδος Δαρεῖος. Πρῶτον δὲ ἔτος οὐχὶ τῆς βασιλείας αὐτοῦ φησι· οὐ γὰρ εἶπεν, ἐν τῷ πρώτῳ τῆς βασιλείας αὐτοῦ, ἀλλ', «Ἐν τῷ πρώτῳ ἔτει Δαρείου, ἐν ἑνὶ ἔτει τῆς βασιλείας αὐτοῦ», ὥστε δυνατὸν λέγεσθαι καὶ πρῶτον ἔτος, βασιλεύοντος μὲν αὐτοῦ, τότε δὲ ἀνελόντος ἴσως τοὺς περὶ Βαλτάσαρ. «Ἐγὼ Δανιὴλ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν». Τουτέστι, τὴν σφαγήν. Καὶ ἀνελογισάμην. Ὅρα αὐτὸν πρὸ τῆς προθεσμίας οὐ τολμῶντα προσελθεῖν τῷ Δεσπότῃ. Ἀλλ' οἱ μὲν τρεῖς παῖδες ποιοῦσιν αὐτὸ ἐν τῇ καμίνῳ, οὗτος δὲ ἐν τῷ λάκκῳ οὐδὲν ἐποίησε. Τί οὖν; ἢ ἐκεῖνοι κακῶς, ἢ οὗτος; Οὐδέτεροι. Ἐκεῖνοι μὲν γὰρ τὴν φιλοστοργίαν, οὗτος δὲ τὴν σύνεσιν τοῦ καιροῦ παραγενομέ-

---

1. Δαν. 9,.1-3.

ΚΕΦΑΛΑΙΟ Θ'.

«Κατὰ τὸ πρῶτο ἔτος τοῦ Δαρείου, τοῦ υἱοῦ 'Ασσουήρου, ποὺ καταγόταν ἀπὸ τὸ γένος τῶν Μήδων, καὶ ἦταν βασιλιὰς τῶν Χαλδαίων, ἐγὼ ὁ Δανιήλ, κατὰ τὸ πρῶτο αὐτὸ ἔτος τῆς βασιλείας αὐτοῦ, μελέτησα στὰ βιβλία τὸ μέρος ἐκεῖνο ποὺ ἀναφερόταν στὸν ἀριθμὸ τῶν ἐτῶν, ποὺ εἶχε φανερωθεῖ στὸν προφήτη 'Ιερεμία μὲ λόγο τοῦ Θεοῦ, σύμφωνα μὲ τὸν ὁποῖο ἡ ἐρήμωση τῆς 'Ιερουσαλὴμ θὰ διαρκοῦσε ἑβδομήντα χρόνια. Τότε τόλμησα καὶ ἔστρεψα τὸ πρόσωπό μου πρὸς τὸν Κύριο τὸ Θεὸ γιὰ νὰ προσευχηθῶ πρὸς αὐτὸν καὶ νὰ τὸν παρακαλέσω μὲ νηστεῖες, φορώντας σάκκο καὶ καθισμένος ἐπάνω σὲ στάχτη»[1].

1. Αὐτὸς εἶναι ὁ Δαρεῖος ὁ Μῆδος. Λέγοντας δὲ πρῶτο ἔτος δὲν ἐννοεῖ τῆς βασιλείας αὐτοῦ· διότι δὲν εἶπε, κατὰ τὸ πρῶτο ἔτος τῆς βασιλείας αὐτοῦ, ἀλλά, «κατὰ τὸ πρῶτο ἔτος τοῦ Δαρείου, κατὰ τὴ διάρκεια δηλαδὴ τοῦ πρώτου ἔτους τῆς βασιλείας αὐτοῦ», ποὺ εἶναι δυνατὸ νὰ ὀνομάζεται καὶ πρῶτο ἔτος, ποὺ βασίλευε μὲν αὐτός, τότε ὅμως φόνευσε ἴσως τοὺς γύρω ἀπὸ τὸν Βαλτάσαρ. «'Εγὼ ὁ Δανιὴλ μελέτησα μὲ προσοχὴ στὰ βιβλία τὸ σημεῖο ποὺ ἀναφέρεται στὸν ἀριθμὸ τῶν ἐτῶν». Δηλαδὴ τὴ σφαγή. Καὶ σκέφθηκα. Πρόσεχε αὐτὸν ποὺ δὲν τολμᾶ πρὶν ἀπὸ τὴν προθεσμία νὰ προσέλθει πρὸς τὸν Κύριο. 'Αλλὰ τὰ μὲν τρία παιδιὰ τὸ κάμνουν αὐτὸ μέσα στὸ καμίνι, ἐνῶ αὐτὸς τίποτε δὲν ἔκανε μέσα στὸ λάκκο. Τί λοιπόν; ἐκεῖνα ἐνήργησαν κακῶς ἢ αὐτός; Κανένας ἀπὸ ὅλους. Διότι ἐκεῖνα μὲν ἔδειξαν τὴ φιλοστοργία τους, ἐνῶ αὐτὸς ἔδειχνε τὴ σύνεσή

νου ἐδείκνυ. Ἆρ' οὖν συνετῶς ἀνεγίνωσκε τὰ προφητικά; Οἶμαι δ' αὐτὸν οὐκ ἐκ τῆς ἁλώσεως ἀριθμεῖν, ἀλλ' ἐκ τῆς αἰχμαλωσίας ἴσως τοῦ Ἰσραήλ. Ἐρήμωσιν γὰρ εἰκότως ἂν τις εἴποι Ἱερουσαλὴμ καὶ τοὺς πολέμους. Ὅρα καὶ τὸν ἀριθμὸν σαββατικόν. Ὥσπερ γὰρ τότε τετρακόσια τριάκοντα καὶ διακόσια δεκαπέντε ἐποίησεν, οὕτως οἶμαι καὶ νῦν ἐλάττω εἶναι.

Περὶ οὗ ἐγενήθη, φησί, «λόγος πρὸς Ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν ἐρημώσεως Ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη». «Καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς Κύριον τὸν Θεόν, τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δέησιν ἐν νηστείαις καὶ σάκκῳ καὶ σποδῷ». Ὅρα εὐλάβειαν. «Καὶ ἔδωκα», φησί, «τὸ πρόσωπόν μου». Τουτέστι, κατησχυμμένος ἤμην πρὸ τούτου, πρὸ τῆς ταπεινώσεως· νῦν δὲ «Ἔδωκα», ἀντὶ τοῦ ἐτόλμησα. Εἰ δὲ ὀφειλόμενον ἀπῄτει, οὐκ ἂν ἔλεγε, «Ἔδωκα τὸ πρόσωπόν μου», ὡς ἐπὶ παρακεκινδυνευμένῳ πράγματι. Εἰ ὑπὲρ ἄλλων τοσαύτῃ χρῆται σπουδῇ, εἰ τοσαύταις ἀπολαύων καὶ παρὰ τοῦ Θεοῦ καὶ παρὰ τοῦ βασιλέως εὐνοίαις, οὐκ ἔχει τινὰ αἴσθησιν τῶν πραγμάτων, ἀλλ' ὡς αὐτὸς ὢν ἐν τοῖς δεινοῖς, αὐτῶν τῶν ὄντων μᾶλλον ἐδάκνετο, πῶς ἄν τις αὐτὸν κατ' ἀξίαν θαυμάσειεν; Ὅρα δὲ καὶ μετὰ τὰς θλίψεις ἐκείνας οὐ θαρροῦντα προσελθεῖν, ἕως εἶδε τὸν χρόνον πληρωθέντα. Ποῦ τοίνυν κεισόμεθα λοιπὸν ἡμεῖς οἱ ἄθλιοι; Τί λέγεις, ὦ Δανιήλ; ἐν ἀγαθοῖς εἶ σύ, τιμῆς ἀπολαύεις παρὰ Θεοῦ, παρὰ ἀνθρώπων· τί σοι μέλει περὶ τῶν ἄλλων; Οὕτω καὶ Μωϋσῆς ἐποίει.

Καὶ τί φησι; «Ἐν νηστείαις καὶ σάκκῳ καὶ σποδῷ» τὰ ὀφειλόμενα ἀπαιτῶν. Τί γάρ, εἰ ὠφείλετο; Μήποτε καὶ τού-

2. Δαν. 9, 2.

του μὲ τὸ πέρασμα τοῦ χρόνου. Ὥστε λοιπὸν μὲ σύνεση μελετοῦσε τὰ προφητικά; Νομίζω ὅτι αὐτὸς δὲν ἀπαριθμεῖ τὰ ἔτη ἀπὸ τὴν ἅλωση τῆς Ἰερουσαλὴμ, ἀλλ' ἀπὸ τὴν αἰχμαλωσία ἴσως τοῦ Ἰσραήλ. Διότι ἐρήμωση πολὺ σωστὰ θὰ μποροῦσε κάποιος νὰ ὀνομάσει τὴν ἐρήμωση τῆς Ἰερουσαλὴμ καὶ τοὺς πολέμους. Πρόσεχε καὶ τὸν ἀριθμὸ ποὺ εἶναι σαββατικός. Διότι, ὅπως ἀκριβῶς τότε τὰ ὅρισε σὲ τετρακόσια τριάντα καὶ διακόσια δεκαπέντε, ἔτσι νομίζω καὶ ἐδῶ εἶναι λιγότερα.

«Σύμφωνα μὲ τὸν ὁποῖο ἀποκαλύφθηκε μὲ λόγο τοῦ Θεοῦ στὸν προφήτη Ἰερεμία ὅτι ἡ ἐρήμωση τῆς Ἰερουσαλὴμ θὰ διαρκοῦσε ἑβδομήντα ἔτη. Τόλμησα καὶ ἔστρεψα τότε τὸ πρόσωπό μου πρὸς τὸν Κύριο τὸ Θεὸ γιὰ νὰ προσευχηθῶ πρὸς αὐτὸν καὶ νὰ τὸν παρακαλέσω νηστεύοντας συγχρόνως, φορώντας σάκκο καὶ καθισμένος ἐπάνω σὲ στάχτη»[2]. Πρόσεχε εὐλάβεια. «Καὶ ἔδωσα», λέγει, «τὸ πρόσωπό μου». Δηλαδὴ ἤμουν μπροστὰ σ' αὐτὸν καὶ πρὸ τῆς ὅλης ταπεινώσεως, γεμάτος ἀπὸ ντροπή, τώρα ὅμως λέγει «ἔδωσα», ἀντὶ νὰ πεῖ τόλμησα. Ἐὰν ὅμως ζητοῦσε κάτι τὸ ὀφειλόμενο, δὲν θὰ ἔλεγε, «τόλμησα καὶ ἔστρεψα τὸ πρόσωπό μου», σὰν νὰ ἐπρόκειτο δηλαδὴ γιὰ κάποιο πολὺ τολμηρὸ πράγμα. Ἐὰν γιὰ χάρη ἄλλων δείχνει τόση μεγάλη φροντίδα, ἐάν, ἀπολαμβάνοντας τόση μεγάλη εὔνοια ἐκ μέρους τοῦ Θεοῦ καὶ ἐκ μέρους τοῦ βασιλιᾶ, δὲν αἰσθάνεται τίποτε γιὰ ὅλα αὐτὰ τὰ πράγματα, ἀλλά, σὰν αὐτὸς νὰ βρίσκεται μέσα στὰ δεινά, πληγωνόταν καὶ ὑπόφερε περισσότερο ἀπὸ ἐκείνους ποὺ ζοῦσαν μέσα στὶς συμφορές, πῶς θὰ μποροῦσε κάποιος νὰ τὸν θαυμάσει ἐπάξια; Πρόσεχε δὲ ὅτι καὶ μετὰ τὶς θλίψεις ἐκεῖνες δὲν ἔχει τὸ θάρρος νὰ προσέλθει στὸ Θεό, μέχρι ποὺ εἶδε ὅτι ὁ χρόνος τῆς προφητείας ὁλοκληρώθηκε. Ποῦ λοιπὸν θὰ τοποθετήσομε πλέον ἐμεῖς οἱ ἄθλιοι τὸν ἑαυτό μας; Τί λές, Δανιήλ; μέσα στὰ ἀγαθὰ βρίσκεσαι, ἀπολαμβάνεις τιμὴ ἀπὸ τὸ Θεὸ καὶ ἀπὸ τοὺς ἀνθρώπους· τί σ' ἐνδιαφέρει γιὰ τοὺς ἄλλους; Ἔτσι καὶ ὁ Μωϋσῆς ἐνεργοῦσε.

Καὶ τί λέγει; «Μὲ νηστεῖες καὶ φορώντας σάκκο καὶ καθισμένος ἐπάνω σὲ στάχτη», ζητοῦσε τὰ ὀφειλόμενα. Γιατί λοι-

του ἀναξίους ἑαυτοὺς ἐποίησαν. Οὐ γάρ ἐστιν ἀνάγκη παρὰ Θεῷ· ἀνώτερος νόμων ἐστί. «Τοῦ ζητῆσαι», φησί, «προσευχὴν καὶ δέησιν». Πρῶτον τοῦτο ἐπιζητεῖ. Εἰ ἐπιτρέπει μοι, φησί, εὔξασθαι ὑπὲρ αὐτῶν· ἐπειδὴ ἤκουσεν Ἱερεμίου τοῦτο ἀκούοντος, ὅτι «Μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου ὑπὲρ αὐτῶν». Ἔχων τὴν ἀπὸ τῆς αἰχμαλωσίας, τὴν ἀπὸ τῶν χρόνων συμμαχίαν, τὴν ἀπὸ τῆς οἰκείας ἀρετῆς, καὶ τοῦ μυρία παθεῖν, οὐδέπω θαρρεῖ, ἀλλὰ τέφραν ὑποστρωσάμενος καὶ σάκκον, οὕτως ἐδεῖτο. Τί ποιήσομεν ἡμεῖς οἱ ἀνάλγητοι;

Τοῦτον ἡμᾶς ἐχρῆν μιμεῖσθαι. Ἵνα γὰρ μή τις λέγῃ, ὅτι διὰ πενίαν οἱ λοιποὶ προφῆται ταῦτα ἐποίουν, ὁ μάλιστα πάντων πρὸς ἀξιωμάτων μέγεθος ἀναχθείς, οὗτος μάλιστα πάντων ταπεινοῦται. Καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας ἦν, καὶ τοσούτων ἀπέλαυσεν. Οὕτω δεῖ πενθεῖν τὰ οἰκεῖα δεινά, οὕτω τῶν μελῶν φείδεσθαι τῶν οἰκείων. Τοῦτο συμπάθεια τῶν προφητῶν. Ὅρα ταύτῃ μάλιστα θαυμασιώτερον ὄντα. Μωϋσῆς ἔλεγεν· «Εἰ μὲν ἀφῇς αὐτοῖς, ἐπεὶ κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου». Οὗτος ἐν νηστείαις ἦν καὶ δάκρυσι διηνεκῶς. Παῦλος διηνεκῶς ἐν δάκρυσι, καὶ γεέννης αὐτῆς κατετόλμησεν. Οὐδεὶς αὐτῶν ἔχει τῶν οἰκείων ἀγαθῶν αἴσθησιν, ἀλλ' ὥσπερ ἐν σώματι, τοῦ ὀφθαλμοῦ καλοῦ τυγχάνοντος, οὐκ ἂν λάβοι τοῦ κάλλους αἴσθησιν, σεσηπότων τῶν ποδῶν καὶ διεφθαρμένων, οὕτω καὶ τότε ἦν.

Τίνος ἕνεκεν ἡ σποδός; Ἀνεμίμνησκεν αὐτὸν τῆς οἰκείας φύσεως. Τίνος ἕνεκεν ὁ σάκκος; Τῇ τραχύτητι ταπεινοῖ. Τίνος ἕνεκεν ἡ νηστεία; Καὶ αὕτη τῶν ἐν παραδείσῳ ἀ-

---

3. Δαν. 9, 3.
4. Ἰερ. 7, 16.
5. Ἐξ. 32, 32.
6. Ρωμ. 9,3 «Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα».

πὸν τὸ κάμνει αὐτό, ἐφόσον ἦταν ὀφειλόμενα; Ἴσως καὶ γι' αὐτὸ νὰ κατέστησαν ἀνάξιους τοὺς ἑαυτούς τους. Διότι δὲν ὑπάρχει στὸ Θεὸ ἀνάγκη· βρίσκεται ἐπάνω ἀπὸ τὸ νόμο. «Γιὰ νὰ προσευχηθεῖ», λέγει, «καὶ νὰ τὸν παρακαλέσει»[3]. Πρῶτα αὐτὸ ζητᾶ. Ἐὰν μοῦ ἐπιτρέπει, λέγει, νὰ προσευχηθῶ γι' αὐτούς, καὶ αὐτὸ γιατὶ γνώριζε ὅτι ὁ Ἱερεμίας ἄκουσε τὸ ἑξῆς· «Μὴ προσεύχεσαι γιὰ τὸ λαὸ αὐτὸ καὶ μὴ ζητᾶς τίποτε γι' αὐτούς»[4]. Ἂν καὶ ἔχει τὴ συμμαχία ποὺ προερχόταν ἀπὸ τὴν αἰχμαλωσία, ἀπὸ τὰ χρόνια αὐτῆς ποῦ ὁλοκληρώθηκαν σύμφωνα μὲ τὴν προφητεία, ἀπὸ τὴ δική του ἀρετή, καὶ ἀπὸ τὸ ὅτι ἦταν ἀμέτρητα τὰ παθήματά του, καὶ πάλι δὲν ἔχει ἀκόμα τὸ θάρρος, ἀλλ', ἀφοῦ ἔστρωσε κάτω στάχτη καὶ φόρεσε σάκκο, ἔτσι παρακαλοῦσε τὸ Θεό. Τί πρέπει νὰ κάνομε ἐμεῖς οἱ ἀναίσθητοι;

Αὐτὸν θὰ ἔπρεπε νὰ μιμούμαστε. Διότι, γιὰ νὰ μὴ λέγει κάποιος, ὅτι οἱ ὑπόλοιποι προφῆτες τὸ ἔκαμναν αὐτὸ ἐξ αἰτίας τῆς φτώχειας τους, αὐτὸς ποὺ ἀνέβηκε στὸ μεγαλύτερο ὕψος τῶν ἀξιωμάτων ἀπὸ ὅλους, αὐτὸς δείχνει τὴ μεγαλύτερη ἀπὸ ὅλους ταπείνωση. Καὶ ἀπὸ βασιλικὴ γενεὰ καταγόταν καὶ τόσα πολλὰ ἀπόλαυσε. Ἔτσι πρέπει νὰ πενθοῦμε τὶς συμφορές μας, ἔτσι νὰ εὐσπλαχνιζόμαστε τὰ δικά μας μέλη. Τέτοια ἦταν ἡ συμπάθεια τῶν προφητῶν. Πρόσεχε αὐτὸν ποὺ ὡς πρὸς αὐτὴ εἶναι ὁ περισσότερο θαυμαστός. Ὁ Μωϋσῆς ἔλεγε· «Ἐὰν μὲν συγχωρήσεις αὐτούς, καλῶς, ἀλλιῶς σβῆσε καὶ ἐμένα ἀπὸ τὸ βιβλίο σου»[5]. Αὐτὸς ζοῦσε μὲ νηστεῖες καὶ συνεχὴ δάκρυα. Ὁ Παῦλος ζοῦσε μὲ συνεχὴ δάκρυα καὶ τόλμησε καὶ τὴν ἴδια τὴ γέεννα νὰ προτιμήσει γιὰ χάρη τῶν κατὰ σάρκα συγγενῶν του[6]. Κανένας ἀπ' αὐτοὺς δὲν συγκινεῖται μὲ τὰ δικά του ἀγαθά, ἀλλ' ὅπως ἀκριβῶς στὴν περίπτωση ἑνὸς σώματος, ἐὰν ὁ ὀφθαλμὸς εἶναι ὑγιής, δὲν θὰ μποροῦσε νὰ αἰσθανθεῖ τὴν ὡραιότητα, ἐφόσον εἶναι νεκρωμένα καὶ καταστραμένα τὰ πόδια, ἔτσι συνέβαινε καὶ τότε.

Γιὰ ποιὸ λόγο χρησιμοποιεῖται ἡ στάχτη; Διότι ὑπενθύμιζε σ' αὐτὸν τὴ φύση του. Γιὰ ποιὸ λόγο ὁ σάκκος; Διότι ταπεινώνει μὲ τὴ σκληρότητά του. Καὶ γιὰ ποιὸ λόγο καταφεύγει στὴ

νεμίμνησκεν. Τοῦτο αὐτοῖς ἔθος ἐστί, τὰ βασανίζοντα διώκειν. Οὐδὲ τῆς γῆς ἄξιός εἰμι, φησίν, οὐδὲ τῶν ἱματίων, οὐδὲ τῶν κατὰ φύσιν πραγμάτων, ἀλλὰ χαλεπωτέρας τιμωρίας, ὁ τὰ περσικὰ περιβεβλημένος ὑφάσματα, ὁ τιάραν ἔχων περσικήν. Καὶ τί φησι; Ἴδωμεν τὴν ἐξομολόγησιν. «Καὶ προσηυξάμην πρὸς Κύριον τὸν Θεόν μου». Ὅρα τὸ φίλτρον τὸ περὶ τὸν Δεσπότην. «Τὸν Θεόν μου», φησί· ὃν οὐκ ἐτόλμα ἱκετεύειν, τοῦτον Θεὸν αὐτοῦ καλεῖ.

2. «Ἔτι ἐμοῦ λαλοῦντος, καὶ προσευχομένου, καὶ ἐξαγορεύοντος τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Ἰσραήλ, καὶ ρίπτοντος τὸν ἔλεόν μου ἔναντι Κυρίου τοῦ Θεοῦ μου, ἐπὶ τοῦ ὄρους τοῦ ἁγίου τοῦ Θεοῦ μου· καὶ ἔτι ἐμοῦ λαλοῦντος ἐν τῇ προσευχῇ, καὶ ἰδοὺ ἀνὴρ Γαβριήλ, ὃν εἶδον ἐν τῇ ὁράσει ἐν τῇ ἀρχῇ, πετώμενος, καὶ ἥψατό μου ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς. Καὶ συνέτισέ με, καὶ ἐλάλησε μετ' ἐμοῦ, καὶ εἶπεν· Δανιήλ, νῦν ἐξῆλθον, συμβιβάσαι σε σύνεσιν. Ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λόγος· καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ. Καὶ ἐννοήθητι ἐν τῷ ρήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ».

Ὥστε καὶ ὅταν λέγωσιν ἡμῖν οἱ Ἰουδαῖοι· Διὰ τί ἐν τῷ Ἠσαΐᾳ, τοῦ Ὀζίου περὶ τοῦ πολέμου δεδιότος, καὶ τῆς ἐφόδου τῶν δύο βασιλέων, ὁ προφήτης ἐξελθὼν ἔδωκεν αὐτοῖς σημεῖον, μετὰ μυρία ἔτη συμβαῖνον'; ἐροῦμεν καὶ αὐτοὶ πρὸς αὐτούς· Τίνος ἕνεκεν τοῦ Δανιὴλ ἀξιώσαντος ὑπὲρ τῆς ἀνόδου, καὶ ἐπιθυμοῦντος ἀκοῦσαί τι περὶ τούτων, ἐξελθὼν ἄγγελος περὶ μὲν τούτων οὐδὲν ἀπήγγειλε, πράγματα δὲ μα-

7. Δαν. 9, 4. 8. Δαν. 9, 20-23. 9. Ἠσ. κεφ. 7.

νηστεία, Διότι καὶ αὐτὴ ὑπενθύμιζε τὰ γεγονότα τοῦ παραδείσου. Αὐτὴ εἶναι ἡ συνήθεια αὐτῶν, τὸ νὰ ἐπιδιώκουν ἐκεῖνα ποὺ προξενοῦν ταλαιπωρία. Δὲν εἶμαι, λέγει, ἄξιος οὔτε τῆς γῆς, οὔτε τῶν ἐνδυμάτων, οὔτε τῶν φυσικῶν πραγμάτων, ἀλλ' εἶμαι ἄξιος φοβερότερης τιμωρίας, ἐγὼ ποὺ εἶμαι ντυμένος μὲ περσικὰ ἐνδύματα καὶ φορῶ τιάρα περσική. Καὶ τί λέγει; Ἂς δοῦμε τὴν ἐξομολόγησή του. «Καὶ προσευχήθηκα πρὸς τὸν Κύριο τὸ Θεό μου»[7]. Πρόσεχε τὴν ἀγάπη του πρὸς τὸν Κύριο. «Τὸ Θεό μου», λέγει· αὐτὸν ποὺ δὲν τολμοῦσε νὰ τὸν παρακαλέσει, αὐτὸν τὸν ὀνομάζει Θεό του.

2. «Ἐνῶ ἐγὼ συνέχιζα ἀκόμα νὰ ὁμιλῶ πρὸς τὸ Θεό, νὰ προσεύχομαι πρὸς αὐτὸν καὶ νὰ ἐξομολογοῦμαι τὶς ἁμαρτίες μου καὶ τὶς ἁμαρτίες τοῦ λαοῦ μου τοῦ Ἰσραὴλ καὶ ν' ἀπευθύνω τὴν παράκλησή μου πρὸς τὸν Κύριο τὸ Θεό μου γιὰ νὰ δείξει εὐσπλαγχνία γιὰ τὴν ἀπελευθέρωση τοῦ ἁγίου ὄρους του, ἐνῶ λοιπὸν ἐγὼ προσευχόμουν ἀκόμα καὶ μιλοῦσα πρὸς τὸν Κύριο, ξαφνικὰ ἕνας ἄνδρας, ὁ Γαβριήλ, τὸν ὁποῖο εἶδα καὶ κατὰ τὸ προηγούμενο ὄραμά μου, ἦρθε πετώντας πρὸς ἐμένα κατὰ τὴν ὥρα τῆς ἑσπερινῆς θυσίας. Μοῦ μίλησε καὶ μοῦ ἐξήγησε ὁρισμένα πράγματα, λέγοντας· Δανιήλ, ἦρθα νὰ σοῦ δώσω ὁρισμένες ἐξηγήσεις. Στὴν ἀρχὴ τῆς προσευχῆς σου ἔκανες μία παράκληση, καὶ ἐγὼ ἦρθα νὰ σοῦ δώσω ἀπάντηση σ' αὐτήν, διότι εἶσαι ἄνδρας εὐγενικῶν ἐπιθυμιῶν. Πρόσεξε λοιπὸν τὰ λόγια μου, ὥστε νὰ κατανοήσεις τὰ ὅσα εἶδες καὶ ἄκουσες στὸ ὄραμα»[8].

Ὥστε καὶ ὅταν μᾶς λένε οἱ Ἰουδαῖοι, 'Γιατί στὸν Ἠσαΐα, ὅταν ὁ Ὀζίας φοβόταν τὸν πόλεμο καὶ τὴν ἐπίθεση τῶν δύο βασιλέων, ἀφοῦ ὁ προφήτης ἐπισκέφθηκε τὸ βασιλιὰ προεῖπε σ' αὐτὸν θαῦμα, ποὺ συνέβηκε μετὰ ἀπὸ πάρα πολλὰ χρόνια'[9]; θ' ἀπαντήσομε καὶ ἐμεῖς πρὸς αὐτούς· 'Γιὰ ποιὸ λόγο ὅταν ὁ Δανιὴλ ὑπέβαλε παράκληση στὸ Θεὸ γιὰ τὴν ἐπιστροφὴ τοῦ Ἰσραὴλ ἀπὸ τὴν αἰχμαλωσία καὶ ζητοῦσε ν' ἀκούσει κάτι σχετικὰ μὲ αὐτήν, ἀφοῦ παρουσιάσθηκε ὁ ἄγγελος, γι' αὐτὴν μὲν δὲν εἶπε τίποτε, δίδαξε ὅμως πράγματα ποὺ θὰ συνέβαιναν στὸ μέλ-

κροῖς ὕστερον χρόνοις ἐδίδαξεν;' 'Αλλ' ὥσπερ ἐνταῦθα ἐκ περιουσίας τὸ ζητούμενον λύει, οὕτω κἀκεῖ. Πίστις γὰρ μεγίστη τοῦ τὴν πόλιν ἀναστήσεσθαι, τὸ καὶ πάλιν αὐτὴν ἁλώσεσθαι. Τί οὖν; λυπῆσαι τὸν προφήτην βουλόμενος, τοῦτο ποιεῖ; Οὐδαμῶς, ἀλλ' αὐτοὺς φοβερωτέρους ἐργάσασθαι. Καὶ οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ πολλάκις. 'Επειδὴ γὰρ ἡ μέλλουσα ἔσεσθαι εὐπραγία ἱκανὴ φυσῆσαι τὴν ἐκείνων διάνοιαν, οὐ μόνον ἀνορθουμένης τῆς πόλεως, ἀλλὰ καὶ χερσὶ βαρβαρικαῖς οἰκοδομουμένης, βαρβαρικαῖς ἐκείναις ταῖς καθελούσαις αὐτήν.

Τοῦτο γὰρ καὶ ὁ 'Ησαΐας φησί, δεικνὺς τὸ παντοδύναμον καὶ εὔπορον τοῦ Θεοῦ, πῶς ἱκανὸς πάντα καὶ ποιῆσαι καὶ μεταβαλεῖν. 'Επεὶ οὖν ἔμελλεν αὐτοῖς τὰ πάτρια ἀποδοθήσεσθαι, καὶ νίκαι λαμπραὶ καὶ συνεχεῖς, ἃς καὶ οἱ προφῆται ἀναβοῶσιν (οἷον ὁ μὲν 'Ιεζεκιήλ, ὅτι μετὰ ἔτη τὰ ὅπλα αὐτῶν κατακαυθήσεται τῶν μελλόντων ἁλώσεσθαι, οἱ δὲ ἄλλοι τὰ αὐτὰ συνεχῶς ἔλεγον), ἵνα μὴ τούτοις ἐπαρθέντες, χείρους τῶν προτέρων γένωνται, τῷ φόβῳ τῆς προρρήσεως, καὶ τὸ πολλάκις τὰ αὐτὰ εἰπεῖν, καθάπερ αὐτοὺς εἰς ἀνάγκην ἄφυκτον καθιστῶν τοῦ μηδὲ βουλομένους διαφθαρῆναι. Καὶ διὰ τοῦτο καὶ τὸν χρόνον ἄδηλον ἐποίει· ἐπεὶ τίς χρεία ταῦτα ἀπαγγελθῆναι;

Καὶ ὅρα πότε προφητεύεται. Παρ' αὐτὴν τὴν ἄνοδον, ἀκμαζόντων αὐτοῖς καὶ ἀνθούντων τῶν πραγμάτων. Ὥσπερ καὶ ὁ Μωϋσῆς μέλλων αὐτοὺς εἰσάγειν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, παρ' αὐτὴν τῶν ἀγαθῶν τὴν μετάληψιν προφητεύει αὐτοῖς παρόντα τὰ δεινά, λέγων· «Διαμαρτύρομαι ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν», ἀντίρροπον τῇ διὰ τὴν εὐπραγίαν ἀπαθείᾳ τὴν ἀπὸ τῆς ἀπειλῆς τιμωρίαν τιθείς, οὕτω καὶ οὗτος κατέχει αὐτοὺς ἐν φόβῳ. Διὰ τοῦτο καὶ Ζαχαρίας τὸ

---

10. 'Ησ. 49, 17. 11. 'Ιεζ. 39, 9. 12. Δευτ. 4, 26.

λον μετὰ ἀπὸ πολλὰ χρόνια;' 'Αλλ' ὅπως ἀκριβῶς ἐδῶ μὲ ὑπεραφθονία δίνεται ἀπάντηση στὸ ἐρώτημα, ἔτσι καὶ ἐκεῖ. Πίστη δηλαδὴ πάρα πολὺ μεγάλη ὅτι θὰ ἀνοικοδομηθεῖ ἡ πόλη, καὶ ὅτι πάλι αὐτὴ θὰ κυριευθεῖ. Τί λοιπόν; τὸ κάμνει αὐτὸ θέλοντας νὰ στενοχωρήσει τὸν προφήτη; Καθόλου, ἀλλὰ γιὰ νὰ τοὺς κάνει νὰ φοβηθοῦν περισσότερο. Καὶ ὄχι μιὰ φορά, οὔτε δυό, ἀλλὰ πολλὲς φορές. 'Επειδὴ δηλαδὴ ἡ εὐημερία ποὺ ἐπρόκειτο νὰ συμβεῖ στὸ μέλλον ἦταν ἱκανὴ νὰ γεμίσει μὲ ἀλαζονεία τὰ μυαλὰ ἐκείνων, ὄχι μόνο, λέγει, θὰ ἀνοικοδομηθεῖ ἡ πόλη, ἀλλὰ καὶ θὰ γίνει ἡ ἀνοικοδόμησή της μὲ χέρια βαρβαρικά, μὲ τὰ βαρβαρικὰ ἐκεῖνα χέρια ποὺ κατέστρεψαν αὐτήν[10].

Αὐτὸ καὶ ὁ 'Ησαΐας λέγει, γιὰ νὰ δείξει τὴν παντοδυναμία καὶ τὴν εὐκολία τοῦ Θεοῦ, πῶς δηλαδὴ εἶναι ἱκανὸς ὅλα νὰ τὰ κάνει καὶ νὰ τὰ μεταβάλει. 'Επειδὴ λοιπὸν ἐπρόκειτο ν' ἀποδοθοῦν σ' αὐτοὺς τὰ πάτρια, καὶ νὰ συμβοῦν λαμπρὲς νίκες καὶ συνεχεῖς, τὶς ὁποῖες καὶ οἱ προφῆτες διακηρύσσουν (ὅπως, ὁ μὲν 'Ιεζεκιὴλ λέγοντας, ὅτι μετὰ ἀπὸ χρόνια θὰ κατακαοῦν τὰ ὅπλα αὐτῶν ποὺ πρόκειται νὰ τὴν κυριεύσουν[11], οἱ δὲ ἄλλοι ἔλεγαν συνέχεια τὰ ἴδια), γιὰ νὰ μὴ συμβεῖ, κυριευμένοι ἐξ αἰτίας αὐτῶν ἀπὸ ἀλαζονεία, νὰ γίνουν χειρότεροι ἀπὸ τοὺς προηγουμένους, μὲ τὸ φόβο τῆς προρρήσεως καὶ μὲ τὸ νὰ τὰ λέγει πολλὲς φορές, τοὺς ἐξανάγκαζε κατὰ κάποιο τρόπο ἀναπόφευκτο καὶ ἀμετάτρεπτο νὰ μὴ θέλουν νὰ διαφθαροῦν. Καὶ γιὰ τὸ λόγο αὐτὸ δὲν φανέρωνε τὸ χρόνο· διότι ποιὰ ἀνάγκη ὑπῆρχε νὰ ἀποκαλυφθοῦν αὐτά;

Καὶ πρόσεχε πότε προφητεύονται. Ὅταν πολησίαζε ἡ ἐπιστροφή τους στὴν πατρίδα τους, καὶ τὰ πράγματά τους βρισκόταν στὴν ἀκμή τους καὶ ἀνθοῦσαν. Ὅπως ἀκριβῶς καὶ ὁ Μωϋσῆς ὅταν ἐπρόκειτο νὰ ὁδηγήσει αὐτοὺς στὴ γῆ τῆς ἐπαγγελίας προφητεύει ὅτι τὰ δεινὰ βρίσκονται κοντὰ στὴν ἀπόλαυση τῶν ἀγαθῶν, λέγοντας, «'Επικαλοῦμαι ἐνώπιόν σας σὰν μάρτυρα τὸν οὐρανὸ καὶ τὴ γῆ»[12], τοποθετώντας σὰν ἀντίβαρο στὴν ἀδιαφορία τους ἐξ αἰτίας τῆς εὐτυχίας τους, τὴν μέσω τῆς ἀπειλῆς τιμωρία, ἔτσι καὶ αὐτὸς συγκρατεῖ αὐτοὺς μὲ τὸ φόβο.

πλέον ἐν τούτοις διατρίβει, καὶ σαφέστερον τὰ αὐτὰ λέγει. Οὐδὲν γὰρ οὕτως ὡς ἀνθρωπίνη φύσις πρὸς εὐπραγίαν καὶ ἄνεσιν ἄχρηστον.

3. «Ἔτι ἐμοῦ λαλοῦντος», φησί, «ἐν τῇ προσευχῇ, ἦλθεν ὁ ἄγγελος Γαβριήλ», ὁ συνήθης αὐτῷ, «πετώμενος· καὶ κατέσχε με ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς». Ἢ ὥστε μὴ ἔκπληκτον γενέσθαι ἀπὸ τῆς ὄψεως, ἢ ὥστε νοῆσαι τὰ λεγόμενα. Ἐπειδὴ γὰρ οὐκ ἦν αὐτὰ σαφῶς εἰπεῖν διὰ τοὺς λοιπούς, εἰκότως ἅπτεται.

«Καὶ συνέτισέ με», φησί, «καὶ ἐλάλησε μετ' ἐμοῦ, καὶ εἶπεν· Δανιήλ, νῦν ἐξῆλθον συμβιβάσαι σε σύνεσιν. Ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λόγος· καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ. Καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ». Νόησον, φησί, τὰ λεγόμενα. Ὅταν γάρ τις ὑπὲρ ἑτέρων μὲν ἀξιοῖ, ἕτερα δὲ ἀκούῃ, πολλῆς δεῖται τῆς προσευχῆς.

«Καὶ ἐπιτρέψει καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ περίτειχος». Τινὲς τὸ τεῖχος, ὅπερ Ἀγρίππας ἐποίησε, φασίν.

«Καὶ ἐκκενωθήσονται οἱ καιροί. Καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξήκοντα δύο ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ, καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ· καὶ ἐκκοπήσονται ὡς ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς. Καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία». Ὅρα πῶς πληκτικῶς τὰ κακὰ διηγεῖται. «Ἢ καὶ ἥμισυ τῆς ἑβδομάδος, καταπαύσει θυμίαμα, καὶ θυσία, καὶ σπονδή· καὶ ἐπὶ τὸ ἱερὸν βδέ-

---

13. Δαν. 9, 21.
14. Δαν. 9, 22-23.
15. Δαν. 9, 25.
16. Δαν. 9, 25-26.

Γι' αὐτὸ καὶ ὁ Ζαχαρίας ὡς ἐπὶ τὸ πλεῖστο σ' αὐτὰ ἐπιμένει, καὶ σαφέστερα λέγει αὐτά. Διότι τίποτε ἄλλο δὲν κάνει τόση κακὴ χρήση τῆς εὐημερίας καὶ τῆς ἀνέσεως, ὅσο ἡ ἀνθρώπινη φύση.

·3. «Ἐνῶ», λέγει, «μιλοῦσα στὴν προσευχή μου μὲ τὸν Κύριο παρουσιάσθηκε ὁ ἄγγελος Γαβριήλ», ποὺ ἦταν γνωστὸς σ' αὐτόν, «καὶ πετώντας μὲ πλησίασε κατὰ τὴν ὥρα τῆς ἑσπερινῆς θυσίας»[13]. Ἢ γιὰ νὰ μὴ κυριευθεῖ ἀπὸ ἔκπληξη ἐξ αἰτίας αὐτοῦ ποῦ ἔβλεπε, ἢ γιὰ νὰ κατανοήσει τὰ λεγόμενα. Ἐπειδὴ δηλαδὴ δὲν ἦταν δυνατὸ αὐτὰ νὰ λεχθοῦν ὁλοφάνερα ἐξ αἰτίας τῶν ἄλλων, γι' αὐτὸ πολὺ σωστὰ πλησιάζει ὁ ἄγγελος αὐτόν.

«Καὶ μοῦ ἐξήγησε», λέγει, «καὶ μίλησε μαζί μου καὶ μοῦ εἶπε· Δανιήλ, ἦρθα γιὰ νὰ σοῦ ἐξηγήσω καὶ νὰ κατανοήσεις ὁρισμένα πράγματα. Στὴν ἀρχὴ τῆς προσευχῆς σου ἔκανες μία παράκληση, καὶ ἐγὼ ἦρθα νὰ σοῦ δώσω ἀπάντηση καὶ νὰ σοῦ πῶ, ὅτι εἶσαι ἄνδρας μὲ εὐγενικὲς ἐπιθυμίες. Πρόσεξε τὰ λόγια μου, ὥστε νὰ κατανοήσεις τὰ ὅσα εἶδες καὶ ἄκουσες στὸ ὅραμα»[14]. Κατανόησε, λέγει, τὰ λεγόμενα. Διότι ὅταν κάποιος παρακαλεῖ γιὰ ἄλλα, ἀκούει δὲ ἄλλα, ἔχει ἀνάγκη ἀπὸ πολλὴ προσευχή.

«Καὶ θὰ ἐπιστρέψουν οἱ Ἰουδαῖοι καὶ θὰ ἀνοικοδομηθεῖ ἡ πλατεία καὶ τὸ τεῖχος τῆς πόλεως»[15]. Μερικοὶ λένε, ὅτι πρόκειται γιὰ τὸ τεῖχος ποὺ ἔχτισε ὁ Ἀγρίππας.

«Καὶ ἔτσι θὰ πραγματοποιηθοῦν οἱ πρῶτοι καιροί. Μετὰ δὲ τὸ πέρασμα τῶν ἑξήντα δύο ἑβδομάδων θὰ ἐξολοθρευθεῖ ὁ βασιλιὰς αὐτῆς χωρὶς νὰ ὑπάρχει κάποια αἰτία δικαιολογημένη καὶ θὰ καταστραφεῖ ἡ πόλη μὲ τὸ ναό της καὶ οἱ ἄρχοντες αὐτῆς. Οἱ κάτοικοί της θὰ περιέλθουν σὲ φοβερὲς συμφορὲς καὶ νέος πόλεμος ἐναντίον της θὰ προξενήσει, μέχρι ποὺ νὰ τελειώσει, ἀμέτρητες καταστροφὲς καὶ ἀφανισμούς. Καὶ κατὰ τὴ διάρκεια μιᾶς ἑβδομαδιαίας χρονικῆς περιόδου θὰ συνάψει ὁ Κύριος μὲ τοὺς πολλοὺς μιὰ νέα συμφωνία»[16]. Πρόσεχε πῶς διηγεῖται τὰ κακὰ μὲ τρόπο ποὺ πληγώνει θανάσιμα. «Κατὰ τὰ μέσα δὲ τῆς ἑβδομάδας αὐτῆς θὰ τερματισθεῖ ἡ προσφορὰ θυμιάματος, θυσιῶν καὶ σπουδῶν καὶ στὸ ναὸ θὰ στηθεῖ τὸ βδέ-

λυγμα τῆς ἐρημώσεως, καὶ ἕως συντελείας καιροῦ συντελεσθήσεται ἐπὶ τὴν ἐρήμωσιν».

Ὅρα πῶς ἐν τοῖς λυπηροῖς τὸν λόγον κατέπαυσε, καὶ τὰ μὲν χρηστὰ ἀσαφῶς εἶπεν (τοῦτο γάρ ἐστι· «Δυναμώσει πολλοῖς διαθήκην ἑβδομὰς μία»)· τὰ δὲ λυπηρά, συνεχῶς καὶ πολλάκις. «Καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως, τουτέστι, τὸ Ἀδριανοῦ. Ταῦτα σαφέστερον ὁ Ζαχαρίας λέγει· λέγει δὲ ἐκεῖνος καὶ τὰ χρηστὰ διὰ τοὺς ἐναπομείναντας. Τάχα καὶ μετὰ Αἴγυπτον τοσαῦτα ἔτη ἐποίησε, καὶ οὐ διεφθάρησαν· νῦν δὲ οὐκέτι προσδοκᾷς ταῦτα. Ὅρα καὶ τὰ ἄλλα. Οὐκ ἐπιβαίνει Ἰουδαῖος καθάπερ καὶ πρότερον τῆς πόλεως. Τίς δὲ ὅλως περὶ ἐπανόδου εἶπεν; Οὐδείς.

---

17. Δαν. 9, 27.

λυγμα τῆς ἐρημώσεως, ἡ δὲ ἐρήμωση αὐτὴ καὶ καταστροφὴ θὰ τερματισθεῖ ὅταν ὁλοκληρωθεῖ ὁ καθορισμένος χρόνος»[17].

Πρόσεχε πῶς τελείωσε τὸ λόγο μὲ τὰ δυσάρεστα, καὶ τὰ μὲν καλὰ καὶ ἀγαθὰ τὰ εἶπε μὲ ἀσάφεια (διότι αὐτὸ σημαίνει τὸ «Κατὰ τὴ διάρκεια μιᾶς ἑβδομαδιαίας χρονικῆς περιόδου θὰ συνάψει ὁ Κύριος μὲ τοὺς πολλοὺς μιὰ νέα διαθήκη»), τὰ δὲ λυπηρὰ τὰ ἐπαναλαμβάνει συνέχεια καὶ πολλὲς φορές. «Καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως», δηλαδὴ τὸ ἄγαλμα τοῦ 'Αδριανοῦ. Αὐτὰ σαβέστερα τὰ λέγει ὁ Ζαχαρίας, ὁ ὁποῖος λέγει καὶ τὰ καλὰ γιὰ ἐκείνους ποὺ ἀπέμειναν. Βέβαια καὶ μετὰ τὴν ἔξοδο ἀπὸ τὴν Αἴγυπτο τόσα χρόνια τοὺς ἄφησε νὰ ταλαιπωροῦνται καὶ δὲν καταστράφηκαν, τώρα ὅμως μὴ περιμένεις πλέον ὅλα αὐτά. Πρόσεχε καὶ τὰ ἄλλα. Δὲν ἐπιστρέφει ὁ 'Ιουδαῖος στὴν πόλη ὅπως καὶ προηγουμένως. Ποιὸς δὲ μίλησε γενικὰ γιὰ τὴν ἐπιστροφή; Κανένας.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

«Ἐν ἔτει τρίτῳ τοῦ βασιλέως Περσῶν Κύρου λόγος ἀπεκαλύφθη τῷ Δανιήλ, οὗ τὸ ὄνομα ἐπεκλήθη Βαλτάσαρ. Καὶ ἀληθινὸς ὁ λόγος· καὶ δύναμις μεγάλη καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν τῇ ὀπτασίᾳ. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας. Ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέα καὶ οἶνος οὐκ εἰσῆλθον εἰς τὸ στόμα μου, καὶ ἄλειμμα οὐκ ἠλειψάμην ἕως τριῶν ἑβδομάδων ἡμερῶν».

1. Τίνος ἕνεκεν πάλιν πενθεῖ; Εἰ γὰρ τὸ πρῶτον ἔτος Κύρου ἀνέβη, τίνος ἕνεκεν πενθεῖ; καὶ πάσας ἡμέρας, εἰκὸς μίαν; Πάλιν οὐδὲν ἀκούει, ὑπὲρ ὧν εὔχεται. Ἐμοὶ δοκεῖ, ὅτι εὔχεται ὥστε λυθῆναι τὰ δεινὰ ταῦτα. Ἀλλ' οὐδὲν τοιοῦτον ὁ Θεός· καὶ λέγει σαφέστερον αὐτό. Μᾶλλον δὲ ὥστε πάντας ἀνελθεῖν εὔχεται. Εἰ καὶ μεγάλα τὰ δεινά, καὶ ἐβούλετο ἀποβαλεῖν τὴν πατρίδα. Οὕτως δὲ σαφέστερον αὐτὸ λέγει, καὶ ἀκριβέστερον. Ὅρα δὴ πανταχοῦ τὸν Δανιὴλ οὐχ ἁπλῶς ἐπιτυγχάνοντα τῶν ὄψεων, ἀλλὰ μετὰ νηστειῶν. Ὅτε ἔδει τὸ ὄναρ μαθεῖν, νηστεία προηγήσατο. Ὅτε Γαβριὴλ ἐφάνη, νηστεία πάλιν καὶ σποδὸς καὶ σάκκος. Ὅτε οὗτος φαίνεται, καὶ νηστεία καὶ εὐχή. Ἀλλ' ὅρα καὶ τοῦτον ἀπολογούμενον αὐτῷ σχεδόν.

---

1. Δαν. 10, 1-3.

ΚΕΦΑΛΑΙΟ Ι·.

«Κατὰ τὸ τρίτο ἔτος τῆς βασιλείας τοῦ Κύρου, βασιλιᾶ τῶν Περσῶν, φανερώθηκε προφητικὸς λόγος στὸ Δανιήλ, ὁ ὁποῖος ἐπονομάσθηκε Βαλτάσαρ· ὁ λόγος αὐτὸς ἦταν ἀληθινὸς καὶ μεγάλη ἡ δύναμή του, στὸν δὲ Δανιὴλ δόθηκε σύνεση, ὥστε νὰ μπορέσει νὰ κατανοήσει τὸ ὅραμα ἐκεῖνο. Κατὰ τὶς ἡμέρες ἐκεῖνες ἐγὼ ὁ Δανιὴλ πενθοῦσα τρεῖς ἑβδομάδες. Ψωμί, ποὺ τόσο ἐπιθυμοῦσα, δὲν ἔφαγα, κρέας δὲ καὶ κρασὶ δὲν μπῆκε στὸ στόμα μου, καὶ τρεῖς ὁλόκληρες ἑβδομάδες δὲν ἀλείφθηκα μὲ μύρα»[1].

1. Γιὰ ποιὸ λόγο πάλι πενθεῖ; Διότι, ἐὰν τὸ πρῶτο ἔτος τῆς βασιλείας τοῦ Κύρου ἀνέβηκε στὰ βασιλικὰ ἀξιώματα γιὰ ποιὸ λόγο πενθεῖ; καὶ ὅλες τῆς ἡμέρες ποὺ φαίνονται σὰν μία; Καὶ πάλι τίποτε δὲν ἀκούει ἀπὸ ἐκεῖνα γιὰ τὰ ὁποῖα προσεύχεται. Ἐμένα μοῦ φαίνεται, ὅτι προσεύχεται νὰ τελειώσουν αὐτὲς οἱ συμφορές. Ἀλλ' ὅμως τίποτε παρόμοιο δὲν κάμνει ὁ Θεός, καὶ λέγει σαφέστερα αὐτό. Μᾶλλον ὅμως προσεύχεται γιὰ νὰ ἐπιστρέψουν ὅλοι στὴν πατρίδα τους. Ἂν καὶ ἦταν μεγάλα τὰ δεινὰ καὶ ἤθελε νὰ χάσει τὴν πατρίδα του. Ἔτσι λοιπὸν λέγει αὐτὸ μὲ πιὸ μεγάλη σαφήνεια καὶ ἀκρίβεια. Πρόσεχε τὸν Δανιὴλ ποὺ παντοῦ κατορθώνει νὰ δεῖ τὰ ὁράματα ὄχι ἔτσι στὴν τύχη, ἀλλὰ μετὰ ἀπὸ νηστεῖες. Ὅταν ἔπρεπε νὰ ἐξηγήσει τὸ ὄνειρο, προηγήθηκε νηστεία. Ὅταν φανερώθηκε ὁ Γαβριήλ, προηγήθηκε πάλι νηστεία, φόρεσε σάκκο, καὶ κάθισε ἐπάνω σὲ στάχτη. Ὅταν φανερώνεται αὐτὸς ὁ ἄνδρας, προηγεῖται καὶ νηστεία καὶ προσευχή. Ἀλλὰ πρόσεχε καὶ αὐτὸν ποὺ σχεδὸν ἀπολογεῖται πρὸς αὐτόν.

«Καὶ ἐν ἡμέρᾳ εἰκοστῇ καὶ τετάρτῃ τοῦ μηνὸς τοῦ πρώτου, ἐγὼ ἤμην ἐχόμενος τοῦ ποταμοῦ τοῦ μεγάλου, οὗτός ἐστι Τίγρις. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον· καὶ ἰδοὺ ἀνὴρ ἐνδεδυμένος βαδίμ, καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμένη χρυσίῳ Ὀφάζ, καὶ τὸ σῶμα αὐτοῦ ὡσεὶ Θαρσεῖς, καὶ τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρός, καὶ οἱ βραχίονες αὐτοῦ καὶ τὰ σκέλη ὡς ὅρασις χαλκοῦ στίλβοντος, καὶ ἡ φωνὴ τῶν λόγων αὐτοῦ ὡς φωνὴ ὄχλου. Καὶ εἶδον ἐγὼ Δανιὴλ μόνος τὴν ὀπτασίαν, καὶ οἱ ἄνδρες οἱ μετ' ἐμοῦ οὐκ εἶδον τὴν ὀπτασίαν, ἀλλ' ἡ ἔκστασις μεγάλη ἐπέπεσεν ἐπ' αὐτούς, καὶ ἔφυγον ἐν φόβῳ. Καὶ ἐγὼ ἀπελείφθην μόνος, καὶ εἶδον τὴν ὀπτασίαν τὴν μεγάλην ταύτην, καὶ οὐχ ὑπελείφθη ἐν ἐμοὶ ἰσχύς, καὶ ἡ δόξα μου μετεστράφθη εἰς διαφθοράν, καὶ οὐκ ἐκράτησα ἰσχύος. Καὶ ἤκουσα τὴν φωνὴν τῶν λόγων αὐτοῦ· καὶ ἐν τῷ ἀκοῦσαί με ἤμην κατανενυγμένος ἐπὶ πρόσωπόν μου, καὶ τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν. Καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου, καὶ ἤγειρέ με ἐπὶ τὰ γόνατά μου, καὶ ἐπὶ τὰ ἴχνη τῶν ποδῶν μου. Καὶ εἶπε πρός με· Δανιήλ, ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις, οἷς ἐγὼ λαλῶ πρὸς σέ, καὶ στῆθι ἐν τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην ἐγὼ πρὸς σέ. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν πρός με τὸν λόγον τοῦτον, ἀνέστην ἔντρομος. Καὶ εἶπε πρός με· Μὴ φοβοῦ, Δανιήλ, ὅτι ἀπὸ τῆς ἡμέρας τῆς πρώτης, ἧς ἔδωκας τὴν καρδίαν σου τοῦ συνεῖναι καὶ κακωθῆναι ἔναντι Κυρίου τοῦ Θεοῦ σου, ἠκούσθησαν οἱ λόγοι σου, καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις σου».

Ὁρᾷς, ὅπερ ἔφην, καὶ τοῦτον ἀπολογούμενον αὐτῷ σχεδόν; «Ἀπὸ πρώτης ἡμέρας», φησίν, ἀπεστάλην». Τίνος οὖν ἕνεκεν ἐβράδυνας; «Καὶ ὁ ἄρχων βασιλείας Περσῶν εἱστήκει ἐξ ἐναντίας μου εἴκοσι καὶ μίαν ἡμέραν. Ἤκουσας ὅτι ἔθηκε ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων αὐτοῦ;». Καὶ ἕκαστον ἔθνος ἔχει τὸν ἐφεστῶτα, καὶ βούλεται αὐτὸς εἶναι

«Κατὰ τὴν εἰκοστὴ τέταρτη ἡμέρα τοῦ πρώτου μήνα καὶ ἐνῶ ἐγὼ βρισκόμουν κοντὰ στὸν μεγάλο ποταμό, ποὺ ὀνομάζεται Τίγρις, σήκωσα τὰ μάτια μου καὶ νά, εἶδα ἕναν ἄνδρα, ποὺ φοροῦσε ἔνδυμα ἀπὸ λινὸ καὶ εἶχε ζωσμένη τὴ μέση του μὲ ζώνη στολισμένη μὲ χρυσὸ 'Οφάζ. Τὸ σῶμα του φαινόταν σὰν τὸν πολύτιμο λίθο θαρσίς, τὸ πρόσωπό του ἔλαμπε σὰν ἀστραπή, τὰ μάτια του ἔλαμπαν σὰν λαμπάδες πυρός, οἱ βραχίονές του καὶ τὰ σκέλη του ἔμοιαζαν καὶ ἄστραφταν σὰν τὸ χαλκό, τὰ δὲ λόγια ποὺ ἔλεγε ἦταν σὰν λόγια πολυάριθμων ἀνθρώπων. Μόνος ἐγὼ ὁ Δανιὴλ εἶδα αὐτὸ τὸ ὅραμα, ἐνῶ οἱ ἄνδρες ποὺ ἦταν μαζί μου δὲν εἶδαν τὸ ὅραμα, ἀλλὰ κυριεύθηκαν ἀπὸ κατάπληξη καὶ ἔφυγαν καταφοβισμένοι. 'Απέμεινα τότε ἐγὼ μόνος καὶ εἶδα τὸ μεγάλο αὐτὸ ὅραμα, ἐξ αἰτίας τοῦ ὁποίου δὲν ἀπέμεινε σὲ μένα καμιὰ δύναμη, τὸ πρόσωπό μου ἀλλοιώθηκε καὶ δὲν εἶχα τὴ δύναμη νὰ σταθῶ ὄρθιος. Ἄκουσα τότε τὴ φωνὴ τῶν λόγων του, καὶ μόλις τὴν ἄκουσα κυριεύθηκα ἀπὸ φόβο καὶ ἔπεσα μὲ τὸ πρόσωπο στραμμένο πρὸς τὴ γῆ. Καὶ νά, ἕνα χέρι μὲ ἔπιασε καὶ μὲ σήκωσε στὰ γόνατά μου καὶ μὲ ἔβαλε νὰ σταθῶ στὰ πόδια μου. Καὶ μοῦ εἶπε· Δανιήλ, ποὺ εἶσαι ἄνθρωπος μὲ εὐγενικὲς ἐπιθυμίες, δῶσε μεγάλη προσοχὴ στὰ λόγια μου γιὰ νὰ τὰ κατανοήσεις, στάσου ὄρθιος, διότι ἔχω σταλεῖ πρὸς ἐσένα ἀπὸ τὸ Θεό. Στὸ ἄκουσμα τῶν λόγων αὐτῶν σηκώθηκα ὄρθιος ἀλλὰ γεμάτος ἀπὸ τρόμο. Καὶ μοῦ εἶπε· Μὴ φοβᾶσαι, Δανιήλ, διότι ἀπὸ τὴν πρώτη ἡμέρα ποὺ ζήτησε ἡ καρδιά σου νὰ γνωρίσει τὴν ἀλήθεια καὶ δέχθηκε νὰ ὑποστεῖ ὅλες αὐτὲς τὶς ταλαιπωρίες ἐνώπιον τοῦ Κυρίου τοῦ Θεοῦ σου, εἰσακούσθηκαν τὰ λόγια τῆς παρακλήσεώς σου καὶ ἐγὼ ἦρθα νὰ δώσω ἀπάντηση στὰ λόγια σου»[2].

Βλέπεις, ὅπως προανέφερα, ποὺ καὶ αὐτὸς ἀπολογεῖται σχεδὸν πρὸς αὐτόν;. «'Απὸ τὴν πρώτη ἡμέρα», λέγει, «στάλθηκα». Καὶ γιὰ ποιὸ λοιπὸν λόγο ἄργησες νὰ ρθεῖς; «Καὶ ὁ ἄρχοντας τῆς βασιλείας τῶν Περσῶν στεκόταν ἀπέναντί μου εἴκοσι μία ἡμέρες. Ἄκουσες ὅτι τοποθέτησε σύνορα σύμφωνα μὲ τὸν ἀριθμὸ τῶν ἀγγέλων του;»[3] Κάθε ἔθνος ἔχει τὸν προστάτη ἀρ-

2. Δαν. 10, 4-12.

3. Δευτ. 32, 8.

δυνατώτερος. «Καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν τῇ ὀπτασίᾳ». Οὐ γὰρ ἤρκει τὰ ρήματα διδάξαι τὰ λεγόμενα. Ὁρᾷς ἑτέρως παιδευομένους τοὺς προφήτας; «Καὶ δύναμις μεγάλη» τῆς ὄψεως. Ὄντως γὰρ μεγάλη, τὸ τοὺς ἠσθενηκότας ἐκείνου τοῦ τοσαῦτα περιγενομένου περιγενέσθαι Ἀντιόχου. «Καὶ ἀληθινὸς ὁ λόγος». Ἐπειδή τινες ἔμελλον ἀπιστεῖν. «Οὗ τὸ ὄνομα Βαλτάσαρ». Ἀναμιμνήσκει σε τῶν πρώτων, ἵνα ἀξιόπιστος φανῇ. Ἰδοὺ καὶ τὸ πάσχα ἔλυσεν. Εἰ γὰρ ἐν τῷ πρώτῳ μηνὶ τὸ πάσχα γίνεται, οὗτος δὲ μέχρι τῆς τετάρτης εἰκάδος τοῦ μηνὸς ἐνήστευσεν. Ἐμπίπτει δὲ εἰς τὴν τεσσαρεσκαιδεκάτην, ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης ἐπὶ τὴν πρώτην εἰκάδα, καὶ ἑτέρας δύο ἡμέρας. Ὅρα τὰ νόμιμα ἤδη καταλυόμενα. Οὐκ ἐνέτρεψέ σε ὁ φόβος, ὦ Δανιήλ; Οὐχί, φησί. Ὅρα ποῦ τὴν ὀπτασίαν βλέπει· ἐπὶ τῆς ἐρήμου, καθάπερ καὶ Μωϋσῆς. Αἱ γὰρ πόλεις θορύβων γέμουσι, καὶ ταραχῆς. Οὕτω καὶ ὁ Χριστὸς ἐπὶ τοῦ ὄρους μεταμορφοῦται.

2. «Καὶ ἰδοὺ Μιχαήλ, εἷς τῶν ἀρχόντων πρώτων, ἦλθε βοηθῆσαί μοι, καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βασιλέως Περσῶν. Καὶ ἦλθον συνετίσαι σε ὅσα ἀπαντήσεται τῷ λαῷ σου ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὅτι ἰδοὺ ἡ ὅρασις εἰς ἡμέρας. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ πάντας τοὺς λόγους τούτους, ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ κατενύγην. Καὶ ἰδοὺ ὡς ὁμοίωμα υἱοῦ ἀνθρώπου ἥψατο τῶν χειλέων μου. Καὶ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα, καὶ εἶπον πρὸς τὸν ἑστῶτα ἐναντίον μου· Κύριε, ἐν τῇ ὁράσει σου ἐστράφη τὰ ἐντός μου ἐν ἐμοί, καὶ ἰδοὺ οὐκ ἔχω ἰσχύν. Καὶ πῶς δυνήσεται ὁ παῖς σου, Κύριε, λαλῆσαι μετὰ τοῦ Κυρίου μου τούτου; Καὶ ἐγώ, ἀπὸ τοῦ νῦν οὐ στήσεται ἐν ἐμοὶ ἰσχύς,

---

4. Δαν. 10, 1.
5. Τὸ Πάσχα τῶν Ἑβραίων ἑορταζόταν τὴν 14η τοῦ ἑβραϊκοῦ μηνὸς Νισσάν.

χηγό του καὶ θέλει αὐτὸς νὰ εἶναι δυνατότερος. «Καὶ δόθηκε σύνεση σ' αὐτὸν γιὰ νὰ κατανοήσει τὸ ὅραμα»[4]. Δὲν ἐπαρκοῦσαν δηλαδὴ τὰ λόγια νὰ καταστήσουν κατανοητὰ τὰ λεγόμενα. Βλέπεις τοὺς προφῆτες ποὺ διδάσκονται μὲ διαφορετικὸ τρόπο; «Καὶ ἦταν μεγάλη ἡ δύναμη» τοῦ προφητικοῦ λόγου τοῦ δράματος. Πράγματι λοιπὸν ἦταν μεγάλη, ἀφοῦ οἱ ἀνίσχυροι κατόρθωσαν νὰ ὑπερισχύσουν τοῦ Ἀντιόχου ἐκείνου, ποὺ ἡ ὑπεροχή του ὑπῆρξε τόσο μεγάλη. «Καὶ εἶναι ἀληθινὸς ὁ λόγος». Λέγεται ἐπειδὴ μερικοὶ ἐπρόκειτο νὰ δείξουν ἀπιστία. «Στὸν ὁποῖο δόθηκε τὸ ὄνομα Βαλτάσαρ». Σοῦ ὑπενθυμίζει τὰ προηγούμενα, γιὰ νὰ φανεῖ ἀξιόπιστος. Νά, καὶ τὸ πάσχα τὸ κατέλυσε. Διότι, ἐὰν τὸ πάσχα ἑορτάζεται κατὰ τὸν πρῶτο μῆνα[5], αὐτὸς δὲ νήστεψε μέχρι τὴν τέταρτη ἑξάδα τοῦ μηνός. Ἐμπίπτει δὲ στὴν δέκατη τέταρτη ἡμέρα, ἀφοῦ στὴ δέκατη τέταρτη ἡμέρα προστεθεῖ ἡ πρώτη ἑπόμενη ἑξάδα ἡμερῶν καὶ ἐπιπλέον ἄλλες δύο ἡμέρες. Πρόσεχε τὰ νόμιμα ποὺ ἤδη καταλύονται. Δὲν σὲ ἄλλαξε ὁ φόβος, Δανιήλ; Ὄχι, λέγει. Πρόσεχε ποῦ βλέπει τὸ ὅραμα· στὴν ἔρημο, ὅπως ἀκριβῶς καὶ ὁ Μωϋσῆς. Διότι οἱ πόλεις εἶναι γεμάτες ἀπὸ θορύβους καὶ ταραχή. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ Χριστὸς μεταμορφώνεται ἐπάνω στὸ ὄρος.

2. «Καὶ νὰ ὁ Μιχαήλ, ἕνας ἀπὸ τοὺς πρώτους ἄρχοντες τοῦ οὐρανοῦ, ἦρθε γιὰ νὰ μὲ βοηθήσει, καὶ αὐτὸν ἄφησα ἐκεῖ ν' ἀντιμετωπίσει τὸν ἄρχοντα τοῦ βασιλείου τῶν Περσῶν. Ἦρθα νὰ σοῦ ἐξηγήσω τί θὰ συμβοῦν στὸ λαό σου κατὰ τὶς τελευταῖες ἡμέρες, διότι αὐτὸ τὸ ὅραμα ἀναφέρεται σ' αὐτὲς τὶς ἡμέρες. Μόλις αὐτὸς μοῦ εἶπε τὰ λόγια αὐτὰ γύρισα τὸ πρόσωπό μου πρὸς τὴ γῆ καὶ κυριεύθηκα ἀπὸ βαθειὰ συγκίνηση. Καὶ νά, κάποιος, ποὺ ἔμοιαζε μὲ ἄνθρωπο, ἄγγισε τὰ χείλη μου. Ἄνοιξα τότε τὸ στόμα μου καὶ εἶπα πρὸς αὐτὸν ποὺ στεκόταν ἀπέναντί μου· Κύριε, μόλις σὲ εἶδα συγκλονίστηκε τὸ ἐσωτερικό μου καὶ δὲν μ' ἀπέμεινε πλέον δύναμη. Καὶ πῶς θὰ μπορέσω ἐγὼ ὁ δοῦλος σου, Κύριε, νὰ μιλήσω μὲ σένα τὸν Κύριό μου; Διότι ἀπ' αὐτὴ τὴ στιγμὴ δὲν ἀπέμεινε μέσα μου δύναμη, καὶ αὐτὴ ἡ ανα-

καὶ πνοὴ οὐχ ὑπελείφθη ἐν ἐμοί'. Καὶ προσέθετο, καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου, καὶ ἐνίσχυσέ με, καὶ εἶπέ μοι· 'Μὴ φοβοῦ, ἀνὴρ ἐπιθυμιῶν, εἰρήνη σοι, ἀνδρίζου, καὶ ἴσχυε'. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ, ἐνίσχυσα, καὶ εἶπον· 'Λαλήτω ὁ Κύριός μου, ὅτι ἐνίσχυσάς με'. Καὶ εἶπεν· 'Εἰ οἶδας τί ἦλθον πρὸς σέ; Καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ τοῦ ἄρχοντος Περσῶν'. Καὶ ἐγὼ ἐξεπορευόμην, καὶ ὁ ἄρχων τῶν Ἑλλήνων ἤρχετο. Ἀλλ' ἢ ἀναγγελῶ σοι τὸ τεταγμένον ἐν γραφῇ ἀληθείας· καὶ οὐκ ἔστιν εἷς ἀντεχόμενος μετ' ἐμοῦ περὶ τούτων, ἀλλ' ἢ Μιχαὴλ ὁ ἄρχων ὑμῶν».

«Καὶ ἰδοὺ ἀνὴρ ἐνδεδυμένος στολήν». Ἴσως ἱερατικήν. «Ἡ ὄψις αὐτοῦ ὡς ἀστραπὴ ἦν πυρὸς ἀπὸ ὀφθαλμῶν αὐτοῦ». Πῶς ἐν ἀστραπῇ ἐκείνοις ἔφαινε; τίνος ἕνεκεν οὕτω φαίνεται ὁ ἄγγελος οὗτος; ἆρ' ἵνα ἐκπλήξῃ τὸν δῆμον; Καὶ τί τὸ κέρδος; Ἵνα πείσῃ μηκέτι πενθεῖν τὸ πολλάκις ταῦτα λέγεσθαι· μαρτυρῶν μαρτυρεῖ δυνάμει τῶν ἐσομένων· ἢ ἵνα πιστώσηται αὐτόν. «Καὶ ἡ φωνὴ μεγάλη». Ὥστε καὶ τούτῳ καταπλήξασθαι. Ἐξίσταται, καὶ πάλιν ὁμιλοῦντος ἐξίσταται, συγχωροῦντος ἴσως, οὐκ ἀδυνατοῦντος· ἐπεὶ πρότερον εἶπεν· «Ἀνδρίζου». Καὶ ἔστη. Εἶδες τί ἐστιν ὄψις ἀγγέλου; Μὴ νομίσῃς χαλκὸν εἶναι τὸ ὁρώμενον, μηδὲ χρυσίον. Τίς γὰρ ἂν ἐνέγκοι τούτων τὴν ὄψιν; Πανταχοῦ γὰρ τὸ φῶς κεῖται. Ἐπεὶ τοίνυν ἀπεστάλην, προσημαίνω τοῦτο μόνον, φησί, μὴ διαφθείρῃς τὴν χάριν.

3. «Ἠκούσθησαν οἱ λόγοι σου, καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις σου». Τί γὰρ παρεκάλει, καὶ τί ἐδεῖτο; Καὶ μὴν οὐχὶ

---

6. Δαν. 10, 13-21.
7. Δαν. 10, 5.
8. Δαν. 10, 6.
9. Δαν. 10, 19.
10. Δαν. 10, 12.

πνοή μου ἀκόμα μοῦ κόπηκε. Μὲ πλησίασε τότε καὶ μὲ ἄγγισε ἐκεῖνος ποὺ ἔμοιαζε μὲ ἄνθρωπο, μὲ ἐνίσχυσε καὶ μοῦ εἶπε· 'Μὴ φοβᾶσαι, ἄνθρωπε μὲ τὶς εὐγενικὲς ἐπιθυμίες· ἂς ὑπάρχει εἰρήνη μαζί σου, πάρε θάρρος καὶ δύναμη'. Μόλις ἐκεῖνος μοῦ εἶπε αὐτὰ πῆρα θάρρος καὶ δύναμη καὶ εἶπα· '"Ας μιλήσει ὁ Κύριός μου, διότι μοῦ ἔδωσες δύναμη'. Καὶ εἶπε· '"Αραγε γνωρίζεις μὲ ποιὸ σκοπὸ ἦρθα πρὸς ἐσένα; Τώρα ἐγὼ θὰ ἐπιστρέψω γιὰ νὰ πολεμήσω μὲ τὸν ἄρχοντα τῶν Περσῶν'. Ἐνῶ ἐγὼ ἔφευγα, ἐρχόταν ὁ ἄγγελος ὁ ἄρχοντας τῶν Ἑλλήνων. Σκοπὸς τοῦ ἐρχομοῦ μου εἶναι νὰ σοῦ ἀναγγείλω αὐτὸ ποὺ εἶναι γραμμένο στὸ βιβλίο τῆς ἀληθείας. Δὲν ὑπάρχει κανένας ἄλλος νὰ μὲ βοηθήσει σ' αὐτὰ τὰ πράγματα, παρὰ μόνο ὁ ἄρχοντάς σας ὁ Μιχαήλ»[6].

«Καὶ νὰ ἕνας ἄνδρας ποὺ φοροῦσε στολή»[7]. Ἴσως ἱερατική. «Τὸ πρόσωπό του ἄστραφτε μπροστὰ στὰ μάτια του σὰν τὴ λάμψη τῆς φωτιᾶς». Πῶς σ' ἐκείνους φαινόταν σὰν ἀστραπή; γιὰ ποιὸ λόγο ὁ ἄγγελος αὐτὸς φαίνεται τώρα ἔτσι; ἄραγε γιὰ νὰ προξενήσει ἔκπληξη στὸ λαό; Καὶ ποιὸ τὸ κέρδος; Γιὰ νὰ πείσει αὐτὸν νὰ μὴ στενοχωρεῖται μὲ τὸ ὅτι λέγονται αὐτὰ πολλὲς φορές. Μὲ τὶς μαρτυρίες του αὐτὲς ἐπιβεβαιώνει τὴ δυνατότητα ἐκείνων ποὺ θὰ συμβοῦν. Ἢ γιὰ νὰ κάνει αὐτὸν νὰ πιστέψει. «Καὶ ἡ φωνὴ ἦταν μεγάλη»[8]. Ὥστε καὶ μὲ τὸν τρόπο αὐτὸ νὰ τὸν καταπλήξει. Ἐκπλίσσεται μ' αὐτό, καὶ πάλι ὅταν ὁμιλεῖ ἐκπλίσσεται, ἐνισχύοντάς τον ὁπωσδήποτε μὲ αὐτὸ καὶ ὄχι ἀποθαρρύνοντάς τον· διότι προηγουμένως εἶπε· «Πάρε θάρρος καὶ δύναμη»[9]. Καὶ ἔμεινε κατάπληκτος. Εἶδες τί εἶναι ἐμφάνιση ἀγγέλου; Μὴ νομίσεις ὅτι αὐτὸ ποὺ βλέπεις ὅτι εἶναι ἀπὸ χαλκὸ ἢ ἀπὸ χρυσό. Ποιὸς θὰ μποροῦσε νὰ ὑποφέρει τὴν ὄψη αὐτῶν. Διότι παντοῦ ἁπλώνεται τὸ φῶς ποὺ πηγάζει ἀπ' αὐτούς. Ἐπειδὴ λοιπὸν ἔχω σταλεῖ ἀπὸ τὸ Θεό, προλέγω αὐτὸ μόνο, λέγει, γιὰ τὸ ὁποῖο στάλθηκα, καὶ γι' αὐτὸ μὴ περιφρονήσεις τὴ χάρη.

3. «Εἰσακούσθηκαν τὰ λόγια σου ἀπὸ τὸ Θεὸ καὶ ἐγὼ ἦρθα νὰ δώσω ἀπάντηση στὰ λόγια σου»[10]. Τί λοιπὸν παρακαλοῦσε

ταῦτα αὐτῷ λέγεις, οὐδὲ τοιοῦτον οὐδέν. Τάχα ἐβούλετο μαθεῖν ἀκριβῶς τὸν χρόνον, καὶ τὸ μετὰ ταῦτα.

«Καὶ ὁ ἄρχων τῆς βασιλείας», φησί, «Περσῶν εἱστήκει ἐξ ἐναντίας μου». Ἆρα μὴ τὸν τῶν ἀνθρώπων λέγων ἄρχοντα; Οὐδαμῶς. Καὶ γὰρ ἀλλαχοῦ λέγει· «Ὁ ἄρχων τῶν Ἑλλήνων ἐξῆλθεν». Ἐμοὶ δοκεῖ οὗτος οὐκ εἶναι τῶν ἀρχόντων, οὐδὲ τῶν ἐπιτεταγμένων ἔθνος, ἀλλὰ τῶν ἄνω δυνάμεων. Εἶτα ἐπειδὰν οὐκ ἴσχυον οἱ ἄγγελοι ἄλλοι ἀντιστῆναι αὐτῷ, τούτῳ λέγεται. Ἀπελύθησαν, φησί· τί πάλιν ζητεῖς;

«Καὶ ἰδοὺ Μιχαὴλ εἷς τῶν ἀρχόντων τῶν πρώτων ἦλθε βοηθῆσαί μοι· καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βασιλέως Περσῶν. Καὶ ἦλθον συνετίσαι σε ὅσα ἀπαντήσεται τῷ λαῷ σου ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὅτι ἰδοὺ ἡ ὅρασις εἰς ἡμέρας».

Τίνος ἕνεκεν πρὸ τῶν εἴκοσι ἡμερῶν οὐκ ἦλθεν ὁ Μιχαήλ; Ἐμοὶ δοκεῖ, δεῖξαι βούλεται τῷ προφήτῃ, ὅτι κεκωλυμένα πράγματα αἰτεῖ καὶ παράνομα καὶ κατηναγκασμένα, μονονουχὶ καὶ τοῖς ἀγγέλοις βίαν ποιῶν. Διὰ τοῦτο οὐδὲ Μιχαὴλ εὐθέως ἐν ἀρχῇ βοηθεῖ, ἀλλ' ὕστερον, ἵνα μάθωσιν ὅτι οὐκ ἦσαν ἄξιοι ἀνελθεῖν οἱ μετὰ ταῦτα. Ἀδικοῦνται οἱ ἄγγελοι. «Καὶ αὐτὸν ἀφῆκαν ἐκεῖ», ὥστε ἢ πεῖσαι, ἢ κωλῦσαι. Καὶ τίς ἄγγελος τοιοῦτος, ὡς ἀκούσας τοῦ Θεοῦ δόντος τὴν χάριν, ἀντιστῆναι; Σωματοποιεῖ, ὡς οἶμαι, τὸ πρᾶγμα, ὥσπερ ἐκεῖ ἔλεγε· «Τίς ἐξελεύσεται, καὶ ἀπατήσει μοι τὸν Ἀχαάβ;». Καὶ πάλιν· «Ἄφες με, καὶ ἐξαλείψω αὐτούς». Οὐ κωλύεται ὁ Θεός, οὐδὲ ἀνάγκην πάσχει, κατεχόμενος ὑπὸ τοῦ προφήτου. Οὕτω δὴ καὶ ἐνταῦθα. Καὶ πάλιν ἀλλαχοῦ φησι· «Ἄφες με, ὅτι ἀνέβη ὁ ὄρθρος». Καὶ πάλιν ἐπὶ τοῦ ἀγ-

---

11. Δαν. 10, 13.
12. Δαν. 10, 20.
13. Δαν. 10, 13-14.
14. Β' Παραλ. 18, 19.
15. Ἐξ. 32, 10.
16. Γεν. 32, 26.

καὶ ποιὸ ἦταν τὸ αἴτημά του; Καὶ ὅμως δὲν ἀπαντᾶς σ᾽ αὐτὸν γι᾽ αὐτὰ ποὺ ζητᾶ, οὔτε λὲς τίποτε παρόμοιο μ᾽ αὐτά. Ἴσως ἤθελε νὰ μάθει μὲ ἀκρίβεια τὸ χρόνο τῆς ἐπιστροφῆς καὶ ὅλα τὰ σχετικὰ στὴ συνέχεια.

«Καὶ ὁ ἄρχοντας τῆς βασιλείας τῶν Περσῶν στεκόταν», λέγει, «ἀπέναντί μου»[11]. Ὥστε λοιπὸν δὲν ἐννοεῖ τὸν ἄρχοντα τῶν ἀνθρώπων; Καθόλου. Καθόσον ἀλλοῦ λέγει· «Ὁ ἄρχοντας τῶν Ἑλλήνων ἐξῆλθε»[12]. Ἐγὼ νομίζω ὅτι αὐτὸς δὲν εἶναι ἕνας ἀπὸ τοὺς ἄρχοντες, οὔτε κάποιο ἔθνος ποὺ εἶχε ὁρισθεῖ γιὰ τὸ σκοπὸ αὐτό, ἀλλ᾽ εἶναι ἄρχοντας τῶν δυνάμεων τοῦ οὐρανοῦ. Ἔπειτα αὐτὸ λέγεται ἐπειδὴ δὲν μποροῦσαν οἱ ἄλλοι ἄγγελοι ν᾽ ἀντισταθοῦν σ᾽ αὐτόν. Ἐλευθερώθηκαν, λέγει· τί πάλι ζητᾶς;

«Καὶ νά, ὁ Μιχαήλ, ἕνας ἀπὸ τοὺς πρώτους ἄρχοντες τοῦ οὐρανοῦ, ἦρθε νὰ μὲ βοηθήσει, ἐγὼ δὲ ἄφησα αὐτὸν ἐκεῖ ν᾽ ἀντιμετωπίσει τὸν ἄρχοντα τοῦ βασιλείου τῶν Περσῶν. Ἦρθα νὰ σὲ ἐνημερώσω γιὰ νὰ μάθεις τὰ ὅσα θὰ συμβοῦν στὸ λαό σου κατὰ τὶς τελευταῖες ἡμέρες, διότι τὸ ὅραμα αὐτὸ ἀναφέρεται σ᾽ ἐκεῖνες τὶς ἡμέρες»[13].

Γιὰ ποιὸ λόγο δὲν ἦρθε ὁ Μιχαὴλ πρὶν ἀπὸ τὶς εἴκοσι ἡμέρες; Ἐγὼ νομίζω ἐπειδὴ θέλει νὰ δείξει στὸν προφήτη, ὅτι ζητᾶ πράγματα ἀπαγορευμένα, παράνομα καὶ καταναγκαστικά, ποὺ σὰν κατὰ κάποιο τρόπο νὰ ἐκβιάζουν τοὺς ἀγγέλους. Γι᾽ αὐτὸ οὔτε ὁ Μιχαὴλ βοηθᾶ εὐθὺς ἐξ ἀρχῆς, ἀλλ᾽ ἀργότερα, γιὰ νὰ μάθουν ὅτι δὲν ἦταν ἄξιοι νὰ ἐπιστρέψουν οἱ Ἰουδαῖοι τῶν ἑπομένων γενεῶν. Ἀδικοῦνται οἱ ἄγγελοι. «Καὶ ἄφησαν αὐτὸν ἐκεῖ», ὥστε ἢ νὰ τὸν πείσει ἢ νὰ τὸν ἐμποδίσει. Καὶ ποιὸς ἄγγελος εἶναι τέτοιος, ὥστε νὰ προβάλλει ἀντίσταση ἂν καὶ ἄκουσε τὸ Θεὸ νὰ τοῦ λέγει νὰ τοῦ δώσει τὴ χάρη; Ἐγὼ νομίζω, ὅτι σωματοποιεῖ τὸ πράγμα, ὅπως ἀκριβῶς καὶ ἀλλοῦ ἔλεγε· «Ποιός θὰ πάει γιὰ νὰ ἐξαπατήσει τὸν Ἀχαάβ;»[14]. Καὶ πάλι ἀλλοῦ λέγει· «Ἄφησέ με καὶ θὰ ἐξαφανίσω αὐτούς»[15]. Δὲν ἐμποδίζεται ὁ Θεός, οὔτε ἐξαναγκάζεται, ὥστε νὰ συγκρατηθεῖ ἀπὸ τὸν προφήτη. Ἔτσι λοιπὸν καὶ ἐδῶ. Καὶ πάλι ἀλλοῦ λέγει· «Ἄφησέ με νὰ φύγω, διότι ξημέρωσε»[16]. Καὶ πάλι στὴν περίπτωση

γέλου καὶ τῆς ὄνου· «Εἰ μὴ πρόσωπόν σου ἔλαβον», φησίν. Οὐκ ἄρα τοῦτο δείκνυσιν αὐτὸν ἀνθιστάμενον τῷ Θεῷ, ἀλλ' ἓν μόνον, ὅτι ἀδικοῦνται. Τοσαῦτα ἴσχυσεν ὁ Δανιήλ.

«Κατῆλθον συνετίσαι σε ὅσα ἀπαντήσεται τῷ λαῷ σου». Ὅρα πῶς ἀναγκαῖον πρᾶγμα ἀφείς, ἀπολογεῖται τῷ προφήτῃ. Πάλιν ἐξίσταται· πάλιν αὐτὸν ἀνίστησι, καί φησι· «Ἐγὼ πορεύομαι τοῦ πολεμῆσαι μετὰ τοῦ ἄρχοντος Περσῶν. Καὶ ἐγὼ ἐξεπορευόμην, καὶ ὁ ἄρχων τῶν Ἑλλήνων ἤρχετο». Ἴσως ἑνὸς τῶν ἐναντιουμένων ἐπὶ τοῖς ἐσομένοις, ὥστε τοῖς κατὰ Μακεδονίαν πολεμῆσαι. Καὶ οὔπω πείθεται. Πόλεμος ἐν ἀγγέλοις ἐστί, μάχη περὶ ἀνθρώπων; Ναί. Πάνυ γὰρ αὐτῶν κήδονται. Οὔπω ἐπείσθη. Ὥσπερ ἂν εἴποι τις· Ἀναγκάζομαι τῷδε φιλονεικῆσαι.

---

17. Δαν. 10, 14. 18. Δαν. 10, 20.

τοῦ ἀγγέλου καὶ τῆς ὄνου λέγει· «Ἐὰν δὲν εἶχα λάβει τὸ πρόσωπό σου», λέγει. Ἐπομένως δὲν δείχνει αὐτὸ ὅτι ἀρνεῖται νὰ ἐκτελέσει τὶς ἐντολὲς τοῦ Θεοῦ, ἀλλ' ἕνα μόνο, ὅτι ἀδικοῦνται. Τόσα πολλὰ κατόρθωσε ὁ Δανιήλ.

«Ἦρθα νὰ σὲ ἐνημερώσω γιὰ νὰ μάθεις τὰ ὅσα θὰ συμβοῦν στὸ λαό σου»[17]. Πρόσεχε πῶς, ἀφήνοντας ἕνα ἀναγκαῖο πράγμα, ἀπολογεῖται στὸν προφήτη. Πάλι κυριεύεται ἀπὸ ἔκπληξη, πάλι τὸν ἀναπτερώνει καὶ λέγει· «Ἐγὼ πηγαίνω γιὰ νὰ πολεμήσω μὲ τὸν ἄρχοντα τῶν Περσῶν. Καὶ ἐνῶ ἐγὼ ἔφευγα, ἐρχόταν ὁ ἄγγελος ὁ ἄρχοντας τῶν Ἑλλήνων»[18]. Ἴσως πήγαινε νὰ πολεμήσει μὲ κάποιον ποὺ ἀντιτασσόταν σ' ὅλα ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν, ὥστε νὰ πολεμήσει μὲ τοὺς ἀγγέλους ποὺ ἐξουσιάζουν καὶ φροντίζουν γιὰ τοὺς Μακεδόνες. Καὶ δὲν πείθεται ἀκόμα. Γίνεται πόλεμος μεταξὺ τῶν ἀγγέλων, γίνεται μάχη μεταξὺ αὐτῶν γιὰ χάρη τῶν ἀνθρώπων; Ναί, γίνεται· διότι εἶναι πολὺ μεγάλη ἡ φροντίδα τους γιὰ τοὺς ἀνθρώπους. Δὲν πείσθηκε ἀκόμα. Ὅπως ἀκριβῶς θὰ μποροῦσε νὰ πεῖ κάποιος· Ἀναγκάζομαι νὰ φιλονεικήσω μὲ αὐτὸν ἐδῶ.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

«Καὶ ἐγένετο ἐν ἔτει πρώτῳ Κύρου, ἐγὼ ἔστην εἰς κράτος καὶ ἰσχύν. Καὶ νῦν ἀναγγελῶ σοι ἀλήθειαν».

Καὶ τότε, φησί, σώσας ἐγώ εἰμι. Ἵνα γὰρ μὴ λέγῃ τις· Τί οὖν πολεμεῖς; τί οὖν, ἂν μὴ νικήσῃς; Οὐχί, φησί. Καὶ τότε ἐγὼ αὐτῶν προέστην. «Καὶ οὐκ ἔστι» γάρ, φησί, «εἷς ἀντεχόμενός μοι περὶ τούτων, ἀλλ' ἢ Μιχαὴλ ὁ ἄρχων αὐτῶν». Ταῦτα λέγει ἵνα πείσῃ αὐτόν, ὅτι οὐ πολέμιός ἐστιν αὐτῷ καὶ ἐχθρός, καὶ ὅτι πράγματα αἰτεῖ κεκωλυμένα. Οὐχ ὅτι βοηθῶν δεῖται. Πῶς γάρ; Δείκνυται ὅτι οὗτος οὐκ ἦν τῶν ἀρχόντων. Εἶτα λέγει πάντα μετὰ ἀκριβείας, καὶ λέγει πόθεν αἱ ἧτται. Εἶτα λέγει τὴν σωτηρίαν τοῦ λαοῦ αὐτοῦ ἐν τοῖς ἑξῆς καὶ τὸ δόκιμον.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

«Ἐν τῷ συντελεσθῆναι διασκορπισμὸν χειρὸς λαοῦ ἡγιασμένου, γνώσονται ἅγιον, καὶ συντελεσθήσεται ταῦτα πάντα».

«Καὶ ἐγὼ ἤκουσα, καὶ οὐ συνῆκα, καὶ εἶπον· Κύριε, τί τὰ ἔσχατα τούτων; Καὶ εἶπε· Δεῦρο, Δανιήλ, ὅτι καὶ ἐμπε-

---

1. Δαν. 11, 1-2. 2. Δαν. 10, 21. 1. Δαν. 12, 7.

ΚΕΦΑΛΑΙΟ ΙΑ΄.

«Καὶ συνέβηκε κατὰ τὸ πρῶτο ἔτος τῆς βασιλείας τοῦ Κύρου ν' ἀποκτήσω ἐγὼ δύναμη καὶ ἰσχύ. Τώρα λοιπὸν θὰ σοῦ πῶ τὴν ἀλήθεια»[1].

Καὶ τότε, λέγει; ἐγὼ θὰ εἶμαι ὁ σωτήρας. Διότι, γιὰ νὰ μὴ λέγει κάποιος· Τί λοιπὸν πολεμεῖς; τί λοιπὸν πολεμεῖς ἂν δὲν νικήσεις; Ὄχι, λέγει. Καὶ τότε ἐγὼ ἤμουν ὁ προστάτης καὶ ὑπερασπιστής τους. Διότι, λέγει, «Δὲν ὑπάρχει κανένας ἄλλος νὰ μὲ βοηθήσει στὶς καταστάσεις αὐτές, παρὰ μόνο ὁ Μιχαὴλ ὁ ἄρχοντας αὐτῶν»[2]. Αὐτὰ τὰ λέγει γιὰ νὰ πείσει αὐτόν, ὅτι δὲν εἶναι πολέμιος καὶ ἐχθρὸς αὐτοῦ, καὶ ὅτι ζητᾶ πράγματα ἀπαγορευμένα. Δὲν ἔχει ἀνάγκη ἀπὸ βοηθούς. Πῶς λοιπόν; Ἀποδεικνύεται ὅτι αὐτὸς δὲν ἦταν ἕνας ἀπὸ τοὺς ἄρχοντες. Ἔπειτα λέγει ὅλα μὲ λεπτομέρεια καὶ ἀκρίβεια, καὶ λέγει ποῦ ὀφείλονται οἱ ἧττες. Στὴ συνέχεια περιγράφει τὴ σωτηρία τοῦ λαοῦ αὐτοῦ στὸ μέλλον καὶ τὴν προκοπὴ αὐτοῦ.

ΚΕΦΑΛΑΙΟ ΙΒ΄.

«Ὅταν θὰ ὁλοκληρωθεῖ καὶ θὰ τερματισθεῖ ὁ διασκορπισμὸς τοῦ ἁγιασμένου λαοῦ, θὰ γνωρίσουν τὸν ἅγιο, καὶ τότε θὰ πραγματοποιηθοῦν ὅλα αὐτά»[1].

«Καὶ ἐγὼ τὰ ἄκουσα αὐτὰ καὶ δὲν τὰ κατενόησα καὶ εἶπα· Κύριε, πότε θὰ ρθεῖ τὸ τέλος αὐτῶν τῶν πραγμάτων; Καὶ εἶπε·

φραγμένοι οἱ λόγοι ἕως καιροῦ πέρατος. Ἕως ἐκλεγῶσιν, καὶ ἐκλευκανθῶσιν, καὶ πυρωθῶσι πολλοί, καὶ ἀνομήσωσιν ἄνομοι, καὶ οὐ συνήσωσι πάντες ἀσεβεῖς, καὶ οἱ νοήμονες συνήσωσιν. Καὶ ἀπὸ καιροῦ παραλλάξεως τοῦ ἐνδελεχισμοῦ, καὶ δοθῆναι βδέλυγμα ἐρημώσεως, ἡμέραι χίλιαι διακόσιαι ἐννενήκοντα. Μακάριος ὁ ὑπομένων καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας τριακονταπέντε. Καὶ σὺ δεῦρο, καὶ ἀναπαύου· ἔτι γὰρ ἡμέραι εἰς ἀναπλήρωσιν συντελείας· καὶ ἀναπαύσεις τὸν καιρόν σου εἰς συντέλειαν ἡμερῶν».

Καὶ σύ, φησί, κάθισον· μετὰ γὰρ χρόνον πολὺν ταῦτα ἐστιν. Ἄρα οὐ περὶ τῆς ἀνόδου θρηνεῖ, ἀλλὰ μετὰ τὸ ἀνελθεῖν περὶ τῶν ἀνελθόντων.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

«Καὶ ὁ βασιλεὺς Ἀστυάγης προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ· καὶ παρέλαβεν Κῦρος ὁ Πέρσης τὴν βασιλείαν αὐτοῦ. Καὶ ἦν Δανιὴλ συμβιώτης τοῦ βασιλέως, καὶ ἔνδοξος ὑπὲρ πάντας τοὺς φίλους αὐτοῦ».

Τὰ κατὰ τὸν Βὴλ ἡμῖν ἀνέγραψεν ὁ Δανιήλ. «Οὐχ ὁρᾷς», φησί, «πόσα ἐσθίει καὶ πίνει;». Βαβαί, ἡλίκον τεκμήριον Θεοῦ, καὶ γνώρισμα, τὸ πολλὰ ἐσθίειν καὶ πίνειν. Ὁ Δανιὴλ οὐκ εἶπε τοῦτο. Τοῦτο οὖν Θεός, εἰπέ μοι; Ἀσθενὴς

---

2. Δαν. 12, 8-13.

1. Δαν. 13 (Βὴλ καὶ Δράκων) 1-2.
2. Δαν. 13, 6.

Ἔλα, Δανιήλ, καὶ μὴ ρωτᾶς, διότι οἱ λόγοι αὐτοὶ εἶναι κλεισμένοι καὶ σφραγισμένοι, μέχρι ποὺ νὰ ρθεῖ τὸ τέλος τοῦ καθορισμένου καιροῦ. Μέχρι ποὺ νὰ ἀποχωρισθοῦν οἱ δίκαιοι, νὰ λευκανθοῦν, καὶ νὰ καθαρισθοῦν σὰν μὲ τὴ φωτιὰ οἱ πολλοί, ἐνῶ ἐκεῖνοι ποὺ δὲν τηροῦν τὸ νόμο θὰ διαπράξουν περισσότερες ἀνομίες, χωρὶς ν' ἀντιληφθοῦν αὐτοὶ τίποτε ἀπὸ αὐτά, ἐνῶ οἱ συνετοὶ καὶ εὐσεβεῖς θὰ τὰ κατανοήσουν ὅλα. Καὶ ἀπὸ τὴν ἡμέρα ποὺ θὰ καταργηθεῖ ἡ καθημερινὴ θυσία τοῦ ναοῦ καὶ θὰ στηθεῖ τὸ βδέλυγμα τῆς ἐρημώσεως θὰ περάσουν χίλιες τριακόσιες τριάντα πέντε ἡμέρες. Μακάριος θὰ εἶναι ἐκεῖνος ποὺ θὰ ὑπομείνει καὶ θὰ κατορθώσει νὰ φθάσει στὸ τέλος τῶν τριακοσίων τριάντα πέντε ἡμερῶν. Καὶ σὺ πήγαινε τώρα καὶ ἀναπαύσου· διότι ὑπολείπονται ἀκόμα ἡμέρες γιὰ τὴν ὁλοκλήρωση τοῦ χρόνου τῆς συντέλειας. Ἀντιπαύσου λοιπὸν μέχρι τὴν ὁλοκλήρωση τῶν ἡμερῶν τῆς συντέλειας»[2].

«Καὶ σύ, λέγει, κάθισε· διότι αὐτὰ θὰ συμβοῦν μετὰ ἀπὸ πολὺ χρόνο. Ἑπομένως δὲν θρηνεῖ γιὰ τὴν ἐπάνοδο τοῦ λαοῦ ἀπὸ τὴν αἰχμαλωσία, ἀλλὰ γιὰ ἐκείνους ποὺ θὰ ἐπιστρέψουν καὶ γιὰ τὰ ὅσα μάλιστα θὰ συμβοῦν μετὰ τὴν ἐπιστροφὴ στὴν πατρίδα τους.

ΚΕΦΑΛΑΙΟ ΙΓ'.

«Ἐν τῷ μεταξὺ πέθανε ὁ βασιλιὰς Ἀστυάγης καὶ προστέθηκε στοὺς προγόνους του, τὴν δὲ βασιλεία αὐτοῦ τὴν παρέλαβε ὁ Κῦρος ὁ Πέρσης. Ὁ Δανιὴλ εἶχε ἀνατραφεῖ καὶ μεγαλώσει μαζὶ μὲ τὸ βασιλιὰ καὶ ἦταν ὁ πιὸ ἔνδοξος ἀπὸ ὅλους τοὺς ἄλλους φίλους αὐτοῦ»[1].

Ἐδῶ ὁ Δανιὴλ μᾶς περιέγραψε τὰ σχετικὰ μὲ τὸ εἴδωλο τοῦ Βήλ. «Δὲν βλέπεις», λέγει, «πόσα τρώγει καὶ πίνει;»[2]. Ἀλλοίμονο, ποιὰ εἶναι ἡ ἀπόδειξη καὶ τὸ γνώρισμα τοῦ Θεοῦ, τὸ ὅτι δηλαδὴ τρώγει καὶ πίνει πολλά. Ὁ Δανιὴλ δὲν εἶπε αὐτό.

γὰρ ἦν ἐκεῖνος, ἀλλ' ἐκ περιουσίας ἐνίκησεν. Ἐγώ σοι τὸν Θεὸν τὸν κτίσαντα τὸν οὐρανὸν λέγω καὶ τὴν γῆν, σὺ δέ μοι γαστέρα μαινομένην παράγεις εἰς μέσον; Τοῦτο μάλιστα οὐκ ἂν εἴη Θεοῦ· Θεὸς γὰρ οὐ πεινάσει, οὐ κοπιάσει. Ἀλλ' οὐ βούλεται ἀπὸ λογισμῶν, ἀλλὰ ἀπὸ πραγμάτων νικᾶν. Καὶ τιμωρίαν ὥρισεν αὐτὸς ὁ βασιλεύς. Τίνος ἕνεκεν οὐχὶ παρόντων ἐσθίει, ἀλλ' ἐν νυκτί; Πῶς ἐκεῖνοι τοῦτο οὐ συνεῖδον, ὅτι ἤμελλον διὰ τῆς βοηθείας ἐλέγχεσθαι; Ὅταν Θεὸς οἰκονομῇ, μηδὲν θαυμάσῃς. «Καὶ ἀπέκτεινεν αὐτούς», φησί.

Τί οὖν πάλιν ἐπὶ τοῦ δράκοντος; θηρίον τις προσκυνεῖ; Καὶ τοῦτον ἀνεῖλεν. Ὁρᾷς πῶς ἀνόητοι, πῶς ἄνανδροι οἱ βασιλεῖς τῶν Περσῶν; «Ἐκδίδωσι τὸν Δανιήλ». Τίνος ἕνεκεν, μετὰ τὴν νίκην τὴν οὕτω λαμπράν; «Ὁ δὲ Ἀμβακούμ», φησί, «ἄριστον ἤνεγκεν τῷ Δανιήλ. Ὅρα τὸ θαῦμα. Μὴ γὰρ οὐκ ἦν δυνατὸν αὐτῷ ἄλλοθεν ἐνεχθῆναι, ἀλλ' ἀπὸ τῆς Ἰουδαίας; Τοῦτο φίλον ἦν τῷ προφήτῃ, ἵνα μὴ τὰ αὐτὰ ποιήσῃ πάλιν, καθάπερ ἐπὶ τοῦ εὐνούχου, ἵνα μὴ νομίσας ἠλισγῆσθαι τὴν τράπεζαν, τὸν λιμὸν ἐπιτείνῃ. Πόθεν ἔγνω τὸν Ἀβακούμ; Ἀπὸ τῆς συγγενείας τῆς κατὰ τὴν φωνήν. Ἔμελλεν αὐτὸς κήρυξ γίνεσθαι τοῖς κατὰ τὴν Ἰουδαίαν θαύματος μεγίστου. Πῶς οὐκ ἐφοβήθη τὰ θηρία ὁ ἄνθρωπος; Οὗτος μὲν ἤσθιεν, ἐκεῖνα δὲ ἐνήστευον. Ἔστω, τοῦ σώματος ἀπείχετο τοῦ δικαίου· τίνος ἕνεκεν καὶ τῆς τροφῆς; Ὥσπερ κημός καὶ χαλινὸς κατεῖχεν ἐκεῖνα.

---

3. Δαν. 13, 22.
4. Δαν. 13, 31.
5. Δαν. 13, 37.

Πές μου, αὐτὸ λοιπὸν εἶναι Θεός; Βέβαια ἐκεῖνος ἦταν ἀνίσχυρος, ἀλλ' ὅμως νίκησε μὲ ὑπεροχὴ μεγάλη. 'Εγὼ σοῦ ὁμιλῶ γιὰ τὸ Θεὸ ποὺ ἔκτισε τὸν οὐρανὸ καὶ τὴ γῆ, καὶ σὺ μοῦ παρουσιάζεις τὴ μανιακὴ κοιλιά; Αὐτὸ πρὸ πάντων δὲν θὰ μποροῦσε νὰ εἶναι τὸ γνώρισμα τοῦ Θεοῦ· διότι ὁ Θεὸς δὲν θὰ πεινάσει, οὔτε καὶ θὰ κοπιάσει. 'Αλλ' ὅμως δὲν θέλει νὰ κερδίσει τὴ νίκη βάσει ἀποδεικτικῶν συλλογισμῶν, ἀλλ' ἀπὸ τὰ ἴδια τὰ πράγματα. Καὶ τιμωρία ὅρισε ὁ ἴδιος ὁ βασιλιάς. Γιὰ ποιὸ λόγο δὲν τρώγει ὅταν εἶναι παρόντες ἐκεῖ ἄνθρωποι, ἀλλὰ κατὰ τὴ διάρκεια τῆς νύχτας; Πῶς ἐκεῖνοι δὲν τὸ σκέφθηκαν καλά, ὅτι ἐπρόκειτο ν' ἀποδειχθεῖ τὸ ψεῦδος τους ἀπὸ τὴν ἴδια τὴν ἀπατηλὴ πράξη τους; Ὅταν ὁ ἴδιος ὁ Θεὸς ρυθμίζει τὰ πράγματα, μὴ ἔχεις καμιὰ ἀμφιβολία. «Καὶ φόνευσε αὐτούς»[3], λέγει.

Τί συνέβηκε λοιπὸν πάλι στὴν περίπτωση τοῦ δράκου; ποιὸς προσκυνεῖ θηρίο. Καὶ αὐτὸν τὸν ἐξαφάνισε. Βλέπεις πόσο ἀνόητοι ἦταν οἱ βασιλεῖς τῶν Περσῶν καὶ πόσο ἄνανδροι; «Καὶ ἔρριξαν τὸν Δανιὴλ στὸ λάκκο τῶν λεονταριῶν»[4]. Γιὰ ποιὸ λόγο τὸ κάνουν αὐτὸ μετὰ τὴ νίκη τὴν τόσο λαμπρή; «Ὁ δὲ προφήτης 'Αμβακούμ», λέγει, «ἔφερε φαγητὸ στὸν Δανιήλ»[5]. Πρόσεχε τὸ θαῦμα. Μήπως δηλαδὴ δὲν ἦταν δυνατὸ σ' αὐτὸν μὲ ἄλλο τρόπο νὰ τὸ ἐπιτύχει, ἀλλ' ἔπρεπε νὰ εἶναι ὁ προφήτης 'Αμβακοὺμ ἀπὸ τὴν 'Ιουδαία; Αὐτὸ ἦταν ἀγαπητὸ στὸν προφήτη, γιὰ νὰ μὴ κάνει τὰ ἴδια πάλι, ὅπως ἀκριβῶς στὴν περίπτωση τοῦ εὐνούχου, καὶ νὰ μὴ μακρύνει τὴ διάρκεια τῆς πείνας, νομίζοντας ὅτι μολύνθηκε ἡ τράπεζα. 'Απὸ ποῦ γνώρισε τὸν 'Αμβακούμ. 'Απὸ τὴ συγγένεια τῆς γλώσσας. 'Επρόκειτο αὐτὸς νὰ γίνει στοὺς 'Ιουδαίους ποὺ ζοῦσαν στὴν 'Ιουδαία κήρυκας τοῦ πιὸ μεγάλου θαύματος. Πῶς δὲν φοβήθηκε ὁ ἄνθρωπος τὰ θηρία; Αὐτὸς μὲν ἔτρωγε, ἐνῶ ἐκεῖνα νήστευαν. Ἔστω ὅτι ἀπεῖχαν ἀπὸ τὸ σῶμα τοῦ δικαίου· γιὰ ποιὸ λόγο καὶ ἀπὸ τὴν τροφή; Τὰ συγκρατοῦσε σὰν κάποιο φίμωτρο καὶ χαλινάρι.

ΕΥΡΕΤΗΡΙΑ

*1. Εὑρετήριο χωρίων τῆς Γραφῆς**

* Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ μὲν τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο τὸν στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, γιὰ δὲ τὰ ὀνόματα καὶ πράγματα στὴ σελίδα ποὺ βρίσκονται.

Λουκᾶς

Ἰωάννης

Πράξεις

Ρωμαίους

Κορινθίους Α'

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

Β

Γ

Δ

Ε

Ζ

Η

Θ

Ι

Κ

Λ

Μ

Ν

Ξ

Ο

Π

Ρ

Σ

Τ

Υ

Φ

X

Ψ

Ω